ὁμοίως. Ὥστε τοὺς λόγους διχῶς ἀνάγκη γίνεσθαι, ἢ ἀπὸ τῶν ἀποτελεσμάτων τὰς ἀρχὰς ἀποδεικνύναι, ἢ ἀπὸ τῶν ἀρχῶν τὰ ἀποτελέσματα· χρησόμεθα δὲ ἑκατέρᾳ τῶν μεθόδων κατὰ καιρόν. Καὶ ἀπὸ μὲν τῶν ἀρχῶν ἀποδείξομεν, ὅταν αὗται δῆλαι ὦσιν· τὸ δὲ ἀνάπαλιν, ὅταν τὰ ἀποτελέσματα φανερώτερα ᾖ. Διὰ τοῦτο καὶ Πλάτων καλῶς ἐζήτει τοῦτο καὶ ἠπόρει, ὡς ἐκ ἀδιάφορον ὂν ἐπὶ παντὸς, πότερον ἀπὸ τῶν ἀρχῶν ἡ προσήκουσα τῆς ἀποδείξεως ὁδὸς, ἢ ἐπὶ τὰς ἀρχάς· ὥσπερ ἐν σταδίῳ ἀπὸ τῶν ἀθλοθετῶν ἐπὶ τὸ πέρας, ἢ τὸ ἀνάπαλιν. Διττῆς οὖν οὔσης τῆς ὁδοῦ, πόθεν ἡμῖν ἀρκτέον; ἢ δῆλον ὅτι ἀπὸ τῶν ἀποτελεσμάτων δηλονότι τῶν πολιτικῶν πράξεων, ὧν ἀρχὴ καὶ αἴτιον τὸ πολιτικὸν τέλος ἐστί. Δεῖ γὰρ ἀπὸ τῶν γνωρίμων ἄρξασθαι οὐ τῇ φύσει, ἀλλ᾽ ἡμῖν. Φύσει μὲν γὰρ γνώριμα λέγονται αἱ ἀρχαὶ, καὶ τὰ αἴτια· ἐκείνοις γὰρ ἡ φύσις πρότερα ἐφίστησι, καὶ πρὸς ἐκεῖνα πρώτως ὁρᾷ. Ἡμῖν δὲ τὰ ἀποτελέσματα γνώριμα· ὅθεν ἀρκτέον· οὕτω γὰρ σαφὴς ἔσται ὁ λόγος ἀπὸ τῶν ἡμῖν γνωρίμων γινόμενος.

artificis, & reliqua in hunc modum. Ut neceſſe ſit dupliciter eam quæ de re aliqua ſuſcipitur, procedere inſtitutionem: ſi aut ab effectis demonſtrentur principia, aut à principiis effecta. Nos aut utramque ſuo tempore adhibebimus rationem. Et à principiis quidem demonſtrabimus, cum manifeſta erunt illa: contra vero, cum effectum erit manifeſtius. Propterea recte hoc quærebat Plato & in dubium vocabat, cum non in omnibus eodem ſe habeat modo, utrum à principiis, an vero ad principia conveniens rei de qua agitur inſtituatur ratio. Quemadmodum in ſtadio à ludorum præfectis ad metam, an contra. Duplex igitur cum ſit via, unde incipiendum erit nobis? An vero perſpicuum eſt, à civilium potius actionum effectis, quorum principium & cauſa, finis civilis eſt? A notioribus enim incipiendum eſt, non natura ſua, ſed nobis. Natura enim nota dicuntur, principia & cauſæ. Ea quippe natura prius adhibet, primumque in ea intuetur. Nobis vero nota ſunt effecta. A quibus eſt incipiendum. Ita enim perſpicua futura eſt, ſi ab iis quæ & nobis nota ſunt, inſtituatur tradendi ratio.

Ariſtot. l. 1. c 4.

CAP.

CAP. VI.

Requiri ut is qui civili doctrinæ operam daturus eſt, bonarum prius actionum uſum ac conſuetudinem aliquam ſit conſecutus.

Ariſtot. l. 1. c. 4 Διὸ δεῖ τοῖς ἔθεσιν, &c.

QUare eum qui doctrinæ huic operam daturus eſt, ſi & intelligere eam, & quemadmodum oportet judicare de ea, ac cum emolumento ſuo verſari in ea velit, uſque ad ipſam oportet honeſtarum juſtarúmque actionum perveniſſe conſuetudinem. Nam ſi id nobis propoſitum eſſet, ut ab ipſis principiis civiles actiones bonas eſſe demonſtraremus, eum certe qui adhuc earum imperitus actionum eſſet, firmis rationum vinculis adoriendum eſſe, atque eo modo perſuadendum putaremus: cum vero à poſteriore parte nobis propoſitum ſit, actionum civilium demonſtrare principia, idque non aliter, quam certum aliquod demonſtrationis fundamentum ſubſterni iis oporteat, bonas eas eſſe, manifeſtum eſt, perſuaderi id poſſe nemini, niſi qui uſu atque experientia bonas eas eſſe prius didicerit. Si enim aliquis tales eas eſſe, abunde ſciverit, nihil addere opus erit, quare ſint tales. Cauſam namque, ipſum nimirum finem, aut jam novit, aut cum audiverit, ſtatim cognorit. Cui vero neutrum adeſt horum (hoc eſt, neque hæc aut per ſe novit, aut ab alio poteſt diſcere) illa Heſiodi audiat:

Huic primas tribuam, ſi quis ſponte omnia norit,

ΚΕΦ. ϛʹ.

Ὅτι τὸν ἀκουσόμενον τῶν περὶ τῆς πολιτικῆς λόγων ἐν ἔθει δεῖ εἶναι τῶν ἀγαθῶν πράξεων.

ΔΙὰ τοῦτο τὸν ἀκουσόμενον τῶν τοιούτων λόγων, εἰ μέλλει καλῶς αὐτοὺς γινώσκειν καὶ κρίνειν ὀρθῶς, καὶ ἐκ τούτων ὠφελεῖσθαι, προσήκει ἐν ἔθει εἶναι τῶν καλῶν καὶ δικαίων πράξεων· εἰ μὲν γὰρ ἀπὸ τῶν ἀρχῶν ἀπεδείκνυμεν τὰς πολιτικὰς πράξεις ἀγαθὰς εἶναι, καὶ τὸν μὴ πεπαιδευμένον ἐν ταῖς τοιαύταις πράξεσιν ἐπείθομεν ἄν, λόγων ἀνάγκη δήσαντες. Ἐπεὶ δὲ ἀπὸ τῶν ὑστέρων τὴν ἀρχὴν βουλόμεθα ἀποδεικνῦναι, τῶν πολιτικῶν πράξεων δηλονότι, καὶ δεῖ ὑποκεῖσθαι ταύτην καθάπερ ἀρχὴν ἀποδείξεως ὅτι ἀγαθαί, φανερὸν ὅτι οὐ δύναται πεισθῆναι, εἰ μὴ ὁ πείρᾳ καλὰς καὶ δικαίας τὰς τοιαύτας πράξεις εἰδώς. Εἰ γὰρ τὸ ὅτι ἀγαθαὶ αἱ πράξεις ἀρκούντως δέξαιτό τις, οὐδὲν δεησόμεθα τοῦ διότι, τὴν δὲ αἰτίαν, τὸ τέλος δηλονότι, ἢ γινώσκει ἤδη, ἢ ἀκούσας ῥαδίως γνώσεται· ᾧ δὲ οὐδέτερον ἔχει τούτων, καὶ μήτε αὐτὸς γινώσκει, μήτε παρ' ἑτέρων δύναται μανθάνειν, ἀκουσάτω τῶν Ἡσιόδου.

Οὗτος μὲν πανάριστος, ὃς αὐτὸς πάντα νοήσῃ,

Φρασσά

Φρασσάμενος τά κ' ἔπειτα καὶ ἐς τέλος ᾖσιν ἀμείνω.
Ἐσθλὸς δ' αὖ κἀκεῖνος, ὃς εὖ εἰπόντι πίθηται·
Ὃς δέ κε μήτ' αὐτὸς νοέῃ μήτ' ἄλλου ἀκούων,
Ἐν θυμῷ βάλληται, ὁ δ' αὖτ' ἀχρήϊος ἀνήρ.

Expendens animo, quæ mox meliora ſequatur.
Nec mihi diſpliceat, qui ſit monitoribus æquus.
At qui nec ſapiat, nec ſi quid dixerit alter,
Pectore deponat facturus, inutilis eſto. Ariſtot. l. 1. c. 7.

ΚΕΦ. ζ'.

Ὅτι τρεῖς εἰσὶ βίοι, ὁ καθ' ἡδονὴν, καὶ ὁ τὴν τιμὴν ζητῶν, ἐν οἷς καὶ ὁ χρηματιστικὸς θεωρεῖται, καὶ τρίτος, ὁ θεωρητικός· καὶ ὅτι οὔτε ὁ τὴν ἡδονὴν, οὔτε ὁ τὴν τιμὴν, οὔτε ὁ τὰ χρήματα ζητῶν τὴν εὐδαιμονίαν ζητεῖ.

CAP. VII.

Tria eſſe vitæ genera: eam quæ voluptatem ſequitur; eam quæ honorem (in qua etiam conſideratur ea quæ lucro vacat) tertiã poſtremo quæ contemplatur. Deinde, neq; eum qui voluptati, neque qui honori, neq; qui lucro vacat, felicitatem quærere.

Ἡμεῖς δὲ λέγωμεν ὅθεν παρεξέβημεν. Ἦν δὲ ἡμῖν ὁ λόγος περὶ τοῦ ὅτι διαφόρους οἱ ἄνθρωποι περὶ τῆς εὐδαιμονίας ἔχουσι δόξας. Ἕκαστος τοίνυν ἀκολούθως τῷ οἰκείῳ βίῳ τὴν εὐδαιμονίαν ὁρίζεται. Ὥστε καὶ οἱ πολλοὶ καὶ ἀκόλαστοι τὴν ἡδονὴν φασὶ τὴν εὐδαιμονίαν εἶναι. Διὰ τοῦτο καὶ τὸν βίον ἀγαπῶσι τὸν ἀπολαυστικόν· οἱ γὰρ καθολικοὶ βίοι μάλιστα τρεῖς εἰσίν. Ὅ, τε καθ' ἡδονὴν, καὶ ὁ πολιτικὸς, καὶ τρίτος ὁ θεωρητικός. Ὁ μὲν οὖν πρῶτος βίος, οὐδὲν ἱερόν· ἀνδραποδώδεις γὰρ ἐπιεικῶς οἱ τοῦτον διώκοντες, καὶ βοσκημάτων ζῶσι βίον. Λόγου δέ τινος ὅλως ἄξιος φαίνεται, διὰ τὸ πολλοὺς τῶν ἐν ἐξουσίαις αὐτὸν αἱρουμένους τὸν βίον,

Noſtra autem unde digreſſa eſt eo ſe referat oratio. Hoc autem erat de quo agebamus: diverſas nimirum de felicitate eſſe opiniones hominum. Quorum pro ſuo in quo verſantur ſinguli vitæ genere, felicitatem definiunt. Itaque & vulgus hominum & qui ſunt intemperantes, voluptatem dicunt felicitatem eſſe: ideoque vitam quoque amplectuntur, quæ in fruitione voluptatum verſatur. Generalia enim vitæ genera, tria ſunt potiſſimum. Prima quæ voluptatem ſpectat, altera civilis, tertia quæ contemplatur. Et harum quidem prima, nihil admiratione dignum habet aut laude: cum plerumque hanc qui ſequuntur, nihilominus illiberales ſint, & pecudum vitam agant. Et tamen eſt in ea aliquid cur appetatur: quia multi nimirum, qui in ſummis verſantur dignitatibus

Cap. 7. Ἡμεῖς δὲ λέγωμεν, &c.

Ariſtot. l. 1. c. 7. Οἱ δὲ χαριέντες, &c.

tatibus hanc eligunt, in eoque Sardanapalum ſequuntur.

Secundam præſtantiſſimi ut plurimum mortalium, & qui actionibus præclaris delectantur, præferre ſolent; honorem nimirum. Fere enim vitæ civilis hic quem dico finis eſt: & quod ab omnibus maxime petitur, honor eſt. Et tamen ne hoc quidem ſupremum eſſe bonum videtur; ſed ex eo quoque bonorum genere, quæ videntur tantum eſſe bona, & apparent. Verum enim & quod beatum efficere aliquem poteſt bonum, in ſe ipſo eſſe oportet: honor autem non in eo eſt qui honoratur, ſed in eo magis qui honorat. Quare neq; in honore eſt felicitas. Eum namque qui felix dici poſſit, bonum aliquod habere proprium oportet, & quod eripi non facile queat. Adde quod honorem nonnulli propterea ſequi videntur, ut credant ſe bonos eſſe. Ac propterea à prudentibus viris, & ab iis quibus noti ſunt, honorari ſe poſtulant: idque virtutis cauſa. • Ex quibus apparet, honorem peti propterea ab aliquo, ut bonus videatur & honeſtus, idque propter virtutem. Ut maniſeſtum ſit, non ſua cauſa peti honorem, ſed ob virtutem. Ideoque ne ipſe quidem extremus eſſe finis poterit, ſed potius virtus.

τάχα δὲ καὶ μᾶλλον, &c.

Quæ tamen ipſa virtus nondum perfecta eſt: neque in ea finis perfectus, quæ eſt felicitas, queat eſſe. Ipſam autem nondum perfectam eſſe, manifeſtum eſt. Fieri enim poteſt, ut habitum virtutis conſecutus ſit aliquis, qui tamen dormiat, aut toto vitæ

ὁμοιοπαθεῖν Σαρδαναπάλῳ.

Τὸν δὲ δεύτερον οἱ βελτίους τῶν ἀνθρώπων αἱροῦνται, καὶ οἱ τὰς ἀγαθὰς διώκοντες πράξεις, ἡγοῦνται τὴν τιμήν· σχεδὸν γὰρ τοῦ πολιτικοῦ βίου τὸ τέλος οὗτος, ὃν λέγω, καὶ τὸ παρὰ πάντων ζητούμενον, ἡ τιμή ἐστι. Φαίνεται δὲ, ὅτι οὐ τοῦτό ἐστι τὸ ἔσχατον ἀγαθὸν, ἀλλὰ τῶν δοκούντων καὶ αὐτό ἐστι καὶ φαινομένων ἀγαθῶν. Τὸ γὰρ ἀληθῶς ἀγαθὸν, δι᾽ οὗ τις εὐδαιμονεῖ, ἐν αὐτῷ δεῖ εἶναι· ἡ δὲ τιμὴ οὐκ ἔστιν ἐν τῷ τιμωμένῳ, ἀλλὰ μᾶλλον ἐν τῷ τιμῶντι· οὐκ ἄρα ἐν τῇ τιμῇ ἡ εὐδαιμονία. Δεῖ γὰρ τῷ εὐδαίμονι οἰκεῖον εἶναι τὸ ἀγαθὸν, καὶ δυσαφαίρετον. Ἔτι διὰ τοῦτό τις τὴν τιμὴν διώκει, ἵνα πιστεύσῃ περὶ ἑαυτοῦ ὅτι ἀγαθός ἐστι· καὶ διὰ τοῦτο ζητεῖ ὑπὸ τῶν φρονίμων τιμᾶσθαι, καὶ παρ᾽ οἷς γινώσκεται, καὶ ἐπ᾽ ἀρετῇ. Φαίνεται τοίνυν, ὅτι διὰ τοῦτό τις τὴν τιμὴν διώκει, ἵνα ἀγαθὸς δοκῇ καὶ σπουδαῖος διὰ τὴν ἀρετήν· ὥστε δῆλον, ὅτι οὐ δι᾽ ἑαυτὴν ἡ τιμὴ διώκεται, ἀλλὰ διὰ τὴν ἀρετήν. Καὶ διὰ τοῦτο, αὕτη μὲν οὐκ ἂν εἴη ἔσχατον τέλος, ἀλλὰ μᾶλλον ἡ ἀρετή.

Ἔστι δὲ καὶ αὕτη ἀτελής, καὶ οὐκ ἂν εἴη ἐν αὐτῇ τὸ τέλειον ἀγαθὸν ἡ εὐδαιμονία· ὅτι δὲ ἀτελής ἐστι, δῆλον· δυνατὸν γάρ τινα ἕξιν ἀρετῆς ἔχειν, ἢ καθεύδοντα ἢ ἄλλον τρόπον ἀπρακτοῦντα διὰ βίου· ἢ κακοπαθοῦν-

τα,

τα, καὶ δυστυχοῦντα, καὶ ἀτυχοῦντα τὰ μέγιστα, καὶ οὕτως ἀτελῆ τὴν ἀρετὴν ἔχειν. Τὸν δὲ οὕτω βιοῦντα οὐδεὶς ἂν εὐδαιμονίσειεν, μήπου αὐτὸ ὑπόθοιτο, καὶ ὀνομάζοι εὐδαιμονίαν, τὴν ἕξιν τῆς ἀρετῆς. Καὶ περὶ μὲν τοῦ καθ' ἡδονὴν βίου καὶ τοῦ πολιτικοῦ, εἴρηται. Ἱκανῶς καὶ γὰρ ἐν τοῖς ἐγκυκλίοις περὶ αὐτῶν εἴπομεν· περὶ δὲ τοῦ βίου τοῦ θεωρητικοῦ μετὰ ταῦτα ἐπισκεπτέον. Νῦν γὰρ τὸ προκείμενον ἄλλο.

Ἔστι δὲ καὶ ἄλλος βίος ἐν αὐτοῖς θεωρούμενος τοῖς εἰρημένοις, ὁ τοῦ χρηματιστοῦ· καὶ γὰρ καὶ ὁ τὴν ἡδονὴν καὶ ὁ τὴν τιμὴν διώκων, χρήματα ἐθέλει συλλέγειν. Καὶ διὰ τοῦτο τρεῖς ἔφαμεν τοὺς μάλιστα προέχοντας βίους. Οὗτος γὰρ ἐν αὐτοῖς θεωρεῖται, καὶ ἔστι βίαιος. Οὔτε γὰρ τὸ ἀγαθὸν διώκει, ὃ τέλειόν ἐστιν, οὔτε πάνυ δοκεῖ διώκειν. Ὅθεν οὐ πολλοῖς ἐστὶν ἐραστός· ὀλίγοι γὰρ εἵλοντο πάσης τῆς ἐν τῷ βίῳ σπουδῆς τέλος τὰ χρήματα ἔχειν. Ὅτι δὲ οὐδ' αὐτὸς τὸ ἔσχατον ἀγαθὸν ζητεῖ, πρόδηλον· ὁ γὰρ πλοῦτος διὰ τὴν χρῆσιν ἐστὶν ἀγαθὸς καὶ ἄλλου χάριν ζητεῖται, τιμῆς ἕνεκα ἢ ἡδονῆς· τὸ δὲ ἔσχατον ἀγαθὸν, δι' ἑαυτὸ δεῖ ἀγαθὸν εἶναι. Διὸ μᾶλλον τὰ πρότερον λεχθέντα τέλη τις ἂν ὑπολάβοι, ἡδονὴν λέγω καὶ τὴν τιμήν· δι' ἐκεῖνα γὰρ ἀγαπᾶται. Φαίνεται δὲ οὐδ' ἐκεῖνα τὰ τέλεια ἀγαθά. Καίτοι πολλοὶ λόγοι περὶ

tempore nihil agat: aut etiam qui crucietur, aut qui miſer, aut infortunatus quam maxime ſit; atque ita imperfectam habeat virtutem. Eum vero qui ita vivat, nemo beatum dixerit, tantum abeſt ut id pro conceſſo ſumpturus ſit, ipſum virtutis habitum felicitatem eſſe. Et de vita quidem, tum ea quæ voluptatem ſpectat, tum de civili diximus. Satis enim etiam in promiſcuis diſputationibus noſtris, de illis egimus. De contemplativa autem, poſtea dicendum erit: aliud enim nunc agimus.

Eſt autem & aliud vitæ genus, quod in præcedentibus ſpectamus duobus: ejus dico qui quæſtui vacat. Etenim & ille qui voluptatem ſequitur & qui honorem, de quæſtu quoq; cogitat. Ac propterea tria præcipua eſſe diximus vitæ genera. Hoc enim in iis ſpectatur, & quodammodo eſt violentum. Nec enim bonum ſequitur, quod perfectum eſt, nec admodum ſequi videtur. Quare non ita multis hoc videtur amplectendum: pauciſſimi enim ſunt qui omni ſtudio ſolas ſibi pecunias tanquam finem appetendas propoſuerunt. Sed neque hanc vitam ultimum illud bonum, ſequi manifeſtum eſt. Divitiæ enim propter uſum bonæ putantur, aliamque petuntur ob cauſam; honorem dico vel voluptatem. Ultimum vero bonum, per ſe bonum eſſe oportet. Quare magis ſuperiora illa, fines eſſe recte aliquis putaverit; voluptatem dico & honorem: illorum enim cauſa expetuntur. Et tamen ne illa quidem perfecta eſſe bona conſtat:

Ariſtot. l. 1. c. 5.

Ὁ δὲ χρηματιστής, &c.

Ariſtot. l. 1. c. 6.

ſtat: licet multi apud veteres multa de iis diſputaverint: quorum alii voluptatem, alii honorē ſupremum eſſe bonum dixerunt. Nos vero hæc mittamus.

αὐτῶν ἐγένοντο πολλοῖς τῶν παλαιῶν, τῶν μὲν, τὴν ἡδονὴν, τῶν δὲ, τὴν τιμὴν λεγόντων ἔσχατον ἀγαθόν. Ταῦτα μὲν οὖν ἀφείσθω.

CAP. VIII.

Non eſſe unam boni ideam.

ΚΕΦ. η'.

Ὅτι οὐκ ἔστι μία ἰδέα τοῦ ἀγαθοῦ.

Cap. 6. Τὸ δὲ καθόλου, &c.

Cum hoc loco de fine ultimo, qui videtur univerſale quoddam, bonum eſſe, nobis ſit ſermo; videndum eſt quomodo univerſale dicatur: & an aliqua boni ſit idea. Tametſi difficilis nobis hæc quæſtio futura ſit: quod amiciſſimi nobis viri fuerint, qui hanc primum de ideis diſputationem introduxerunt. Quorum opinio fuit, ſingularum quæ ſunt rerum, aliquam eſſe ideam, quæ per ſe ſubſiſtat. Et tamen præſtare videtur, & decere quemvis, ut conſervandæ veritatis cauſa vel proprias opiniones evertat: nedum hoc indignum ſit philoſopho. Etenim cum ambo nobis amici ſint, & idearum autor & veritas, veritatem certe æquum eſt præferri.

Ἐπεὶ δὲ περὶ τοῦ ἐσχάτου τέλους ὁ λόγος ἡμῖν, ὃ δοκεῖ καθόλου τι ἀγαθὸν εἶναι, σκεπτέον περὶ τοῦ καθόλου πῶς λέγεται, καὶ εἰ ἔστι τὶς ἰδέα τοῦ ἀγαθοῦ. Καίτοι προσάντης ὁ λόγος οὗτος ἡμῖν, διὰ τὸ φίλους εἶναι τοὺς εἰσενεγκόντας τὸν περὶ τῶν ἰδεῶν λόγον. Ὁ δὲ λόγος, εἶναι τινὰ ἰδέαν ἑκάστου τῶν ὄντων, καθ' ἑαυτὴν ὑφεστηκυῖαν. Δόξειε δ' ἂν ἴσως βέλτιον εἶναι καὶ δεῖν, καὶ τὰ οἰκεῖα ἀναιρεῖν, ἐπὶ τὸ σῶσαι τὴν ἀλήθειαν, ἄλλως τε καὶ φιλοσόφους ὄντας. Ἀμφοῖν γὰρ ὄντοιν φίλων, τῆς τε ἀληθείας, καὶ τοῦ περὶ τῶν ἰδεῶν εἰπόντος, ὅσιον προτιμᾶν τὴν ἀλήθειαν.

Οἱ δὲ κομίσαντες τὴν δόξαν ταύτην, &c.

Qui autem hanc de qua agimus opinionem invexerunt, ſtatuerunt non eſſe unam aliquam communem illorum entium ideam, in quibus prius eſt & poſterius. Ideoque nec numerorum unam aliquam fecerunt ideam, quia primum habet numerus & ſecundum. Cum vero in bono prius ſit & poſterius, manifeſtum eſt non poſſe u-

Οἱ δὲ ταύτην εἰσαγαγόντες τὴν δόξαν, οὐκ ἔλεγον ἐκείνων τῶν ὄντων μίαν ἰδέαν εἶναι, ἐν οἷς τὸ πρότερον καὶ τὸ ὕστερον ἦν. Καὶ διὰ τοῦτο οὐδὲ τοῦ ἀριθμοῦ μίαν ἐποίουν ἰδέαν, ὅτι τὸ πρῶτον καὶ δεύτερον ἔχει. Ἐπεὶ δὲ ἐν τῷ ἀγαθῷ τὸ πρότερον καὶ τὸ ὕστερόν ἐστι, φανερὸν ὅτι οὐκ ἂν

εἴη

εἴη μία αὐτοῦ ἰδέα.

Ὅτι δὲ τὸ πρότερον καὶ τὸ ὕστερόν ἐστιν ἰδεῖν ἐν τῷ ἀγαθῷ, δῆλον. Ἔστι γὰρ τὸ ἀγαθὸν καὶ ἐν τῇ οὐσίᾳ, οἷον νοῦς ἢ θεός. Καὶ ἐν τῷ ποιῷ, αἱ ἀρεταί· καὶ ἐν τῷ πρός τι, τὸ χρήσιμον· καὶ ἐν τῷ ποσῷ, τὸ σύμμετρον· καὶ ἐν τῷ ποῦ, δίαιτα· ἡ γὰρ δίαιτα τόπος ἐστὶν, ἐν ᾧ ἂν διάγομεν· καὶ ἐν τῷ πότε, καιρός. Ἔστι γὰρ ὁ καιρὸς, ὁ ἐπιτήδειος ἑκάστῳ χρόνος· καὶ ἐν τοῖς ἄλλοις ὁμοίως. Ἐν τούτοις δὲ τὸ πρότερον καὶ τὸ ὕστερόν ἐστιν· ἡ γὰρ οὐσία προτέρα ἐστὶ τοῦ πρός τι. Καὶ ὅτι ἡ μὲν, καθ' ἑαυτό ἐστι, τὸ δὲ ἐν ἑτέρῳ ἔχει τὸ εἶναι. Καὶ ὅτι ἡ μὲν, ἄσχετος, τὸ δὲ ἐν σχέσει ἐστί. Παραφυάδι γὰρ ἔοικε καὶ συμβεβηκότι τοῦ ὄντος.

Ἔτι ἐπεὶ τὸ ἀγαθὸν ἰσαχῶς λέγεται τῷ ὄντι, πολλαχῶς δὲ λέγεται τὸ ὂν, πολλαχῶς ἂν λέγοιτο καὶ τὸ ἀγαθόν, καὶ οὐκ ἂν εἴη κοινόν τι καθόλου καὶ ἕν· οὐ γὰρ ἂν ἐν πάσαις ταῖς κατηγορίαις ἐλέγετο, καθὼς εἴρηται, ἀλλ' ἐν μιᾷ μόνῃ.

Ἔτι ἐπεὶ μιᾶς ἰδέας μία ἐστὶν ἐπιστήμη, ἦν ἂν καὶ μία ἐπιστήμη τοῦ ἀγαθοῦ, εἴπερ ἦν μία ἰδέα. Ἀλλὰ τοῦτο οὐκ ἔστιν· οὐκ ἄρα μία ἐστὶν ἰδέα τοῦ ἀγαθοῦ. Ὅτι πολλαὶ ἐπιστῆμαι τοῦ ἀγαθοῦ, φανερόν. Οὐ μόνον γὰρ τῶν ἐν διαφόροις ὄντων κατηγορίαις οὐκ ἔστι μία ἐπιστήμη, ἀλλὰ καὶ τῶν ὑπὸ μίαν. Οἷον ἐν τῷ πότε, τὸ ἀγαθὸν ὁ καιρός ἐστιν. Οὗτος δὴ ὁ καιρὸς,

nam eſſe illius ideam.

Ariſtot. l.1. c.6.

Prius vero in bono reperiri & poſterius, clarum eſt. Etenim & in Subſtantia bonum eſt, ſicut mens, Deus. Et in Qualitate, ut virtus. Et in eo quod eſt ſecundum quid, ut utile. Et in Quantitate, ut mediocre. Et in Ubi, ut diæta: diæta n. locus dicitur, in quo voluptatis cauſa vivimus. Et in Quando, ut opportunitas: opportunitas autem ſingulis in rebus tempus idoneum vocatur. Et ſimiliter in aliis. In his vero prius eſt & poſterius. Eo enim quod ſecundum quid eſt, prior eſt ſubſtantia. Tum quod hæc per ſe ſubſiſtit, illud in alio: tum quod hæc non ad aliud refertur, illud vero alterius reſpectu dicitur: nec enim aliud videtur, quam cognatum quid ejus quod eſt, & accidens.

Ἔτι, ἐπεὶ τἀγαθὸν, &c.

Præterea cum totidem modis dicatur bonum, quot modis illud dicitur quod eſt: illud autem quod eſt dicatur pluimis: plurimis quoque modis neceſſe eſt dici bonum: quare nec commune nec univerſale erit bonum, nec unum: non enim in omnibus, ut dictum eſt, prædicamentis eſſe poſſet, ſed in uno tantum.

Ἔτι δ' ἐπεὶ τῶν κατὰ μίαν ἰδέαν, &c.

Deinde cum unius ideæ una ſit ſcientia, una quoque boni eſſet ſcientia, ſi una eſſet idea. Atqui hoc non eſt: ergo nec una boni eſt idea. Multas autem boni eſſe ſcientias, manifeſtum eſt. Non tantum enim eorum, quæ in diverſis prædicamentis ſunt, non una eſt ſcientia, ſed nec eorum quæ in uno. Ut exempli gratia, in prædicamento

Ariſto. l. 1. c. 6.

Quando, bonum eſt occaſio. Hæc occaſio & in bello & in morbo eſt: non ejuſdem tamen ſcientiæ. Medicus enim occaſionem quæ in morbo, imperator eam novit quæ ſpectanda eſt in bello. Rurſus mediocre, quod in prædicamento eſt quantitatis, in alimento eſt, & in laboribus. Alterumque gymnaſtice, alterum novit medicina.

Ἀπορήσειε δ' ἄν τις, &c.

Præterea, cum hominis & ipſius hominis una eademque ſit definitio, ſicut equi & ipſius equi, id eſt, ideæ equi (ſi enim alia eſſet, quo modo poſſet ipſius idea conſiſtere?) ſequitur nihil differre hominem, qua homo eſt, ab eo quem ipſum vocant hominem, hoc eſt, ab idea hominis: eodemque modo in reliquis. Itaque & bonum, qua eſt bonum, nihil differt ab ipſo bono. Satis enim manifeſtum eſt differre non poſſe, ut bona, quia idea boni æterna eſt, alterum vero non eſt æternum. Sicut non differt quod diu album eſt, ab eo quod ad parvum tempus eſt album. Ex quo ſequitur, nec alterius entis eſſe ideam ſupra ipſum, neque boni. Probabilius autem de bono loqui videntur Pythagorici: qui unum quoque in ſuo quem ſtatuebant bonorum recenſebant ordine. Quos ſecutus eſſe Speuſippus videtur. Ipſe vero bonorum ordo quem ſtatuebant, talis erat:

1. Finitum. 2. Impar. 3. Unum. 4. Dextrum. 5. Maſculum. 6. Rectum. 7. Lumen. 8. Quadratum. 9. Id quod quieſcit. 10. Bonum.

καὶ ἐν πολέμῳ ἐστὶ, καὶ ἐν νόσῳ, οὐ τῆς αὐτῆς δ' ἐπιστήμης· ἀλλ' ὁ μὲν ἰατρικὸς, τὸν ἐν τῇ νόσῳ καιρὸν, ὁ δὲ στρατηγικὸς τὸν ἐν τῷ πολέμῳ γινώσκει. Καὶ τὸ σύμμετρον ὃ ἐστι τοῦ ποσοῦ, καὶ ἐν τροφῇ καὶ ἐν πόνοις. Καὶ τὸ μὲν, γυμναστικῆς, τὸ δ' ἰατρικῆς εἰδέναι.

Ἔτι ἐπεὶ ἐν τῷ ἀνθρώπῳ καὶ ἐν τῷ αὐτοανθρώπῳ εἷς καὶ ὁ αὐτὸς ὁρισμός ἐστι, καὶ ἐν τῷ ἵππῳ καὶ ἐν τῷ αὐτοΐππῳ, τῇ ἰδέᾳ δηλονότι· εἰ γὰρ διάφορος, πῶς ἂν εἴη αὐτοῦ ἰδέα; φανερὸν ὅτι οὐδὲν διαφέρει ὁ ἄνθρωπος ἢ ἄνθρωπος, τοῦ αὐτοανθρώπου, καὶ ἐπὶ πάντων ὁμοίως· ὥστε καὶ τὸ ἀγαθὸν ἢ ἀγαθὸν οὐδὲν διαφέρει τοῦ αὐτοαγαθοῦ. Φανερὸν γὰρ, ὅτι οὐ διοίσουσιν ὡς ἀγαθὰ, ὅτι τὸ μὲν αὐτοαγαθὸν ἀΐδιον, τὸ δ', οὔ· ὥσπερ οὐδὲ τὸ πολυχρόνιον λευκὸν τοῦ ἐφημέρου λευκότερον. Οὐκ ἄρα οὔτε ἄλλου τινὸς τῶν ὄντων ἰδέα ἐστὶν ὑπὲρ αὐτὸ, οὔτε τοῦ ἀγαθοῦ. Οἱ δὲ Πυθαγόρειοι, πιθανώτερον ἐοίκασι λέγειν περὶ τοῦ ἀγαθοῦ. Τὸ γὰρ ἓν ἐν ᾗ ἔλεγον τοῦ ἀγαθοῦ ἔταξαν συστοιχίᾳ, οἷς δὴ καὶ Σπεύσιππος ἀκολουθῆσαι δοκεῖ. Ἡ δὲ συστοιχία τῶν ἀγαθῶν, ἣν ἔλεγον, αὕτη· τὸ πέρας, τὸ περιττὸν, τὸ ἓν, τὸ δεξιὸν, τὸ ἄρρεν, τὸ εὐθὺ, τὸ φῶς, τὸ τετράγωνον, τὸ ἠρεμοῦν, τὸ ἀγαθὸν· ᾗ τινὶ καὶ ἑτέραν ἐποίουν ἀντικειμένην. Τὸ ἄπειρον, τὸ ἄρτιον, τὸ πλῆθος, τὸ ἀριστερὸν, τὸ θῆλυ,

Cui alium rurſus opponebant.

1. Infinitum. 2. Par. 3. Pluralitas. 4. Siniſtrum. 5. Fæ-

τὸ καμπύλον, τὸ σκότος, τὸ ἑτερόμηκες, τὸ κινούμενον, τὸ κακόν.

mineum. 6. Curvum. 7. Tenebræ. 8. Id quod altero latere eſt porrectum. 9. Id quod movetur. 10. Malū. Ariſtot. l. 1. c. 6.

ΚΕΦ. θ'.

Ὅτι οὐκ ἔστιν ἰδέα μία τῶν καθ' ἑαυτὰ ἀγαθῶν.

Ἀλλὰ περὶ μὲν τούτων ἄλλος ἔσται λόγος· ἐροῦμεν δὲ ἔτι περὶ τοῦ ἀγαθοῦ ἀκριβέστερον. Τὰ γὰρ εἰρημένα δεῖται τινὸς ἐξετάσεως καὶ ἀκριβείας, διὰ τὸ μὴ περὶ παντὸς ἀγαθοῦ κατὰ μέρος εἰρῆσθαι τοὺς λόγους. Νῦν δὲ διελόντες, ἀκριβέστερον ποιήσομεν τὸν λόγον. Διπλῶς τοίνυν λέγεται τὸ ἀγαθόν· τὰ μὲν γὰρ, δι' ἑαυτά εἰσιν ἀγαθὰ, καὶ δι' ἑαυτὰ ζητοῦνται, καὶ ἀγαθὰ λέγονται, καὶ ἀγαπῶνται· τὰ δὲ, οὐ δι' ἑαυτὰ, ἀλλὰ δι' ἐκεῖνα· διώκονται γὰρ, ὅτι φυλακτικά εἰσι τῶν δι' ἑαυτὰ ἀγαθῶν, ἢ ποιητικὰ ἢ τῶν ἐναντίων κωλυτικά. Καὶ καθ' ἑαυτὰ μὲν ἀγαθὰ, ὑγίεια, καὶ ἀρετὴ, τὸ φρονεῖν, τὸ ὁρᾶν. Οὐ δι' ἑαυτὰ δὲ, ἀσκήσεις ἃ πρὸς ἀρετὴν φέρει, γυμνάσια, φαρμακεῖαι, ἃ τῆς ὑγιείας ἕνεκα ζητοῦνται. Ταῦτα δὲ καὶ ὠφέλιμα καλοῦνται.

Διελόντες οὖν ἀπὸ τῶν ὠφελίμων τὰ ἀγαθὰ, ἃ καθ' ἑαυτά εἰσι, σκεψώμεθα εἰ μία ἰδέα τούτων ἐστί· φαίνεται τοίνυν μάταιον εἶναι, ἰδέαν λέγειν τῶν καθ' ἑαυτὰ ἀγαθῶν. Τί γὰρ ἂν ἢ τούτων καὶ διαφέροι, εἴπερ καὶ ταῦ-

CAP. IX.

Bonorum per ſe non eſſe unam ideam.

Verum de his alias dicendi erit locus. Nunc de bono etiam accuratius agamus. Ea enim quæ dicta ſunt, diligentius tum examinanda tum explicanda erunt: quia nondum de omni ſigillatim bono diximus. Quare adhibita diviſione, accuratius in hac diſputatione pergemus. Duobus ergo modis dicitur bonum. Alia enim per ſe bona ſunt, quæ & per ſe petuntur, & per ſe hoc nomen habent, & per ſe amantur: alia autem contra, non per ſe ſed per illa. Quia enim reliqua quæ per ſe bona ſunt, vel conſervant vel efficiunt, vel contraria depellunt, propterea expetuntur. Et per ſe quidem bona ſunt, ſanitas & virtus, prudentem eſſe, videre. Non per ſe, ut exercitationes, ſicut quæ virtutis cauſa ſuſcipiuntur gymnaſia, & quæ valetudinis cauſa adhibentur remedia. Talia enim utilia quoque eadem ratione dicuntur.

Τοῖς δὲ λεχθεῖσιν ἀμφισβήτησις, &c.

Quare primum ab iis quæ utilia dicuntur, bona quæ per ſe ſunt diſtinguamus: ac deinde an una aliqua eorum ſit idea videamus. Videtur ergo vanum eſſe, aliquā bonorum, quæ per ſe ſunt, ideam ponere. Quid enim inter hanc & illam

Χωρίσαντες οὖν, &c.

Ariſtot. l.1. c.6.

illam interet, ſi & illa per ſe ſunt, ſicut hæc eſt? Etenim prudentem eſſe & videre, item voluptates quædam pudicæ & honores, licet propter alia petantur, nihilominus ſine illis tamen ipſa per ſe & eligenda & expetenda ſunt. Itaque reſpectu illius per ſe bona ſunt, nec ſoli id ideæ adſcribendum eſt.

Εἰ δὲ ϗ ταῦτά ἐϛι, &c.

Præterea ſi una bonorum quæ per ſe ſunt eſt idea, eadem omnibus competit definitio, quemadmodum eadem albedinis in nive & in cerusſa eſt ratio. Quod non fit. Prudentiæ enim & voluptatis, qua bona ſunt, diverſa eſt definitio. Aliud enim voluptatis, aliud prudentiæ bonum eſt.

τα καθ' ἑαυτά εἰσιν ἀγαθὰ, καθάπερ ἐκείνη. Τὸ γὰρ φρονεῖν, ϗ ὁρᾷν, ϗ ἡδοναί τινες αἱ σώφρονες, ϗ τιμαὶ, εἰ ϗ δι' ἄλλα ζητοῦνται, ἀλλ' ὅμως ϗ χωρὶς τῆς ἐκείνων περιθήκης αὐτὰ δι' ἑαυτὰ, ϗ αἱρετά εἰσι ϗ διωκτά. Ὥστε κατὰ τοῦτο καθ' ἑαυτὰ ἀγαθά εἰσι, ϗ οὐ μόνῃ τῇ ἰδέᾳ τοῦτο δώσομεν.

Ἔτι εἰ ἔστιν ἰδέα μία τῶν καθ' ἑαυτὰ ἀγαθῶν, ὁ αὐτὸς ὁρισμὸς τοῦ ἀγαθοῦ ἐφαρμόσει πᾶσι. Καθάπερ ὁ αὐτὸς ἐφαρμόζει λόγος ὁ τῆς λευκότητος ἔν τε χιόνι ϗ ψιμμυθίῳ· ἀλλ' οὐκ ἔστι. Φρονήσεως γὰρ ϗ ἡδονῆς, καθ' ὃ ἀγαθὰ, διάφοροι οἱ ὁρισμοί. Ἄλλο γὰρ τὸ τῆς ἡδονῆς ἀγαθὸν, ϗ ἄλλο τὸ τῆς φρονήσεως.

CAP. X.

Bona ſecundum proportionem, uno appellari nomine: deinde ideæ ipſius cognitionem nihil prodeſſe ethico.

Cum ergo quemadmodum dictum eſt, bona non univoce dicantur (non enim eandem definitionem habent) videndum eſt quomodo dicantur. Aut enim univoce dicuntur, aut ut ea quæ ab uno aut ad unum tendunt, aut quæ ſecundum proportionem ſumuntur. Ut, exempli gratia, cum mentem oculum vocamus: quia eandem ad animam, quam oculus ad corpus, rationem habet. Videntur autem eodem nomine ſecundum proportionem bona dici. Nam ut animum bonum dicimus, ita &

ΚΕΦ. ι.

Ὅτι τὰ ἀγαθὰ κατ' ἀναλογίαν ἑνὶ ὀνόματι λέγονται· ϗ ὅτι οὐδεμία βοήθεια τῷ ἠθικῷ ἐστὶ τοῦ τὴν ἰδέαν αὐτὸν εἰδέναι.

Ἐπεὶ δὲ τὰ ἀγαθὰ, καθὼς εἴρηται, οὐ συνωνύμως λέγονται· οὐ γὰρ τὸν αὐτὸν ἔχουσιν ὁρισμόν· ζητητέον πῶς λέγονται. Ἢ γὰρ ὁμωνύμως. ἢ ὡς τὰ ἀφ' ἑνὸς, ἢ πρὸς ἓν συντελοῦντα, ἢ κατὰ ἀναλογίαν· ὥσπερ λέγεται ὁ νοῦς ὀφθαλμὸς, ὅτι τὸν αὐτὸν λόγον ἔχει πρὸς τὴν ψυχὴν, ὃν ὁ ὀφθαλμὸς πρὸς τὸ σῶμα. Δοκεῖ δὲ τὰ ἀγαθὰ, κατὰ ἀναλογίαν ἑνὶ ὀνόματι λέγεσθαι. Καθάπερ γὰρ ψυχὴν ἀγαθὴν λέγομεν, οὕτω καὶ

νοῦν,

...ν, καὶ τόπον· ἔχει γὰρ ἀνάλογον· καὶ ὅπερ ἐν ψυχῇ ἀρετὴ, τοῦτο ἐν χρόνῳ καιρὸς, καὶ ἐν τόπῳ δίαιτα, καὶ ἐν ποσῷ συμμετρία. Ἀλλὰ ταῦτα μὲν ἀφετέον νῦν· ἐξακριβοῦν γὰρ περὶ αὐτῶν ἄλλῃ ἂν φιλοσοφίᾳ οἰκειότερον· οὐ γὰρ τῇ Ἠθικῇ ταῦτα προσήκει. Ὁμοίως δὲ καὶ τὸ περὶ τῆς ἰδέας λέγειν καθόλου· θεολογικοῦ γάρ τινος καὶ τοῦτο, καὶ οὐδὲν συντελεῖ τῷ ζητοῦντι τὸ πολιτικὸν ἀγαθόν.

Ἡ γὰρ ἰδέα τοῦ ἀγαθοῦ εἰ καὶ ἔστιν, ἥ τις κοινὴ τῶν ἄλλων καὶ καθόλου κατηγορεῖται καὶ χωριστὸν τῶν ἄλλων καὶ καθ' ἑαυτὸ ὑφεστὸς, δῆλον ὡς οὐκ ἂν εἴη δυνατὸν ἀνθρώπῳ πρᾶξαι τοῦτο ἢ κτήσασθαι· ἡμῖν δὲ περὶ τοιούτου ἀγαθοῦ ὁ λόγος. Ἐν αὐτῷ γὰρ καὶ τὴν εὐδαιμονίαν συστῆναι δυνατόν· εὐδαιμονεῖ γάρ τις ἐν ᾧ πράξει ἢ ἐν ᾧ ἐκτήσατο. Ὥστε οὐκ ἂν εἴη προσῆκον ἡμῖν περὶ τοῦ μὴ τοιούτου λέγειν. Τάχα δὲ τῷ δόξειεν ἂν τοὐναντίον, βέλτιον εἶναι μᾶλλον καὶ συμφορώτερον εἰς τὸ πρᾶξαι καὶ κτήσασθαι τὰ κτητὰ καὶ πρακτὰ ἀγαθὰ, τὸ εἰδέναι αὐτὴν τὴν ἰδέαν τοῦ ἀγαθοῦ. καθάπερ γὰρ παραδείγματι χρώμενοι ταύτῃ γνωσόμεθα, ποῖα τῶν πρακτῶν καὶ κτητῶν εἰσὶν ἡμῖν ἀγαθά· κἂν εἰδῶμεν, ἐπιτευξόμεθα αὐτῶν. Πιθανότητα μὲν οὖν ἔχει τινὰ οὗτος ὁ λόγος· ἔοικε δὲ ταῖς ἐπιστήμαις διαφωνεῖν· πᾶσαι γὰρ αἱ ἐπιστῆμαι ἀγαθοῦ τινὸς ἐφιέμεναι καὶ τὸ ἐνδεὲς ἀνα-

& tempus & locum; proportionem enim habent. Et quod in anima eſt virtus, hoc in tempore occaſio, in loco diæta, in quantitate eſt ſymmetria. Sed hæc nunc mittamus: quia alii potius philoſophiæ accurata eorum convenit tractatio: nec enim eſt Ethicæ. Sicut & in univerſum de ideis agere, quod theologum decet potius: neq; quicquam illi conferre videtur, qui civile bonum quærit. Ariſtot. l. 1. c. 6

Etenim, ut demus boni ideam eſſe, quæ communiter de aliis & univerſaliter prædicetur, quæque ab aliis ſeparari, & per ſe poſſit ſubſiſtere, hanc tamen neque actioni accommodari humanæ, neque acquiri poſſe, manifeſtum erit. Nos vero de tali jam loquimur bono. In eo enim poteſt conſiſtere felicitas. Etenim in eo quod agere quiſquam aut habere poteſt, in eodem felix eſt. Quare nec inſtituti noſtri eſt de alio bono loqui. Et tamen contra judicare poſſet aliquis: qui nimirum arbitrabitur, ad agenda vel habenda ea quæ aut agi à nobis aut haberi poſſunt bona, magis utile eſſe, ipſam boni ideam noviſſe. Quæ quidem ad intelligendum, quænam ex illis bonis, bona ſint nobis, normæ inſtar eſt futura: quod cum ſciemus, facile ea conſequemur. Habet ergo aliquid probabile hoc argumentum: longe tamen abire à ſcientiis videtur. Nulla quippe eſt quæ non bonum aliquod petat ſcientia, & hoc quod deeſt ſibi ſupſupplere nitatur: ſicut medi-

Εἰ γὰρ καὶ ἔστιν ἕν τι, &c.

Aristot. l. 1. c. 7. cina, quod ad ſanitatem, gymnaſtice quod ad robur deeſt aut ad fortitudinem. Et tamen quamvis ita in boni inveſtigatione occupentur, nihilominus boni hujus quod univerſale dicimus ſcientiam prætermittunt quod neutiquam facerent, ſi aliquod ſibi in eo ſubſidium putarent. Nec enim veriſimile eſt, aut ignorari ab omnibus artificibus bonum tantum, aut non quæri. Ex quo etiam ſequitur, vanam eſſe hanc ideam. Ut omittam non facile dici poſſe, quid aut textori proſit in arte ſua, aut fabro, ſi univerſale illud bonum, quod ipſum bonum vocant, cognoſcat: aut quo modo medicinæ peritior medicus, aut rei militaris evadat imperator, qui ideam contemplatus fuerit boni. Cum potiſſimum non id quod univerſale eſt ſpectet artifex: ut, exempli cauſa, medicus. Non enim univerſalem ſpectat ſanitatem, ſed hominis: & ne univerſaliter quidem hominis, ſed individui. In ſingulis enim medicinam exercet.

πληρῶσαι ἐπιζητοῦσιν· ὥσπερ ἰατρικὴ μὲν τὸ ἐλλεῖπον τῆς ὑγιείας, γυμναστικὴ δὲ τῆς ἰσχύος καὶ τῆς ἀνδρείας. Οὕτω δ' ἔχουσαι, πρὸς τὴν ζήτησιν τοῦ ἀγαθοῦ, τοῦ καθόλου τούτου ἀγαθοῦ τὴν γνῶσιν παραλιμπάνουσιν· οὐκ ἂν δὲ παράλιμπανον, εἰ βοήθειά τις ἦν αὐταῖς ἀπ' αὐτοῦ. Βοήθημα γὰρ τηλικοῦτον ἅπαντας ἀγνοεῖν τοὺς τεχνίτας καὶ μὴ ἐπιζητεῖν, οὐκ εὔλογον. Ὥστε καὶ διὰ τοῦτο ματαίαν τινὰ τὴν ἰδέαν εἶναι. Ἄπορον καὶ τί ὠφεληθήσεται ὑφάντης ἢ τέκτων πρὸς τὴν αὑτοῦ τέχνην, εἰ γινώσκει αὐτὸ τὸ ἀγαθὸν τὸ καθόλου, ἢ ἰατρὸς πῶς ἰατρικώτερος ἔσται, ἢ στρατηγὸς πῶς ἂν γένοιτο στρατηγικώτερος, ὁ τὴν ἰδέαν αὐτὴν τοῦ ἀγαθοῦ τεθεαμένος· οὐ γὰρ τὸ καθόλου ὁ τεχνίτης σκοπεῖ, ὥσπερ ὁ ἰατρός. Οὐ γὰρ τὴν καθόλου ὑγίειαν σκοπεῖν, ἀλλὰ τὴν τοῦ ἀνθρώπου· μᾶλλον δέ, οὐδὲ τοῦ καθόλου ἀνθρώπου, ἀλλὰ τὴν τοῦ ἀτόμου· καθ' ἕκαστον γὰρ ἰατρεύει.

CAP. XI.

Perfectum eſſe & per ſe ſufficiens civilis ſcientiæ bonum.

Cap 7. Πάλιν δ' ἐπανέλθωμεν, &c. ET de his quidem hactenus. Quare rurſus ad priorem redeamus quæſtionem: ut videamus, quis ſit finis ille quem civilis ſibi proponit ſcientia. Aliud enim in alia arte bo-

ΚΕΦ. ια.

Ὅτι τέλειόν ἐστιν ἀγαθὸν τὸ ζητούμενον τῇ πολιτικῇ τέλος, καὶ αὔταρκες.

ΚΑὶ περὶ μὲν τούτων ἐπὶ τοσοῦτον εἰρήσθω. Πάλιν δ' ἐπανέλθωμεν ἐπὶ τὸ ζητούμενον, καὶ σκοπῶμεν τί ποτ' ἂν εἴη· λέγω δή, τὸ ζητούμενον τῇ πολιτικῇ τέλος. Ἔστι μὲν γὰρ ἄλλο ἐν ἄλλῃ

ἄλλη τέχνη ἀγαθόν· ἄλλο γὰρ ἐν ἰατρικῇ, καὶ ἄλλο ἐν στρατηγικῇ, καὶ ταῖς λοιπαῖς ὁμοίως· ἑκάστῃ δὲ ἀγαθὸν, τὸ τέλος ἐστὶν, οὗ ἕνεκα τὰ ἄλλα ποιεῖ. Ὥσπερ ἐν ἰατρικῇ μὲν, ὑγίεια τὸ ἀγαθὸν, καὶ ἐν στρατηγικῇ, νίκη, καὶ ἐν οἰκοδομικῇ, οἰκία. Ἐπεὶ τοίνυν ἐν πάσῃ πράξει καὶ τέχνῃ, ἐκεῖνό ἐστι τὸ ἀγαθὸν, οὗ ἕνεκα τὰ ἄλλα γίνεται, τὸ τέλος δηλονότι· καὶ καθόλου εἰ εὑρήσομεν τὸ τέλος πασῶν τῶν πράξεων, οὗ ἕνεκα πάσας ποιοῦμεν, τοῦτο ἂν εἴη τὸ ἐν ἁπάσαις ταῖς πράξεσιν ἀγαθόν· καὶ καθάπερ ἰατρικὸν ἀγαθὸν τὸ τέλος ἐστὶ τῆς ἰατρικῆς, καὶ στρατηγικὸν, τὸ τέλος τῆς στρατηγικῆς· οὕτω καὶ πρακτικόν τι ἔσται ἀγαθὸν, τὸ τέλος πασῶν τῶν πράξεων. Εἰ δὲ καὶ μὴ ἓν ἀλλὰ πλείω εἴη, ταῦτα ἂν εἴη τὰ πρακτὰ ἀγαθά. Τοῦτο δὲ τί ἐστι, πειρατέον ἔτι διασαφῆσαι· οὔπω γάρ τι περὶ αὐτοῦ σαφὲς εἴπομεν, ἀλλ᾽ ἔτι ζητοῦμεν τί ἐστι· μεταβαίνων γὰρ ὁ λόγος οὐδὲν ἤνυσε πλέον, ἀλλ᾽ εἰς τὸ αὐτὸ ἀφίκετο, ὃ καὶ ἐν τοῖς προοιμίοις ἐλέγομεν, ὅτι τὸ πάσης πράξεως τέλος, τοῦτο ἂν εἴη τὸ ἀγαθὸν καὶ τὸ ἄριστον. Ἐπεὶ τοίνυν πολλὰ φαίνεται τῶν πράξεων τὰ τέλη, τούτων δέ τινα οὐδ᾽ ἑαυτὰ αἱρούμεθα, ἀλλὰ διὰ ἕτερα τέλη ἄλλων ἐπιστημῶν τῶν ἀρχιτεκτονικῶν, καθὼς εἴρηται, καί εἰσι χρήσιμα πρὸς ἐκεῖνα, ὥσπερ ὁ πλοῦτος, ὃ τοῦ χρηματιστοῦ ἐστι τέλος, χρησιμεύει τῷ πολιτικῷ εἰς τὸ ἴ

num eſt. Aliud in medicina quippe, aliud in militari ſcientia: & ſimiliter in reliquis. Arſtot. l. 1. c. 7. Bonum autem, finis ipſe eſt in ſingulis, cujus cauſa facit reliqua. Sicut in medica arte bonum eſt ſanitas, in militari victoria, in architectura domus. Cum in omni ergo tum actione tum arte, cujus cauſa fiunt reliqua, illud ſit bonum: ipſe finis ſcilicet etiam, ſi omnium in univerſum actionum finem illum invenerimus, cujus cauſa actiones illæ fiunt, illud in omnibus actionibus bonum erit. Et quemadmodum bonum medicum finis medicinæ, & imperatorium itidem eſt imperatoriæ: ita & in actione rerum bonum erit aliquod; ſingularum nempe finis actionum. Qui ſi non unus eſt ſed plures, utique hæc quæ ſub actionem cadunt, erunt bona. Quis autem finis ſit ille oſtendendum eſt pluribus: quia nihil hactenus de eo definivimus, ſed adhuc quid ſit quærimus. Neque enim quidquam effecit ſuperior, quæ eodem ſemper recidebat, inveſtigatio, nec aliud probavit, quam actionis, ut in procemio diximus, cujuſque finem hoc eſſe, quod bonum dicimus & optimum. Cum ergo multi actionum ſint fines; horum autem quidem non per ſe, ſed ob alios aliarum ſcientiarum fines, qui principes vocantur, ut ſupra dictum eſt, petantur, ac propterea utiles putentur, ſicut divitiæ, qui hominis quæſtui intenti finis eſt, homini politico ad finem ſuum

poſſunt

Ariſtot. l. 1. c. 7.

poſſunt conducere; & tibia quæ finis eſt artificis, nihilominus tibicini ad inflandum conducit, & ſimiliter inſtrumenta reliqua: cum ergo, inquam, fines quidam ſint, qui per ſe non ſint boni, ſequetur nec omnes fines perfectos eſſe. Illud vero cujus cauſa omnia facimus, perfectum eſſe oportet, bonum: quare nec inter illos fines erit, qui non ſunt perfecti. Quod ſi multi ſunt perfecti, is qui perfectiſſimus erit: ſin unus, hoc jam illud erit, quod in omnibus humanis actionibus quærimus bonum. Jam id certe quod per ſe petitur, eo quod ob aliud, dicimus perfectius. Rurſuſque cum talia ſint bona quædam, ut & per ſe & ob aliud petantur, ſicut valere & prudentem eſſe, horum perfectiora ſunt quæ per ſe ſemper, nunquam ob aliud petuntur. Ac hujuſmodi quidem bonum, non alterius tantum reſpectu, ſed ſimpliciter & abſolute eſt perfectum. Tale autem maxime videtur felicitas. Hanc enim ſemper per ſe petimus: honorem contra, voluptatem ac prudentiam cæteraſque per ſe quidem petimus virtutes (quamvis enim poſſeſſionem earum nihil aliud ſequatur, tamen ea ipſa ut ſunt, petimus) nihilominus tamen & felicitatis cauſa petuntur: quod per ea felices futuros nos judicamus. Felicitatem vero nec harum, nec cujuſquam rei cauſa quiſquam petit; ſed per ſe tantum. Ex quo ſequitur, felicitatem eſſe illud quod humanæ ſibi actiones proponunt bonum.

διον τέλος, καὶ ὁ αὐλὸς, τέλος μὲν τοῦ αὐλοποιοῦ, χρήσιμον δὲ τῷ αὐλητῇ διὰ τὸ αὐλεῖν, ὁμοίως δὲ καὶ πάντα τὰ ὄργανα· ἐπεὶ τοίνυν εἰσί τινα τῶν τελῶν μὴ δι' ἑαυτὰ ἀγαθὰ, οὐκ ἂν εἴη πάντα τὰ τέλη τέλεια. Τὸ δὲ ἀγαθὸν, οὗ ἕνεκα πάντα πράττομεν, τέλειον δεῖ εἶναι· ὥστε οὐκ ἂν εἴη ἐν τῶν τοιούτων τελῶν, ἅπερ ἀτελῆ εἰσιν. Ἀλλ' εἰ μὲν πολλά εἰσι τὰ τέλεια, τὸ τελειότατον τούτων· εἰ δὲ ἕν, ἐκεῖνό ἐστι τὸ ζητούμενον ἐν πάσαις ταῖς ἀνθρωπίναις πράξεσιν ἀγαθόν. Καὶ τὸ μὲν δι' ἑαυτὸ ζητούμενον, τοῦ δι' ἄλλο ζητουμένου τελειότερον λέγομεν· πάλιν δὲ ἐπεί τινα τῶν ἀγαθῶν καὶ δι' ἑαυτὰ καὶ δι' ἄλλα ζητοῦνται, ὥσπερ τὸ ὑγιαίνειν καὶ τὸ φρονεῖν, τελειότερον τούτων ἐστὶν, ὅπερ δι' ἑαυτὸ μόνον ζητεῖται, οὐδέποτε δὲ δι' ἄλλο· καὶ οὐ μόνον κατὰ σύγκρισιν τελειότερον ἄλλου, ἀλλὰ καὶ ἁπλῶς τέλειον ἀγαθὸν τοῦτό ἐστι. Τοιοῦτον δὲ ἡ εὐδαιμονία μάλιστα εἶναι δοκεῖ· ταύτην γὰρ αἱρούμεθα ἀεὶ δι' ἑαυτήν· τιμὴν δὲ καὶ ἡδονὴν καὶ φρόνησιν, καὶ πᾶσαν ἀρετὴν αἱρούμεθα μὲν δι' ἑαυτά· μηδενὸς γὰρ ἀποβαίνοντος ἄλλου ἀπὸ τῆς κτήσεως αὐτῶν, ἑλοίμεθα ἂν ἕκαστον αὐτῶν· αἱρούμεθα δὲ καὶ τῆς εὐδαιμονίας χάριν, διὰ τούτων ὑπολαμβάνοντες εὐδαιμονήσειν. Τὴν δὲ εὐδαιμονίαν οὐδεὶς αἱρεῖται διὰ ταῦτα, ἢ ὅλως δι' ἄλλο· ἀλλὰ μόνον δι' ἑαυτήν· ὥστε ἡ εὐδαιμονία ἂν εἴη τὸ ζητούμενον παρὰ τῶν ἀνθρωπίνων πράξεων ἀγαθόν....

Ἔτι δὲ καὶ ἐκεῖθεν δῆλον· καὶ γὰρ τὸ τέλειον ἀγαθὸν ὃ ζητεῖται, αὔταρκες εἶναι δοκεῖ. Αὔταρκες δὲ, ὃ ἀρκεῖ οὐ μόνον ἑνί τινι ζῶντι βίον μονώτην, ἀλλὰ καὶ γονεῦσι καὶ τέκνοις καὶ γυναικὶ, καὶ ὅλως τοῖς φίλοις καὶ πολίταις. Ἐπεὶ καὶ τοῦ ἐν τούτοις ἀγαθοῦ ὁ ἄνθρωπος χρήσει, φύσει πολιτικὸς ὢν καὶ κοινωνικός. Καὶ ὅλως αὔταρκές ἐστιν, ὃ μονούμενον, ἄρκιον καὶ αἱρετὸν ποιεῖ τὸν βίον καὶ μηδενὸς ἐνδεᾶ· τοιοῦτον δὲ τὴν εὐδαιμονίαν οἰόμεθα εἶναι. Φαίνεται ἄρα τὸ ζητούμενον ἀγαθὸν, τὴν εὐδαιμονίαν εἶναι· ἔτι τὴν εὐδαιμονίαν οὐ λέγομεν συναριθμεῖσθαι τοῖς ἄλλοις ἀγαθοῖς· τῶν γὰρ αἱρετῶν ἡγούμεθα εἶναι τὸ ἄκρον· καὶ εἰ σύστοιχον αὐτὴν τοῖς ἄλλοις ποιήσομεν ἀγαθοῖς, φανερὸν ὅτι, εἰ προσθήσομεν τι τῶν ἄλλων αὐτῇ, αἱρετωτέραν ποιήσομεν, καὶ οὕτως οὐκ ἂν εἴη αὐτὴ τὸ ἄκρον τῶν αἱρετῶν· τὸ γὰρ προστιθέμενον τῶν ἀγαθῶν μετὰ τῆς εὐδαιμονίας, ἀγαθόν τι ἀποτελέσει τῆς εὐδαιμονίας αἱρετώτερον· τοιοῦτον δὲ καὶ τὸ ζητούμενον ἀγαθόν ἐστι, οὐ συναριθμούμενον τοῖς ἄλλοις καὶ τῶν αἱρετῶν ἄκρον ὑπάρχον· τέλειον γάρ ἐστι· τὸ δὲ τέλειον, αἱρετώτατον. ἀεὶ γὰρ τὸ τελειότερον ἀγαθὸν μᾶλλον αἱρούμεθα· ἡ ἄρα εὐδαιμονία ἐστὶ τὸ ζητούμενον τέλος. Ἔχει δέ τινα ἀπορίαν ὁ περὶ τοῦ αὐτάρκους λόγος. Εἰ γὰρ τό-

Id ipſum quoque & hinc probari poteſt: Etenim perfectum illud quod quæritur bonum, per ſe ſufficere videtur. Sufficere autem illud putatur, quod non uni tantum qui vitam degit ſolitariam ſufficiat homini, ſed quod parentibus etiam, uxori, ac liberis, cæteriſque, ut verbo abſolvam, tum amicis ſufficit tum civibus. Scimus enim bono tali, quod ad hos etiam ſe extendere poſſit, opus eſſe homini: ut qui civitati natura & communioni natus eſt. Denique ſufficiens hoc eſt, quod ſi demas reliqua, ſufficientem per ſe vitam ac eligendam facit: ita ut nullius prorſus egeat. Talem autem eſſe felicitatem putamus. Unde apparet, felicitatem illud eſſe quod quærimus bonum. Præterea felicitatem cum reliquis non dicimus numerari bonis: quia ſupremum quaſi eorum quæ expetuntur culmen eam putamus. Nam ſi inter reliqua eam collocemus bona, illud eveniet, ut ſi aliud illi adjungamus, magis quoque eam eligendam faciamus: unde ſequetur, ſummum eam bonam non fuiſſe. Illud quippe quod felicitati adjungetur, aliquod ipſa felicitate magis eligendum efficiet bonum. Hoc vero quod quærimus bonum tale eſt, ut cum aliis numerari non debeat, ſed eorum omnium, quæ eligenda diximus, ſit ſummum: eſt enim perfectum. Quod autem perfectum eſt, maxime eſt eligendum. Semper enim id quod magis perfectum bonum, magis quoque eligimus. Unde ſequitur, felicitatem eſſe hoc quod quærimus bonum. Adhuc tamen videtur quædam

Ariſtot. l. 1. c. 7. Φαίνεται δὲ καὶ ἐκ τῆς αὐταρκείας, &c.

Ariſtot. l. 1. c. 7.

quædam in hac quæſtione de ſufficientia boni reſtare difficultas. Si enim tum demum eſt ſufficiens bonum, quoties alicui cum familiaribus ſuis civibus ac amicis, rurſuſque horum familiaribus ſufficit ac propinquis, quod in infinitum abit, nuſquam conſiſtet illud quod ſufficiens dicimus bonum. Quare certus aliquis, ad quem uſque progredi hoc bonum oporteat, ſtatuendus erit amicorum terminus. Qua de re tamen alias dicemus. Nunc ſubjectum noſtrum perſequamur.

τε τὸ ἀγαθὸν αὔταρκές τινι, ὅταν αὐτῷ καὶ πᾶσι τοῖς οἰκείοις ἀρκέσῃ, καὶ τοῖς πολίταις, καὶ τοῖς φίλοις, καὶ ἔπι τοῖς οἰκείοις καὶ συγγενέσιν ἐκείνων, ἐπεὶ τοῦτο εἰς ἄπειρον προέεισιν, οὐκ ἂν συσταίη τὸ αὔταρκες ἀγαθόν. Ὥστε ἀνάγκη λαβεῖν τινὰ ὅρον τῶν οἰκείων, ἐφ' οὓς δεῖ προϊέναι τὸ ἀγαθόν. Ἀλλὰ τοῦτο μὲν εἰσαῦθις ἐπισκεπτέον· λέγωμεν δὲ περὶ τοῦ προκειμένου.

CAP. XII.

Felicitatem eſſe in ea, quæ ſecundum rationem ab homine inſtituitur, vita: functionem itẽ animi ſecundum virtutem in vita perfecta, felicitatem eſſe.

ΚΕΦ. ι

Ὅτι ἐν τῇ κατὰ λόγον τοῦ ἀνθρώπου ζωῇ ἡ εὐδαιμονία συνίσταται, καὶ ἔστι ψυχῆς ἐνέργεια κατ' ἀρετὴν ἐν βίῳ τελείῳ.

Ποθεῖται δ' ἐναργέστερον, κτλ.

SUpremum igitur illud quod à civili quæritur ſcientia bonum felicitatem dici poſſe, conſtare videtur inter omnes. Et tamen res ipſa poſcere videtur, ut planius de ea re agamus, & quid ſit ea oſtendamus. Quod fiet, ſi prius appareat, quodnam ſit opus hominis, qua eſt homo. Etenim ut artificis cujuſlibet in operatione ſua bonum eſt: tibicinis, exempli gratia, ut tibia canat: ſtatuarii, in ſtatua: eodemque in reliquis operationibus & actionibus modo, ſic & hominis in opere ſuo eſt bonum, ſi aliquod hominis opus eſt qua eſt homo. Utrum ergo fabri ac coriarii tale eſt opus aliquod & actio, hominis vero nulla,

ΤΟ μὲν οὖν λέγειν τὴν εὐδαιμονίαν αὐτὸ εἶναι τὸ ζητούμενον τῇ πολιτικῇ ἀγαθὸν τὸ ἄριστον, ὁμολογούμενόν τι φαίνεται. Ποθεῖται δὲ λεχθῆναι περὶ αὐτῆς ἐναργέστερον, τί ἐστι. Τοῦτο δὲ γένοιτ' ἄν, εἰ τὸ ἔργον εὑρήσομεν τοῦ ἀνθρώπου, καθ' ὃ ἐστὶν ἄνθρωπος. Ὥσπερ γὰρ παντὸς τεχνίτου ἀγαθὸν ἐν τῷ ἔργῳ αὐτοῦ ἐστι, καὶ αὐλητοῦ μὲν ἐν τῷ αὐλεῖν, ἀγαλματοποιοῦ δὲ ἐν τῷ ἀγάλματι, καὶ ὅλως ἐπὶ παντὸς ἔργου, καὶ πράξεως οὕτως ἔχει, οὕτω καὶ τὸ ἀνθρώπινον ἀγαθὸν ἐν τῷ ἔργῳ αὐτοῦ ἐστιν, εἴπερ τι ἔργον ἐστὶ τοῦ ἀνθρώπου, καθ' ὃ ἐστιν ἄνθρωπος. Πότερον οὖν τέκτονος μὲν καὶ σκυτέως ἐστὶν ἔργα τινὰ καὶ πράξεις, ἀνθρώπου

θρώπου δὲ οὐδέν ἐστιν, ἀλλ' ἀεργὸν πέφυκεν; ἢ καθάπερ ὀφθαλμοῦ καὶ χειρὸς καὶ ποδὸς καὶ ὅλως ἑκάστου τῶν μορίων φαίνεταί τι ἔργον, οὕτω καὶ ἀνθρώπου παρὰ πάντα ταῦτα θείη τις ἔργον τι;

Τί οὖν ἐστὶ τὸ τοῦ ἀνθρώπου ἔργον; τὸ μὲν οὖν ζῆν, κοινόν ἐστι καὶ τοῖς φυτοῖς· ἡμεῖς δὲ τὸ ἴδιον τοῦ ἀνθρώπου ζητοῦμεν· ὥστε ἐατέον τὸν περὶ τούτου λόγον. Ἐπεὶ δὲ μετὰ τὴν θρεπτικὴν καὶ αὐξητικὴν ζωὴν, τὴν φυτικὴν δηλονότι, ἑπομένη ἐστὶν ἡ αἰσθητικὴ, ἔγγιον γὰρ τῆς λογικῆς, σκεπτέον καὶ περὶ αὐτῆς. Ἀλλὰ καὶ αὕτη κοινὴ καὶ ἵππῳ καὶ βοῒ, καὶ παντὶ ζώῳ. Ὥστε οὐδὲ αὐτή ἐστι τὸ ζητούμενον ἔργον τοῦ ἀνθρώπου. Λείπεται δὴ ἡ ἐν λόγῳ πρακτικὴ ζωή. Καὶ αὐτὴ δὲ διπλῆ τις φαίνεται. Τὸ μὲν γὰρ αὐτῆς, ἄλογον μὲν, ἐπιπειθὲς δὲ καὶ ὑπεῖκον τῷ λόγῳ· τὸ δὲ λόγον ἔχον καὶ διανοούμενον. Καὶ τὸ μὲν λόγον ἔχον καὶ διανοούμενον, τάττει καὶ ῥυθμίζει· τὸ δὲ ἄλογον, τάττεται καὶ ῥυθμίζεται. Ὥστε τὸ λογικὸν κυριώτερον ἀνθρωπίνη ἐνέργειά ἐστιν, ἐπεὶ καὶ τοῦτο ἐστὶν ἐνέργεια· θάτερον γὰρ παθητικὸν λέγεται.

Ἐστι τοίνυν ἔργον ἀνθρώπου, ψυχῆς ἐνέργεια κατὰ λόγον, ὅταν διανοεῖται, ἢ οὐκ ἄνευ λόγου, ὅταν κατὰ τὸ παθητικὸν μέρος κινεῖται μετὰ λόγου. Ἐπεὶ τοίνυν ἐνέργειά ἐστιν ἀνθρωπίνη ἡ κατὰ λόγον, εἰ καὶ εὖ καὶ καλῶς γίνοιτο, οὐδὲν κωλύει ἀνθρωπίνην ἐ-
hominis, ſi recte fiat eadem &

ſed plane iners eſt hoc animal? An v. ut oculi, manus, pediſque, ſingulorumque deinceps membrorum, aliquod opus eſt, ſic & hominis peculiare ab his omnibus opus ſtatuendum eſt?

Quodnam ergo hominis opus eſt? ac primum vivere, plantis etiam commune eſt: nos autem proprium hominis opus quærimus. Qua re nihil amplius de hoc dicendum eſt. Cum vero poſt vitam eam, quæ nutriciva dicitur & auctrix, quam plantis tribuimus, ſenſitiva ſequatur, ut quæ ad rationalem accedat propius, etiam de ea agendum erit. Porro & hæc equo & bovi reliquiſque communis eſt animalibus. Quare neque hoc erit opus illud hominis, quod quærimus. Reſtat ergo vita rationalis, cum actione conjuncta. Sed & hæc duplex videtur. Altera enim pars ejus ratione quidem caret; paret tamen rationi & cedit: altera vero ratione prædita eſt, & mente utitur. Et ea quidem quæ ratione eſt prædita & mente utitur, diſponit & ordinat: quæ autem caret, diſponitur & ordinatur. Quare rationali parti magis proprie tribuitur hominis functio; ſi quidem hæc ſit functio: altera enim paſſiva vocatur.

Eſt ergo opus hominis, animi ſecundum rationem functio, quoties nimirum intelligit: aut non ſine ratione, quoties ſecundum paſſivam partem movetur cum ratione. Cum ergo ea quæ ſecundum rationem fit functio, ſit ut oportet, nihil vetabit, quin

Ariſtot. l. 1. c. 7.

Τί οὖν δή ποτ' ἂν εἴη ποτε, &c.

Εἰ δ' ἐστὶν ἔργον ἀνθρώπου, &c.

Ariſtot. l. 1. c. 7.

rurſus ſit functio hominis. Sicut nec diverſi generis citharœdi & boni citharœdi opus eſt. Citharœdi enim eſt citharam pulſare: boni autem bene. Neque enim differunt hæc genere. Sicut nec equus alius eſt genere quam bonus equus. Quod ſi hæc ita ſe habent, hominiſque opus eſſe judicamus vitam aliquam, hanc vero functionem animæ actioneſque ſecundum rationem eſſe, boni hominis opus erit, bene & decenter ſecundum rationem operari. Bene autem ſingula & decenter ſecundum proprium ſibi bonum fieri dicuntur: quare & functio hominis, ſecundum proprium ſibi bonum, recte fiet ac decenter. Bonum autem illi proprium, eſt virtus. Quare bonum hominis hoc erit, quod dico: animæ nimirum ſecundum virtutem functio.

Εἰ δὲ πλείους αἱ ἀρεταί, &c.

Quod ſi virtutes multæ ſint; quæ ſecundum optimam earum ac perfectiſſimam. Atque ita opus hominis invenimus. Bonum autem in ſingulis, finis eſt, ut jam diximus: quare & finem humanarum actionum invenimus. Finem autem humanarum actionum, eundem eſſe cum felicitate diximus. Quare & ipſam, quod propoſitum nobis erat, felicitatem invenimus.

Ἔτι δ' ἐν βίῳ τελείῳ, &c.

Præterea oportet opus hominis, ut plane ſit perfectum, in perfecta vita eſſe. Nam, ut una hirundo aut dies una ver non facit: ſic nec beatum aut felicem aliquem dies una facit, aut exiguum tempus.

Περιγεγράφθω μὲν οὖν, &c.

Quare bonum hominis, ipſa nimirum hanc in modum cir-

νέργειαν πάλιν εἶναι· οὐ γὰρ ἕτερον γένει τὸ τοῦ κιθαριστοῦ ἔργον, καὶ τὸ τοῦ σπουδαίου κιθαριστοῦ· κιθαριστοῦ μὲν γὰρ, τὸ κιθαρίζειν, σπουδαίου δὲ, τὸ εὖ κιθαρίζειν. Καὶ οὐκ εἰσὶν ἑτερογενῆ· ὥσπερ οὐδὲ ὁ ἵππος τοῦ ἀγαθοῦ ἵππου ἕτερος τῇ φύσει. Εἰ δ' οὕτω ταῦτα, ἀνθρώπου δὲ τίθεμεν ἔργον ζωήν τινα, ταύτην δὲ ψυχῆς ἐνέργειαν καὶ πράξεις μετὰ λόγου, σπουδαίου ἀνθρώπου ἂν εἴη ἔργον, τὸ εὖ καὶ καλῶς κατὰ λόγον ἐνεργεῖν. Εὖ δέ τι καὶ καλῶς γίνεται ἕκαστον, κατὰ τὸ προσῆκον αὐτῷ ἀγαθὸν, καὶ ἡ ἀνθρωπίνη ἄρα ἐνέργεια εὖ καὶ καλῶς ἔσται, κατὰ τὸ προσῆκον αὐτῷ ἀγαθόν. Τὸ δὲ προσῆκον αὐτῷ ἀγαθὸν, ἡ ἀρετή ἐστιν. Ὥστε τὸ ἀνθρώπινον ἀγαθὸν ἐκεῖνο ἂν εἴη, ψυχῆς ἐνέργεια κατ' ἀρετήν.

Εἰ δὲ πολλαὶ αἱ ἀρεταὶ, κατὰ τὴν ἀρίστην αὐτῶν καὶ τελειοτάτην. Εὕρηται ἄρα τὸ ἀνθρώπινον ἀγαθόν. Τὸ δὲ ἐν ἑκάστῳ ἀγαθὸν, τὸ τέλος ἐστὶν, ὥσπερ εἴρηται. Εὕρηται ἄρα τὸ τέλος τῶν ἀνθρωπίνων πράξεων. Τὸ δὲ τέλος τῶν ἀνθρωπίνων πράξεων ἐδείχθη ταυτὸν τῇ εὐδαιμονίᾳ· ἡ εὐδαιμονία ἄρα εὕρηται, ὅπερ ἔδει ποιῆσαι.

Ἔτι δὲ προσήκει τὸ ἀνθρώπινον ἔργον, εἰ μέλλοι πάντη τέλειον εἶναι, ἐν βίῳ εἶναι τελείῳ. μία γὰρ χελιδὼν ἔαρ οὐ ποιεῖ, οὐδὲ μία ἡμέρα. οὕτω δὲ οὐδὲ μακάριον καὶ εὐδαίμονα μία ἡμέρα οὐδὲ ὀλίγος χρόνος.

Περιγεγράφθω μὲν οὖν τὸ ἀγαθὸν τὸ ἀνθρώπινον ἡ εὐδαιμονία

τύπον

τοῦτον τὸν τρόπον, ψυχῆς ἐνέργεια κατ᾽ ἀρετὴν ἐν βίῳ τελείῳ. Δεῖ γὰρ ἴσως ὑποτυπῶσαι πρῶτον, εἶτα τελείως γράψαι καθάπερ εἰκόνα, τὸν περὶ τοῦ ἀγαθοῦ λόγον. Τὸ γὰρ τὰ καλῶς τυπωθέντα προαγαγεῖν εἰς τὸ βέλτιον καὶ διαρθρῶσαι, δόξειεν ἂν εὔλογον εἶναι καὶ τοῦ βουλομένου παντός. συντελεῖ γὰρ καὶ ὁ χρόνος· εὑρετὴς ὢν καὶ συνεργὸς ἀγαθὸς τῶν τοιούτων. Ἀπὸ τούτου γὰρ καὶ αἱ τῶν τεχνῶν ἐπιδόσεις γεγόνασι· παντὸς γὰρ προσθεῖναι τὸ ἐλλεῖπον.

cumſcribatur felicitas: ut ſit in vita perfecta ſecundum virtutem animæ functio. Ariſtot. l.1. c.7. Præſtat enim adumbrare potius, poſtea vero accuratius, ut pictores ſolent, inſtar imaginis, hanc boni quam proponimus definitionem perficere. Etenim quæ feliciter delineata ſunt, promovere porro & articulatius diſtinguere, facile videtur, & cujuſvis eſſe. Ad hujuſmodi enim ipſum quoque tempus confert aliquid: quod & invenire & optime promovere ſolet talia. Tempore enim ſemper aliquid accedit artibus: nec fere quiſquam eſt qui non ſupplere poſſit, id quod deeſt.

ΚΕΦ. ιγ΄.

Ὅτι δεῖ κατὰ τὸ προσῆκον τῇ ὕλῃ τοὺς περὶ αὐτῆς λόγους ἀπαιτεῖν. Καὶ ὅτι οὐκ ἐν ταῖς ἀρχαῖς τὸ διότι ζητήσομεν.

ΧΡὴ δὲ καὶ τῶν προειρημένων λόγων μεμνῆσθαι, καὶ τὴν ἀκρίβειαν μὴ ὁμοίως ἐν ἅπασιν ἀπαιτεῖν, ἀλλ᾽ ἐν ἑκάστοις κατὰ τὴν ὑποκειμένην ὕλην· καὶ ἐπὶ τοσοῦτον, ἐφ᾽ ὅσον οἰκεῖον τῇ μεθόδῳ. Καὶ τέκτων καὶ γεωμέτρης οὐχ ὁμοίως ἐπιζητοῦσι τὴν ὀρθήν. Ἕκαστος γὰρ, ἐφ᾽ ὅσον οἰκεῖον τῇ προκειμένῃ μεθόδῳ· ὁ μὲν γὰρ τέκτων τοσοῦτον ἐπιζητεῖ, ὅσον χρησιμεῦσαι αὐτῷ πρὸς τὸ ἔργον· ὁ δὲ γεωμέτρης αὐτὴν ὀρθὴν ζητεῖ, τί καὶ ποῖόν τι· οὐ γὰρ ἔργον τι κατασκευάσαι βούλεται δι᾽ αὐτῆς, ἀλλὰ τὸν ἀληθῆ ζητεῖ περὶ αὐτῆς λόγον. Τὸν

CAP. XIII.

Pro ratione materiæ tractationem quæ de ea inſtituitur petendam eſſe. Item cauſam rei in principiis non quæri.

SEd & illud meminiſſe oportet quod ſupra diximus, ne æque accuratam agendi rationem ubique exigamus: ſed contra prout ſubjectum ſingulorum flagitat, & in quantum tradendi poſſit ratio. Nec enim faber & geometra eodem modo rectum conſiderant angulum. Singuli enim prout rationi ſuæ convenit, hoc agunt. Faber quidem quatenus operi ſuo conducere exiſtimat: geometra vero ipſum per ſe conſiderat: hoc eſt, quid ſit, & qualis. Nec enim aliud ſubſidio ejus opus efficere cogitat: ſed veram tantum ejus rationem inquirit. Eodem quoque modo in

Ariſtot. l. 1. c. 7.

in reliquis agendum eſt, ne plura fiant quæ extra opus ſunt propoſitumque noſtrum, quam quæ eo tendunt. Si enim ex fabro rationem recti quæramus anguli, quod ad inſtitutum operis illius non facit, difficilius inveniet, quam quæ ad artis ejus ſpectant opus. Sed neque ſimiliter cauſa eſt quærenda in omnibus. Sufficit enim in quibuſdam, plane oſtendiſſe quod ſint, licet non addatur, cur ſint. Illud autem in diſciplinarum quoque fieri principiis ſolet: in quibus non cur ſint, ſed an ſint quæremus tantum. Atque hoc omnibus commune diſciplinis eſt principium. Si enim principiorum ſemper rationem quæremus, nunquam incipiemus, ſed in infinitum potius abibimus. Illud autem, quod ſint, diverſis modis in principiis fit planum: ut puta, inductione, ſenſu, conſuetudine. Inductione, ut cum dico: quæ ad idem ſunt æqualia, inter ſe ſunt æqualia. Probatio enim à particularibus, eſt inductio. Senſu vero, ut cum ignem calere, aquam frigere, demonſtrat phyſicus: quæ quidem principia ſunt ſcientiæ. Conſuetudine vero ethici cognoſcuntur principia. Nec enim fieri poteſt, ut aliquis eam quæ de virtutibus agit, recte intelligat diſciplinam, qui non prius honeſtis inſueverit actionibus: ſicut in ſexto à nobis dictum eſt capite. Quare danda eſt opera, ut ſingula convenienter naturæ ſuæ tradantur principia: tum ut ex definitione fi-

αὐτὸν δὴ τρόπον καὶ ἐν τοῖς ἄλλοις ποιητέον, ὅπως μὴ τὰ πάρεργα τῶν ἔργων πλείω γίνηται. Ἐι γὰρ τὸν τέκτονα ἀπαιτήσομεν τὸν περὶ τῆς ὀρθῆς λόγον, ὅπερ πάρεργόν ἐστιν αὐτῷ πρὸς τὸ ἔργον, πλείονος ζητήσεως αὐτοῦ δεήσει, ἢ τὰ πρὸς τὰ τέχνης ἔργα. Οὐκ ἀπαιτητέον δὲ οὐδὲ τὴν αἰτίαν ὁμοίως ἐν ἅπασιν. Ἱκανὸν γὰρ ἔν τισιν, εἰ δειχθοῖεν καλῶς ὅτι εἰσὶ, καὶ εἰ μὴ προσθήσομεν τὸ διότι. Τοῦτο δὲ συμβαίνει καὶ περὶ τὰς ἀρχὰς τῶν ἐπιστημῶν· ἐν αὐταῖς γὰρ οὐ τὸ διότι ζητήσομεν, ἀλλὰ τὸ ὅτι μόνον. Καὶ τοῦτο ἐν πάσαις ἐπιστήμαις ἀρχή ἐστιν· εἰ γὰρ ζητήσομεν τῶν ἀρχῶν αἰτίαν, οὐδέποτε ἀρξόμεθα, ἀλλ' ἐπ' ἄπειρον βαδιούμεθα. Φανερὸν δὲ γίνεται ἐν ταῖς ἀρχαῖς τὸ ὅτι, ἢ ἐπαγωγῇ, ἢ αἰσθήσει, ἢ ἐθισμῷ, ἐπαγωγῇ μὲν, ὥσπερ τὰ τῷ αὐτῷ ἴσα, καὶ ἀλλήλοις ἐστὶν ἴσα, δείξομεν γὰρ ἀριθμοὺς τινας καὶ μεγέθη εἰσαγαγόντες· ἐπαγωγὴ γάρ ἐστιν ἡ ἀπὸ τῶν μερικῶν δεῖξις· αἰσθήσει δὲ, ὅταν δεικνύει ὁ φυσικὸς τὸ πῦρ θερμὸν, καὶ τὸ ὕδωρ ψυχρὸν, ἅ τινα ἀρχαί εἰσι τῆς ἐπιστήμης. ἐθισμῷ δὲ αἱ ἀρχαὶ τοῦ ἠθικοῦ γινώσκονται. Καὶ γὰρ ἀδύνατον εἰς γνῶσιν ἐλθεῖν τῶν περὶ ἀρετῆς λόγων, μὴ ἐν ἔθει γινόμενον τῶν σπουδαίων πράξεων, ὡς ἐν τῷ ς' εἴρηται κεφαλαίῳ. Πειρατέον δὲ μετέρχεσθαι ἑκάστην τῶν ἀρχῶν καθὼς πέφυκε δείκνυσθαι, καὶ σπουδαστέον, ὅπως δὴ ὁρισμοῦ φανῶσι καλῶς.

λαῖς. Μεγάλην γὰρ παρέχουσι βοήθειαν ταῖς ἀποδείξεσι ταῖς ἑπομέναις αὐταῖς. Καὶ διὰ τοῦτο φαίνεται πλέον ἢ τὸ ἥμισυ τῆς ἀποδείξεως δύνασθαι τὴν ἀρχήν, καὶ πολλὰ τῶν ζητουμένων ἐμφανῆ γίνεσθαι δι' αὐτῆς. ἐν γὰρ τῇ μείζονι προτάσει ἀεὶ ἡ ἀρχὴ παραλαμβάνεται· ἡ δὲ μείζων πρότασις, τὸ πᾶν δύναται τῆς ἀποδείξεως σχεδόν. Καὶ ἴσως εἰ καὶ δι' ἄλλην αἰτίαν, ἀλλὰ καὶ διὰ τοῦτο μείζων καλεῖται.

aut manifeſta. Multa enim ad ſequentes demonſtrationes conferunt. Ita quidem ut plus quam dimidium totius demonſtrationis poſſe videatur principium: multaque de quibus quæritur, per illud illuſtrentur. Semper enim in majore propoſitione aſſumitur principium. Major vero propoſitio, omnia fere poteſt in demonſtratione. Et fortaſſe, quēadmodum & alia de cauſa, ita etiam ab hac major vocatur.

Ariſtot. l. 1. c. 8.

ΚΕΦ. ιδ΄.

Ὅτι οὐ πάντῃ ἀπᾴδουσιν οἱ λεγόμενοι περὶ τῆς εὐδαιμονίας παρὰ τῶν παλαιῶν λόγοι τῷ λεχθέντι αὐτῆς ὁρισμῷ.

CAP. XIV.

Quæ veteres de felicitate dixerunt, non omnino à ſuperiori definitione diſſentire.

ΤΑῦτα μὲν οὖν καθόλου περὶ τῶν ἀρχῶν εἴρηται. Περὶ δὲ τῆς προκειμένης ἡμῖν ἀρχῆς, τῆς εὐδαιμονίας δηλονότι, σκεπτέον ἔτι, οὐ μόνον τὸν ὁρισμὸν αὐτῆς ἐξετάσαντας, καὶ τοὺς λόγους τοὺς συμπεράναντας αὐτόν, ἀλλὰ καὶ τοὺς λεγομένους περὶ αὐτῆς παρὰ τῶν παλαιῶν ἀληθεῖς λόγους, εἰ συνᾴδουσι τῷ ὁρισμῷ. Τῷ μὲν γὰρ ἀληθεῖ ὁρισμῷ, καὶ πάντα συνᾴδει τὰ προσόντα τῷ ὁριστῷ, καὶ διὰ τοῦτο καὶ τ' ἄλλα τὰ λεγόμενα περὶ αὐτοῦ. Τῷ δὲ ψευδεῖ ταχὺ διαφωνεῖ τὸ ἀληθές. Τῶν ἀγαθῶν τοίνυν εἰς τρία διῃρημένων, καὶ τῶν μὲν λεγομένων ἐκτός, τῶν δὲ περὶ ψυχήν, τῶν δὲ περὶ σῶμα· τὰ περὶ ψυχὴν ἀγαθὰ κυριώτατα καὶ μάλιστα ἀγαθὰ

ET hæc quidem de principiis dicta ſunt in genere. De eo autem quo nunc peculiariter agimus, plura videnda erunt: de felicitate nimirum. Quare non tantum definitionem ejus examinabimus, ſed & ſingula ex quibus conſtat verba, preſſius paulo inſpiciemus: cum quibus deinde veterum opiniones conferemus, ut videamus nimirum an definitioni huic reſpondeant noſtræ. Veræ enim definitioni, omnia quæ definito inſunt, facile reſpondent: ac propterea & alia quæ de eo dicuntur. A falſa vero ſtatim diſſentit veritas. Cum ergo tripliciter diſtinguantur bona; aliaque externa, alia animi, alia corporis dicantur eſſe: bona quidem animi, propria eſſe maxime maximeque bona, communiter

Cap. 8. Σκεπτέον δὲ περὶ αὐτῆς, &c.

Ariſtot. l.1. c.8.

fatemur omnes. Animi autem bona, actiones animi & functiones dicimus. Unde ſequitur actiones ejus functioneſque bonas, proprias maxime, maximeque bonas eſſe. Quare in bona functione animi, id quod proprium maxime maximeque bonum dicimus, conſiſtit. Hoc vero eſt felicitas, animi ergo ſecundum virtutem functio eſt felicitas, etiam ex hac opinione: quæ & antiqua eſt, & Philoſophorum omnium comprobata ſuffragiis.

κοινῇ πάντες λέγομεν. Περὶ ψυχὴν δὲ λέγομεν ἀγαθὰ τὰς πράξεις, καὶ τὰς ἐνεργείας τὰς ψυχικάς. Οὐκοῦν αἱ ψυχικαὶ πράξεις καὶ ἐνέργειαι αἱ ἀγαθαὶ κυριώτατα καὶ μάλιστα εἰσὶν ἀγαθά. Ἐν τῇ κατὰ ψυχὴν ἄρα ἀγαθῇ ἐνεργείᾳ, τὸ κυριώτατον καὶ μάλιστα ἀγαθὸν συνίσταται. Τοῦτο δέ ἐστιν ἡ εὐδαιμονία. Ἔστιν ἄρα ἡ εὐδαιμονία ψυχῆς ἐνέργεια κατ' ἀρετήν, καὶ κατὰ ταύτην τὴν δόξαν παλαιὰν οὖσαν, καὶ ὁμολογουμένην ὑπὸ τῶν φιλοσοφούντων.

Ὀρθῶς δὲ καὶ, &c.

Recte præterea per actiones quaſdam atque functiones definitur felicitas: ita enim ex animi apparebit eam bonis eſſe, nec ad externa referendam.

Ὀρθῶς δὲ πράξεις τινὲς λέγονται καὶ ἐνέργειαι ἡ εὐδαιμονία· οὕτω γὰρ ἂν εἴη τῶν περὶ ψυχὴν ἀγαθῶν καὶ οὐ τῶν ἐκτός.

Συνᾴδει δὲ, &c.

Ideoque bene agere beneque vivere dicitur qui felix eſt: quæ functionem actionemque denotant.

Διὰ τοῦτο καὶ ὁ εὐδαίμων εὖ πράττειν λέγεται καὶ εὖ ζῆν, ἃ ἐνέργειαν καὶ πρᾶξιν δηλοῦσι.

Φαίνεται δὲ καὶ, &c.

Apparet præterea, ea quæ ad felicitatem requirebant veteres, iis quæ ſupra poſuimus, comprehenſa eſſe omnia. Eorum quippe alii virtutem, alii prudentiam, alii ſapientiam requirunt.

Φαίνεται δὲ ὅτι καὶ τὰ ζητούμενα περὶ τῶν ἀνθρώπων εἰς τὴν εὐδαιμονίαν, ἐνυπάρχουσι τῷ λεχθέντι. Τὰ ἐπιζητούμενα δὲ τοῖς μὲν ἀρετή, τοῖς δὲ φρόνησις, ἄλλοις δὲ σοφία τις.

Τοῖς δὲ ταῦτα, &c.

Alii etiam omnia hæc felicitatem eſſe judicant. Alii aliquid horum cum voluptate: ſed quæ ex his ipſis naſceretur potiſſimum.

Τοῖς δὲ καὶ πάντα ταῦτα εὐδαιμονία εἶναι δοκεῖ. Τοῖς δὲ τούτων τι μεθ' ἡδονῆς, ἀλλὰ τῆς ἀπ' αὐτῶν τούτων τικτομένης.

Ἕτεροι δὲ καὶ, &c.

Fuerunt etiam qui externam adjungerent proſperitatem. Horum autem alia multi atque antiqui, alia pauci quidem ſtatuerunt, ſed magni nominis. Quorum neutros in omnibus erraſſe, veriſimile eſt: ſed in uno fortaſſe aliquo, in pleriſque vero recte ſenſiſſe.

Ἕτεροι δὲ καὶ τὴν ἐκτὸς εὐετηρίαν συμπαραλαμβάνουσι. Τούτων δέ, τὰ μὲν πολλοὶ καὶ παλαιοὶ λέγουσι, τὰ δὲ ὀλίγοι καὶ ἔνδοξοι ἄνδρες· ὧν οὐδετέρους εὔλογον τῆς ἀληθείας ἐν πᾶσι διαμαρτάνειν· ἀλλὰ καθ' ἕν τι μόνον ἴσως, ἐν τοῖς πλείστοις δὲ ἀληθεύειν.

Τοῖς

Τοῖς μὲν οὖν λέγουσι πᾶσαν ἀρετὴν τὴν εὐδαιμονίαν εἶναι, ἢ τῶν ἀρετῶν τὴν ἀρίστην, συνῳδὸς ὁ ἡμέτερος περὶ αὐτῆς λόγος. Κατὰ γὰρ τὴν τῆς ἀρετῆς ἐνέργειαν ἡ εὐδαιμονία ἐστί. Διαφέρει δὲ, ὅτι οἱ μὲν ἐν τῇ ἕξει καὶ κτήσει τῆς ἀρετῆς τὴν εὐδαιμονίαν εἶναι φασιν, ἡμεῖς δὲ ἐν τῇ χρήσει καὶ τῇ ἐνεργείᾳ. Διαφορὰ δέ ἐστιν οὐκ ὀλίγη, τοῦ ἐν κτήσει ἢ χρήσει τὸ ἄριστον ὑπολαμβάνειν καὶ ἐν ἕξει, ἢ ἐνεργείᾳ. Τὴν μὲν γὰρ ἕξιν ἐνδέχεται ὑπάρχουσαν μηδὲν ἀποτελεῖν, οἷον τῷ καθεύδοντι, ἢ ἄλλως πως ἐξηργηκότι· τὴν δ' ἐνέργειαν, οὐχ οἷόν τε. Πράξει γὰρ ἐξ ἀνάγκης ὁ τὴν ἐνέργειαν ἔχων· καὶ εἰ τὴν ἀγαθὴν ἐνέργειαν ἔχει, εὖ πράξει. Τοῦτο δέ ἐστι τὸ εὐδαιμονεῖν. Ὥσπερ γὰρ ὀλυμπιάσιν οὐχ οἱ κάλλιστοι καὶ ἰσχυρότατοι στεφανοῦνται, ἀλλ' οἱ ἀγωνιζόμενοι· τούτων γάρ τινες καὶ νικῶσιν· οὕτω καὶ τῶν ἐν τῷ βίῳ καλῶν καὶ ἀγαθῶν οὐχ οἱ δυνάμενοι πράττειν ὀρθῶς, ἀλλ' οἱ πράττοντες ὀρθῶς, ἐπήβολοι γίνονται.

Cum iis igitur qui vel omnem virtutem, vel certe earum præſtantiſſimam, felicitatem eſſe voluerunt, noſtra convenit de eadem opinio. Ex functione enim virtutis, eſt felicitas. Rurſus tamen hoc non parum differt: quod illi in poſſeſſione virtutis ac uſu, felicitatem ponant: nos in habitu & functione. Eſt vero non exiguum diſcrimen, utrum in poſſeſſione an in uſu; in habitu ſummum bonum ponas; an in functione. Quippe cum eſſe poſſit habitus, nec quidquam efficere: ut in eo qui dormit, aut alio modo ociatur, quod in functione fieri non poteſt. Neceſſario enim aget, penes quem eſt functio: & ſi bona ea eſt, aget bene. Hoc vero felicitatem vocamus. Nam ut in Olympicis non pulcherrimi coronantur aut fortiſſimi, ſed qui certant (ex his enim quidam tantum victores abeunt.) ita in communi vita boni illi & honeſti, non qui poſſunt recte agere, ſed qui agunt, felicitatem conſequuntur. Ariſtot. l. 1. c. 8.

ΚΕΦ. ιέ.

CAP. XV.

Ὅτι ἥδιστος δι' ἑαυτόν ἐστιν ὁ κατ' ἀρετὴν βίος· καὶ μάλιστα, ἀγαθὸς καὶ καλός.

Jucundiſſimam per ſe eſſe eam quæ ſecundam virtutem inſtituitur vitam, maximeq; honeſtam & bonam.

ΕΣτι δὲ καὶ ὁ βίος αὐτῶν καθ' ἑαυτὸν ἡδὺς, οὐκ ἔξωθεν ἔχων τὴν ἡδονήν. Ἐπεὶ γὰρ τὸ ἥδεσθαι τῆς ψυχῆς ἐστιν, οὐδὲν κωλύει τὴν τῆς ψυχῆς κατ'

ESt autem jucundiſſima etiam eorum vita, idque non extrinſecus, ſed propria quadam & quæ per ſe ineſt, voluptate. Etenim cum delectari ſit animi, nihil vetat, eã quæ ſecundum ὁ βίος αὐτῶν, &c.

Ariſtot. l. 1. c. 8

dum virtutem eſt functionem, cum voluptate eſſe. Eſſe autem, vel hinc apparet. Cum enim ſingulis jucundum ſit illud, cujus quiſque ſtudioſus dicitur: ſicut equus ei, qui equis delectatur gratus eſt, ſpectaculum ei, quem hæc voluptas capit: ſequitur & virtutem eaſque quæ ſecundum hanc inſtituuntur actiones, ei gratas eſſe, quem hæc capit. Ea autem quæ pleriſque jucunda videntur, inter ſe pugnant: alius enim aliud vel jucundum vel non jucundum exiſtimat: cujus rei cauſa eſt, quod natura non ſint talia. Illis vero quos honeſta delectant, ea quæ natura ſunt talia, jucunda videntur. Cum enim ſint optimi, ſequi quoque videtur, ut quæ revera ſint jucunda ſequantur. Sequuntur autem eas, quæ ſecundum virtutem ſunt, actiones. Unde apparet eas quæ ſecundum virtutem inſtituuntur actiones, iis jucundas eſſe quos virtus delectat, idque per ſe quidem. Nam quod natura ſua eſt jucundum, non ob aliud jucundum eſt. Quare neque externa ulla voluptate tanquam appendice opus habet vita eorum, ſed ipſam continet in ſe voluptatem. Quod ſi quis dicat, non omnes viros bonos delectari virtute (ſunt enim qui cum voluptate virtutem non exercent) reſpondebimus: bonum revera aut honeſtum non eſſe, quem actiones non delectant bonæ. Sicut nec quiſquam juſtum eum dicet, qui juſte agendo non delectatur, aut liberalem quem liberales non delectant actiones. Similiter & in aliis. Quod ſi ita ſit, ſequitur eas quæ ſecundum virtutem

ἀρετὴν ἐνέργειαν μεθ' ἡδονῆς εἶναι· ὅτι δὲ καὶ ἔστι, δῆλον. Ἐπεὶ γὰρ ἑκάστῳ ἐκεῖνο ἐστὶν ἡδὺ, πρὸς ὃ λέγεται φιλοτοιοῦτος· οἷον ὁ ἵππος ἡδὺ τῷ φιλίππῳ, καὶ θέαμα τῷ φιλοθεώρῳ· καὶ τῷ φιλαρέτῳ ἄρα ἡδεῖα ἡ ἀρετὴ, καὶ αἱ κατ' αὐτὴν πράξεις. Τὰ μὲν οὖν δοκοῦντα τοῖς πολλοῖς ἡδέα μάχεται· ἄλλος γὰρ ἄλλο νομίζει ἡδὺ, καὶ τὸ ἄλλο ἀηδές. Αἴτιον δὲ, ὅτι οὐκ ἔστι φύσει ἡδέα. Τοῖς δὲ φιλοκάλοις ἡδέα δοκεῖ τὰ καὶ φύσει ἡδέα· ἀρίστοις γὰρ οὖσι τὰ ἀληθῶς ἡδέα διώκειν ἀκόλουθον· διώκουσι δὲ τὰς κατ' ἀρετὴν πράξεις. Ὥστε δῆλον, ὅτι αἱ κατ' ἀρετὴν πράξεις ἡδεῖαί εἰσι τοῖς φιλαρέτοις καὶ δι' ἑαυτάς· τὸ γὰρ φύσει ἡδὺ, οὐκ ἔστι δι' ἕτερον ἡδύ. Διὰ τοῦτο οὐ προσδεῖται ὁ βίος αὐτῶν ἄλλης ἔξωθεν ἡδονῆς, καθάπερ τινὸς περιάπτου, ἀλλ' ἔχει τὴν ἡδονὴν ἐν ἑαυτῷ. Εἰ δέ τις εἴποι μὴ πάντας τοὺς σπουδαίους ἥδεσθαι τῇ ἀρετῇ (εἰσὶ γὰρ οἱ μεθ' ἡδονῆς ταύτην μὴ πράττουσιν) ἐροῦμεν, ὅτι οὐκ ἔστιν ἀγαθὸς οὐδὲ σπουδαῖος, ὁ μὴ χαίρων ταῖς καλαῖς πράξεσιν. Οὔτε γὰρ δίκαιον οὐδεὶς ἂν εἴποι, τὸν μὴ χαίροντα τῷ δικαιοπραγεῖν, οὔτε ἐλευθέριον, τὸν μὴ χαίροντα ταῖς ἐλευθερίοις πράξεσιν· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. Εἰ δ' οὕτω, δι' ἑαυτὰς ἂν εἶεν αἱ κατ' ἀρετὴν πρά-

πράξεις ἡδεῖαι· ἀλλὰ μὴν καὶ ἀγαθαί γε καὶ καλαί, καὶ μάλιστα τούτων ἕκαστον, εἴπερ καλῶς κρίνει περὶ αὐτῶν ὁ σπουδαῖος· μὴ καλῶς γὰρ κρίνειν οὐκ εὔλογον. κρίνει δὲ, ἀγαθὰς εἶναι καὶ καλάς· ἄριστον ἄρα καὶ κάλλιστον, καὶ ἥδιστον ἡ εὐδαιμονία, καὶ οὐκ ἄλλο μὲν κάλλιστον, ἄλλο δὲ ἄριστον, ἄλλο δὲ ἥδιστον κατὰ τὸ Δηλιακὸν ἐπίγραμμα.

Κάλλιστον, τὸ δικαιότατον, λῷστον δ' ὑγιαίνειν·

Ἥδιστον δὲ πέφυχ' οὗ τις ἐρᾷ τὸ τυχεῖν.

Ἅπαντα γὰρ ταῦτα ταῖς ἀρίσταις ἐνεργείαις ὑπάρχει. Ταύτας δὲ φαμὲν εἶναι τὴν εὐδαιμονίαν, ἢ μίαν τούτων τὴν πασῶν ἀρίστην.

ſunt actiones, per ſe jucundas eſſe. Eæ autem & bonæ ſunt & honeſtæ: eoque magis tales ſunt earum ſingulæ, ſi quidem recte judicat de iis vir bonus. Male autem judicare talem, abſurdum eſſet. Bonas autem eas & honeſtas eſſe judicat. Quare & optima & pulcherrima & jucundiſſima res eſt felicitas. Neque aliud pulcherrimum, aliud optimum, aliud, ut in Deliaco epigrāmate dicitur, eſt jucundiſſimum. Ariſtot. l. 1. c. 8.

Pulcherrimum eſt quod eſt juſtiſſimum, optimum autē ſanū eſſe.

At jucundiſſimum id, quod conſequi optat aliquis.

Omnia enim hæc optimis inſunt functionibus. Has autem vel omnes, vel ſi quæ inter eas maxime excellit, felicitatem eſſe dicimus.

ΚΕΦ. ιϛ'.

CAP. XVI.

Ὅτι δεῖται καὶ τῶν ἔξωθεν ὁ μέλλων εὐδαιμονεῖν· εἰ καὶ μὴ ἐν τοῖς ἔξωθεν ἡ εὐδαιμονία συνίσταται. Καὶ ὅτι οὐκ ἔστιν ἀπὸ τύχης ἡ ἀνθρωπίνη εὐδαιμονία.

Externis etiam rebus opus habere eum, qui felix futurus ſit: licet in externis non conſiſtat felicitas. Item felicitatem hominis à fortuna non eſſe.

Ἔστι μὲν οὖν τὸ εἶναι τῆς εὐδαιμονίας ἐν ταῖς ἀγαθαῖς πράξεσι. Φαίνεται δ' ὅμως καὶ τῶν ἐκτὸς ἀγαθῶν προσδεομένη, καθάπερ εἴπομεν. Ἀδύνατον γὰρ, ἢ οὐ ῥᾴδιον, τὰ καλὰ πράττειν, μὴ βοηθουμένον τοῖς ἔξωθεν. Πολλὰ γὰρ τῶν ἀρίστων πράττεται διὰ τῶν ἔξωθεν, καθάπερ δι' ὀργάνων, ἢ διὰ φίλων, ἢ διὰ

IN bonis ergo actionibus felicitatis, ut ſic dicam, conſiſtit eſſentia. Et tamen externis quoque bonis egere videtur nihilominus, ut diximus. Fieri enim non poteſt aut certe difficulter, ut honeſte quis agat, ſine externorum ſubſidio. Multa enim & quidem præclariſſima, non aliter quam inſtrumentis quibuſdam, externorum fiunt ſubſidio, quemadmodum amicorum opera, Φαίνεται δ' ὅμως καὶ τῶν ἐκτὸς, &c.

Ariſtor. l. 1. c. 9.

vel opibus, aut civili denique honore, imperio & potentia. Unde & qui nonnullis deſtituuntur horum, felicitati quaſi ſplendorem eripiunt ſuum. Ut ſi quis generis nobilitate, aut liberorum probitate diſtituatur aut forma. Nec enim plene felix videtur, qui aut plane eſt deformis, aut ignobilis, aut orbus, aut ſine liberis: aut qui improbos liberos vel habet, vel probos amiſit. Quare ad felicitatem ejuſmodi quoque requiri proſperitatem, dicimus. Quo factum eſt, ut hanc ipſam de qua agimus felicitatem, externa hac proſperitate definierint nonnulli: ſicut alii virtute. Quia qui vere felix ſit futurus, opus utroque habet.

P. 9. Ὅθεν καὶ ἀπορεῖται &c.

Ideoque quæri ſolet, utrum diſci poſſit, ac certa quadam diſciplinæ ratione comparari, an vero ſola bene & ex virtute agendi conſuetudine, aliave aliqua exercitatione haberi queat felicitas: vel potius divinitus aut à fortuna quadam hominibus contingat. Et videtur certe, ſi quicquam aliud divino concedatur munere, certe hoc eſſe tale. Quinimo tanto magis quam reliqua munus Deorum videtur eſſe felicitas, quanto reliquis omnibus quæ contingunt hominibus, eſt præſtantior. Cæterum de his accuratius velle inquirere, non eſt loci hujus, ſed ibi potius faciendum eſt, ubi de providentia diſputatur. Nobis vero ex ratione inſtituti noſtri eſt agendum & ordinis.

Φαίνεται δὲ κἂν, &c.

Videtur ergo, etiam ſi Deo-

πλούτου, ἢ διὰ τῆς ἐν τῇ πόλει τιμῆς, καὶ ἀρχῆς, καὶ δυνάμεως. Ὥσπερ καὶ οἱ τινῶν τούτων στερισκόμενοι κηλλῆ τινα τὴν εὐδαιμονίαν ποιοῦσιν. Οἷον εἴ τις στέροιτο εὐγενείας ἢ εὐτεκνίας, ἢ κάλλους. Οὐ πάνυ γὰρ εὐδαιμονικὸς ὁ τὴν ἰδέαν πανάισχρος, ἢ δυσγενής, ἢ μονώτης καὶ ἄτεκνος, ἢ κακοὺς παῖδας ἔχων, ἢ ἀγαθοὺς ἀποβαλών· διὰ τοῦτό φαμεν, τὴν εὐδαιμονίαν προσδεῖσθαι καὶ τῆς τοιαύτης εὐημερίας. Καὶ τούτου χάριν τινὲς τὴν διὰ τῶν ἔξωθεν εὐτυχίαν ταὐτὸν εἶναι ἐνόμισαν τῇ ζητουμένῃ εὐδαιμονίᾳ· ἔνιοι δέ φασιν εἶναι τὴν ἀρετήν, ὅτι καὶ ἀμφοτέρων χρεία τῷ κυρίως εὐδαίμονι.

Καὶ διὰ τοῦτο ἀπορεῖται, πότερον μαθητόν ἐστι, καὶ διὰ μεθόδου τινὸς περιγίνεται, ἢ ἐκ τοῦ ἐθίζεσθαι ταῖς κατ' ἀρετὴν πράξεσιν, ἢ δι' ἄλλης τινὸς ἀσκήσεως, ἢ θεόθεν δίδοται τοῖς ἀνθρώποις, ἢ ἀπὸ τύχης τινός. Δοκεῖ δέ, ὅτι εἰ καὶ ἄλλο τι δώρημά ἐστι παρὰ θεοῦ τοῖς ἀνθρώποις, καὶ τοῦτο ἂν εἴη δικαίως. Καὶ μάλιστα δὲ τῶν ἄλλων εἴη ἂν ἡ εὐδαιμονία θεόσδοτος, ὅσῳ καὶ βέλτιστον τῶν ἀνθρωπίνων ἁπάντων. Ἀλλὰ τὸ μὲν περὶ τούτων λέγειν, τῶν περὶ προνοίας ἂν εἴη λόγων, καὶ ἄλλης πραγματείας· ἡμῖν δὲ καὶ τὸ προσῆκον τῇ προκειμένῃ μεθόδῳ σκεπτέον.

Φαίνεται τοίνυν, εἰ καὶ μὴ

μὴ θεόσδοτός ἐστιν ἡ εὐδαιμονία, ἀλλὰ δι' ἀρετὴν, ἢ ἄλλην τινὰ ἄσκησιν, παραγίνεται, ὅμως τῶν θειοτάτων εἶναι. Τὸ γὰρ τῆς ἀρετῆς ἆθλον καὶ τέλος, ὅπερ ἐστὶν αὐτὴ ἡ εὐδαιμονία, ἄριστον εἶναι φαίνεται, καὶ θεῖόν τι καὶ μακάριον. Γένοιτο δ' ἂν καὶ πᾶσι κοινόν. Δυνατὸν γὰρ πᾶσι τοῖς μὴ τὴν διάνοιαν βεβλαμμένοις, καὶ πάντῃ ἀκινήτοις πρὸς τὴν κτῆσιν τῆς ἀρετῆς, διά τινος μαθήσεως καὶ ἐπιμελείας ὑπάρξαι τὴν εὐδαιμονίαν.

Εὔλογον δὲ ἀπὸ ἀσκήσεως μείζονα καὶ τελειωτέραν ὑπάρξαι τὴν εὐδαιμονίαν, ἢ ἀπὸ τύχης· ὁμοίως δὲ, καὶ τὰ ἀπὸ πάσης ἄλλης αἰτίας γινόμενα, ἢ τεχνικῆς ἢ φυσικῆς, βελτίω τῶν ἀπὸ τύχης γινομένων· καὶ μάλιστα τὰ ἀπὸ τῆς ἀρίστης αἰτίας γινόμενα, ἥτις ἐστὶν ἡ ἀρετή. Ἄλλως τε τὸ μέγιστον ἀγαθὸν καὶ κάλλιστον τὴν εὐδαιμονίαν ἐπιτρέψαι τῇ τύχῃ, λίαν πλημμελὲς ἂν εἴη. Τοῦτο δὲ φανερόν ἐστι καὶ ἐκ τοῦ εἰρημένου τῆς εὐδαιμονίας ὁρισμοῦ· εἴρηται γὰρ ψυχῆς ἐνέργεια κατ' ἀρετὴν ἐν βίῳ τελείῳ. Τὰ δὲ λοιπὰ ἀγαθὰ, τά τε σωματικὰ, αὐτοῦ τοῦ σώματος, καὶ τὰ περὶ τὸ σῶμα, τὰ μὲν, ἀναγκαῖα πρὸς τὴν εὐδαιμονίαν, τὰ δὲ καθάπερ ὄργανά εἰσι πρὸς αὐτήν. Ἀναγκαῖα μὲν, οἷον ὑγίεια σώματος, καὶ ζωῆς ἐπίτασις, καὶ τ' ἄλλα, ὧν χωρὶς οὐκ ἔστι τελειωθῆναι τὴν

rum munere non contingat, ſed aut virtute, aut alia quacunque exercitatione comparetur, nihilominus in iis quæ maxime divina ſunt, reponenda eſſe felicitas. Virtutis & enim & præmium & finis, quæ ipſa putatur eſſe felicitas, optimum quid & divinum videtur, ac beatum eſſe omnibuſque commune. Poſſunt quippe omnes, quibus integra mens eſt neque plane ad comparandam ſibi virtutẽ ſunt inhabiles, cura debita & inſtitutione ipſam quoq; conſequi felicitatem. Ariſtot. l. 1. c. 9.

Veriſimile eſt enim ab exercitatione majorem provenire felicitatem, magiſque perfectam, quam à fortuna. Eodemque modo omnia, quæ ab alia quacunque proveniunt cauſa, ſive ea ab arte, ſive ſit à natura, meliora ſunt iis, quæ à fortuna; maximeque quæ ab optima: qualis eſt virtus. Præterea maximum pulcherrimumque bonum, felicitatem dico ipſam, fortunæ velle committere, nimis abſurdum foret. Quod ipſum vel ex ſuperiore felicitatis definitione apparet. Animi enim functionem ſecundum virtutem in vita perfecta, definivimus eam eſſe. Reliqua vero bona, cum corporea, quæ ipſius ſunt corporis, tum cætera quæ ad corpus referuntur, partim ad felicitatem ſunt neceſſaria, partim tanquam inſtrumenta ſe habent ad eam. Et neceſſaria quidem ſunt: ut, exempli gratia, ſanitas corporis, eaque quæ ad vitam ſuſtinendam ſpectant: & ſimilia, ſine quibus perfici non poteſt felicitas. Inſtrumenta

Εἰ δ' ἐστὶν οὕτω βέλτιον, &c.

Aristot. l. 1. c. 10.

vero: ut, exempli gratia, opes & amici. Quod ſi hæc vera eſt felicitatis definitio, quomodo cauſa ejus ſtatuetur fortuna? animi enim functio à fortuna eſſe non poteſt. Hanc autem definitionem etiam reliqua ſequuntur, quæ de civilis ſcientiæ fine ſupra diſputavimus. Finem etenim ejus id quod optimum eſt, eſſe diximus: ideoque felicitatem in ea humanam conſiſtere. Merito ergo nec equum nec bovem nec aliud ſimile animal beatum dicimus: quia nullum eorum hujus de qua loquimur functionis compos eſſe poteſt. Eademque de cauſa nec puer beatus eſt: nondum enim per ætatem actionibus hujuſmodi eſſe idoneus poteſt. Si qui vero inter pueros beati dicuntur, ſpei cauſa, quam de ſe præbent, ita appellantur. Etenim & virtute, ut diximus, & vita opus eſt perfecta.

Πολλαὶ γὰρ μεταβολαὶ, &c.

Multæ enim & mutationes & omnimodi caſus accidunt in vita, fitque ſæpiſſime, ut qui maxime ſit fortunatus, in maximas quoque calamitates incidat: quemadmodum in heroicis de Priamo fabulantur veteres. Eum vero qui ejuſmodi fortunam experitur miſerq; moritur, nemo felicem prædicat.

εὐδαιμονίαν· ὄργανα δὲ, ὥσπερ πλοῦτος καὶ φίλοι. Εἰ τοίνυν οὗτός ἐστιν ὁ ὁρισμὸς τῆς εὐδαιμονίας, πῶς ἂν αἰτίαν ἔχοι τὴν τύχην; ἡ γὰρ ψυχικὴ ἐνέργεια οὐκ ἀπὸ τύχης. Τοῦτο δὴ τῷ ὁρισμῷ καὶ τὰ εἰρημένα περὶ τοῦ τέλους τῆς πολιτικῆς ἀκόλουθα. Τὸ γὰρ τῆς πολιτικῆς τέλος, τὸ ἄριστον ἐλέγομεν εἶναι, καὶ διὰ τοῦτο ἐν αὐτῇ εἶναι τὴν ἀνθρωπίνην εὐδαιμονίαν. Εἰκότως οὖν οὔτε ἵππον, οὔτε βοῦν, οὔτε ἄλλό τι τῶν ζώων, εὐδαίμον λέγομεν· οὐδὲν γὰρ αὐτῶν οἷόν τε κοινωνῆσαι τοιαύτης ἐνεργείας. Διὰ ταύτην δὲ τὴν αἰτίαν οὐδὲ παῖς εὐδαίμων ἐστίν· οὔπω γὰρ πρακτικὸς τῶν τοιούτων διὰ τὴν ἡλικίαν. Οἱ δὲ λεγόμενοι εὐδαίμονες παῖδες, διὰ τὴν ἐλπίδα μακαρίζονται. Δεῖ γὰρ, ὡς εἴπομεν, καὶ ἀρετῆς, καὶ βίου τελείου.

Πολλαὶ γὰρ μεταβολαὶ γίνονται καὶ παντοῖαι τύχαι κατὰ τὸν βίον· καὶ ἐνδέχεται τὸν μάλιστα εὐθηνοῦντα μεγάλαις συμφοραῖς περιπεσεῖν ἐπὶ γήρως, καθάπερ ἐν τοῖς ἡρωϊκοῖς περὶ Πριάμου μυθεύεται· τὸν δὲ τοιαύταις χρησάμενον τύχαις καὶ τελευτήσαντα ἀθλίως, οὐδεὶς εὐδαιμονίζει.

CAP. XVII.

Utrum feliçes judicandi ſint viventes.

Cap. 10.

Πότερον οὖν οὐδ' ἄλλον, &c.

Utrum ergo nullus hominum felix dum vivit ju-

ΚΕΦ. ιζ΄.

Εἰ δεῖ ζῶντας μακαρίζειν.

Πότερον οὖν οὐδ' ἄλλον οὐδένα ἀνθρώπων εὐδαιμονίζειν

μονίζειν ἄξιον ἕως ἂν ζῇ, ἀλλὰ χρεὼν τὸ τέλος ὁρᾶν καθά φησι Σόλων· καὶ εἰ τοῦτο θήσομεν, ἔσται ἄρα τις εὐδαίμων τότε, ἐπειδὰν ἀποθάνῃ. Ἢ τοῦτό γε παντελῶς ἄτοπον, ἐν τῷ τεθνάναι τὴν εὐδαιμονίαν λαβεῖν; ἄλλως τε καὶ ὅτι ἡ εὐδαιμονία ἔν τινι ἐνεργείᾳ ἐστίν. Ἐκ τούτου δὲ φαίνεται μᾶλλον ἐν ἀργίᾳ παντελεῖ εἶναι.

Λέγομεν δὲ, ὅτι οὔτε ἡμεῖς οὔτε ὁ Σόλων τὸν τεθνεῶτα μακαρίζει διὰ τὸ τεθνάναι, ἀλλ' ὅτι μέχρι παντὸς ὁ βίος αὐτῷ μακάριος ἦν, καὶ ὅτι τηνικαῦτα ἄν τις ἀσφαλῶς μακαρίσειεν ἄνθρωπον, ὡς ἐκτὸς ἤδη τῶν κακῶν ὄντα καὶ δυστυχημάτων. Πάλιν δὲ οὐκ ἀρκοῦσα ἡ λύσις δοκεῖ· ἀπορία γάρ ἐστιν ἔτι, εἰ λέγομεν εἶναί τι τῷ τεθνεῶτι καὶ κακόν τι καὶ ἀγαθὸν, καὶ αἰσθανομένῳ δὲ ὥσπερ καὶ τῷ ζῶντι· μακαρίζεται γὰρ καὶ ταλανίζεται, καὶ ἀτιμάζεται καὶ τιμᾶται· καὶ τέκνων δὲ καὶ ἀπογόνων εὐπραξίαι εἰς τὴν εὐδαιμονίαν αὐτοῖς λογίζονται. Εὐδαίμονες γὰρ καὶ μακάριοι διὰ τὴν τῶν ἀπογόνων εὐδαιμονίαν· καθάπερ δυστυχεῖς διὰ τὴν αὐτῶν δυστυχίαν· ἀπορίαν γὰρ καὶ τοῦτο παρέχει. Τῷ γὰρ μακαρίως βεβιωκότι καὶ τελευτήσαντι κατὰ λόγον, ἐνδέχεται πολλὰς μεταβολὰς ἐκβαίνειν περὶ τοὺς ἐκγόνους, καὶ τοὺς μὲν αὐτῶν ἀγαθοὺς εἶναι, καὶ τυχεῖν βίου τοῦ κατ' ἀξίαν, τοὺς δὲ ἐξ ἐναντίας. Ἄτοπον δὲ γένοιτ' ἄν, εἰ συμ-

dicandus eſt, ſed finis, ut volebat Solon, expectari debet: Quod ſi verum eſſe ponamus, ſequetur aliquem poſt mortem felicem eſſe. An potius hoc omnino abſurdum eſt, ut in morte ponatur felicitas: cum præcipue in actu aliquo & functione ea conſiſtat? Ii vero qui hoc ſentiunt, in ocio potius eam locant perpetuo & inertia. Ariſtot. l.1.c.10.

Dicimus ergo, neque nos neque Solonem propterea beatum judicare mortuum: quia ſit mortuus: ſed quia ad finem uſque vixerit beate: tum vero poſſe tuto felicem judicari aliquem: ut qui extra miſerias omnes & adverſam videatur poſitus fortunam. Rurſus tamen non ſufficere videtur hæc ſolutio. Adhuc enim quæri poteſt, an aliquod vel malum mortuo putemus eſſe vel bonum, cujus ad eum pervenire ſenſus poſſit, ſicut ad eum qui adhuc vivit. Etenim & felices judicantur & miſeri, & honore afficiuntur, & dedecore; tum liberorum ac nepotum eorum felicitati videtur aſcribi proſperitas: beati enim ac felices in felicitate poſterorum, ſicut infelices in eorum infelicitate videntur eſſe. Nam & hoc dubitandi cauſam præbet. Ejus quippe qui feliciter vixit & eodem modo eſt mortuus, multa evenire poſſunt nepotibus: alii n. boni erunt, vitamque ſe dignam conſequentur: alii contra. Abſurdum autem ſit, ſi una mutetur quoque mortuus, ac interdum felix, interdum contra infelix

Εἰ δὲ μὴ λέγομεν, &c.

Ariſtot. l. 1. c. 10

felix ſit. Rurſus abſurdum illud videatur, ſi ii qui adhuc vivunt, fortunæ mortuorum nullo modo fiant participes: quos præcipue aliqua generis conjungit neceſſitas. Verum ad priorem nobis quæſtionem redeundum eſt: ut nimirum videamus, an nondum vivunt, ſed poſt obitum tantum judicandi ſint beati. Ex eo enim forte illud quoque fiet manifeſtum de quo nunc quærimus.

Εἰ δὴ τέλος ὁρᾶν δεῖ, &c.

Quod ſi reſpicere finem oportet, ac tum demum de felicitate ſingulorum pronuntiare, non quod tum, quia mortuus eſt, propterea quoque ſit felix, ſed quia felix erat prius: quomodo non abſurdum videbitur, quamdiu felix eſt, tribui ei non poſſe quod habet, nec vere felicem dici poſſe, quia felices judicare nolumus viventes, quod diverſas in hac vita mutationes eſſe videamus, felicitatem vero rem ſtabiliſſimam minimeque judicemus eſſe mutabilem, ſicut contra maxime inſtabilis eſt fortuna? Et revera ſi fortunam ſequamur, neceſſario illud ſequetur, ut eundem & felicem eſſe & infelicem rurſus dicamus. Atque ita ex eo quem felicem videri volumus, Chamæleonem faciemus, planeque imbecilliter eum ſtabiliemus.

Ἡ τὸ μὲν ταῖς τύχαις ἐπακολουθεῖν, &c.

Reſpondemus ergo ad objectionem hanc: Minime debere fortunam nos ſequi. Nec enim in his vel felicitas conſiſtit vel miſeria. Fatemur tamen, opus quidem habere his omnibus ad felicitatem ſuam, vitam humanam, ſicut diximus: ita

μεταβάλλοι, καὶ ὁ τεθνεὼς γ' καὶ γίνοιτο ποτὲ μὲν εὐδαίμων, πάλιν δ' ἄθλιος. Ἄτοπον δὲ πάλιν κἀκεῖνο δοκεῖ, τὸ μὴ κοινωνεῖν τὰς ζῶντας τοῖς ἀπελθοῦσι τῆς τύχης, διὰ τὴν ἐκ τοῦ γένους οἰκειότητα· ἀλλ' ἐπανιτέον ἐπὶ τὴν προτέραν ἀπορίαν, καὶ ζητῶμεν, εἰ οὐ δεῖ ζῶντας ἀλλὰ μετὰ τελευτὴν μακαρίζειν· τάχα γὰρ ἂν ἐξ ἐκείνης θεωρηθείη καὶ τὸ νῦν ἐπιζητούμενον.

Εἰ δὴ τὸ τέλος ὁρᾶν δεῖ, καὶ τότε μακαρίζειν ἕκαστον, οὐχ' ὡς ὄντα διὰ τὸ τεθνάναι μακάριον, ἀλλ' ὅτι πρότερον μακάριος ἦν, πῶς οὐκ ἄτοπον, εἰ ὅτε ἐστὶν εὐδαίμων, μὴ ἀληθεύσεται κατ' αὐτοῦ τὸ ὑπάρχον αὐτῷ, μηδὲ ἐροῦμεν αὐτὸν ἀληθῶς εὐδαίμονα, διὰ τὸ μὴ τοὺς ζῶντας ἐθέλειν εὐδαιμονίζειν, σκοποῦντας τὰς τοῦ βίου μεταβολάς, τῷ μόνιμόν τι τὴν εὐδαιμονίαν ὑπολαμβάνειν, καὶ μηδαμῶς εὐμετάβολον, τὴν δὲ τύχην πᾶν τοὐναντίον. Δῆλον γὰρ, ὡς, εἰ συνακολουθείημεν ταῖς τύχαις, τὸν αὐτὸν εὐδαίμονα καὶ πάλιν ἄθλιον ἐροῦμεν πολλάκις, χαμαιλέοντά τινα τὸν εὐδαίμονα ἀποφαίνοντες, καὶ σαθρῶς ἱδρυμένον.

Λέγομεν τοίνυν πρὸς τὴν ἀπορίαν, ὅτι τὸ μὲν ταῖς τύχαις ἐπακολουθεῖν, οὐδαμῶς ὀρθόν· οὐ γὰρ ἐν ταύταις ἡ εὐδαιμονία συνίσταται ἢ τοὐναντίον. Ἀλλὰ προσδεῖται μὲν τούτων πρὸς τὴν εὐδαιμονίαν ὁ ἀνθρώπινος βίος, καθάπερ εἴπομεν·

ἡ οὐσία τῆς εὐδαιμονίας οὐκ ἐν αὐταῖς, ἀλλ' ἐν τῇ κατ' ἀρετὴν ἐνεργείᾳ συνίσταται, καθὼς εἴρηται. Μόνιμον γὰρ δεῖ εἶναι τὴν εὐδαιμονίαν, καὶ διὰ τοῦτο οὐ δυνατὸν αὐτὴν ἐν τοῖς ἀπὸ τύχης συνίστασθαι· καὶ τούτῳ μαρτυρεῖ ἡ προκειμένη ζήτησις· ἀπὸ τούτου γὰρ ἔλαβε τὴν ἀρχὴν τοῦ ὑποκεῖσθαι τὴν εὐδαιμονίαν μόνιμον εἶναι. Περὶ οὐδὲν γὰρ τῶν ἀνθρωπίνων ἔργων τοσαύτη βεβαιότης ὑπάρχει, ὡς ταῖς κατ' ἀρετὴν ἐνεργείαις, ἐν αἷς ἡ εὐδαιμονία· μονιμώτεραι γὰρ καὶ τῶν ἐπιστημῶν αὗται τυγχάνουσι. Τούτων δὲ πάλιν τῶν ἀρετῶν αἱ τιμιώτεραι μονιμώτεραι, διὰ τὸ ζῆν ἐν αὐταῖς τοὺς μακαρίους μάλιστα καὶ συνεχέστατα, μὴ διακοπτομένης ποτὲ οὐδ' ἐν ἐλαχίστῳ χρόνῳ τῆς περὶ τὰς πράξεις τῆς ἀρετῆς αὐτῶν ἐνεργείας, διὰ τὸ ἡδεῖαν αὐτοῖς τὴν τοιαύτην εἶναι ζωὴν, καθὼς εἴρηται. Καὶ διὰ τοῦτο οὐδὲ λήθην αὐτῶν λαμβάνουσιν.

Ἐπεὶ τοίνυν οὐκ ἐν τῇ τύχῃ ἡ εὐδαιμονία συνίσταται, ἀλλ' ἐν ταῖς κατ' ἀρετὴν πράξεσιν, ὑπάρξει τὸ ζητούμενον τῷ εὐδαίμονι, τὸ μόνιμον δηλονότι αὐτῷ εἶναι τὸ ἀγαθὸν, καὶ ἔσται διὰ βίου εὐδαίμων. Ἀεὶ γὰρ ἢ μάλιστα πάντων πράξει καὶ θεωρήσει τὰς κατ' ἀρετὴν πράξεις καὶ θεωρίας.

Καὶ περὶ τὰς τύχας οἴσεται, καὶ ὑπὸ τῶν ἐναντίων οὐδεμίαν πείσεται μεταβο-

tamen ut ipſa felicitatis eſſentia, non in his, ſed in ea quæ ſecundum virtutem eſt functione conſiſtat, quemadmodum jam dictum eſt. Stabilis enim ac perpetua oportet ſit felicitas. Ideoq; in fortunæ muneribus non poteſt conſiſtere. Quod ipſum confirmat præſens quæſtio, quæ ex ea opinione tanquam fundamento quodam orta eſt, quæ ſtabilem eſſe præſupponit felicitatem. Nullum enim tam eſt ſtabile humanum opus, quam eæ quæ ſecundum virtutem inſtituuntur functiones: in quibus ponimus felicitatem. Etenim ipſis quoque ſcientiis ſtabiliores habentur. Rurſus inter has virtutes eæ quæ præſtantiſſimæ ſunt, ſimul quoque ſunt ſtabiliſſimæ: quia præcipue in iis, ac maxime continuo, felices vivunt homines: ita ut ne minimo quidem temporis intervallo abrumpatur ea, quam in bonis actionibus ponunt functio: quia hæc, ut dictum eſt, maxime eos vita delectat. Ac propterea nunquam eos earum capit oblivio. Ariſtot. l.1.c.10.

Quoniam ergo non in fortuna, ſed in iis quæ ſecundum virtutem fiunt actionibus, conſiſtat felicitas, hoc quoque adeſit felici quod quærimus, ut nimirum bonum habeat ſtabile, totoque vitæ tempore ſit felix. Semper enim, aut præ reliquis, actiones eas ac contemplationes aget & contemplabitur, quæ ſecundum virtutem fiunt. ὑπάρξει τὸ ζητούμενον, &c.

Sed & cum fortuna luctabitur, nec ab adverſis vel tantillum mutabitur, ſed con- Καὶ τὰς τύχας, &c.

ra

Ariſtot. l. 1. c. 10.

trà quæcunque ingruerint pulcherrime ac diligenter feret: quippe qui revera bonus ſit & ut & proverbio eſt, quadratus ſine probro.

Πολλῶν δὲ γινομένων, &c.

Cum autem multa eveniant à fortuna, quorum magna alia alia ſunt parva: ea quæ parva ſunt, ſecunda ſeu adverſa, nullam viro bono exhibebunt moleſtiam, neque ullam vitæ ejus mutationem adferent.

Τὰ δὲ μεγάλα, &c.

Magna vero, ſi ſecunda ſint, feliciorem ejus vitam efficient, ſi quidem felicitatem ea ornare ſolent, nec niſi in pulcherrimis rebus à bono viro adhibentur.

Ἀνάπαλιν δὲ συμβαίνοντα, &c.

Sin adverſa, premunt quidem felicitatem ejus ac lædunt, multiſque præclaris functionibus impedimento eſſe poſſunt: nihilominus tamen & in his præſtantia quædam elucet, ſi quis non difficulter multa ferre ac magna poſſit fortunæ incommoda, idque non quod omni doloris ſenſu ſit privatus, & ſtupore munitus, ſed quia generoſus eſt ac magnanimus.

Εἰ δ' εἰσὶν αἱ ἐνέργειαι, &c.

Si enim in iis quæ ſecundum virtutem fiunt functionibus felicitatis conſiſtit eſſentia, eæque hominis beati vitæ proprie conveniunt, nemo unquam qui beatus erit, miſer eſt futurus. Nunquam enim agit quæ odio ſunt digna aut improba. Hominem enim veré prudentem ac probum, omnem judicamus fortunæ faciem egregie ferre debere. Et quemadmodum optimus artifex in materia quacunque artem oſtendit ſuam; dux exempli gratia optimus, exercitu

λως, ἀλλ' οἴσει τὰ ἐπιόντα κάλλιστα καὶ ἐμμελέστατα ὅγε ὡς ἀληθῶς ἀγαθὸς, καὶ τετράγωνος, ἄνευ ψόγου.

Πολλῶν δὲ ὄντων τῶν ἐπιτυχημάτων ἀπὸ τῆς τύχης, καὶ τῶν μὲν μεγάλων ὄντων, τῶν δὲ μικρῶν, τὰ μὲν μικρὰ τῶν εὐτυχημάτων, ὁμοίως δὲ καὶ τῶν ἀτυχημάτων, οὐ παρέξει πράγματα τῷ σπουδαίῳ, οὐδὲ ἐπάξει τοῦ βίου μεταβολήν.

Τὰ δὲ μεγάλα καὶ πολλὰ, εὐτυχήματα μὲν ὄντα, μακαριώτερον τὸν βίον ποιήσει· καὶ γὰρ αὐτὰ συνεπικοσμεῖ τὴν εὐδαιμονίαν· χρῆσθαι γὰρ αὐτοῖς ὁ σπουδαῖος ἐπὶ τὰ κάλλιστα.

Ατυχήματα δὲ ὄντα θλίβει μὲν καὶ λυμαίνεται τὸν μακάριον, καὶ ἐμποδίζει πολλαῖς ἐνεργείαις, ὅμως δὲ καὶ ἐν τούτοις διαλάμπει τὸ καλὸν, ἐπειδὰν φέρῃ τις εὐκόλως πολλὰς καὶ μεγάλας ἀτυχίας, οὐ δι' ἀναλγησίαν καὶ ἀναισθησίαν ἀλλὰ γεννάδας ὢν καὶ μεγαλόψυχος.

Εἰ γὰρ ἐν ταῖς κατ' ἀρετὴν ἐνεργείαις ἡ μακαριότης ἔχει τὸ εἶναι, καὶ αὗται κύριαί εἰσι τῆς τοῦ εὐδαίμονος ζωῆς, οὐδεὶς ἂν γένοιτο τῶν μακαρίων ἄθλιος· οὐδέποτε γὰρ πράξει τὰ μισητὰ καὶ φαῦλα. Τὸν γὰρ ὡς ἀληθῶς ἔμφρονα καὶ ἀγαθὸν πάσας οἰόμεθα τὰς τύχας εὐσχημόνως φέρειν· καὶ καθάπερ ὁ ἄριστος τεχνίτης ἀπὸ τῆς τυχούσης ὕλης τὴν ἰδίαν ἐπιδείκνυται τέχνην, καὶ στρατηγὸς μὲν τῷ παρόντι στρατοπέδῳ, καὶ εἰ μὴ ἀξιο-

ἀξιόλογον εἴη, χρῆται πολεμικώτατα, καὶ ὁ σκυτοτόμος ὁ ἄριστος ἐκ τῶν δοθέντων σκυτῶν κάλλιστον ὑπόδημα ποιεῖ, τὸν αὐτὸν δὲ τρόπον καὶ οἱ ἄλλοι τεχνῖται ἅπαντες· οὕτω καὶ ὁ μακάριος οὐκ εὐπραγίαν ἀεὶ ζητήσει, ἀλλ᾽ ἐκ τῆς παρούσης τύχης, ἀεὶ τὰ κάλλιστα πράξει.

Καὶ διὰ τοῦτο ἄθλιος μὲν οὐδέποτε γένοιτ᾽ ἄν, ἀλλὰ μόνον οὐ μακάριος τῆς γε τύχης ἕνεκα, ἐὰν Πριαμικαῖς περιπέσῃ τύχαις.

Οὐδὲ δὴ ποικίλος γε καὶ εὐμετάβολος ἔσται· οὔτε γὰρ ἀπὸ τῆς εὐδαιμονίας κινηθήσεται ῥαδίως, οὔτε ὑπὸ τῶν τυχόντων ἀτυχημάτων, ἀλλ᾽ ὑπὸ μεγάλων ἴσως καὶ πολλῶν.

Καὶ οὐδὲ ὑπὸ τούτων ῥαδίως· ἐπεὶ καὶ ἀπαλλαγεὶς τῶν δυστυχημάτων * οὐκ ἐν ὀλίγῳ χρόνῳ πρὸς τὸ τέλειον ἀγαθὸν μεταπεσεῖται, οὗ μικρὸν παρέκλινε, διὰ τὸ μὴ εὐκίνητος εἶναι, ἀλλ᾽ ἐν πολλῷ χρόνῳ ἔσται τοιοῦτος, μεγάλων καὶ καλῶν ἐν τούτῳ γινόμενος ἐπιτυχής.

Τί οὖν κωλύει τὸν τοιοῦτον ἄνθρωπον εὐδαίμονα λέγειν, ὃς κατ᾽ ἀρετὴν τὴν τελείαν ἐνεργεῖ, δυστυχήσας δὲ τοῖς ἔξωθεν πάλιν εἰς τὴν εὐτυχίαν ἐπανελεύσεται, καὶ ἱκανῶς ὑπὸ τῶν ἐκτὸς χορηγηθήσεται ἀγαθῶν, οὐ τὸν τυχόντα χρόνον, ἀλλὰ τὸν μέχρι τελευτῆς, καὶ βιωσόμενος οὕτω καὶ τελευτήσας κατὰ λόγον. Προστίθημι δὲ καὶ τὰ ἔξωθεν ἀγαθὰ, διὰ τὸ τὴν εὐδαιμονίαν τέλος εἶναι

quem habet, licet non admodum ſit eximius, quam maxime militariter uti ſolet: optimus coriarius è corio quocunque pulcherrimum facit calceum, eodemque modo & cæteri artifices: ita & beatus non ſemper felicem ſucceſſum fortunæ petet, ſed pro fortuna præſenti, præſtantiſſimas actiones dabit.

Ideoque quod ad fortunam, miſer nunquam erit, ſed ſolummodo non beatus, ſi in eaſdem forte in quas olim Priamus calamitates incidat.

Sed nec varius erit aut mutabilis: quia neque à ſecundis rebus, neque ab adverſis quibuſcunque facile movebitur, ſed à magnis fortaſſe & plurimis.

Quamvis nec ab his facile; ſi quidem quotieſcunque ex adverſis emerſerit, non exiguo rurſus temporis ſpatio ad perfectam perveniet felicitatem, à qua ad tempus divertit: quia non facile movetur: ſed longo demum poſt tempore talis erit, atque interea magna illa ſua ac pulcherrima rurſus conſequetur bona.

Quid ergo felicem vetat dicere ejuſmodi hominem, qui ex præſcripto perfectæ operatur virtutis: & qui, ſi forte minus aliquando felix in externis fuerit, rurſus ad felicitatem redibit ſuam, ſatiſque rurſus ab his ipſis inſtructus erit, non exiguo tantum, ſed toto vitæ tempore: taliſque & vivet poſtea & morietur? Adjungo autem & externa bona, quia humanarum actionum finis eſt felicitas, ac

propte-

Ar. ſto. l. 1. c. 10.

Εἰ δ᾽ ἔτως, &c.

Οὐδ᾽ δὴ ποικίλος, &c.

Ἐκ τῆς τοιούτων, &c.

* Delendum videtur οὐκ.

Τί οὖν κωλύει, &c.

Ariſtor. l.1.c.11.

propterea perfectum eſſe debet hoc bonum, & ſine ullo defectu. Quod ſi hoc ita ſe habet, non poſt obitum de felicitate alicujus judicabimus, ſed dum vivit: ut pote qui & habet ea, & habebit ſemper, quæ jam diximus. Felicem autem, dico, felicitate humana: quæ non undique perfectum habet bonum. Atque hæc quidem de felicitate, quam non mortuis ſed viventibus tribuendam eſſe putamus, dicta ſint hactenus.

τῶν ἀνθρωπίνων πράξεων, καὶ διὰ τοῦτο προσήκειν τέλειον ἀγαθὸν εἶναι, καὶ μηδενὸς ἐλλείπειν. Εἰ δὲ τοῦτο οὕτως, οὐ μετὰ τὴν τελευτὴν μακαριοῦμεν τοὺς εὐδαίμονας, ἀλλὰ ζῶντας ἔτι, οἷς ὑπάρχει καὶ ὑπάρξει τὰ λεχθέντα. Μακαρίους δὲ, ὡς ἀνθρώπους τὴν ἀνθρωπίνην μακαριότητα, ἥ τις οὐ πάντη τέλειον ἔχει τὸ ἀγαθόν. Καὶ τὸ μὲν ὅτι δεῖ ζῶντας τοὺς εὐδαίμονας μακαρίζειν ἐπὶ τοσοῦτον εἰρήσθω.

CAP. XVIII. — ΚΕΦ. ιη.

Utrum fortunæ poſterorum participes fiant poſt obitum beati.

Εἰ κοινωνοῦσι τῆς τύχης τῶν ἀπογόνων οἱ μακάριοι μετὰ τελευτήν.

Cap. 11. Τὰς δὲ τῶν ἀπογόνων, &c.

AD alteram vero quæſtionem, in qua illud quærebatur, utrum ex infelicitate poſterorum aut amicorum aliqua ad beatos perveniat calamitas, nunc reſpondendum erit. Nihil igitur omnino à poſteris aliiſve propinquis, ſive ſecunda utantur fortuna ſive adverſa, pervenire ad beatos poſſe, à communione abhorret & conditione humana. Communioni namq; natus homo eſt. Sed & cum opinione pugnat communi. Omnibus enim videtur, communia eſſe amicorum omnia: cum vero multa beatorum eveniant propinquis, eaque ipſa diſſimilia ſint & diverſa, ita ut quædam magis, quædam minus ad felicitatem faciant, ſigillatim quidem ea velle diſtinguere, longum eſſet ac infinitum: quare ſufficiet ſi obi-

ΡΗτέον δὲ περὶ τὴν ἄλλην ἀπορίαν· εἰ ἐκ τῶν ἀπογόνων δυστυχούντων ἢ τῶν φίλων χείρονα δόξει τοῖς μακαρίοις τὰ πράγματα· τὸ μὲν οὖν μηδοτιοῦν ἐκ τῶν ἀπογόνων ἢ ἄλλως οἰκείων εἰς τοὺς εὐδαίμονας ἔρχεσθαι ἢ εὐτυχίας ἢ δυστυχίας, ἀκοινώνητόν ἐστι καὶ ἀλλότριον τῶν ἀνθρωπίνων· κοινωνικὸν γὰρ ὁ ἄνθρωπος. Καὶ πρός γε ἔτι καὶ ταῖς κοιναῖς δόξαις ἐναντίον. Κοινὰ γὰρ τὰ τῶν φίλων εἶναι πᾶσι δοκεῖ· πολλῶν δὲ ὄντων τῶν συμβαινόντων τοῖς οἰκείοις τῶν μακαρίων, καὶ παντοίας ἐχόντων διαφορὰς, καὶ τῶν μὲν μᾶλλον συντελούντων εἰς τὴν εὐδαιμονίαν, τῶν δὲ ἧττον, τὸ μὲν καθ' ἕκαστον διαιρεῖν αὐτὰ, μακρὸν καὶ ἄπειρον φαίνεται· εἰ δὲ ὁλοσχερῶς καὶ ὡς

ἐν τύπῳ εἰποιμὲν περὶ αὐτῶν, ἱκανῶς ἂν εἴη. Διαιρήσομεν τοίνυν καὶ ταῦτα, καθάπερ τὰ συμβαίνοντα δυστυχήματα τοῖς μακαρίοις, ὅτι τὰ μὲν μεγάλα, καὶ ἀξιόλογα, καὶ βάρος ἔχει πρὸς τὸν βίον. Τὰ δὲ μικρὰ καὶ ἐλαφρότερα. ἔχει δὲ διαφορὰν, ὅσα ζώντων ἔτι τῶν μακαρίων τοῖς οἰκείοις συμβαίνει, τῶν συμβαινόντων μετὰ τὴν αὐτῶν τελευτὴν, ὅσην ἔχει τὰ ἐν ταῖς τραγῳδίαις πλαττόμενα κακὰ τῶν προϋπαρξάντων πραγμάτων, ὧν ταῦτα σκιαί.

Σκεπτέον οὖν περὶ τῆς διαφορᾶς. Βέλτιον δὲ ἐστὶ σκέψασθαι εἰ κοινωνοῦσιν οἱ μακάριοι τοῖς οἰκείοις μετὰ τελευτὴν τῆς τύχης. Φαίνεται τοίνυν, ὅτι, εἰ καὶ ἔρχεταί τι πρὸς αὐτοὺς ἀπὸ τούτων, εἴτε ἀγαθὸν, εἴτε φαῦλον, ἀσθενὲς μέν τι καὶ μικρόν. Ἢ διότι καὶ τῇ ἑαυτοῦ φύσει μικρόν ἐστιν, ἢ ἐκείνοις μικρὸν, κἂν μέγα ὑπάρχῃ· διὰ τὸ μὴ ζῆν τὴν ἐνταῦθα ζωήν. εἰ δὲ ἔχει τινὰ δύναμιν, ἀλλ' οὐ τοσαύτην γε καὶ τοιαύτην, ὥστε ποιεῖν εὐδαίμονα τοὺς μὴ τοιούτους, ἢ τοὺς ὄντας ἀφαιρεῖσθαι τὴν μακαριότητα. Ὥστε ἔρχεται μέν τι ἀπὸ τῶν ζώντων τοῖς τεθνεῶσι· τοιαῦτα δὲ καὶ τοσαῦτα ὡς μηδεμίαν ἐπάγειν μεταβολήν.

ter ea, & quaſi pingui Minerva, percurramus. Diſtinguemus ergo hæc etiam, quemadmodum & reliqua, tam ſecunda quam adverſa, quæ eveniunt beatis. Alia nimirum magna eſſe & eximia, hoc eſt, talia, ut pondus aliquod & momentum ad vitam habeant: alia vero parva ac leviora. Jam primum ergo differunt tantum, quæ viventibus adhuc beatis, eorum eveniunt propinquis, ab iis quæ poſt obitum eorum: quantum differunt ea quæ in tragœdiis repræſentantur mala, à malis ipſis, quorum hæc tantum umbræ ſunt.

Aristot. l. 1. c. 11.

Videndum igitur quantum inter ſe differant. Ac fortaſſe præſtabit hoc ipſum videre: utrum quos beatos dicimus, fortunæ illius, quam experiuntur propinqui, ſint participes poſt mortem. Videtur certe, quamvis aliquid ad eos aut bonum perveniat aut malum, leve hoc eſſe & exiguum. Vel quod per ſe leve ſit & exiguum, vel quod illis ſit tale, quamvis per ſe magnum ſit: quia hac vita ſemel ſunt defuncti. Quod ſi vim habeat quandam, certe non tantam aut talem, ut vel felices eos faciat qui non ſunt, aut iis qui ſunt felicitatem eripiat ſuam. Ita ut aliquid à viventibus perveniat ad mortuos: quæ tamen omnia talia ſunt & tantilla, ut nullam omnino ſecum mutationem adferant.

Μᾶλλον δ' ἴσως τὸ διαπορεῖσθαι, &c.

CAP.

CAP. XIX.

Felicitatem ex iis eſſe, quæ honoranda dicimus.

Cap. 12. Διωρισμένων δὲ τούτων, &c.

Cum hæc ita ſemel definita ſint: videamus & hoc de felicitate. Utrum inter facultates, an vero ea quæ laudanda aut quæ honoranda dicimus, ponenda ſit felicitas. Ac facultatis quidem nomine, habitus intelligimus artium: ſicut gubernatoriæ aut medicæ, gubernare poſſe aut mederi. Laudanda vero, quæ jam ſucceſſerunt, & in actum ſunt producta. Sicut honoranda, quæ divina ſunt, & reliquis majora. Quæ cum ita ſint, quærendum, quid ex his omnibus ſit felicitas. Ac primo quidem facultas eſſe non poteſt. Eſt enim bonum perfectum: facultas autem imperfecta eſt. Præterea felicitas non numeratur cum multis, contra vero facultas: multæ enim ſunt facultates. Felicitas ergo non eſt facultas. Sed neque inter laudanda poteſt poni: id enim laudatur quod boni alicujus eſt particeps: ſicut juſtum fortemve hominem laudamus aut qui ulla ratione ſit bonus: aut ipſam denique virtutem: quia boni alicujus qualitatis eſt particeps, & ad bonum quodammodo refertur & honeſtum. Quare & ii qui Deos laudant, ſunt ridiculi, quia quodammodo eos nobis æquare videntur: idque propterea, quia laudes omnes reciproce quodam modo fiunt ad bonum & relate. Talia igitur ſunt quæ laudan-

Εἰ δ' ἐστὶν ἔπαινος, &c.

ΚΕΦ. ιθʹ.

Ὅτι τῶν τιμίων ἡ εὐδαιμονία.

Διωρισμένων δὲ τούτων, σκεψώμεθα περὶ τῆς εὐδαιμονίας, πότερον τῶν δυνάμεων ἐστὶν, ἢ τῶν ἐπαινετῶν, ἢ τῶν τιμίων ἡ εὐδαιμονία· καὶ δυνάμεις μέν εἰσιν, αἱ ἕξεις τῶν τεχνῶν· οἷον κυβερνητικῆς ἢ ἰατρικῆς, δῆλον ὅτι τὸ δύνασθαι ἰατρεύειν ἢ κυβερνᾶν· ἐπαινετὰ δὲ, τὰ ἤδη κατορθωθέντα, καὶ εἰς ἐνέργειαν ἐλθόντα ἀγαθά. Τίμια δὲ, τὰ θεῖα καὶ ὑπὲρ ταῦτα. Τούτων οὕτως ἐχόντων, ζητητέον τί τούτων ἐστὶν ἡ εὐδαιμονία· δύναμις μὲν οὖν οὐκ ἔστιν. Ἔστι γὰρ τέλειον ἀγαθόν· ἡ δὲ δύναμις ἀτελές. Ἄλλως τε ἡ μὲν εὐδαιμονία οὐ συναριθμεῖται πολλοῖς, ἡ δὲ δύναμις τοιαύτη· πολλαὶ γὰρ δυνάμεις· ἡ εὐδαιμονία ἄρα οὐκ ἔστι δύναμις. Καὶ μὴν οὐδὲ τῶν ἐπαινετῶν ἐστίν· ἐπαινεῖται γὰρ ἃ μετέχει τινὸς ἀγαθοῦ. Τὸν γὰρ δίκαιον καὶ τὸν ἀνδρεῖον, καὶ ὅλως τὸν ἀγαθὸν, καὶ τὴν ἀρετὴν ἐπαινοῦμεν, διὰ τὸ ποιότητός τινος ἀγαθοῦ μετέχειν, καὶ σχέσιν ἔχειν πρὸς ἀγαθόν τι καὶ σπουδαῖον. Διὰ τοῦτο καὶ οἱ τοὺς θεοὺς ἐπαινοῦντες γελοῖοί εἰσιν, ἡμῖν αὐτοὺς ἐξισοῦντες. Τοῦτο δὲ συμβαίνει, διὰ τὸ γίνεσθαι τοὺς ἐπαίνους ἕνεκα τῆς πρὸς τὸ ἀγαθὸν ἀναφορᾶς καὶ σχέσεως.

Τὰ μὲν οὖν ἐπαινετά, τοιαῦτα

τα· ἡ εὐδαιμονία δὲ οὐ τοιοῦτον·
ἔστι γὰρ τὸ ἀγαθὸν καὶ τὸ ἄριστον.
Τοῦ δὲ ἀγαθοῦ καὶ τοῦ ἀρίστου οὐκ
ἔστιν ἔπαινος· οὐ γὰρ πρός τι
ἀναφέρεται ἀγαθόν. Διὰ τοῦ-
το οὐδὲ τοὺς θεοὺς ἐπαινοῦμεν,
ἀλλὰ μακαρίζομεν, καὶ εὐδαι-
μονίζομεν. Ὁμοίως δὲ καὶ τῶν
ἀνδρῶν τοὺς θειοτάτους, καὶ τὰ
ἀγαθὰ, ὅσα δι' ἑαυτά εἰσιν
ἀγαθὰ, οἷά ἐστιν ἡ εὐδαιμο-
νία. Οὐδεὶς γὰρ τὴν εὐδαιμο-
νίαν ἐπαινεῖ καθάπερ τὸ δί-
καιον, ἀλλ' ὡς θειότερόν τι καὶ
βέλτιον μακαρίζει. Ἐπεὶ τοί-
νυν τὰ μὲν ἐπαινετὰ, διά τι
τέλος ἀγαθὸν ἐπαινοῦνται, ἡ
δὲ εὐδαιμονία εἰς οὐδὲν ἀνα-
φέρεται τέλος (ἔστι γὰρ αὐτὴ
τὸ ἔσχατον τέλος) οὐκ ἂν εἴη
τῶν ἐπαινετῶν· λείπεται δὴ
τῶν τιμίων εἶναι. Τούτῳ δὲ
τῷ λόγῳ καὶ ὁ Εὔδοξος μαρ-
τυρεῖ· τὴν γὰρ ἡδονὴν βουλό-
μενος δεῖξαι ἄριστον εἶναι καὶ
τέλειον ἀγαθὸν, ἀπὸ τούτου
ἔλεγε δείκνυσθαι, ὅτι οὐκ ἔστι
τῶν ἐπαινετῶν ἀλλὰ βέλτιον
τούτων, ἀπὸ τοῦ μὴ ἐπαινεῖσθαι,
ἀγαθὸν οὖσαν· τοιοῦτον δὲ ἔλε-
γεν εἶναι τὸν θεὸν καὶ τὸ ἀγα-
θόν. Πρὸς ταῦτα γὰρ καὶ τ'
ἄλλα ἀναφερόμενα, ἀγαθὰ
λέγεσθαι καὶ ἐπαινετὰ εἶναι· ἐ-
παινεῖται μὲν γὰρ ἡ ἀρετὴ, ὅτι
πρακτικοὶ γίνονται οἱ ἄνθρωποι
τῶν καλῶν ἀπὸ ταύτης· ἐγ-
κωμιάζονται δὲ τὰ ἔργα ὁ-
μοίως καὶ ἀγαθὰ, τά τε σω-
ματικὰ, καὶ τὰ ψυχικὰ, ὅτι
πρός τι τέλος φέρουσιν ἀγα-
θόν· αὐτὴ δὲ ἡ εὐδαιμονία,
οὐκ ἂν ἐπαινεθείη· οὐ γὰρ πρός
τι τέλος ἀγαθὸν φέρει·
αὐτὴ γάρ ἐστι τὸ ἔσχατον τέλος,

da vocamus. Felicitas autem
non eſt talis. Eſt enim ipſa Ariſtot.
bonum & optimum. Quod ve- 1.l.c.12.
ro bonum eſt & optimum, lau-
dari non poteſt: nec enim ad
aliquod refertur bonum. Qua-
re neque Deos ipſos laudamus,
ſed felices & beatos dicimus:
eodemque modo homines divi-
nos, eaque bona, quæ per ſe
ſunt talia: qualis eſt felicitas.
Nemo enim felicitatem, ſicut
id quod juſtum eſt, laudat:
ſed tanquam divinius quid ac
melius, beatum judicat. Quo-
niam ergo quæ laudanda dici-
mus, bonum aliquem ob finem
laudantur, nullum vero ad fi-
nem refertur felicitas (ipſa e-
nim ultimus eſt finis) ſequitur
nec inter laudanda ponendam
eam eſſe: quare reſtat, ut in-
ter honoranda collocetur. Hanc
vero opinionem & Eudoxus
confirmat. Etenim & volupta-
tem optimum oſtendat & per-
fectum bonum eſſe, ex eo pro-
bari poſſe voluit, non eſſe eam
è laudandis, ut quæ ſit præ-
ſtantior: quia non laudatur,
cum tamen ſit bonum. Talia
autem dicebat Deum eſſe, &
ipſum bonum. Horum enim
reſpectu reliqua quoque bona
dici & laudanda eſſe. Lauda-
tur enim virtus, quia præclaris
ab ea actionibus idonei red-
duntur homines: eodemq; modo
geſta quoque præclara, ſive cor-
poris ea ſint ſive animæ, enco-
miis extollimus, quia ad bonum
aliquem referuntur finem. Ipſa
vero nunquam laudari poterit
felicitas: neque enim ad bonum
tendit finem: cum ipſa, ut iam

Ariſtot. l.1.c.13.

diximus, extremus ſit finis. Cæterum de laudibus & encomiis agere, & quibus ea tribui ſoleant, non eſt hujus argumenti. Magis enim convenit aliis. Nobis vero de propoſita re eſt agendum. Patet certe ex iis quæ dicta ſunt, ad ea quæ honoranda ſunt & perfecta, referendam eam eſſe. Quin & principium reliquorum videtur bonorum & cauſa: ſiquidem ejus cauſa facimus & reliqua. Principium vero bonorum & cauſam, inter honoranda & divina ponimus.

καθὼς εἴρηται. Ἀλλὰ τὸ μὲν περὶ ἐπαίνων καὶ ἐγκωμίων λέγειν τίσιν ἁρμόττει, οὐκ ἔστιν ἡμῖν προκείμενον· οἰκειότερον γὰρ ἄλλοις· ἡμῖν δὲ περὶ τοῦ προκειμένου ῥητέον. Φαίνεται μὲν οὖν ἀπὸ τῶν εἰρημένων, ὅτι ἐστὶ τῶν τιμίων καὶ τελείων. Φαίνεται δὲ καὶ ἀρχὴ καὶ αἰτία τῶν ἄλλων ἀγαθῶν· ταύτης γὰρ χάριν τὰ ἄλλα πράττομεν· τὴν δὲ ἀρχὴν καὶ τὸ αἴτιον τῶν ἀγαθῶν τίμιον καὶ θεῖον τίθεμεν.

CAP. XX.

De virtute: in quo & de facultatibus animæ.

Cap. 13. Ἐπεὶ δ᾽ ἐστὶν ἡ εὐδαιμονία, &c.

QUoniam ergo animæ ſecundum perfectam virtutem functio, eſt felicitas: videamus de virtute. Quæ quidem conſideratio, multum hanc de felicitate diſputationem illuſtrabit noſtram. Sed & vero politico videtur convenire ut de ea agat. Studet enim quam maxime bonos efficere cives, ac ſubjectos legibus: quemadmodum Cretenſes legiſlatores ac Lacedæmonii: aut ſi qui alii his ſimiles fuerunt. Quare neque aliena videtur eſſe hæc quæſtio, ab eo, quem ſupra nobis propoſuimus, ſcopo: qui de fine nimirum civilis erat ſcientiæ.

Περὶ ἀρετῆς δ᾽, &c.

De virtute ergo nunc agendum eſt, & quidem humana: ſiquidem & à principio humanum quærebamus bonum.

ΚΕΦ. κ'.

Περὶ ἀρετῆς· ἐν ᾧ περὶ τῶν δυνάμεων τῆς ψυχῆς.

ΕΠεὶ δέ ἐστιν ἡ εὐδαιμονία ψυχῆς ἐνέργεια κατ᾽ ἀρετὴν τελείαν, σκεψώμεθα περὶ τῆς ἀρετῆς· ἡ γὰρ περὶ αὐτῆς σκέψις, σαφέστερον ποιήσει τὸν περὶ τῆς εὐδαιμονίας λόγον. Φαίνεται δὲ, ὅτι καὶ ὁ κατ᾽ ἀλήθειαν πολιτικὸς περὶ αὐτῆς σκέπτεται· βούλεται γὰρ ἀγαθοὺς ποιεῖν τοὺς πολίτας καὶ τῶν νόμων ὑπηκόους, καθάπερ οἱ Κρητῶν καὶ Λακεδαιμονίων νομοθέται, καὶ εἴ τινες ἕτεροι τοιοῦτοι γεγένηνται· ὥστε δῆλον ὅτι ἡ ζήτησις αὕτη ἀκόλουθος ἂν εἴη τῷ ἐξ ἀρχῆς τοῦ λόγου σκοπῷ. Ἦν γὰρ ἐκεῖνος περὶ τοῦ τέλους τῆς πολιτικῆς.

Περὶ ἀρετῆς τοίνυν ἐπισκεπτέον, ἀνθρωπίνης δηλονότι· ἐπεὶ καὶ ἐξ ἀρχῆς τὸ ἀνθρώπινον ἀγαθὸν ἐζητοῦμεν.

Ἐπεὶ

Ἐπεὶ τοίνυν ἡ ἀνθρωπίνη ἀρετὴ οὐ τοῦ σώματός ἐστιν, ἀλλὰ τῆς ψυχῆς· καὶ τὴν εὐδαιμονίαν γὰρ ψυχῆς ἐνέργειαν λέγομεν, ὁ πολιτικὸς δὲ σκέπτεται περὶ τῆς ἀνθρωπίνης ἀρετῆς· δῆλον ὅτι δεῖ τὸν πολιτικὸν εἰδέναι πῶς ἔχει τὰ περὶ ψυχήν· ὥσπερ καὶ τὸν μέλλοντα ὀφθαλμὸν θεραπεύσειν, τοῦ σώματος παντὸς τὴν γνῶσιν ἔχειν ἀνάγκη. Καὶ τοσούτῳ πλέον ὁ πολιτικὸς δικαίως εἴσεται τὰ περὶ ψυχήν, ἢ ὁ ἰατρὸς τὸ σῶμα, ὅσῳ βελτίων ἡ πολιτικὴ τῆς ἰατρικῆς, καὶ τιμιωτέρα. Καὶ οἱ βέλτιστοι δὲ τῶν ἰατρῶν πολλὰ πραγματεύονται περὶ τὴν τοῦ σώματος γνῶσιν. Ὥστε εἰκὸς ἂν εἴη τὸν πολιτικὸν περὶ τῆς ψυχῆς εἰδέναι. Θεωρητέον δὲ περὶ ψυχῆς τοσαῦτα, ὅσα ἀρκέσει ἡμῖν πρὸς τὸν προκείμενον περὶ ἀρετῆς λόγον· τὸ γὰρ ἐπὶ πλεῖον ἐξακριβῶσαι περὶ ψυχῆς, ἢ τὸν καθόλου περὶ αὐτῆς ἐκθέσθαι λόγον, μεῖζον ἔργον ἐστὶ τῶν προκειμένων.

Περὶ ψυχῆς τοίνυν οὐ μόνον ἐν συγγράμμασιν, ἀλλὰ καὶ ἀπὸ στόματος πρὸς τοὺς ἐντυγχάνοντας ἀρκούντως εἴπομεν ἔνια· καὶ χρηστέον αὐτοῖς. Λέγομεν τοίνυν, ὅτι τῆς ψυχῆς τὸ μὲν λογικόν ἐστι, τὸ δὲ ἄλογον. Ταῦτα δὲ πότερον κεχωρισμένα εἰσὶν ἀλλήλων, καθάπερ τὰ τοῦ σώματος μέρη, καὶ τὰ ἄλλα τὰ μεριστά, ἢ πράγματι μὲν ἕν εἰσι, λόγῳ δὲ δύο, καθάπερ ἐν τῇ περιφερείᾳ τὸ κυρτὸν καὶ τὸ κοῖλον ἓν μὲν γάρ εἰσι πρᾶγμα, καὶ ἀχώριστα πέφυκε, τῷ ὁρισμῷ δὲ

Quoniam ergo virtus hominis, non corporis eſt ſed animæ, (nam & felicitatem, animæ functionem dicebamus) virtutem autem hominis conſiderat politicus: neceſſe eſt hæc quoque ſcire politicum, quæ de anima traduntur. Non aliter quam qui curaturus eſt oculum, totum noviſſe humanum corpus debet: tanto magis autem politicus animam quam medicus corpus, quanto civilis ſcientia & melior eſt medica magiſque honoranda. Sed & multum operæ in cognitione corporis ponere videmus medicos præſtantes: unde ſequitur, conditiones quoque animæ perſpectas debere eſſe politico. Eatenus autem de anima agendum eſt, quatenus præſenti de virtute diſputationi ſufficit. Omnia enim quæ ad eam ſpectant, velle accurate perſequi, & in genere de ea diſſerere, majus quam pro inſtituto noſtro, in quo jam verſamur, opus eſt.

Ariſtot. l. 1. c. 13.

Porro de anima, non in ſcriptis tantum quibuſdam, ſed & viva voce apud auditores noſtros nonnulla ſatis luculenter tradidimus: quibus qui volent hoc loco utantur. Dicimus ergo, partem aliam animæ compotem rationis, aliam expertem eſſe. Hæc vero utrum ſeparata ſint à ſe mutuo, quemadmodum vel partes corporis, vel reliqua ſunt quæ dividuntur; an contra, re ipſa unum ſint idemque, verbo autem diverſa, quemadmodum curvũ in circumferentia & concavum (quæ cum idem ſint revera nec poſſint disjungi defini-

Λέγεται δὲ περὶ αὐτῆς, &c.

Ariſtot. l. 1. c. 13

tione tamen differunt: alia enim circumferentiæ eſt definitio, qua cava, alia qua curva) hæc dico velle quærere: plane præter inſtituti noſtri eſt rationem. Quare de eo, quæ ratione caret, dicamus. Hujus ergo partis rurſus pars alia eſt, quæ vegetativa dicitur: ita eam voco quæ nutriendi vim & augendi habet: quæ quidem omnibus quoque & plantis communis eſt & animalibus. Si quidem hanc facultatem cunctis quæ aluntur recte poſſis tribuere, ut & imperfectis in utero fœtibus: quamvis eadem quoque in adultis ſit hominibus: nam aliam iis velle tribuere, abſurdum eſſet. In hac ergo facultate virtus non reperietur proprie hominis, ſed quædam omnibus communis. Talis enim virtus, qua vel nutritur corpus vel incrementum capit, etiam in dormientibus operatur: ac tum certe maxime. Virtus vero hominis, minime. Qui enim bonus aut malus eſt, minime in ſomno diſcernitur. Ac propterea vulgo dicunt, medio vitæ tempore, nihil differre à felicibus miſeros: quamdiu nimirum dormiunt. Nec immerito. Eſt enim quaſi torpor quidam ſomnus, tam probæ animæ quam improbæ. Niſi quis hoc dicat: honeſtorum propterea hominum ſomnos meliores eſſe, quoniam diurni quodammodo motus ad ſomnos quoque ſe extendunt: ac ob eam cauſam eas quæ in ſomnis offeruntur imagines viris probis, magis quoque bonas eſſe, quam quæ reliquis. Sed de his ſatis. Pars

διαφέρουσιν· ἄλλος γὰρ ὁ ὁρισμὸς τῆς περιφερείας καθὸ κοίλης, καὶ ἄλλος καθὸ κυρτῆς· τοῦτο μὲν ἐν ζητεῖν οὐδὲν συντείνει πρὸς τὴν προκειμένην μέθοδον. Ἐροῦμεν δὲ περὶ τοῦ ἀλόγου. Ἔστι τοίνυν τοῦ ἀλόγου τῆς ψυχῆς τὸ μὲν φυτικὸν, λέγω δὲ τὸ θρεπτικὸν καὶ αὐξητικὸν, ὅπερ κοινόν ἐστι καὶ τοῖς φυτοῖς καὶ τοῖς ζώοις πᾶσιν· αὕτη γὰρ ἡ δύναμις ἐν ἅπασι τοῖς τρεφομένοις ἐστὶ, καὶ ἐν τοῖς ἐμβρύοις· ἡ αὐτὴ δὲ καὶ ἐν τοῖς τελείοις τῶν ἀνθρώπων ἐστίν· οὐ γὰρ ἄλλην εὔλογον λέγειν. Ἐν ταύτῃ μὲν οὖν τῇ δυνάμει οὐκ ἔστιν εὑρεῖν ἰδίως ἀρετὴν ἀνθρωπίνην, ἀλλὰ κοινὴν ἅπασιν. Ἡ γὰρ τοιαύτη ἀρετὴ, τὸ τρέφεσθαι καὶ αὐξάνεσθαι, καὶ ὑπνώττουσιν ἐνεργεῖται, καὶ μάλιστα τότε· ἡ δὲ ἀνθρωπίνη ἀρετὴ, οὐδαμῶς· ὁ γὰρ ἀγαθὸς καὶ κακὸς ἥκιστα διάδηλος ὑπνώττων. Καὶ διὰ τοῦτό φασι μηδὲν διαφέρειν τὸ ἥμισυ τοῦ βίου, τὸν τοῦ ὕπνου καιρὸν δηλονότι, τοὺς εὐδαίμονας τῶν ἀθλίων καὶ εἰκότως· ἀργία γὰρ ἐστὶν ὁ ὕπνος καὶ τῇ σπουδαίᾳ καὶ τῇ φαύλῃ ψυχῇ. Πλὴν εἰ μή τις ἐκεῖνο εἴποι, ὅτι καὶ οἱ ὕπνοι τῶν σπουδαίων βελτίους, τῶν μεθημερινῶν κινήσεων τρόπον τινὰ καὶ ἐπὶ τοὺς ὕπνους διερχομένων· καὶ διὰ τοῦτο τῶν καθ' ὕπνους φαντασμάτων ἀμεινόνων τοῖς σπουδαίοις γινομένων, ἢ τοῖς τυχοῦσιν, ἀλλὰ περὶ τούτων ἅλις. Τὸ γὰρ θρεπτικὸν

θρεπτικὸν ἄμοιρον τῆς ἀνθρωπίνης ἀρετῆς, περὶ ἧς ἡμῖν ὁ λόγος. Ἔστι δὲ καὶ ἄλλη τὶς φύσις τῆς ψυχῆς οὐ πάντη ἄλογος κατὰ τὴν εἰρημένην, ἀλλὰ πῃ μετέχουσα λόγου, καὶ μαχομένη πρὸς τὸν λόγον· δι' ὃ καὶ τὸν τοῦ ἐγκρατοῦς λόγον, καὶ τὸν τοῦ ἀκρατοῦς. δὲ, ἐνίοτε ἐπαινοῦμεν, ὅτι ἀντέχουσι πρὸς τὸ ἀντιτεῖνον· ὁ μὲν, μέχρις οὗ δεῖ, ὁ δὲ, ἐνίοτε καὶ μέχρι τινός. Καὶ διὰ τοῦτο φαίνεται ἀλλό τι ὂν ἐν αὐτοῖς παρὰ τὸν λόγον, ὃ μάχεται καὶ ἀντιτείνει τῷ λόγῳ. Ἀτεχνῶς γὰρ, καθάπερ τὰ παραλελυμένα τοῦ σώματος μόρια, εἰς τὰ δεξιὰ προαιρουμένων κινῆσαι, τοὐναντίον καὶ εἰς τὰ ἀριστερὰ παραφέρεται, οὕτω καὶ ἐπὶ τῆς ψυχῆς. Ἐπὶ τἀναντία γὰρ αἱ ὁρμαὶ τῶν ἀκρατῶν φέρονται τῆς τοῦ λόγου κινήσεως. Ἀλλ' ἐν τοῖς σώμασι μὲν ὁρῶμεν τὸ παραφερόμενον, ἐπὶ δὲ τῆς ψυχῆς οὐχ ὁρῶμεν. Εἰ δὲ καὶ μὴ ὁρᾶται, ὅμως δεῖ καὶ νομιστέον εἶναί τι παρὰ τὸν λόγον ἐναντιούμενον τούτῳ, καὶ ἀντιβαῖνον· πῶς δὲ, πρὸς τὸ προκείμενον λέγειν οὐδὲν συντελεῖ. Φαίνεται δὲ καὶ τοῦτο λόγου μετέχον, ὥσπερ εἴπομεν, καθόσον τῷ λόγῳ πειθαρχεῖ. Καὶ γὰρ τῷ τοῦ ἐγκρατοῦς λόγῳ, τοῦτο γε ἄλογον, τὸ θυμικὸν λέγω καὶ τὸ ἐπιθυμητικὸν, ἄγεται καὶ πείθεται. Ἔτι δὲ μᾶλλον πείθεται καὶ εὐηκοώτερόν ἐστι τῷ λόγῳ τοῦ σώφρονος καὶ ἀνδρείου· ἐν αὐτῷ γὰρ πάντη τῷ λόγῳ συμφωνεῖ. Ὥστε φαίνεται τὸ ἄλογον τῆς

certe nutritiva, virtutem hominis non habet: de qua nunc loquimur. Videtur autem & alia quædam eſſe animæ natura, non plane expers rationis, ut ſuperior: ſed quæ quodammodo rationis eſt particeps, & quodammodo pugnat cum ea. Quare continentis interdum & incontinentis rationem laudamus, quia non cedunt ſtatim, ſed in contrarium nituntur. Alter quamdiu oportet, alter ad tempus. Ac propterea aliquid in ea videtur eſſe præter rationē, quod pugnat cum ratione, & contra nititur. Plane enim quemadmodum reſolutæ corporis partes, ſi in dextrum eas movere ſtudeas, contra in ſiniſtrum feruntur: ſic & in anima. In contrarium enim quam à ratione trahuntur, appetitus feruntur incontinentium. Motum autem hunc contrarium, in corporibus quidem videmus, in anima vero non item, quamvis autem non videatur, nihilominus & eſt & eſſe putandum eſt, præter rationem aliquid, quod cum ea pugnat & quaſi congreditur. Id autem quomodo fiat, hujus inſtituti non eſt dicere. Videtur certè & hoc eſſe rationis particeps, quatenus rationi paret. Etenim à ratione viri continentis pars altera quæ ſine ratione eſt, in qua iræ vis & lubidinis ſedem habet ſuam, ducitur ac paret. Magis vero in temperante ac forti paret & obſequitur; in quo omnia cum ratione conſentiunt. Quamobrem duplex in anima videtur pars rationis expers. Altera ſine ratione prorſus: vege-

Ariſtot. l.1.c.13.

Ariſtot. l.1.c.13. tativa dico, quæ nutritioni ſervit nimirum & augmento. Altera quæ ex parte rationis eſt particeps, in qua bilis ſedem collocamus & lubidinis, quæ eatenus rationis dicitur particeps eſſe, quatenus audit eam, moremque ei gerit. Cæterum eam quæ ratione caret partem, à ratione tamen perſuaderi, vel ex admonitionibus, adhortationibuſque & objurgationibus apparet. His enim multi qui ſine ratione ſunt motus, in ordinem rediguntur. Dupliciter autem dicitur, rationis eſſe participem, ſicut & rationem habere. Dicimus enim aliquem patris & amicorum rationem habere, qui parentes diligenter curat aut amicos, & quæ ab iis jubentur, exequitur. Dicimus & mathematicarum diſciplinatum rationem habere aliquem, qui eas novit, aut peritiam earum aliquam habet, vel ſcientiam. Eodem quoque modo dupliciter aliquid dicitur rationis particeps. Primo proprie & in ſe, ſicut pars rationalis: ſecundo improprie, ut altera, quæ quia rationi paret ſicut aliquis patri, rationis quoque particeps dicitur.

Sed & ipſa ſecundum hanc differentiam dividitur virtus. Alias enim *διανοητικὰς* dicimus, quæ ad rationalem referuntur partem, alias *ἠθικὰς*, quæ ad alteram, in qua bilis ſedem collocamus & lubidinis. Et *διανοητικαὶ* quidem ſunt ſapientia, intelligentia, & prudentia. Morales, liberalitas, & temperantia. Nec enim ſo-

ψυχῆς διττὸν εἶναι, τὸ μὲν πάντη ἄλογον, τὸ φυτικὸν, τὸ αὐξητικὸν δηλονότι, καὶ θρεπτικόν. Τὸ δὲ πῆ λόγου μετέχον, τὸ θυμικὸν καὶ ἐπιθυμητικόν. Τοῦτο γὰρ κοινωνεῖ λόγου, καθ' ὅσον κατήκοόν ἐστιν αὐτοῦ καὶ πειθαρχικόν. Ὅτι δὲ πείθεταί πως ὑπὸ λόγου τὸ ἄλογον, φανερὸν ἀπὸ τῶν νουθετήσεων, καὶ τῶν παρακλήσεων, καὶ ἐπιτιμήσεων· ἀπὸ τούτων γὰρ πολλαὶ τῶν ἀλόγων κινήσεων ῥυθμίζονται. Διττῶς δὲ λέγεται τὸ λόγου μετέχειν, καθάπερ καὶ τὸ λόγον ἔχειν. Λέγομεν γὰρ τοῦ πατρὸς καὶ τῶν φίλων λόγον ἔχειν, τὸ ἐπιστρέφεσθαι πρὸς αὐτοὺς, καὶ οἷς κελεύουσιν ἐξακολουθεῖν. Λέγομεν δὲ καὶ τῶν μαθηματικῶν λόγον ἔχειν, τὸ εἰδέναι αὐτὰ, καὶ γνῶσίν τινα καὶ ἐπιστήμην αὐτῶν ἔχειν. Κατὰ τοῦτον τὸν τρόπον διπλῶς λέγεται καὶ τὸ λόγου μετέχειν· τὸ μὲν κυρίως καὶ ἑαυτῷ, ὥσπερ αὐτὸ τὸ λογικόν· τὸ δὲ διὰ τὸ ἐκείνῳ πειθαρχεῖν λόγου μετέχειν λέγεται, ὥσπερ τις τῷ πατρὶ πείθεται.

Διαιρεῖται δὲ καὶ ἡ ἀρετὴ κατὰ τὴν διαφορὰν ταύτην. Λέγομεν γὰρ αὐτὰς, τὰς μὲν διανοητικὰς, αἳ τοῦ λογικοῦ εἰσί· τὰς δὲ ἠθικὰς, αἳ τοῦ θυμικοῦ καὶ ἐπιθυμητικοῦ εἰσί. Καὶ διανοητικαὶ μὲν εἰσι, σοφία, σύνεσις, καὶ φρόνησις· ἠθικαὶ δὲ, ἐλευθεριότης, καὶ σωφροσύνη. Ὅταν γὰρ περὶ τοῦ ἤθους λέγομεν,

λέγομεν τὸν ἄνθρωπον σοφὸν ἢ συνετὸν, ἀλλὰ πρᾶον καὶ σώφρονα. Ἐπαινοῦμεν δὲ τὸν σοφὸν, διὰ τὴν ἀγαθὴν ἕξιν, ἥτις ἐστὶν ἀρετή. Τὰς γὰρ ἐπαινετὰς ἕξεις, ἀρετὰς λέγομεν.

lemus, cum de moribus loquimur, ſapientem aut intelligentem, ſed mitem dicere aliquem aut temperantem. Quin & à bono habitu laudamus ſapientem, quæ eſt virtus. Habitus enim laude dignos, virtutes vocamus.

Ariſtot. l.1,c.13.

ARISTOTELIS ETHICORUM
LIBER II.

CAP. I. / ΚΕΦ. α.

Ariſtot. l.2. c.1. *Virtutem neque à natura neque præter naturam eſſe, ſed conſuetudine generari.*

Ὅτι οὔτε φύσει, οὔτε παρὰ φύσιν ἐν ἡμῖν γίνονται αἱ ἀρεταὶ, ἀλλὰ ἀπὸ τοῦ ἔθους.

Lib. 2. Cap. 1. Διττῆς δὲ τῆς ἀρετῆς, &c.

Quoniam ergo animæ perfectio eſt virtus, animæ vero pars alia rationi alia appetitui deſtinata eſt duplicem quoque neceſſe eſt eſſe virtutem. Alteram quidem ejus partis quam διανοητικὴν Græci dicunt, ſicut ſapientia, & prudentia: alteram illius quæ appetit, quam moralem vocant. Et illa quidem quam διανοητικὴν dicunt, partim à natura initium habet (capax enim diſciplinæ eſt homo) partim à conſuetudine quoque promovetur. Potiſſimum tamen à doctrina & originem & incrementum capit, quare & experientiam requirit &

Ἐπεὶ δὲ ἡ ἀρετὴ τῆς ψυχῆς ἐστὶ τελειότης, τῆς ψυχῆς δὲ τὸ μὲν ἐστὶ λογικόν, τὸ δὲ ὀρεκτικόν, διπλῆν ἀνάγκη καὶ τὴν ἀρετὴν εἶναι. Καὶ τὴν μὲν τοῦ διανοητικοῦ, ἥ τις ἐστὶν ἡ σοφία καὶ ἡ φρόνησις, τὴν δὲ τοῦ ὀρεκτικοῦ, ἥτις ἠθικὴ καλεῖται. Καὶ ἡ μὲν διανοητικὴ ἔχει μὲν καὶ ἀπὸ τῆς φύσεως τὴν ἀρχὴν (δεκτικὸν γὰρ ὁ ἄνθρωπος ἐπιστήμης) καὶ ἀπὸ ἤθους αὔξησιν λαμβάνει τινά· τὸ δὲ πλέον ἀπὸ τῆς διδασκαλίας καὶ τὴν γένεσιν καὶ τὴν αὔξησιν ἔχει· διόπερ ἐμπειρίας δεῖται καὶ χρόνου· ἡ δὲ ἠθικὴ ἐξ ἔθους περιγίνεται. Ἡ μὲν

γὰρ φύσις ἐκεῖνο δίδωσι μόνον, τὸ δύνασθαι σπουδαίους γίνεσθαι· ἡ δὲ διδασκαλία, γινώσκειν ὅ, τι δέον γίνεσθαι. Τὸ δὲ καὶ ἐνεργείᾳ ἤδη γενέσθαι σπουδαίους, μόνον τὸ ἔθος παρέχεται. Ἀπὸ τούτου δὲ καὶ τὸ ὄνομα ἔλαβεν· ἠθικὴ γὰρ καλεῖται, μικρὸν παρεγκλῖνον ἀπὸ τοῦ ἔθους.

Ὥστε δῆλον, ὅτι οὐδεμία τῶν ἠθικῶν ἀρετῶν φύσει ἡμῖν περιγίνεται. Εἰ γὰρ φύσει σπουδαῖοι ὑπήρχομεν, οὐκ ἂν ἐκινούμεθα πρὸς τοὐναντίον ὑπὸ τοῦ ἔθους, νυνὶ δὲ κινούμεθα. Οὐδεμία ἄρα τῶν ἠθικῶν ἀρετῶν φύσει ἡμῖν περιγίνεται. Οὐδὲν γὰρ τῶν φύσει κινουμένων ὑπὸ τοῦ ἔθους ἐπὶ τὴν ἐναντίαν μεταβάλλει ῥοπήν. Οὔτε γὰρ τὸν λίθον ἐθίσει τις ἀναφέρεσθαι, κἂν μυριάκις ἄνω ῥίπτῃ, οὔτε τὸ πῦρ κάτω, οὐδὲ ἄλλο τῶν ἄλλως πεφυκότων, ἄλλως ἂν ἐθισθείη. Οὔτ' ἄρα φύσει οὔτε παρὰ φύσιν ἡμῖν ἐγγίνονται αἱ ἀρεταί· ἀλλὰ τὸ δύνασθαι μὲν ἀπὸ φύσεως ἔχομεν, καὶ πεφύκαμεν δέχεσθαι τὰς ἀρετάς· δεχόμεθα δὲ καὶ τελειούμεθα διὰ τοῦ ἔθους. Ἔτι τῶν φυσικῶν τὰς δυνάμεις πρῶτον τελείας ἔχοντες, εἶτα χρώμεθα· τὴν γὰρ ὀπτικὴν ἢ ἀκουστικὴν δύναμιν τελείαν ἔχοντες ἐχρησάμεθα. Οὐ γὰρ ἀπὸ τοῦ πολλάκις ἰδεῖν, ἢ πολλάκις ἀκοῦσαι τὰς αἰσθήσεις ἐλάβομεν, ἀλλὰ τὸ ἀνάπαλιν, ἔχοντες, ἐχρησάμεθα· τὰς δὲ ἀρετὰς λαμβάνομεν ἐνεργήσαντες πρότερον, ὥσπερ καὶ ἐπὶ

tempus. Moralis vero conſuetudine comparatur. Etenim hoc unum à natura aliquis conſequitur, ut bonus eſſe poſſit: à diſciplina vero, ut intelligat ſe debere talem eſſe. Cæterum hoc quoque, ut ad actum perducat virtutem ſuam, ſola conſuetudo tribuit, unde & nomen accepit: ἠθικὴ enim dicitur: quod parum abit ab ἔθος. Ariſtor. l. 2. c. 1.

Ex quo etiam hoc manifeſtum eſt, nullam ex moralibus virtutibus natura innaſci nobis. Si enim natura boni eſſent homines, nunquam in contrarium à conſuetudine moverentur: nunc vero hoc fit. Unde ſequitur, nullam nobis moralem virtutem natura contingere: quia nihil quod natura movetur, in contrarium à conſuetudine poteſt inclinari. Neque enim lapidem aſſueſcat aliquis in altum ferri, licet millies in altum mittat; ſicut nec ignem ut deorſum tendat: ſicut nec aliud quicquam quod natura aliter ſe habet, conſuetudine poterit mutari. Quare neque natura, neque præter eam nobis ingenerantur virtutes, ſed facultatem quidem à natura accipimus, taleſque naſcimur, ut recipere virtutes poſſimus: recipimus autem, & iis perficimur à conſuetudine. Præterea, eorum quæ à natura conſequimur, facultates primum perfectas habemus, iiſque poſtea utimur: ſicut videndi prius & audiendi vim perfecte habemus, ac poſtea utimur. Nec enim videndo ſæpius aut audiendo ſenſus accepimus, ſed contra, cum prius habeãus, poſtea ütimur. Virtutes autem Ἐξ οὗ καὶ δῆλον, &c.

Ariſtot. l. 2. c. 1. autem poſt ipſas functiones earum accipimus. Poſtquam enim quæ oportet agere didicimus, eadem agendo rurſus diſcimus: quemadmodum ædificando ædifices evadimus, citharam pulſando citharœdi. Eodem ergo modo juſte agendo juſti, temperanter temperantes, fortiter fortes quoque evadimus.

Μαρτυρεῖ δὲ καὶ τὸ, &c. Et hoc quidem confirmat, quod in urbibus fieri videmus: ubi legiſlatores conſuetudine cives emendant ſuos: qui cum præmiis virtutum, tum pœnis ad honeſtas eos actiones compellunt, atque ita honeſtos quoque reddunt. Quod ſi non ab omuibus fiat, errant illi à quibus fit aliter. Omnis enim legiſlatoris propoſitum tale eſt & voluntas, ut honeſtis cives actionibus adſueſcant. Quare non à natura, ſed à conſuetudine ſunt virtutes.

Ἔτι ἐκ τῶν αὐτῶν, &c. Ex iiſdem præterea & per eaſdem conſuetudines atque actiones, virtus & fit & corrumpitur. Fit enim cum bonæ ſunt, corrumpitur à contrariis. Quemadmodum & ars. Etenim pulſando citharam & boni fiunt citharœdi & mali: bene quidem pulſando boni, male autem mali. Eodem modo & architecti ac reliqui quoque artifices, agendo ſecundum artem, aut boni fiunt aut mali: bene quidem ædificando boni, male autem mali. Niſi enim à tali aut tàli functione talis aut talis ars eſſet, ſed natura perficeret artificem, nemo ad conſequendam artem aliquam præ-

τῶν ἄλλων ἔχει τεχνῶν· ἃ γὰρ δεῖ μαθόντες ποιεῖν, ταῦτα ἀπὸ τοῦ ποιεῖν μανθάνομεν. Οἷον, οἰκοδομοῦντες μὲν οἰκοδόμοι γινόμεθα, κιθαρίζοντες δὲ κιθαρισταί. Οὕτω δὴ καὶ δίκαια πράττοντες, δίκαιοι γινόμεθα, καὶ τὰ σώφρονα σώφρονες, καὶ τὰ ἀνδρεῖα ἀνδρεῖοι.

Μαρτυρεῖ δὲ καὶ τὸ γινόμενον ἐν ταῖς πόλεσιν· οἱ γὰρ νομοθέται τοῖς ἔθει ἀγαθοὺς τοὺς πολίτας ποιοῦσι. Συνελαύνουσι γὰρ ἀμοιβαῖς ἀγαθαῖς καὶ τιμωρίαις ἐπὶ τὰς ἀγαθὰς πράξεις, καὶ οὕτω σπουδαίους ἀποτελοῦσιν. Εἰ δὲ καὶ μὴ πάντες τοῦτο ποιοῦσιν, ἁμαρτάνουσιν· ἡ γὰρ ἐπαγγελία καὶ τὸ βούλημα παντὸς νομοθέτου τοῦτό ἐστι, τὸ τοὺς πολίτας ἐπὶ τὰς ἀγαθὰς πράξεις ἐθίζειν. Οὐκ ἄρα ἀπὸ φύσεως, ἀλλὰ ἀπὸ τοῦ ἔθους αἱ ἀρεταί.

Ἔτι ἐκ τῶν αὐτῶν καὶ διὰ τῶν αὐτῶν ἐθῶν καὶ ἔργων καὶ γίνεται πᾶσα ἀρετὴ καὶ φθείρεται· γίνεται μὲν ἀγαθῶν ὄντων τῶν ἐθῶν, φθείρεται δὲ ἀπὸ τῶν ἐναντίων· ὁμοίως δὲ καὶ τέχνη. Ἐκ γὰρ τοῦ κιθαρίζειν καὶ οἱ ἀγαθοὶ καὶ οἱ κακοὶ ἀποτελοῦνται κιθαρισταί· ἐκ μὲν τοῦ καλῶς, οἱ ἀγαθοὶ, ἐκ δὲ τοῦ κακῶς κιθαρίζειν, κακοί. Ὁμοίως δὲ καὶ οἱ οἰκοδόμοι καὶ πάντες ἄλλοι τεχνῖται ἀπὸ τῆς κατὰ τέχνην ἐνεργείας ἢ ἀγαθοὶ ἢ κακοὶ γίνονται. Ἐκ μὲν γὰρ τοῦ εὖ οἰκοδομεῖν, ἀγαθοὶ γίνονται οἰκοδόμοι, ἐκ δὲ τοῦ κακῶς, κακοί· εἰ γὰρ μὴ ἀπὸ τῶν τοιῶνδε τὴν ἐνεργειῶν ἡ τοιᾶσδε τέχνη, ἀλλὰ φύσις τὴν

ἢ τὸν τεχνίτην ποιοῦσα, οὐκ ἂν ἐδέησεν οὐδενὶ διδασκάλου πρὸς

τὴν

τὴν τέχνην, ἀλλὰ πάντες ἂν εὐθὺς ἐγίνοντο ἢ ἀγαθοὶ, ἢ τοὐναντίον. Τοῦτον δὴ τὸν τρόπον καὶ ἐπὶ τῆς ἀρετῆς ἔχει. Πράττοντες γὰρ τὰ συναλλάγματα τὰ πρὸς τοὺς ἀνθρώπους, γινόμεθα οἱ μὲν δίκαιοι, οἱ δὲ ἄδικοι, τὸ μὲν ἀπὸ τοῦ πάντα δικαίως πράττειν καὶ κατὰ νόμον, τὸ δὲ ἀπὸ τῆς ἐναντίας πολιτείας. Πάλιν δὲ ἐπειδὰν δεινοῖς τισι περιπέσωμεν, ἐθιζόμεθα φοβεῖσθαι ἢ θαρρεῖν· καὶ οἱ μὲν ἀνδρεῖοι, οἱ δὲ δειλοὶ γινόμεθα. Ὁμοίως δὲ καὶ περὶ τὰς ἐπιθυμίας ἔχει καὶ τὰς ὀργάς· ἀπὸ γὰρ τῶν ἐθῶν, καὶ τῆς ἐν αὐτοῖς ἀναστροφῆς, οἱ μὲν σώφρονες καὶ πρᾶοι γίνονται, οἱ δὲ ἀκόλαστοι καὶ ὀργίλοι· καὶ ἑνὶ λόγῳ τὸ πᾶν συνελόντα εἰπεῖν, πᾶσα ἕξις ἀπὸ τῆς ὁμοίας ἐνεργείας τίκτεται, ἀγαθὴ μὲν ἀγαθῆς, φαύλη δὲ φαύλης. Διὰ τοῦτο, οὐ δεῖ τῆς ἀγαθῆς ἕξεως ἐνέργειαν ἁπλῶς αἰτίαν λέγειν· ἀλλ' ἀγαθήν· οὐδὲ τῆς κακῆς ἁπλῶς ἐνέργειαν, ἀλλὰ κακήν. Ὥσπερ ἐπὶ τῆς οἰκοδομικῆς· οὐ γὰρ τῆς ἀγαθῆς οἰκοδομικῆς ἕξεως τὴν οἰκοδομικὴν ἁπλῶς ἐνέργειαν αἰτίαν ἐροῦμεν· ἀλλὰ τὴν ἀγαθὴν οἰκοδομικὴν ἐνέργειαν τῆς ἀγαθῆς, καὶ τὴν φαύλην τῆς φαύλης αἰτίαν· καὶ ὅλως ποιάσδε τινὰς ἀποδοτέον ἑκάστῃ τῶν ἕξεων τὰς ἐνεργείας· κατὰ γὰρ τὰς τούτων διαφορὰς ἀκολουθοῦσιν αἱ ἕξεις. Διὰ ταῦτα πολλὴ διαφορὰ πρὸς τὴν ἕξιν, ἀπὸ τοῦ καλῶς ἢ κακῶς ἐκ νέων ἐθίζεσθαι· μᾶλλον δὲ πᾶσα ἡ τῶν ἕξεων διαφορὰ ἐκεῖθεν ἐστίν.

ceptore opus haberet, ſed omnes ſtatim aut boni eſſent aut contra. Eodem modo & in virtutibus ſe habet. Nam dum agimus ea quæ ad contractus ſpectant hominum, alii juſti alii injuſti evadimus. Alterum quidem juſte agendo omnia & ex lege; alterum aliter agendo in Republica. Rurſus quoties in pericula incidimus, aut timere aſſueſcimus aut confidere: unde alii fortes, alii timidi evadimus. Eodemque modo & in cupiditatibus ſe habet & ira. A moribus etenim & eorum conſuetudine, alii temperantes & manſueti, alii intemperantes evadunt, & iracundi. Denique ut verbo dicamus omnia, à ſimili actionis functione quilibet naſcitur habitus: à bona quidem bonus, à mala autem contrarius. Quamobrem neque ſimplex actionis functio boni habitus cauſa ponenda eſt, ſed bona: neque mali quævis actionis functio, ſed mala. Plane ut in architectura: neque enim boni habitus in ædificando, ſimplex ædificandi functio, cauſa dicetur eſſe: ſed bona boni, ſicut & mala mali. Atque ita deinceps ſimilibus habitibus ſimiles actionum quoque dandæ functiones ſunt. Differentiam enim harum ſequuntur quoque habitus. Quare multum intereſt ad habitum, utrum bene quis an male à teneris aſſueſcat. Aut potius tota habituum dependet inde differentia.

Ariſtot. l. 2. c. 1.

CAP.

CAP. II.

Ariſtot. l.2. c.2.

Eas quæ ſecundum virtutem inſtituuntur actiones in medio eſſe: eaſdemque tam ab exceſſu quam à defectu corrumpi.

Cap. 2. Ἐπεὶ οὖν ἡ παροῦσα, &c.

CUm ergo hoc in quo nunc verſamur argumentum, ad contemplativam non referatur philoſophiam, quæ ſolam veritatis contemplationem pro fine habet: quia circa ea verſatur entia, quæ ſcientia tantum comprehenduntur, cum actione autem nihil habent commune; ſed contra activæ pars ſit, cujus finis eſt bonum agere (nec enim ut ſciamus quid ſit virtus, hic diſputamus, ſed ut boni ſimus: quia ſi illud ſpectaremus, periret nobis opera, ſiquidem ad finem pervenire noſtrum non poſſemus:) cum ergo finis ſint actiones, de illis jam videamus: hæ enim in cauſa ſunt, quod jam dictum eſt, ut vel boni ſint habitus vel mali, de quibus jam agimus. Cæterum bonas actiones eas definire, quæ ſecundum rectam fiunt rationem, contraque malas, verum quidem eſt, ſed non ſatis, ut eas ab aliis diſtinguat. Etenim ſecundum rectam rationem aliquid fieri cum dicimus, univerſaliter loquimur, quæ definitio non ſufficit, ut ignotæ prius res denotentur. Nam ſi quis quærat quid ſit homo, alius vero reſpondeat; eſſe animal, nequaquam totum quod de homine dicitur, expreſſerit. Quare in præſentia hoc diffe-

ΚΕΦ. β'.

Ὅτι αἱ κατ' ἀρετὴν πράξεις μεσότητές εἰσι, καὶ ὑπὸ ὑπερβολῆς καὶ ἐλλείψεως φθείρονται.

ΕΠεὶ οὖν ἡ παροῦσα πραγματεία οὐκ ἔστι τοῦ θεωρητικοῦ φιλοσοφίας μέρους, ὃ τὴν θεωρίαν τῆς ἀληθείας μόνον ἔχει τέλος, καταγίνεται γὰρ περὶ τὰ ὄντα, ἃ μόνον γνωστά εἰσιν, οὐ μὲν τοι καὶ πρακτὰ, ἀλλὰ τοῦ πρακτικοῦ μέρους ἐστὶν, ὃ τέλος ἔχει τὸ ποιῆσαι τὸ ἀγαθόν. Οὐ γὰρ ἵνα εἰδῶμεν τί ἐστιν ἀρετὴ σκεπτόμεθα, ἀλλ' ἵν' ἀγαθοὶ γινώμεθα· ἐπεὶ εἰ οὕτως εἶχεν, οὐδὲν ἂν ἦν ὄφελος ἡμῖν τῆς σπουδῆς, μὴ πρὸς τὸ τέλος ἀφικνουμένοις. Ἐπεὶ οὖν αἱ πράξεις τὸ τέλος, σκεψώμεθα τὰ περὶ τὰς πράξεις, αἳ κύριαι εἰσι, καθάπερ εἴρηται, τοῦ ἀγαθὰς ἢ πονηρὰς τὰς ἕξεις γενέσθαι, περὶ ὧν ὁ λόγος ἡμῖν· τὸ μὲν οὖν οὕτω διορίσασθαι τὰς ἀγαθὰς πράξεις, τὰς κατὰ τὸν ὀρθὸν γινομένας λόγον, καὶ τὰς πονηρὰς τοὐναντίον, ἀληθὲς μὲν, οὐκ ἔστι δὲ ἱκανὸν τὰς πράξεις σημᾶναι. Τὸ γὰρ κατὰ τὸν ὀρθὸν λόγον γίνεσθαι, καθόλου τί ἐστιν· τὸ δὲ τοιοῦτον ἀποδιδόμενον οὐχ ἱκανὸν πρᾶγμα ἀγνοούμενον ὑποδεῖξαι. Τὸν γὰρ ἐρωτῶντα περὶ τοῦ ἀνθρώπου τί ἐστιν, τὸ ζῷον ἀποδιδόμενον οὐκ ἀρκεῖ διδάξαι τὸν περὶ αὐτοῦ λόγον. Διὰ τοῦτο, τοῦτο μὲν ὑπαρκείσθω,

θῶ, ῥηθήσεται δὲ ὕστερον περὶ αὐτοῦ, καὶ τί ἐστιν ὀρθὸς λόγος, καὶ πῶς ἔχει πρὸς τὰς ἄλλας ἀρετάς· ἐκεῖνο δὲ προδιομολογείσθω, ὅτι πάντα τὸν περὶ τῶν πρακτῶν λόγον, δηλονότι, τὸν περὶ τῶν πράξεων, τίνες αὐτῶν ἀγαθαί, καὶ τίνες αἱ φαῦλαι, οὐκ ἀκριβῶς, ἀλλ' ὡς ἐν τύπῳ, γίνεσθαι δεῖ· ὥσπερ καὶ κατ' ἀρχὰς εἴπομεν, ὅτι ταῖς ὕλαις ἀκολούθως τοὺς λόγους τοὺς περὶ αὐτῶν ἀπαιτεῖν προσήκει· ἐπεὶ καὶ αἱ πράξεις καὶ τὰ ἐν αὐταῖς συμφέροντα, οὐ τὰ αὐτά εἰσιν ἀεί, ὥσπερ οὐδὲ τὰ νῦν ὑγιεινά· ἀλλὰ νῦν μὲν τοῦτο, νῦν δὲ τοὐναντίον ἅπαν. Ταῖς γὰρ διαθέσεσι τῶν σωμάτων καὶ ταῖς τοῦ καιροῦ μεταβολαῖς συμμεταβάλλουσιν. Οὕτω δὴ καὶ ἐπὶ τῶν πράξεων ἔχει. Αἱ αὐταὶ γὰρ νῦν μὲν βλαβεραί, νῦν δὲ ὠφέλειαν ἤνεγκαν, καὶ τοῖς αὐτοῖς ἀνθρώποις πολλάκις. οὕτω δὲ ἀκριβῶς διωρίσθαι μὴ δυναμένου τοῦ περὶ τῶν καθόλου λόγου, ἔτι μᾶλλον σφαλερώτερος ὁ περὶ τῶν καθέκαστα. Τὰ γὰρ καθέκαστα τῶν καθόλου ἧττον δυνάμεθα γινώσκειν· ἡ γὰρ περὶ ταῦτα σκέψις οὔτε ὑπὸ τέχνην ἐστί τινα, οὔτε μέθοδον καὶ παραγγελίαν ὡρισμένην. Καὶ διὰ τοῦτο δέον ἐστὶ τοὺς πράττοντας πρὸς τὸν καιρὸν βλέπειν, καὶ ἀπὸ τούτου ζητεῖν τὸν περὶ τῶν πράξεων λόγον· γνώσονται γὰρ εἰ ἀγαθαί εἰσιν αἱ πράξεις, ἢ φαῦλαι, τοῦτον τὸν τρόπον σκοποῦντες, ὥσπερ καὶ ἰατροὶ καὶ κυβερνῆται ποιοῦσι. Τὰς γὰρ κατὰ τὴν τέχνην πράξεις ἑκάτερος ἀπὸ τοῦ καιροῦ κρίνουσι. Ἀλλὰ καίπερ ὄντος τοιούτου τοῦ

ramus: poſtea enim & quid recta ſit ratio, & quo pacto ad alias ſe habet virtutes, commodius dicemus. Illud vero prius concedatur, totam hanc quæ de rebus agendis loquitur doctrinam, hoc eſt, quæ vel bonæ actiones ſint vel malæ, oſtendit, non accurate, ſed quaſi perfunctorie tantum tradi poſſe, ſicut in principio eſt dictum: quia ejuſmodi tractandi rationem, quæ materiæ reſpondeat, requirere oportet. Quoniam & actiones ipſæ, & quæ iis competunt, non eædem ſunt ſemper. Sicut neque quæ nunc ſalubria ſunt: nunc enim hoc, nunc illud rurſus eſt ſalubre. Cum conſtitutionibus enim corporum & mutatione temporis, mutantur hæc quoque. Eodem modo & in actionibus ſe res habet. Eædem enim modo nocent, modo juvant, & eoſdem ſæpe homines. Cum ergo accurate definiri in univerſum non poſſint, multo difficilius eſt definire ſingula: quia ſingularia minus cognoſcere poſſumus, quam univerſalia: quod neque ad artem aliquam aut rationem docendi vel modum, nec ad definita poſſit referri præcepta eorum conſideratio. Quare oportet eos qui agunt, tempus intueri ſemper, & ab eo actionum inveſtigare rationem. Hoc enim modo, an bonæ ſint actiones, an contra, invenient. Sicut & medici faciunt & gubernatores. Utrique n. pro tempore actionis ſuæ diſtinguunt artes.

Ariſtot. l. 2. c. 2.

Ariſtot. l. 2. c. 2.

artes. Et tamen quamvis talis ſit doctrina præſens, nihilominus ejus ſuccurrendum eſt veritati.

Πρῶτον οὖν τοῦτο θεωρητέον, &c.

Ac primum illud notandum eſt, eas nimirum quæ ſecundum virtutem inſtituuntur actiones, à defectu corrumpi & exceſſu: ſicut in corporis robore & ſanitate fieri videmus. Oportet enim cum de ignotis rebus agimus, notis uti exemplis. Etenim & nimia exercitia robur imminuunt corporis, & quæ infra mediocritatem ſunt exigua. Eodem quoque modo & cibi & potus, ſi vel plus quam oportet ſumantur vel minus, ſanitatem corrumpunt: mediocres vero & conciliant eam, & promovent, & conſervant. Eodem ergo modo & in temperantia ac fortitudine reliquiſque virtutibus ſe res habet. Nam & qui omnia metuit ac fugit, neque quicquam ſuſtinere audet, fit timidus: & qui omnino nihil metuit, ſed omnibus ſe offert, fit audax: in medio autem eſt fortis. Eodem quoque modo à defectu ſimul & exceſſu temperantia corrumpitur. Etenim & qui omni voluptate fruitur, nec ab ulla abſtinet, intemperans: & qui omnes, quemadmodum agreſtes ſolent, fugit, eſt ſtupidus: in medio autem eſt temperans. Etenim & temperantia à mediocritate conſervatur & fortitudo.

Αλλ' οὐ μόνον αἱ γενέσεις, &c.

Non ſolum autem functiones actionum, à quibus generantur, augentur, & corrumpuntur virtutes eodem modo ſe habent, ſicut ea quæ producunt, ut nimirum bonæ ſint, ſi creent virtutem & augeant, malæ ſi

παρόντος λόγου, πειρατέον βοηθεῖν τῇ κατ' αὐτὸν ἀληθείᾳ.

Καὶ πρῶτον τοῦτο θεωρητέον, ὅτι αἱ καθ' ἀρετὴν πράξεις ὑπὸ ἐνδείας ἢ ὑπερβολῆς πέφυκασι φθείρεσθαι· ὥσπερ ἐπὶ τῆς ἰσχύος καὶ τῆς ὑγιείας ὁρῶμεν· δεῖ γὰρ ὑπὲρ τῶν ἀφανῶν τοῖς φανεροῖς μαρτυρίοις χρῆσθαι. Τά, τε γὰρ ὑπερβάλλοντα γυμνάσια τὴν ἰσχὺν τοῦ σώματος διαφθείρει, καὶ τὰ ἐλλείποντα τοῦ μετρίου. Τὸν αὐτὸν δὲ τρόπον καὶ τὰ σιτία καὶ τὰ ποτά, τὰ μὲν πλείω ἢ ἐλάττω τῶν δεόντων τὴν ὑγείαν ἀπελαύνει, τὰ μέσα δὲ καὶ ποιεῖ καὶ αὔξει καὶ σώζει. Οὕτως οὖν καὶ ἐπὶ τῆς σωφροσύνης, καὶ τῆς ἀνδρείας ἔχει, καὶ τῶν ἄλλων ἀρετῶν. Ὅ, τε γὰρ πάντα φεύγων καὶ φοβούμενος καὶ μηδὲν ὑπομένων, δειλὸς γίνεται· ὅ, τε μηδὲν ὅλως φοβούμενος, ἀλλὰ πρὸς πάντα βαδίζων, θρασύς· ἀνδρεῖος δὲ ὁ μέσος. Ὁμοίως δὲ καὶ ἡ σωφροσύνη ὑπὸ τῆς ὑπερβολῆς καὶ ἐλλείψεως φθείρεται. Καὶ γὰρ ὁ μὲν πάσης ἡδονῆς ἀπολαύων, καὶ μηδεμιᾶς ἀπεχόμενος, ἀκόλαστός ἐστιν· ὁ δὲ πάσας φεύγων, ὥσπερ οἱ ἄγροικοι, ἀναίσθητος· ὁ δὲ μέσος ὁ σώφρων ἐστίν· ὑπὸ τῆς μεσότητος γὰρ καὶ ἡ σωφροσύνη καὶ ἡ ἀνδρεία σώζεται.

Οὐ μόνον δὲ αἱ ἐνέργειαι, δι' ὧν αἱ γενέσεις καὶ αἱ αὐξήσεις τῶν ἀρετῶν, καὶ αἱ φθοραί, καταλλήλως ἔχουσι τοῖς ἀποτελουμένοις, ἀγαθαὶ μὲν, γεννῶσι καὶ αὔξουσι, φαῦλαι

δὲ

τὸ, εἰ φθείρουσιν· ἀλλὰ καὶ αἱ μετὰ τὰς ἕξεις τῶν ἀρετῶν ἐνέργειαι, ὧν αἴτιαι εἰσὶν αἱ ἕξεις, ὡσαύτως ἔχουσι· καὶ δῆλον ἀπὸ τῶν ὁμοίων τῶν φανερωτέρων. Ἡ γὰρ ἰσχὺς γίνεται ἐκ τοῦ πολλὴν τροφὴν λαμβάνειν καὶ πολλοὺς πόνους ὑπομένειν. Καὶ πάλιν ἡ ἰσχὺς αἰτία γίνεται ταύτης τῆς ἐνεργείας· ὁ γὰρ ἰσχυρὸς δύναται μάλιστα πολλὴν τροφὴν λαμβάνειν, καὶ πολλοὺς πόνους ὑπομένειν. Ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἀρετῶν ἔχει· καὶ γὰρ ἐκ τοῦ ἀπέχεσθαι τῶν ἡδονῶν, σώφρονες γινόμεθα, καὶ σώφρονες γενόμενοι δυνάμεθα τῶν ἡδονῶν ἀπέχεσθαι μᾶλλον. Ὁμοίως δὲ καὶ ἐπὶ τῆς ἀνδρείας· ἐθιζόμενοι γὰρ καταφρονεῖν τῶν * ἡδονῶν καὶ ὑπομένειν αὐτὰ, γινόμεθα ἀνδρεῖοι· γενόμενοι δὲ αὐτὸ τοῦτο πάλιν πλέον δυνάμεθα καὶ ὑπομένειν τὰ φοβερά.

corrumpant: ſed & ea quæ habitum ſequuntur, & quarum cauſa eſt habitus, eodem modo ſe habent actionum functiones. Quod ex aliis, quæ ut ſimilia ſunt ita manifeſtiora, apparet. Sicut ex multo cibo, exempli gratia, multiſque laboribus robur naſcitur: quod robur rurſus functionis hujus atque actionis eſt cauſa. Qui enim robuſtus eſt, maxime rurſus tum cibum tum labores ferre poteſt plurimos. Eodemque modo in virtutibus ſe habet. Nam & dum à voluptatibus abſtinemus, temperantes evadimus, & cum temperantes jam ſumus, magis abſtinere à voluptatibus poſſumus. Eodemque modo in fortitudine. Nam & dum voluptates contemnere & pericula ſubire aſſueſcimus, fortes evadimus: rurſuſque cum fortes ſumus, magis quoque ſubire pericula poſſumus.

Ariſtot. l. 2. c. 3.

* Forte δεινῶν.

ΚΕΦ. γ'.

CAP. III.

Ὅτι περὶ ἡδονὰς καὶ λύπας ἐστὶν ἡ ἠθικὴ ἀρετή.

In voluptatibus & doloribus moralem verſari virtutem.

ΕΠεὶ δὲ καὶ πρὶν εἰς ἕξιν ἐλθεῖν ἀρετῆς καὶ μετὰ τὴν ἕξιν τὰς αὐτὰς ἐπιδεικνύμεθα ἐνεργείας, τί σημεῖον γένοιτ' ἂν τῶν ἐχόντων τὰς ἕξεις, ἢ τῶν μήπω κτησαμένων; οὐδὲν ἄλλο, ἢ ἡ ἐπὶ τοῖς κατ' ἀρετὴν ἔργοις ἡδονή τε καὶ λύπη. Ὁ μὲν γὰρ ἀπεχόμενος τῶν σωματικῶν ἡδονῶν, καὶ τῷ ἀπέχεσθαι χαίρων, σώφρων ἐστὶν, ὁ δὲ ἀχθό-

QUoniam ergo priuſquam habitum conſecuti ſumus virtutis, & poſtquam eum jam habemus, eaſdem actionum producimus functiones, quo ſigno judicabimus, aliquem aut conſecutum eſſe aut non habere hunc habitum? Nullo certe alio quam voluptate, cum ſecundum virtutem operamur, aut moleſtia. Etenim qui à corporis abſtinet voluptatibus, & hac delectatur abſtinentia, eſt temperans: qui vero

Cap. 3. Σημεῖον δὲ δεῖ ποιεῖσθαι &c.

adhuc

adhuc dolet, eſt intemperans. Et qui pericula ſuſtinet eoque delectatur aut certe no dolet, fortis eſt: qui vero dolet, adhuc eſt timidus.

Ariſtot. l. 2. c. 3.

In voluptatibus quippe & doloribus virtus verſatur moralis. Voluptatis enim cauſa, quæ improba ſunt agimus: doloris vero, ab honeſtis abſtinemus. Ac propterea, magna morum actionumque bonarum ſtatim à teneris, ut Plato ait, habenda eſt ratio: ſed & danda eſt opera, ut ejuſmodi moribus aſſueſcant pueri, ut quibus oportet gaudeant, quibus oportet rurſus doleant. Hæc enim vera rectæque rationi congrua eſt educatio. Rurſus, quoniam in actionibus affectibuſque verſantur virtutes, iis vero quæ agit aliquis aut quibus afficitur, vel gaudet ſi volens hoc agit, vel dolet ſi ab alio cogatur, ſatis manifeſtum eſt, in voluptate ac dolore omnem verſari virtutem. Sed & idem ex pœnis illis quas in Republica proponi videmus apparet ſatis. Eos quippe qui improbis delectantur actionibus, ut ab iis abhorreant, contraque honeſtis gaudeant, dolore legiſlatores ſolent adducere. Atque ita voluptatem virtutis paulatim iis inſtillant. Quippe pœnæ ejuſmodi ægros in Republica curant, ac medicinæ loco ſunt. Ac quemadmodum cum medicina pugnant morbi quos medicina curat, & cum frigidam adhiberi à medico videmus medicinam, ſtatim judicamus morbum à colore eſſe: ita ex pœnis quæ dolorem infligunt, judicamus

μένος, ἀκόλαστός ἐστι. Καὶ ὁ μὲν ὑπομένων τὰ δεινά, καὶ χαίρων, ἢ μὴ λυπούμενός γε, ἀνδρεῖος· ὁ δὲ λυπούμενος, δειλός ἐστι.

Περὶ ἡδο-νὰς γὰρ καὶ λύπας, &c.

Περὶ ἡδονὰς γὰρ καὶ λύπας ἐστὶν ἡ ἠθικὴ ἀρετή. Διὰ μὲν γὰρ τὴν ἡδονὴν τὰ φαῦλα πράττομεν· διὰ δὲ τὴν λύπην τῶν καλῶν ἀπεχόμεθα. Διὰ τοῦτο δεῖ τῶν ἀγαθῶν ἐθῶν καὶ πράξεων εὐθὺς ἐκ παίδων πολλὴν ποιήσασθαι λόγον, ὡς ὁ Πλάτων φησί, καὶ ἀναγκάσαι παῖδας ὄντας τοῖς τοιούτοις ἔθεσιν, ὥστε δυνηθῆναι χαίρειν μὲν οἷς δεῖ, λυπεῖσθαι δὲ οἷς προσήκει λυπεῖσθαι· ἡ γὰρ ὀρθὴ καὶ κατὰ λόγον παιδεία αὕτη ἐστίν· ἔτι ἐπεὶ αἱ ἀρεταὶ πράξεις εἰσὶν ἢ πάθη, οἷς δέ τις πράττει, ἢ πάσχει, ἢ χαίρει, ἐὰν βουλόμενος πράττῃ ἢ πάσχῃ, ἢ λυπεῖται, ἐὰν ἄλλου βιαζομένου, φανερὸν ὅτι πᾶσα ἀρετὴ περὶ ἡδονὰς καὶ λύπας ἐστίν· ἔτι δὲ καὶ ἀπὸ τῶν ἐν ταῖς πολιτείαις κολάσεων, φανερόν. Τοὺς γὰρ τοῖς πονηροῖς ἡδομένους λυποῦντες οἱ νομοθέται πείθουσι τὰ μὲν φαῦλα μισεῖν, ἥδεσθαι δὲ τοῖς ἀγαθοῖς ἔργοις. Καὶ οὕτως ἐντιθέασιν αὐτοῖς ἐθίζοντες τὴν ἐπ᾽ ἀρετῇ ἡδονήν. Αἱ γὰρ τοιαῦται κολάσεις πρὸς τοὺς νοσοῦντας τὰ πολιτικὰ ἰατρειῶν ἔχουσι λόγον. Καὶ καθάπερ ἐκείναις ἐναντίαι αἱ νόσοι ἃς θεραπεύουσι, καὶ ἐὰν ἴδωμεν ἰατρὸν ψυχρὰν προσάγοντα θεραπείαν, γινώσκομεν εὐθὺς τὴν νόσον ἀπὸ θέρμης συστῆναι, οὕτω καὶ ἀπὸ τῶν κολάσεων ὀδυνηρῶν οὐσῶν γινώσκομεν, ὅτι θεραπευόμεναι κακίαι

ἀπὸ

ἀπὸ ἡδονῆς γίνονται. Ἔτι, καθὼς εἴρηται, πᾶσα ψυχῆς ἕξις, ὑφ' ὧν τίκτεται, καὶ βελτίων ἢ χείρων γίνεται, πρὸς ταῦτα τὴν φύσιν ἔχει, καὶ ἐν αὐτοῖς συνίσταται· ἀλλὰ ἀπὸ τῆς ἡδονῆς καὶ τῆς λύπης αἱ φαῦλαι γίνονται ἕξεις, δηλαδὴ τοῦ διώκειν τὴν ἡδονὴν, ὥσπερ οὐ δεῖ· καὶ ὅτε οὐ δεῖ· καὶ πάλιν φεύγειν τὴν λύπην ὅτε οὐ δεῖ, καὶ ὡς οὐ δεῖ, καὶ ὅπου οὐ δεῖ· καὶ ὅσαι ἄλλαι περιστάσεις πονηρὰν ποιοῦσι τὴν ζήτησιν τῆς ἡδονῆς, ἢ τὴν φυγὴν τῆς λύπης. Ὁμοίως δὲ καὶ ἐπὶ τῆς ἀρετῆς ἔχει· συνίσταται γὰρ ἀπὸ τοῦ διώκειν καὶ φεύγειν τὴν ἡδονὴν καὶ τὴν λύπην ὡς δεῖ, καὶ ὅτε δεῖ. Ὥστε φανερὸν, ὅτι περὶ ταύτας αἱ ἕξεις τὴν φύσιν ἔχουσι, καὶ ἐν αὐταῖς συνίστανται. Διὰ τοῦτο καί τινες ὁρίζονται τὰς ἀρετὰς, ἀπαθείας καὶ ἠρεμίας εἶναι, ἀπὸ τῆς ἡδονῆς τὸν ὁρισμὸν λαμβάνοντες· καί τοι οὐ καλῶς ὁρίζονται· ὅτι ἁπλῶς ἄνευ προσθήκης ποιοῦνται τὸν ὁρισμὸν, μὴ προστιθέντες τῇ ἠρεμίᾳ καὶ ἀπαθείᾳ, τὸ, ὡς δεῖ, καὶ ὅτε δεῖ, καὶ τὰς ἄλλας περιστάσεις. Ὑπόκειται ἄρα ἡ ἀρετὴ εἶναι ἡ ἕξις ἡ οὕτως ἔχουσα περὶ ἡδονὰς καὶ λύπας, καθὼς προσδιωρισάμεθα, τῶν βελτίστων πρακτική. Ἡ δὲ κακία τοὐναντίον. Γνοίημεν δ' ἂν ἔτι βέλτιον περὶ τῶν εἰρημένων, καὶ ἀπὸ τούτων τῶν λόγων. Τριῶν γὰρ ὄντων δι' ἅ τις αἱρεῖται τὶ, καὶ τοσούτων δι' ἅ τις φεύγει τί, κα-

illud quod curatur malum, à voluptate eſſe. Omnis prætetea, ut ſupra dicebamus, animi habitus, in iis à quibus vel naſcitur vel melior pejorve evadit, natura ſua verſatur, atque in iiſdem conſiſtit. Jam vero à voluptate & dolore mali fiunt habitus: ut nimirum voluptatem ſequamur ſecus quam oportet, & cum non oportet: dolorem contra cum non oportet, ſecuſque quam oportet, & ubi non oportet vitemus: & ſi quæ aliæ circumſtantiæ malum faciunt vel voluptatis ſtudium, vel odium doloris. Eodem modo & in virtute ſe habet: quæ in eo, ut voluptatem vel dolorem quis ſequatur aut fugiat, ut oportet, & cum oportet, conſiſtit. Ex quo apparet, in duobus hiſce verſari habituum naturam & conſiſtere: unde nonnulli, vacuitates affectionum & tranquillitates, definiunt virtutes: quæ quidem à voluptate deſumpta eſt definitio. Cæterum non recte definiunt: quia ſimpliciter & ſine diſtinctione ulla hoc faciunt: nec addunt, cum vacuitatem affectionum eſſe dicunt ac tranquillitatem, ut oportet, & cum oportet, reliquaſque circumſtantias. Quare hoc manet certe, virtutem eſſe habitum, quæ circa voluptates doloreſque eo modo ſe habet, quemadmodum diximus, & quæ optima ſunt, agit. Vitium autem contra. Cæterum de his ipſis quibus jam locuti ſumus, multo planius ex ſequentibus cognoſcemus. Cum enim tria ſint, quorum cauſa aliquid petitur, totidemque quorum cauſa aliquid

Ariſtot. l.2. c.3.

Ariſtot. l. 2. c. 3.

vitatur: honeſtum dico, utile, ac jucundum; turpe item, inutile, ac moleſtum; vir quidem bonus omnia hæc ut oportet ſequitur, quæque optima ſunt petit, quæ vero cum damno conjuncta ſunt, vitat. Improbus vero male de iis judicat, maximeque de jucundo. Neque enim communis tantum omnibus animalibus eſt voluptas; ſed omnia ea ſequitur, quæ eligenda eſſe diximus. Quæ namque eligimus, iis omnibus delectamur. Sic & honeſtum & utile natura ſua eſt jucundum. Ac propterea falluntur improbi, qui omne quod jucundum eſt, honeſtum quoque arbitrantur: quia jucunditas hæc ipſa ſequitur; putant n. converti poſſe hæc duo, quod falſum eſt. Multa n. jucunda ſunt, quæ turpia ſimul ſunt & inutilia. Unde rurſus apparet, in voluptate ac dolore actiones verſari humanas. Præterea, omnibus nobis à teneris affectus hic innaſcitur, unaque adoleſcit: totaque vita noſtra quaſi tincta hoc colore eſt & imbuta. Sed & actiones omnes tam probas, quam improbas, hac quaſi norma diſcernimus: quod voluptatem aliæ, aliæ adferant moleſtiam neque quiſquam eſt qui non ad hanc quaſi normam omnes actionum functiones dirigat, licet alii magis, alii id faciant minus. Unde neceſſe in dolore totam ac voluptate hanc doctrinam verſari. Nec enim parum illi prodeſt qui quid agendum ſit quærit, ſi prius quid ſit honeſta voluptàte aut dolore affici, vel contra, cognoverit. Ex eo enim mores hominum, aut

λοῦ, συμφέροντος, ἡδέος, αἰσχροῦ, ἀσυμφόρου, λυπηροῦ· ὁ μὲν ἀγαθὸς πᾶσι κατὰ τὸ εἰκὸς ἐπιβάλλει, διώκων μὲν τὰ ἄριστα, φεύγων δὲ ἃ βλάβην διώκειν· ὁ δὲ κακὸς ἁμαρτάνει περὶ τὴν κρίσιν αὐτῶν, καὶ μάλιστα τὴν τοῦ ἡδέος· ἡ γὰρ ἡδονὴ οὐ μόνον κοινή ἐστι πᾶσι τοῖς ζώοις, ἀλλὰ καὶ πᾶσιν ἕπεται τοῖς εἰρημένοις αἱρετοῖς. Ἃ γὰρ αἱρούμεθα, τούτοις πᾶσιν ἡδόμεθα. Καὶ ἔστι τὸ καλὸν καὶ συμφέρον ἡδὺ τῇ ἑαυτῶν φύσει· καὶ διὰ τοῦτο οἱ κακοὶ ἀπατῶνται, τὸ ἡδὺ καλὸν καὶ συμφέρον ἡγούμενοι πᾶν, διότι ἕπεται νομίζοντες καὶ ἀντιστρέφειν. Τὸ δὲ οὐχ οὕτως ἔχει· συμβαίνει γὰρ πολλὰ τῶν ἡδέων αἰσχρὰ καὶ ἀσύμφορα εἶναι· ὥστε φανερόν, ὅτι περὶ ἡδονὰς καὶ λύπας αἱ ἀνθρώπιναι καταγίνονται πράξεις. Ἔτι πᾶσιν ἡμῖν ἐκ νηπίου τοῦτο τὸ πάθος ἔνεστι καὶ συντρέφεται, καθάπερ ἐγκεχρωσμένον τῷ βίῳ· καὶ τὰς ἀγαθὰς πράξεις καὶ τὰς πονηρὰς τούτῳ κρινόμεθα τῷ κανόνι, τῷ τὰς μὲν λύπην φέρειν, τὰς δὲ ἡδονήν, καὶ πάντες οὕτω κανονίζομεν τὰς ἐνεργείας, εἰ καὶ μὴ ὁμοίως, ἀλλὰ μᾶλλον καὶ ἧττον. Ὥστε ἀνάγκη περὶ ἡδονὰς καὶ λύπας εἶναι τὴν πᾶσαν ταυτηνὶ πραγματείαν. Οὐ γὰρ μικρὸν βοηθεῖ τῷ ζητοῦντι τὰ πρακτέα, τὸ εἰδέναι, τί ἐστι τὸ καλῶς χαίρειν ἢ λυπεῖσθαι, ἢ τὸ κακῶς· ἐπεὶ μηδὲ μικρὸν μέρος τῶν πράξεων τὸ ἥδεσθαι καλῶς ἢ λυπεῖσθαι, ἢ τοὐναντίον. Ἀπὸ τούτων γὰρ τὰ τῶν ἀνθρώπων ἤθη γινώσκομεν.

γινώσκομεν ἢ φαῦλα ἢ ἀγαθά. Ἔτι ὅσα τῶν πρακτέων οὐκ εἰσὶ ῥᾴδια, περὶ ταῦτα καὶ τέχνη καταγίνεται καὶ ἀρετή· περὶ γὰρ τὰ ῥᾴδια οὐδεμία χρεία πολυχρονίου ἔθους ἢ μεθόδου τεχνικῆς· ὥστε ὅσῳ χαλεπώτερα, τοσούτῳ μείζονος δέονται καὶ τέχνης καὶ ἀρετῆς· ἐπεὶ καὶ βέλτιον τὸ τὰ χαλεπώτερα διαθέσθαι καλῶς, τοῦ τῶν ῥᾳδίων περιγενέσθαι· ἡ ἀρετὴ ἄρα μάλιστα ἐν τοῖς χαλεπωτέροις ἐστὶ, καὶ περὶ ταῦτα καταγίνεται. Ἔστι δὲ χαλεπώτερον τῷ σπουδαίῳ ἡδονῇ μάχεσθαι, ἢ θυμῷ, καθώς φησιν Ἡράκλειτος· καὶ διὰ τοῦτο ἄρα περὶ ἡδονὰς καὶ λύπας εἶναι ἀνάγκη πᾶσαν τὴν πραγματείαν καὶ τῇ ἀρετῇ καὶ τῇ πολιτικῇ· ὁ μὲν γὰρ καλῶς χρώμενος ἡδονῇ καὶ λύπῃ, ἀγαθὸς, ὁ δὲ κακῶς, κακός.

probos eſſe judicamus aut improbos. Præterea, ſi quæ actiones non ſunt faciles, in his & ars occupatur & virtus. Quæ enim ſunt faciles, nec diuturnam conſuetudinem neq; ullam diſcendi requirunt rationem: Quare quanto difficiliores ſunt, tanto majorem quoque aut artem requirunt aut virtutem. Quia melius eſt, quæ difficilia ſunt recte deducere, quam quæ facilia ſunt, ſuperare. Quamobrem maxime in difficilioribus virtus eſt, in iiſque occupatur. Difficilius autem viro bono eſt, cum voluptate, ut Heraclitus dicebat, quam cum ira luctari: ideoque in voluptatibus neceſſe eſt ac doloribus omne ſtudium ſuum & virtus ponat, & civilis ſcientia. Qui enim bene voluptate utitur ac dolore, bonus; qui male, talis quoque eſt. Ariſtot. l. 2. c. 4.

ΚΕΦ. δʹ.

Ὅτι διαφέρει ὁ δίκαιος τοῦ ποιοῦντος τὰ δίκαια, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως.

CAP. IV.

Differre juſtum & qui juſta agit: ac ſimiliter in reliquis.

Ὅτι μὲν οὖν ἡ ἀρετὴ περὶ ἡδονὰς καὶ λύπας ἐστὶ, καὶ ὅτι ἐξ ὧν γίνεται, ὑπὸ τούτων καὶ αὔξεται καὶ φθείρεται, καθ' ἕτερον τρόπον καὶ ἕτερον τῶν ἐνεργειῶν γινομένων· καὶ ὅτι ἐξ ὧν ἐγένετο περὶ ταῦτα καὶ ἐνεργεῖ, εἴρηται.

Ἀπορήσειε δ' ἄν τις πῶς λέγομεν ὅτι τὸν θέλοντα δίκαιον γενέσθαι δεῖ τὰ δίκαια ποιεῖν, καὶ τὸν σώφρονα τὰ σώφρονα.

IN voluptatibus ergo verſari virtutem ac doloribus, itemque ab iiſdem quibus paratur, augeri quoque ac corrumpi, prout vel hoc modo vel illo actionibus fungimur: tum à quibus paratur, in iis quoque functiones exercere, jam diximus.

Dubitare ergo poſſet aliquis, quomodo eum qui juſtus vult eſſe, juſta quoque oportet agere, aut temperata, qui temperans. Cap. 4. Ἀπορήσειε δ' ἄν τις, πῶς λέγομεν, &c.

Ariſtot. l.2. c.4.

Etenim & qui juſta agunt, juſti ſunt omnino, & qui temperata temperantes: ſicut illi qui muſica agunt aut grammatica, muſici ſunt & grammatici.

Ἡ οὐδ' ἐπὶ τῶν τεχνῶν οὕτως ἔχει, &c.

Ad hoc reſpondemus, aliquam eſſe differentiam, inter eum qui juſta agit & qui juſtus eſt: ſicut & in artibus. Poteſt enim aliquis grammaticum quid facere, vel fortuito vel ſuggerente alio, qui tamen non ſit grammaticus. Is vero qui & grammaticum quid faciet & grammatice, erit grammaticus: hoc eſt, cum ex norma aliquid faciet grammaticæ, in qua exercitatus eſt. Ita aliquis juſta poteſt agere, qui tamen juſtus non ſit.

Ἔπ οὐδ' ὁμοίως ἐστὶν ἐπὶ τῶν τεχνῶν, &c.

Quin potius major in virtute, quam in artibus rei hujus apparet differentia. Hic enim in ipſis artis functionibus conſiſtit bonum. Itaque ſi quis ea quæ muſicæ ſunt faciat, qui muſicam novit, nihil obſtat, quo minus dici poſſit muſicus. Eſt enim muſicus, licet cum præelectione muſica non faciat, ſed ab alio coactus. In virtute autem non ita. Quia ſi quis juſta faciat, non propterea eſt juſtus, niſi præter reliqua, quæ requiruntur, volens quoque admodum motuque proprio hoc faciat, & non ab alio coactus. Tum demum namque juſtus erit; primo ſi juſta agit, idque ſciens, deinde ſi ex præelectione, tertio ſi firmiter in actione perſiſtat & conſtanter. Etenim qui novit juſta, volenſque agit ea, nec tamen putat omne tempus juſtitiæ eſſe idoneum; non-

οἱ γὰρ τὰ δίκαια πράττοντες δίκαιοι πάντως εἰσὶ καὶ οἱ τὰ σώφρονα σώφρονες· ὥσπερ οἱ πράττοντες τὰ μουσικὰ ἢ γραμματικὰ, μουσικοί εἰσι καὶ γραμματικοί.

Λέγομεν δὲ πρὸς τοῦτο, ὅτι φαίνεταί τις οὖσα διαφορὰ τοῦ τὰ δίκαια ποιοῦντος καὶ τοῦ δικαίου, ὁμοίως δὲ καὶ ἐπὶ τῶν τεχνῶν· ἐνδέχεται γάρ τινα γραμματικόν τι ποιῆσαι ἢ ἀπὸ τύχης, ἢ ἄλλου ὑποθεμένου, καὶ μὴ γραμματικὸν εἶναι. Ἔσται δὲ γραμματικὸς, ὅτι γραμματικόν τι ποιήσει, καὶ γραμματικῶς· τουτέστιν ἀκολουθῶν τῷ κανόνι τῆς ἐν αὐτῷ γραμματικῆς. Οὕτω καὶ τὰ δίκαια ἐνδέχεται ποιῆσαί τινα, καὶ μὴ δίκαιον εἶναι.

Μᾶλλον δὲ μείζων ἐστὶν ἐν τούτοις ἡ διαφορὰ ἐπὶ τῆς ἀρετῆς, ἢ ἐπὶ τῶν τεχνῶν. Ἀγαθὸν γὰρ ἐν αὐταῖς ἐστι ταῖς ἐνεργείαις τῆς τέχνης. Ὥστε ἐάν τις μουσικὰ ποιῇ μουσικὴν εἰδὼς, οὐδὲν κωλύει μουσικὸν αὐτὸν ὀνομάζειν· ἔστι γὰρ μουσικὸς, καὶ ἐὰν μὴ προαιρούμενος αὐτὸς τὰ μουσικὰ ποιῇ, ἀλλὰ ἑτέρου βιαζομένου, ἐπὶ δὲ τῆς ἀρετῆς οὐχ οὕτως. Καὶ γὰρ ἐάν τις δίκαια ποιῇ, οὐκ ἂν εἴη δίκαιος, ἐὰν μὴ πρὸς τοῖς ἄλλοις καὶ πάνυ βουλόμενος ποιῇ, καὶ ὑφ' ἑαυτοῦ κινούμενος, καὶ οὐχ ἑτέρου βιαζομένου. Τότε γὰρ ἔσται δίκαιος, πρῶτον μὲν ἐὰν πράττῃ τὰ δίκαια, γινώσκων ἃ πράττει· ἔπειτα, ἐὰν προαιρούμενος αὐτὸς πράττῃ· καὶ τρίτον, εἰ βεβαίως καὶ ἀμετακινήτως ἔχει πρὸς τὴν πρᾶξιν. Καὶ γὰρ οὐκ ἂν εἴη δίκαιος ὁ εἰδὼς μὲν τὰ δίκαια καὶ πράττων ἑκὼν, οἰόμενος δὲ μὴ πάντα χρόνον καιρὸν εἶναι δικαιοπραγίας.

Τοῦτο

Ταῦτα δὲ πρὸς μὲν τὸ λαβεῖν τὰς ἄλλας τέχνας καὶ τεχνίτας εἶναι κατ' αὐτὰς οὐ ζητοῦνται, πλὴν τοῦ εἰδέναι· χωρὶς γὰρ τοῦ εἰδέναι, πῶς ἄν τις εἴη τεχνίτης; εἰ δὲ μήτε προαιρούμενος τὴν τέχνην ποιεῖ, μήτε ἀκινήτως ἔχων πρὸς τὴν μεταχείρισιν τῆς τέχνης, οὐ διὰ τοῦτο κωλύεται τεχνίτης εἶναι. πρὸς δὲ τὴν ἀρετὴν, τὸ μὲν εἰδέναι περὶ αὐτῆς πάντα ἃ προσῆκεν εἰδέναι, μικρὸν ἢ οὐδὲν συντελεῖ, πρὸς τὸ σπουδαῖόν τινα γενέσθαι· τὰ δ' ἄλλα οὐ μικρὸν, ἀλλὰ τὸ πᾶν δύναται· καὶ γὰρ ἐνδέχεται μηδὲν ἀκριβὲς περὶ ἀρετῆς εἰπεῖν εἰδότα, σπουδαῖον εἶναι. Χωρὶς δὲ τοῦ προαιρεῖσθαι καὶ ἀκινήτως ἔχειν πρὸς ἀρετὴν, ἀδύνατον εἶναι σπουδαῖον· ἅ τινα ἐκ τοῦ πολλάκις ποιεῖν τὰς ἐνεργείας περιγίνεται, καθὼς εἴρηται.

Τὰ μὲν οὖν πράγματα, δίκαια καὶ σώφρονα, ὅταν ᾖ τοιαῦτα, οἷα ἂν ὁ δίκαιος ἢ ὁ σώφρων πράξει· δίκαιος δὲ καὶ σώφρων ἐστὶν, οὐχ ὁ ταῦτα πράττων πᾶς, ἀλλὰ ὁ οὕτω πράττων ὥσπερ οἱ δίκαιοι καὶ οἱ σώφρονες πράττουσιν. Ὥστε καλῶς λέγεται, ὅτι ἐκ τοῦ τὰ δίκαια ποιεῖν ὁ δίκαιος γίνεται, καὶ ἐκ τοῦ τὰ σώφρονα ὁ σώφρων. Ὃς δὲ μὴ πράττει ταῦτα, οὐδέποτε γίνεται ἀγαθὸς, οὐδὲ μελλήσει ποτὲ γενέσθαι.

Ἀλλ' οἱ πλείους τῶν ἀνθρώπων, ταῦτα μὲν οὐ πράττουσιν· ἐπὶ δὲ τὴν σοφίαν καταφεύγοντες καὶ τοὺς λόγους, οἴονται τοῦτο φιλοσοφεῖν· καὶ οἴονται σπουδαῖοι εἶναι, ὅτι μόνον περὶ τῆς ἀρετῆς ἀκρι-

dum juſtus eſt. Cum in aliis contra artibus, ſi quis aut conſequi eas, aut artifex in iis dici velit, nihil requiratur horum, præter ſcientiam. Nam niſi ſcientia adſit, quomodo quis artifex erit? Quod ſi neque cum præelectione artem agit, neque ſimiliter in exercenda ea perſiſtit, nihil propterea obſtat, quo minus ſit artifex. In virtute autem parum prodeſt, ſi quis omnia ſciat quæ ſciri æquum eſt, ut vir bonus evadat. Reliqua vero non parum poſſunt, ſed omnia. Etenim fieri poteſt, ut qui accuratam nihil de virtute poſſit dicere, tamen vir bonus ſit. Niſi vero hoc etiam adſit, ut ex præelectione agat, conſtanterque in virtute ſe habeat, fieri bonus nemo poteſt. Ea autem ex crebris quas edimus, ut dictum eſt, contingunt functionibus.

Ac res quidem juſtæ dicuntur ac temperatæ, cum ſunt ejuſmodi, quales à juſto fiunt ac temperante. Juſtus vero eſt ac temperans, non quicunque hæc agit, ſed qui ita agit, quemadmodum juſti ac temperantes. Quare recte dicitur, Juſta agendo juſtum fieri aliquem, ſicut temperate temperantem. Qui vero hæc non agit, nunquam fit bonus nec futurus eſt.

Plerique autem hæc non agunt, ſed ad philoſophiam ſuam confugiunt, ac ſermones meros: quod illi philoſophari exiſtimant. Quin & boni ſibi viri videntur, ſi modo de virtute accurate poſſint diſſerere. Qui

Ariſtot. l. 2. c. 4.

Τὰ μὲν οὖν πράγματα δίκαια, &c.

Ἀλλ' οἱ πολλοὶ ταῦτα μὲν οὐ πράττουσιν, &c.

Ariſtot. l.3. c.5. quidem eodem modo faciunt ac ægri, qui diligenter audiunt medicos, neque quicquam tamen eorum faciunt quæ præſcribunt. Sicut ergò illis nunquam recte ſe habebunt corpora, quamdiu ita curantur: ſic neque hi emendabunt animum, quamdiu hoc modo philoſophantur.

δῶς γινώσκουσιν εἰπεῖν· ὅμοιόν τι ποιοῦντες τοῖς κάμνουσιν, οἱ τῶν ἰατρῶν ἀκούουσι μὲν ἐπιμελῶς, ποιοῦσι δὲ οὐδὲν τῶν προσταττομένων. Ὥσπερ τοίνυν ἐκείνοις οὐδέποτε ἕξει τὰ σώματα καλῶς, οὕτω θεραπευομένοις, οὕτως οὐδὲ οὗτοι τὴν ψυχὴν κάλλιον ποιήσουσιν οὕτω φιλοσοφοῦντες.

CAP. V.

ΚΕΦ. ϛ.

Habitum eſſe virtutem ac medium.

Ὅτι ἕξις ἐστὶν ἡ ἀρετὴ καὶ μεσότης.

Cap. 5. Μετὰ δὲ ταῦτα, &c. Poſt hæc reſtat ut videamus quid ſit virtus: tria namq; ſunt in animo: affectus nimirum, facultates, ac habitus.

Λέγω δὲ πάθη μὲν, &c. Et affectus quidem ſunt, cupiditas, ira, metus, audacia, invidia, gaudium, amicitia, odium, amor, æmulatio, & miſericordia: omnia denique quæ voluptas ſequitur aut dolor.

Δυνάμεις δὲ καθ' ἃς, &c. Facultates autem ſunt habilitates quædam animæ his accommodæ, quibus idonei ut his afficiamur, eſſe dicimur: quemadmodum quibus poſſumus iraſci aut triſtari, aut miſerari.

Ἕξεις δὲ καθ' ἃς τὰ πάθη ἔχομεν &c. Habitus vero, modi ſunt, quibus affectus toleramus: idque vel bene vel male. Quemadmodum, ad iram ſi vehementer nimium ac impotenter habeamus, aut contra remiſſe nimium ac molliter, male habere dicimur: ſin medio quodam modo recte. Similiterque ad alia. Jam vero ex his tribus quid eſt virtus? Affectuſne dico, facultas, an habitus?

Μετὰ δὲ ταῦτα σκεπτέον τί ἐστιν ἡ ἀρετή. Τρία γάρ ἐστι τὰ ἐν τῇ ψυχῇ· πάθη, δυνάμεις, ἕξεις.

Καὶ πάθη μὲν εἰσὶν, ἐπιθυμία, ὀργὴ, φόβος, θράσος, φθόνος, χαρὰ, φιλία, μῖσος, πόθος, ζῆλος, ἔλεος· ὅλως οἷς ἕπεται ἡδονὴ ἢ λύπη.

Δυνάμεις δὲ, αἱ πρὸς ταῦτα ἐπιτηδειότητες τῆς ψυχῆς, καθ' ἃς παθητικοὶ τούτων λεγόμεθα· οἷον, καθ' ἃς ἐσμὲν δυνατοὶ ὀργισθῆναι, ἢ λυπηθῆναι, ἢ ἐλεῆσαι.

Ἕξεις δὲ, οἱ τρόποι, καθ' οὓς πάσχομεν τὰ πάθη, δηλονότι τὸ πάσχειν αὐτὰ καλῶς ἢ κακῶς· οἷον πρὸς τὸ ὀργισθῆναι εἰ μὲν σφοδρῶς καὶ ἀθέτως ἔχομεν, ἢ τοὐναντίον ἀνειμένως καὶ μαλακῶς, κακῶς ἔχομεν. Εἰ δὲ μέσως, καλῶς· ὁμοίως δὲ καὶ πρὸς τὰ ἄλλα. Τούτων δὲ τῶν τριῶν, τί ἐστιν ἡ ἀρετὴ, πάθος, ἢ δύναμις, ἢ ἕξις;

Πάθος

Πάθος μὲν οὖν οὐκ ἔστιν οὔτε ἡ ἀρετὴ, οὔτε ἡ κακία. Κατὰ μὲν γὰρ τὴν ἀρετὴν σπουδαῖοι λεγόμεθα, καὶ κατὰ τὴν κακίαν φαῦλοι· κατὰ δὲ τὰ πάθη οὐδαμῶς· οὐδεὶς γὰρ φαῦλος ἢ σπουδαῖος διὰ μόνον τὸ ὀργίζεσθαι· ἡ ἀρετὴ ἄρα, ἢ ἡ κακία, οὐκ ἔστι πάθος. Ἔτι, κατὰ μὲν τὰ πάθη οὔτε ἐπαινούμεθα οὔτε ψεγόμεθα, κατὰ δὲ τὰς ἀρετὰς ἢ τὰς κακίας ἐπαινούμεθα ἢ ψεγόμεθα. Ἔτι ὀργιζόμεθα μὲν καὶ φοβούμεθα ἀπροαιρέτως, καὶ τὰ ἄλλα πάσχομεν ὁμοίως· ἐπὶ δὲ τῆς ἀρετῆς καὶ τῆς κακίας οὐχ οὕτως· οὐκ ἄρα εἰσὶ πάθη. Ἔτι πρὸς τὰ πάθη οὐ λεγόμεθα διακεῖσθαι, ἀλλὰ μᾶλλον κατ' αὐτὰ κινεῖσθαι· πρὸς δὲ τὴν ἀρετὴν διακεῖσθαι λεγόμεθα καὶ πρὸς τὴν κακίαν· οὐκ ἄρα εἰσὶ πάθη.

Διὰ τὰ αὐτὰ δὲ οὐδὲ δυνάμεις εἰσίν. Οὔτε γὰρ φαῦλοι ἢ ἀγαθοὶ λεγόμεθα τῷ δύνασθαι ὀργισθῆναι ἁπλῶς, οὔτε ἐπαινούμεθα ἢ ψεγόμεθα. Οὔτε τῷ προαιρεῖσθαι δυνάμεθα ὀργισθῆναι, καθάπερ ἐπὶ τῆς ἀρετῆς ἔχει, ἀλλὰ μᾶλλον τῷ πεφυκέναι. Ἀγαθοὶ γὰρ ἢ κακοὶ οὐ γινόμεθα φύσει, καθὼς ἐν τοῖς προειρημένοις ἐδείχθη.

Εἰ οὖν μήτε πάθη αἱ ἀρεταὶ, μήτε δυνάμεις, λείπεται τῶν ἕξεων αὐτὰς εἶναι· τί μὲν οὖν ἐστιν ἀρετὴ τῷ γένει εἴρηται· ἐστὶ γὰρ ἕξις.

Δεῖ δὲ μὴ μόνον ἕξιν αὐτὴν εἶναι λέγειν, ἀλλὰ προστιθέναι τὸ ποία τις, ὅτι ἐστὶν ἀγαθή· ἡ γὰρ κακία ἕξις ἐστὶ πονηρά. Ῥητέον οὖν περὶ τῆς ἀρετῆς ἐκεῖνο, ὅτι

Et affectus quidem nec virtus eſt nec vitium. Ex virtute enim boni eſſe dicimur, ex vitio mali: ex affectibus vero minime. Nemo enim aut bonus dicetur aut malus, quatenus tantum iraſcitur, quare nec virtus eſt affectus nec vitium. Præterea, ex affectibus nec laudamur nec vituperamur: ex virtutibus autem & laudamur & vituperamur. Præterea, iraſcimur ſine ulla prælectione & metuimus, cæteroſque eodem modo affectus ſubimus, in virtute vero & vitio, non ita: quare neque affectus ſunt. Poſtremo, ex affectibus non dicimur diſponi, ſed potius ex iis moveri: ex virtute vero & vitio dicimur diſponi: quare neque ſunt affectus.

Aristot. l. 2. c. 6. Πάθη μὲν οὐκ εἰσίν, &c.

Eiſdem vero de cauſis neque facultates ſunt. Neque enim boni dicimur aut mali quatenus iraſci poſſumus ſimpliciter: nec laudamur aut vituperamur: ſed nec cum prælectione poſſumus iraſci, ſicut in virtute ſe habet, ſed quatenus natura ita comparati ſumus. Cum contra neque boni natura ſimus, nec mali, ſicut in ſuperioribus oſtendimus.

Διὰ ταῦτα δὲ οὐδὲ δυνάμεις εἰσίν, &c.

Quare ſi neque affectus ſunt virtutes, neque facultates, reſtat ut ad habitus referantur. Quid igitur ſit virtus in genere, jam diximus. Eſt enim habitus.

Εἰ οὖν μήτε πάθη εἰσίν, &c.

Jam vero neque hoc ſufficit, ſi habitus dicatur eſſe, ſed amplius addendum eſt, talem eſſe aut talem, id eſt, bonum. Si quidem vitium eſt habitus malus. Hoc igitur de virtute di-

Cap. 6. Δεῖ δὲ μὴ μόνον οὕτως εἰπεῖν ὅτι ἕξις, &c.

Ariſtot. l. 2. c. 6

cendum eſt: omnem virtutem tum illud in quo eſt ipſa inſtruere beneque affectum reddere, tum ipſum quoque opus, quod per eam producitur, recte diſponere. Sic, exempli gratia, virtus oculi ipſum non modo oculum perficit, ſed & opus ejus, viſum videlicet: virtute enim oculi bene videmus. Eodemque modo virtus equi, ipſum non modo equum inſtruit bonumque reddit, ſed & opus ejus. Hac enim virtute & ſeſſorem recte potes ferre & currere, & hoſtes excipere. Cum autem ita habeat in omnibus, etiam humana virtus ita ſe habebit: quæ nihil eſt aliud, quam habitus à quo bonus efficitur homo, & à quo humanum opus recte ac ut oportet efficiet. Quomodo autem talem comparabimus nobis habitum? Jam quidem paulo ante id diximus. Eum namque qui cum virtute velit vivere, operam daturum ſemper, dicebamus, ut ad medium perveniat eorum, qui ad affectus nos impellunt motuum: iiſque inſueſcere. Sed & idem ex ſequentibus patebit: ſi nimirum videamus qualis ſit virtutis natura. Id autem videamus hoc modo.

Ἐν παντὶ συνεχεῖ, &c.

In omni re continua, qualis eſt linea, ſuperficies, corpus, oratio, & tempus, aut quodcunque denique dividi poteſt, aliud plus, aliud minus, aliud æquale ſumi poteſt. Ut exempli gratia, in re continua: ſi quod decem cubitorum eſt, multum eſt, quod duorum eſt, parum, æquale erit quod ſex cubitorum

πᾶσα ἀρετὴ αὐτό τε κοσμεῖ τὸ ἔχον τὴν ἀρετὴν καὶ καλῶς ἔχειν ποιεῖ, καὶ τὸ ἔργον αὐτοῦ. τὸ δι' αὐτῆς ἐνεργούμενον εὖ διατίθησιν. Οἷον ἡ τοῦ ὀφθαλμοῦ ἀρετὴ καὶ αὐτὸν τὸν ὀφθαλμὸν τελειοῖ, καὶ ποιεῖ ἀγαθὸν, καὶ τὸ ἔργον αὐτοῦ, δηλονότι τὸ ὁρᾶν· τῇ γὰρ τοῦ ὀφθαλμοῦ ἀρετῇ, εὖ ὁρῶμεν. Ὁμοίως καὶ ἡ τοῦ ἵππου ἀρετὴ αὐτόν τε τὸν ἵππον κοσμεῖ καὶ ἀγαθὸν ποιεῖ, καὶ τὸ ἔργον αὐτοῦ· καὶ γὰρ τῇ τοιαύτῃ ἀρετῇ δύναται ἐνεγκεῖν καλῶς ἐπιβάτην, καὶ δραμεῖν, καὶ μεῖναι τοὺς πολεμίους. Ἐπεὶ δὲ οὕτως ἐπὶ πάντων ἔχει, καὶ ἡ ἀνθρωπίνη ἀρετὴ ὁμοίως ἂν ἔχοι, καὶ εἴη ἂν ἡ ἀνθρωπίνη ἀρετὴ, ἕξις, ἀφ' ἧς ὁ ἄνθρωπος ἀγαθὸς γίνεται, καὶ ἀφ' ἧς τὸ ἀνθρώπινον ἔργον εὖ καὶ καλῶς ἀποτελέσει. Πῶς δὲ ἔσται ἡμῖν ἡ τοιαύτη ἕξις; εἴρηται μὲν καὶ περὶ ὀλίγου. Ἐλέγομεν γὰρ τῆς μεσότητος ἀεὶ στοχάζεσθαι τῶν ἐπὶ τὰ πάθη κινήσεων, καὶ ἑαυτὸν ἐθίζειν ἐν τοῖς τοιούτοις τὸν ἐν ἀρετῇ ζῆν προαιρούμενον· ἔτι δὲ καὶ ἐκ τῶν λεχθησομένων ἔσται φανερὸν, ἐὰν θεωρήσωμεν, ποία τίς ἐστιν ἡ φύσις τῆς ἀρετῆς. Σκοπῶμεν δὲ οὕτως.

Ἐν παντὶ συνεχεῖ, οἷον γραμμῇ, ἐπιφανείᾳ, σώματι ἢ λόγῳ, ἢ χρόνῳ, καὶ ὅλως ἐν παντὶ δυναμένῳ διαιρεθῆναι, λαβεῖν ἐστὶ τὸ μὲν πλεῖον, τὸ δὲ ἔλαττον, τὸ δὲ ἴσον· οἷον ἐπὶ τοῦ συνεχοῦς, εἰ τὸ μὲν δεκάπηχυ πολὺ, τὸ δὲ δίπηχυ ὀλίγον, ἴσον ἔσται τὸ ἓξ ἔχον πήχεις.

χεις, ὃ καὶ μέσον καλεῖται, ὅτι ᾧ ἐλλείπει τοῦ δεκαπήχεος, ὑπερέχει τοῦ διπήχεος. Ὁμοίως δὲ καὶ ἐπὶ τοῦ διωρισμένου ποσοῦ. Εἰ γὰρ τὰ εἴκοσι πολύ, τὰ δὲ δέκα ὀλίγον, ἴσον ἔσται τὰ δεκαπέντε. Ὅτι ᾧ ἐλλείπει τοῦ μείζονος, ὑπερέχει τοῦ ἐλάττονος· τὸ δὲ τοιοῦτον ἴσον, μέσον καλεῖται· καὶ ἡ τοιαύτη τάξις, ἀριθμητικὴ ἀναλογία. Καὶ ἐπὶ μὲν τοῦ διωρισμένου ποσοῦ οὐκ ἀνάγκη ἐπὶ παντὸς λαβεῖν τὴν τοιαύτην ἀναλογίαν· οὐ γάρ ἐστιν ἐπ' ἄπειρα διαιρετέον· ἐπὶ δὲ τοῦ συνεχοῦς ἐπὶ παντὸς δυνατόν ἐστιν, ἅτε ἀπειράκις δυναμένου διαιρεθῆναι. Τοῦτο δὴ τὸ μέσον οὐχ ὁμοίως ἀεὶ κρίνομεν, ἀλλὰ ποτὲ μὲν κατ' αὐτὸ τὸ πρᾶγμα, ποτὲ δὲ πρὸς ἡμᾶς. Καὶ κατ' αὐτὸ μὲν τὸ πρᾶγμα μέσον ἐστί, τὰ ἕξ, τοῦ δέκα καὶ δύο, ἴσον ὑπερέχοντα καὶ ἐλλείποντα· ἀπ' αὐτῶν γὰρ τῶν πραγμάτων λαμβάνεται ἡ διαφορά. Πρὸς ἡμᾶς δέ, ὅταν ἀφ' ἡμῶν ἡ μεσότης, καὶ ἡ ὑπερβολή, καὶ ἔλλειψις λαμβάνηται. Οἷον εἴ τινι πολὺ τὸ δέκα μνᾶς φαγεῖν, δύο δὲ ὀλίγον, οὐκ ἀνάγκη τὰς ἓξ μνᾶς τὴν μεσότητα φυλάττειν, καὶ προσηκούσας εἶναι τῷ σώματι· δυνατὸν γὰρ ἢ πλείους ἢ ἐλάττους ἀρκεῖν. Πρὸς μὲν οὖν αὐτὸ τὸ πρᾶγμα αἱ ἓξ μναῖ τὸ μέσον καὶ ἴσον ἐστί· πρὸς ἡμᾶς δὲ ἑπτὰ ἴσως, ἢ πέντε, ἤγουν ὅσας τὸ σῶμα προσήκει. Αἱ δὲ ἓξ Μίλωνι μέν, ἅτε ἱκανῶς γεγυμνασμένῳ, ὀλίγη ἔσται τροφή, καὶ ὁ ἀλείπτης πλείω παρέξει· τῷ δὲ ἀρχομένῳ τῶν γυμνασίων, πολύ. Ο-

eſt. Quod & medium vocatur, quia quo deficit ab eo quod decem eſt cubitorum: excedit id quod duorum eſt cubitorum. Eodemque modo in quantitate diſcreta. Si enim multum eſt viginti, parum vero decem, æquale erit, quindecim: quia quo deficit ab eo quod majus eſt, eo excedit hoc quod minus eſt. Ejuſmodi autem æquale, medium vocatur: ipſe autem ordo arithmetica eſt proportio. Et in diſcreta quidem quantitate, non neceſſe eſt ubique ſervare hanc proportionem, (nec enim in infinitum dividendum eſt) in continua vero ubique poteſt, cum in infinitum poſſit dividi. Hoc vero medium, non ſimiliter ſemper judicamus: ſed interdum rei reſpectu, interdum vero noſtri. Et rei quidem reſpectu, medium duodecim eſt ſex: quæ æqualiter & excedunt & deficiunt. Ab ipſis quippe rebus differentia ſumitur. Reſpectu vero noſtri, cum à nobis medium exceſſuſque ac defectus ſumitur. Ut, ſi cui multum ſit decem libras comedere, duas parum, non neceſſe erit ſex libras eſſe medium, ac convenire corpori: fieri enim poteſt ut aut plures ſufficiant, aut pauciores. Reſpectu ergo rei, ſex libræ medium erunt ac æquale: noſtri vero, ſeptem aut quinque; quot nimirum corpus requiret. Etenim ſex illæ Miloni, ut qui plene exercitatus eſt, parum alimenti erunt, pluresq; ei præbebit alipta: ei vero qui primum exercetur, multum. Simi-

Ariſtot. l. 1. c. 6.

Ariſtot. l.1. c.6.

Similiterque in curſu quoque habet ac lucta. Nam & in his reſpectu eorum qui exercentur, æquale judicamus. Sed & quicunque diſciplinam tuetur aliquam, medium quærit ſemper, defectum vero contra fugit ac exceſſum. Medium dico illud, quod reſpectu noſtri non ipſius rei eſt medium.

Εἰ δὴ πᾶσα ἐπιστήμη οὕτω τὸ ἔργον εὖ ἐπιτελεῖ, &c.

Et hoc quidem modo, omnis ſcientia opus recte perficit ſuum. Ideoque de operibus quæ bene ſe habent, dicere ſolemus; neque detrahi iis quicquam neque addi poſſe: quo ſignificamus, à defectu illa, ſimiliter & ab exceſſu abeſſe. Quia ut illa virtutem operis corrumpunt, ita ſolum conſervat medium. Cum autem accuratior arte omni præſtantiorque ſit virtus, ſicut & natura, medium quoque ipſa ſpectabit. Virtutem autem dico non *διανοητικὴν*, (alio enim modo ſe hæc habet) ſed ethicam: in affectibus enim illa & actionibus verſatur: quæ majores nempe & plures quam oportet poſſunt eſſe, & pauciores. Ac propterea decorum in iis collocamus, hoc eſt, æquale. Poſſumus enim & metuere & audere, concupiſcere & odiſſe, iraſci & miſereri, voluptate denique affici & dolore, magis quam oportet aut minus: neutrum tamen recte. Omnibus vero his affici cum oportet, & quemadmodum oportet, & in quibus oportet, & erga quos oportet, & cujus cauſa oportet, mediũ eſt & optimum, in quo virtus conſiſtit. Eodemque modo in actionibus habet, quæ ab affe-

ὁμοίως δὲ καὶ ἐπὶ δρόμου καὶ πάλης ἔχει· καὶ ἐπὶ τούτων γὰρ ἀπὸ τῶν γυμναζομένων τὸ ἴσον κείνομεν· ἔτι δὲ καὶ πᾶς τῆς ἠσυνοσῦν περιϊστάμενος ἐπιστήμης, τὸ μέσον ἀεὶ ζητεῖ, τὴν ὑπερβολὴν καὶ τὴν ἔλλειψιν φεύγων, μέσον ἐκεῖνο δηλονότι διώκων, ὃ πρὸς ἡμᾶς, οὐ πρὸς τὸ πρᾶγμα, μέσον ἐστί.

Καὶ τοῦτον τὸν τρόπον πᾶσα ἐπιστήμη τὸ ἴδιον ἔργον καλῶς ἀποτελεῖ. Διὰ τοῦτο καὶ εἰώθαμεν λέγειν ἐν τοῖς εὖ ἔχουσι τῶν ἔργων, ὅτι οὔτε ἀφελεῖν ἐστὶν, οὔτε προσθεῖναι, δεικνῦντες ὅτι καὶ τὴν ὑπερβολὴν ὁμοίως καὶ τὴν ἔλλειψιν φεύγει, ὡς τῶν μὲν διαφθειρουσῶν τὸ τῶν ἔργων ἀγαθὸν, τῆς δὲ μεσότητος μόνης σωζούσης. Ἐπεὶ δὲ ἡ ἀρετὴ πάσης τέχνης ἀκριβεστέρα καὶ ἀμείνων ἐστὶ, καθάπερ καὶ ἡ φύσις, τὸ μέσον ἂν καὶ αὕτη στοχοποίη. Ἀρετὴν δὲ λέγω οὐ τὴν διανοητικὴν, ἄλλως γὰρ τὸ κατ' αὐτὴν ἔχει, ἀλλὰ τὴν ἠθικήν· αὕτη γάρ ἐστι περὶ πάθη καὶ πράξεις, ἃ καὶ πλείω καὶ μείζω τοῦ δέοντος καὶ ἐλάττω δυνατὸν εἶναι. Καὶ διὰ τοῦτο καὶ τὸ δέον ἐστὶν ἐν αὐτοῖς, δηλονότι τὸ ἴσον. Καὶ γάρ ἐστι καὶ φοβηθῆναι καὶ θαῤῥῆσαι, καὶ ἐπιθυμῆσαι, καὶ μισῆσαι, καὶ ὀργισθῆναι, καὶ ἐλεῆσαι, καὶ ὅλως ἡσθῆναι καὶ λυπηθῆναι μᾶλλον καὶ ἧττον, καὶ ἀμφότερα οὐ καλῶς. Τὸ δὲ παθεῖν ταῦτα πάντα ὅτε δεῖ, καὶ ὡς δεῖ, καὶ ἐφ' οἷς δεῖ, καὶ πρὸς οὓς δεῖ, καὶ οὗ ἕνεκα δεῖ, μέσον ἐστὶ καὶ ἄριστον, ἐν ᾧ ἡ ἀρετὴ γίνεται. Ὁμοίως δὲ ἔχει καὶ περὶ τὰς ἀποτελουμένας ὑπὸ τῶν

παθῶν

παθῶν πράξεις. Ἔστι γὰρ καὶ ἐν αὐταῖς ὑπερβολὴ, καὶ ἔλλειψις, καὶ μεσότης· ἐπεὶ τοίνυν ἡ ἀρετὴ περὶ πάθη καὶ πράξεις καταγίνεται, τῶν δὲ παθῶν καὶ τῶν πράξεων τὸ μέσον ἀεὶ καὶ κατόρθωμα ὀνομάζεται καὶ ἐπαινεῖται, ἅπερ ἄμφω προσήκει τῇ ἀρετῇ, φανερὸν ὅτι οὔτε ὑπερβολὴ οὔτε ἔλλειψις, ἀλλὰ μεσότης ἐστὶν ἡ ἀρετὴ, τὸ μέσον ἀεὶ σκοποῦσα.

Ἔτι τὸ μὲν ἁμαρτάνειν πολυειδές ἐστιν, ὡς εἰπεῖν· πολλαχῶς γάρ τις δύναται ἁμαρτάνειν. Τὸ γὰρ κακὸν ἄπειρον, ὡς οἱ Πυθαγόρειοι ἔλεγον, τὸ δὲ ἀγαθὸν ὡρισμένον τι καὶ πεπερασμένον· καὶ διὰ τοῦτο καὶ τὸ κατορθοῦν, ἁπλοῦν τι ἐστὶ καὶ μονοειδές. Ὅθεν καὶ τὸ μὲν ἁμαρτάνειν, ῥᾴδιόν ἐστιν, ὥσπερ τοξότῃ τὸ ἀποτυγχάνειν τοῦ σκοποῦ· τὸ δὲ κατορθοῦν, χαλεπὸν ὥσπερ τὸ βάλλειν κατὰ σκοπόν. Φαίνεται ἄρα καὶ διὰ τοῦτο, τὴν μὲν ὑπερβολὴν καὶ τὴν ἔλλειψιν τῆς κακίας εἶναι (ἀόριστα γὰρ ἑκάτερον) τὴν μεσότητα δὲ τῆς ἀρετῆς, ὡρισμένην καὶ μίαν οὖσαν. Ἐσθλοὶ μὲν γὰρ ἁπλῶς, παντοδαπῶς δὲ κακοί.

Ἔστιν ἄρα ἡ ἀρετὴ ἕξις προαιρετικὴ ἐν μεσότητι οὖσα τῇ πρὸς ἡμᾶς, ὡρισμένῃ λόγῳ καὶ ὡς ἂν ὁ φρόνιμος ὁρίσειε.

Μεσότης δὲ δύο κακιῶν, τῆς μὲν καθ' ὑπερβολὴν, τῆς δὲ κατ' ἔλλειψιν. Τὴν μὲν γὰρ ὑπερβάλλει, τῆς δὲ ἐλλείπει· διὰ τὸ τὴν μὲν τῶν κακιῶν ὑπερβάλλειν τὸ δέον, τὴν δὲ ὑπερβάλ-

ctibus producuntur. Nam in illis quoque & exceſſus & defectus eſt, & medium. Quoniam in affectibus ergo actionibuſque occupatur virtus, id vero quod medium in affectibus actionibuſque eſt, rectum vocatur, & laudari ſolet, quorum utrumque virtuti convenit, apparet nec exceſſum nec defectum, ſed mediocritatem eſſe virtutem, quæ medium ſemper reſpicit. Ariſtot. l.2. c.6.

Rurſus aberrare multis modis contingit; diverſa enim ratione peccat aliquis. Etenim malum, ut Pythagorici dicebant, infinitum eſt: bonum vero definitum ac terminatum. Ideoque id quod rectum eſt conſequi, res eſt ſimplex ac uniformis. Quare etiam facile eſt peccare, ſicut ſagittario aberrare à ſcopo: id vero quod rectum eſt, conſequi, difficile eſt: ſicut ſcopum tangere. Apparet ergo ex hoc quoque, utrumque, cum exceſſum tum defectum, eſſe vitii (utrumque enim indefinitum eſt) mediocritatem vero virtutis eſſe, quæ definita eſt & unica. Etenim. *Simpliciterque boni ſunt, varieque mali.* Ἔτι τὸ μὲν ἁμαρτάνειν πολυειδές, &c.

Eſt ergo virtus præelectionis habitus, qui in mediocritate conſiſtit ad nos relata, ratione definita, & quemadmodum prudens definiret. Ἔστιν ἄρα ἡ ἀρετὴ, &c.

Et mediocritas quidem duorum vitiorum: quorum alterum in exceſſu, alterum eſt in defectu. Alterum enim ſuperat, ab altero autem ſuperatur. Quia alterum vitiorum ſuperat id quod rectum eſt; alterum ab eo ſuperatur: Μεσότης δὲ δύο κακιῶν, &c.

Ariſtot. l. 2. c. 6.

virtus vero id ſolum quærit quod rectum eſt, hoc eſt medium, ſolumque hoc eligit. Quare ſi eſſentiam quæramus virtutis, erit mediocritas: ſin bonum quod in ea eſt ac rectum, extremitas.

λέϑαι· τὴν δὲ ἀρετὴν τὸ δέον μόνον ζητεῖν, δηλονότι τὸ μέσον, καὶ τοῦτο μόνον αἱρεῖσθαι. Ὥστε εἰ μὲν ζητοίημεν αὐτὸ τὸ εἶναι τῆς ἀρετῆς, μεσότης ἐστίν· εἰ δὲ τὸ ἀγαθὸν αὐτοῦ, καὶ τὸ εὖ, ἀκρότης ἐστί.

CAP. VI.

Non in omni affectu vel actione eſſe medium: deinde ſigillatim, quæ virtus quorum vitiorum ſit media.

ΚΕΦ. ς'.

Ὅτι οὐκ ἐν παντὶ πάθει ἢ πάσῃ πράξει μεσότης· καὶ κατὰ μέρος περὶ τοῦ τίς ἀρετὴ τινῶν κακιῶν μέση ἐστί.

Οὐ πᾶσα δ' ἐπιδέχεται πρᾶξις δ' πᾶν πάθος, &c.

SEd & illud ſciendum eſt, non omnem actionem neque omnem affectum, eam quam quærimus, mediocritatem, hoc eſt, ipſum rectum, admittere. Quædam enim ſive excedant ſive deficiant, ſive in mediocritate quadam ſint, ſemper mala ſunt. Sicut in affectibus, impudentia, & invidia: in actionibus, adulterium, furtum, homicidium. Hæc enim omnia, non quod mediocritatem excedant propriam, aut ab ea deficiant, mala dicimus; ſed ipſa per ſe ſunt talia. Quare nunquam in iis decorum eſt, neque recte quiſquam aget in iis, ſed peccabit ſemper. Sed neque in illis, ut in aliis affectibus, præfinire quiſquam poteſt, quomodo oporteat, & quando. Sicut nemo perfoſſori parietum præfiniet, quomodo furari, aut quando, aut quem, aut à quo oporteat. Quia ſimpliciter tale aliquid agere, peccare eſt.

Ὁμοίως τὸ ἀξιοῦν καὶ περὶ τὸ ἀδικεῖν, &c.

Quare nec medium in illis, nec exceſſus nec defectus eſt;

ΠΡοσήκει δὲ καὶ ἐκεῖνο γινώσκειν, ὅτι οὐ πᾶσα πρᾶξις οὐδὲ πᾶν πάθος, μεσότητα ἐπιδέχεται τὴν ζητουμένην, τὸ δέον δηλονότι. Ἔνια γὰρ ὁμοῦ καὶ ὑπερβάλλοντα καὶ ἐλλείποντα καὶ ἐν μεσότητί τινι ὄντα, ἀεὶ πονηρά εἰσιν. Οἷον ἐν μὲν πάθεσιν ἀναισχυντία καὶ φθόνος, ἐν δὲ πράξεσι, μοιχεία, κλοπὴ, ἀνδροφονία. Καὶ πάντα ταῦτα οὐ διὰ τὸ ὑπερβάλλειν τὴν ἐν αὐτοῖς μεσότητα, ἢ ἐλλείπειν αὐτῆς, φαῦλα λέγονται· ἀλλὰ αὐτὰ καθ' ἑαυτὰ πονηρά εἰσιν. Οὐκ ἔστιν οὖν οὐδέποτε τὸ δέον ἐν τοῖς τοιούτοις, οὐδὲ κατορθοῦν ἐστὶν ἐν αὐτοῖς, ἀλλὰ ἀεὶ ἁμαρτάνειν. Οὐδ' ἐστὶν ἐν αὐτοῖς προσδιορίζειν, καθάπερ καὶ ἐν τοῖς ἄλλοις πάθεσι, τὸ ὡς δεῖ, καὶ ὅτε δεῖ· οὐ γὰρ προσδιοριστέον, τοῦ τοιχωρύχους πῶς δεῖ κλέπτειν, καὶ πότε, καὶ τίνα, καὶ παρὰ τίνων, ἀλλὰ ἁπλῶς τὸ τι τούτων ποιεῖν, ἁμαρτάνειν ἐστίν.

Οὐ τοίνυν ἐστὶν ἐν τοῖς τοιούτοις μεσότης, οὐδὲ ὑπερβολὴ καὶ ἔλλειψις.

ἔλλειψις, ὥσπερ οὐδὲ ἀδικίας, ἢ δειλίας, ἢ ἀκολασίας. Αὗται γὰρ, αἱ μὲν ὑπερβολαί εἰσιν, αἱ δὲ ἐλλείψεις ἀρετῆς· ὑπερβολῆς δὲ καὶ ἐλλείψεως ὑπερβολὴν καὶ ἔλλειψιν καὶ μεσότητα ζητεῖν, σφόδρα ἄτοπον.

Ἀλλ' ὥσπερ μεσότητος οὐκ ἔστιν ὑπερβολὴ, καὶ ἔλλειψις, καὶ μεσότης, τῆς ἀρετῆς λέγω· ἀλλ' ἔστι τὸ ἄκρον τῆς μεσότητος, ὡς εἰπεῖν· οὕτως οὐδὲ τῶν ὑπερβολῶν καὶ ἐλλείψεων, μεσότης, καὶ ὑπερβολὴ, καὶ ἔλλειψις γένοιτ' ἂν, ἀλλὰ ἀεὶ καὶ καθ' ὃν ἂν τρόπον πράττονται, ἁμαρτάνονται. καὶ καθόλου εἰπεῖν, οὔτε ὑπερβολῆς, καὶ ἐλλείψεως μεσότης ἐστὶν, οὔτε μεσότητος ὑπερβολὴ καὶ ἔλλειψις.

Δεῖ δὲ μὴ μόνον καθόλου λέγειν τὴν ἀρετὴν μεσότητα, τὴν δὲ κακίαν τὰ ἄκρα, ἀλλὰ καὶ κατὰ μέρος, τίς ἀρετὴ, τίνων κακιῶν μεσότης ἐστί. Τῶν γὰρ περὶ τὰς πράξεις λόγων οἱ μὲν καθολικοὶ, κοινότεροι καὶ πλείοσιν ἐφαρμόζουσιν, οἱ δὲ μερικοὶ, ἀληθινώτεροι· ἅτε διὰ τοῦτο προσεχῶς ταῖς πράξεσιν ἐφαρμόζοντες, αἵ τινες ἀεὶ ἐν τοῖς μερικοῖς γίνονται· οἷς δὴ μερικοῖς οἱ ἀληθεῖς συμφωνοῦσι λόγοι. Ληψόμεθα δὲ τὰ ζητούμενα ἐκ τῆς ἐκτεθείσης διαγραφῆς, ἐν ἑκάστῳ μὲν τῶν τῆς ψυχῆς πάθει, πλὴν τῶν καθ' αὐτὰ πονηρῶν, καθὼς εἴρηται, ὑπερβολῆς καὶ ἐλλείψεως μεταξύ ἐστιν ἡ ἀρετή.

Καὶ ἐν μὲν τοῖς φόβοις καὶ τοῖς θάῤῥεσι· πάθη γὰρ ταῦτα τῆς

ſicut nec in injuſtitia, aut timiditate, aut intemperantia. Hæc enim ipſa partim exceſſus virtutis, partim defectus ſunt. Exceſſus autem aut defectus exceſſum velle & defectum quærere, aut mediũ, plane abſurdum eſſet. Ariſtot. l.2, c.7.

Quia quemadmodum mediocritatis nec exceſſus, nec defectus, nec eſt mediocritas: ipſius, dico, virtutis, quæ quaſi mediocritatis eſt extremitas; ſic neque exceſſuum aut defectuum, mediocritas aut exceſſus eſſe aut defectus poterit. Nam quocunque modo aguntur, peccari in iis eſt neceſſe. Denique ut in univerſum dicam, neque exceſſus aut defectus eſt mediocritas, nec mediocritatis exceſſus aut defectus. Ὥσπερ δὲ σωφροσύνης, &c.

Quanquam neque ſatis ſit mediocritatem eſſe virtutem, vitium vero extremitatem, in genere oſtendere: ſed & illud ſigillatim addendum eſt, quæ virtus, quorum vitiorum ſit mediocritas. Etenim eorum, qui de actionibus inſtituuntur, ſermonũ, ii qui univerſales ſunt, magis ſunt communes, pluribusq; conveniunt: qui vero particulares ſunt veriores contra ſunt, quod arcte cum ipſis actionibus cohærent: quæ ſemper in particularibus verſantur: quibus vera quoq; reſpondet agendi ratio. Hoc ergo de quo quærimus, ex expoſita ſumendum eſt deſcriptione. In ſingulis ergo animi affectibus, exceptis iis qui per ſe vitioſi ſunt, ut jam dictum eſt, inter exceſſum & defectũ, mediũ quid virtus eſt. Cap. 7. Δεῖ δὲ τοῦτο μὴ μόνον καθόλου λέγεσθαι, &c.

Et inter metum quidem ac confidentiam (nam & hi Περὶ μὲν φόβους καὶ θάῤῥη, &c.

animi

Ariſtot. l.2.c.7.

animi affectus ſunt) media eſt fortitudo. Extremitates autem, in defectu quidem timiditas, in exceſſu autem, audacia. Etenim exceſſus à metu nullum habet nomen, ſed tantum ab audacia. Quemadmodum & multa alia ſunt ſine nomine. Sicut nec defectus ab audacia nomen, ſed à metu tantum habet: eſt enim timiditas. Ita ut extremitatum altera quidem à metu, altera vero ab audacia dicatur.

Περὶ ἡδονὰς δὲ καὶ λύπας, &c.

Eodemque modo in voluptatibus quoque ac doloribus, extremitates ut plurimum ac mediæ ſunt ſine nomine, maximeque in doloribus. Porro in voluptatibus corporis, mediocritas quidem temperantia eſt, exceſſus vero intemperantia, defectus vero quia pauciſſimi, qui ab omnibus abſtineant voluptatibus reperiantur, ſine nomine eſt. Dicatur tamen ſtupor interim.

Περὶ δὲ δόσιν χρημάτων, &c.

Cæterum in affectu, quo afficimur, cum aut damus pecunias, aut accipimus, medium eſt liberalitas: extremitates vero, in exceſſu quidem profuſio, in defectu autem illiberalitas. Sed & contra evenit, ut defectus ſit profuſio, exceſſus vero illiberalitas. In dandis enim pecuniis, exceſſus, profuſio: defectus vero eſt illiberalitas. In accipiendo autem, illiberalitas exceſſus, profuſio vero defectus eſt. Et nunc quidem ſummatim de iis pinguique quaſi Minerva loquamur, quod in præſentia ſufficiet. Poſtea vero accuratius de iis agemus.

Περὶ δὲ τὰ χρήματα, &c

Eſt præterea & alia in acci-

ψυχῆς· μέση ἐστὶν ἡ ἀνδρεία· ἄκρα δὲ, ἔλλειψις μὲν, δειλία, ὑπερβολὴ δὲ, θρασύτης· ἀπὸ γὰρ τοῦ φόβου οὐκ ἔστιν ὄνομα τῇ ὑπερβολῇ, ἀλλὰ ἀπὸ τοῦ θάρρους μόνον. Πολλὰ δὲ καὶ ἄλλα ἀνώνυμά ἐστιν· ἐπεὶ καὶ τῇ ἐλλείψει οὐκ ἔστιν ἀπὸ τοῦ θάρρους ὄνομα ἀλλὰ ἀπὸ τοῦ φόβου μόνον· δειλία γάρ. Ὥστε τῶν ἄκρων, τὸ ἕτερον μὲν ἀπὸ τοῦ φόβου, θάτερον δὲ ἀπὸ τοῦ θάρρους ὀνομάζεσθαι.

Καὶ ἐν ταῖς ἡδοναῖς δὲ καὶ ταῖς λύπαις αἱ ἀκρότητες καὶ μεσότητες ὡς ἐπὶ τὸ πλεῖστον ἀνώνυμοί εἰσι, μάλιστα δὲ ἐν ταῖς λύπαις· περὶ δὲ τὰς ἐν σώματι ἡδονὰς, μεσότης μὲν, σωφροσύνη, ὑπερβολὴ δὲ, ἀκολασία, ἔλλειψις δὲ, ἐπεὶ οἱ πάνυ τῶν ἡδονῶν ἀπεχόμενοι ὀλίγοι εἰσὶ, διὰ τοῦτο ἀνώνυμος ἐστι· καλείσθω δὲ, ἀναισθησία.

Ἐν δὲ τῷ πάθει, ὃ πάσχομεν ἐν τῷ διδόναι καὶ λαμβάνειν χρήματα, μεσότης μὲν, ἐλευθεριότης. ἄκρα δὲ, ὑπερβολὴ μὲν, ἀσωτεία, ἔλλειψις δὲ, ἀνελευθερία. Συμβαίνει δὲ καὶ τὸ ἀνάπαλιν· τὴν μὲν ἀσωτείαν, ἔλλειψιν εἶναι, τὴν δὲ ἀνελευθερίαν, ὑπερβολήν. Ἐν μὲν γὰρ τῷ διδόναι χρήματα, ἡ μὲν ἀσωτεία ὑπερβολή ἐστιν, ἔλλειψις δὲ ἡ ἀνελευθερία. Ἐν δὲ τῷ λαμβάνειν, ἡ μὲν ἀνελευθερία ὑπερβολή ἐστιν, ἡ δὲ ἀσωτεία ἔλλειψις. Νῦν μὲν ἐν κεφαλαιωδῶς περὶ αὐτῶν λέγομεν καὶ ὡς ἐν τύπῳ, ἀρκούμενοι αὐτῷ τούτῳ· Μετὰ δὲ ταῦτα ἀκριβέστερον ἐροῦμεν περὶ αὐτῶν.

Εἰσὶ δὲ περὶ τὴν δόσιν καὶ

τὴν

τὴν λῆψιν τῶν χρημάτων καὶ ἄλλη μεσότης καὶ ἄκρα. Καὶ ἔστιν ἄλλη μεσότης μὲν, μεγαλοπρέπεια· διαφέρει γὰρ τῆς ἐλευθεριότητος, ὅτι ἡ μὲν μεγάλα τινὰ περιΐεται, ἡ δὲ μικρά. Ὑπερβολὴ, ἀπειροκαλία, καὶ βαναυσία· ἔλλειψις, μικροπρέπεια· καὶ αὗται γὰρ διαφέρουσι τῶν τῆς ἐλευθεριότητος ἄκρων. Αἱ δὲ διαφοραὶ, μετὰ ταῦτα ῥηθήσονται.

Ἐν δὲ τῷ περὶ τὴν τιμὴν καὶ ἀτιμίαν πάθει, μεσότης μὲν, μεγαλοψυχία· ὑπερβολὴ δὲ, χαυνότης τις λεγομένη· ἔλλειψις δὲ μικροψυχία.

Ὡς δὲ ἐλέγομεν διαφέρειν τὰς περὶ τὰ χρήματα διαθέσεις, τὴν ἐλευθεριότητα δηλαδὴ, καὶ μεγαλοπρέπειαν τῷ τὴν μὲν ἐλευθεριότητα περὶ μικρὰ εἶναι, περὶ μεγάλα δὲ τὴν μεγαλοπρέπειαν· οὕτω καὶ περὶ τὴν τιμὴν ἐστί τις διάθεσις διαφέρουσα τῆς μεγαλοψυχίας τῷ τὴν μὲν περὶ μικρὰ εἶναι, τὴν δὲ μεγαλοψυχίαν, περὶ μεγάλα. Ἔστι γὰρ ὀρέγεσθαι πλέον ἢ προσήκει, καὶ ἧττον τοῦ δέοντος· λέγεται γὰρ ὁ μὲν ὑπερβάλλων ταῖς ὀρέξεσι, φιλότιμος, καὶ ἡ διάθεσις, φιλοτιμία· ὁ δὲ ἐλλείπων, ἀφιλότιμος· ἡ δὲ διάθεσις, ἀνώνυμος· ἡ δὲ μεσότης, καὶ αὐτὴ ἀνώνυμος, ἥ τις διαφέρει τῆς μεγαλοψυχίας, τῇ εἰρημένῃ διαφορᾷ. Καὶ διότι ἀνώνυμος ὁ μέσος, ἀπὸ τῶν ἄκρων ὀνομάζεται, διότι καὶ ἀμφοτέρων μετέχει, καὶ ποτὲ μὲν φιλότιμον αὐτὸν καλοῦμεν, ποτὲ δὲ ἀφιλότιμον· καὶ ποτὲ μὲν ἐπαινοῦμεν τὸν φι-

piendis opibus dandiſque mediocritas & extrema. Et mediocritas ea quidem eſt magnificentia (hoc enim à liberalitate differt, quod altera magna quædam impendit, altera vero parva) exceſſus vero, elegantiæ imperitia, & inepta ſumptuum collocatio: defectus vero, indecora parſimonia. Nam & hæ à liberalitatis abeunt extremis. Differentiæ vero poſtea dicentur. Aristot. l. 2. c. 7.

In honoris vero & ignominiæ affectu, mediocritas quidem magnanimitas, exceſſus autem eſt quam vocant inflatio, defectus autem animi puſillitas. Περὶ δὲ τιμὴν, &c.

Quemadmodum autem differre dicebamus eos qui in pecuniis verſabantur habitus, liberalitatem dico & magnificentiam, quod altera in parvis, altera vero in magnis occupetur, ita & in honore diverſus quidam à magnanimitate eſt habitus: quod eodem modo alter in parvis, magnanimitas vero in magnis verſatur. Nam & ambire honorem quemadmodum oportet, & plus quam oportet, & minus quam decorum eſt, poteſt aliquis. Dicitur enim qui in appetendo honore excedit, ambitioſus: ipſe vero habitus, ambitio: qui vero deficit, abjectus: cujus habitus caret nomine, ſicut & mediocritas, quæ à magnanimitate eo quo diximus abeſt modo. Quia autem nomine caret is qui medius eſt, ideo ab extremitatibus nomen deſumit, quia utriuſque eſt particeps, interdumque ambitioſum Ὡς δ' ἐλέγομεν ἔχειν περὶ τὴν μεγαλοπρέπειαν, &c.

Ariſtot. l. 2, c. 7.

tioſum eum interdum vero abjectum dicimus: interdumque ambitioſum, interdum vero laudamus abjectum. Quare autem hoc faciamus, poſtea dicetur. Nunc de reliquis affectibus dicamus, mediumque in ſingulis oſtendamus, & extrema.

Ἔστι δὲ καὶ περὶ ὀργὴν, &c.

Eſt ergo mediocritas in ira quidem manſuetudo (medius enim manſuetus dicitur:) extremitates vero carent nomine. Exceſſus tamen iracundia dicatur; & qui excedit, iracundus: defectus autem lentitudo & qui deficit lentus.

Εἰσὶ δὲ καὶ ἄλλαι τρεῖς μεσότητες, &c.

Sunt & aliæ quæ aliquid commune inter ſe habent, aliquid quo differunt, tres mediocritates. Etenim earum actionum quas agimus, ut & ſermonum quos loquimur in communi vita, alia ad veritatem agimus & loquimur, alia ad voluptatem. Jam quæ ad voluptatem, partim & dicuntur joci cauſa & aguntur, partim reliquæ quam in vita ſequimur, voluptatis cauſa. Ita ut tres eſſe mediocritates ſit neceſſe. Ac eorum quidem quæ ad veritatem vel dicuntur vel aguntur, mediocritas quoque dicitur veritas. Eorum vero quæ ad voluptatem, ea quæ in joco verſatur, feſtivitas, quæ ad reliquam vero voluptatem, amicitia. Hoc autem inter ſe commune habent, quod omnes in dictorum factorumque communicatione verſentur. Differunt autem, quod non in iiſdem, ſicut dictum eſt, verſentur. Extremitates vero eorum ſunt ſine nomine, nos tamen vel perſpicuitatis cauſa, utque eo faci-

λότιμον, ποτὲ δὲ τὸν ἀφιλότιμον. Τίνος δὲ χάριν τοῦτο ποιοῦμεν, ἐν τοῖς ἑξῆς ῥηθήσεται· νῦν δὲ περὶ τῶν λοιπῶν παθῶν λέγωμεν, ζητοῦντες ἐν ἑκάστῳ τὴν μεσότητα καὶ τὰ ἄκρα.

Ἔστι τοίνυν ἐν τῇ ὀργῇ μεσότης μὲν πρᾳότης· ὁ γὰρ μέσος πρᾶος λέγεται· τὰ δὲ ἄκρα, ἀνώνυμα. Καλείσθω δὲ, ἡ μὲν ὑπερβολὴ ὀργιλότης, καὶ ὀργίλος ὁ ὑπερβάλλων. ἡ δὲ ἔλλειψις ἀοργησία, καὶ ὁ ἐλλείπων ἀόργητος.

Εἰσὶ δὲ καὶ ἄλλαι τρεῖς μεσότητες, αἳ κατά τι μὲν κοινωνοῦσιν, ἔχουσι δὲ καὶ διαφοράν· τῶν γὰρ πράξεων καὶ λόγων, ἃ λέγομεν καὶ πράττομεν ἐν τῇ πρὸς τοὺς ἀνθρώπους κοινωνίᾳ, τὰ μὲν πρὸς ἀλήθειαν λέγομεν καὶ πράττομεν, τὰ δὲ πρὸς ἡδονήν· καὶ τῶν πρὸς ἡδονὴν, τὰ μὲν παιδιᾶς λέγονται καὶ πράττονται χάριν· τὰ δὲ ἕνεκα τῆς λοιπῆς τῆς ἐν τῷ βίῳ ἡδονῆς. Ὥστε τρεῖς εἶναι τὰς μεσότητας ἐξ ἀνάγκης. Καὶ τῶν μὲν πρὸς ἀλήθειαν λεγομένων ἢ πραττομένων, ἡ μεσότης καὶ ἀλήθεια ὀνομάζεται· τῶν δὲ πρὸς ἡδονὴν, ἡ μὲν περὶ τὴν παιδιὰν, εὐτραπελία, ἡ δὲ περὶ τὴν λοιπὴν ἡδονὴν, φιλία. Κοινωνοῦσι μὲν οὖν ἀλλήλαις, ὅτι πᾶσαι εἰσὶ περὶ λόγων καὶ πράξεων κοινωνίαν· διαφέρουσι δὲ, ὅτι οὐ περὶ τὰ αὐτὰ, καθὼς εἴρηται. Τὰ δὲ ἄκρα αὐτῶν, ἀνώνυμα· ὀνοματοποιήσομεν δὲ καὶ ἐν αὐτοῖς σαφηνείας ἕνεκα, καὶ τοῦ ῥᾳδίως

ῥᾳδίως τῷ λόγῳ παρακολουθεῖν τοὺς ἀκροωμένους. Καλείσθω δὲ τὰ ἄκρα τῆς ἀληθείας, ἡ μὲν ἐπὶ τὸ μεῖζον προσποίησις, ἀλαζονεία, καὶ ὁ ἔχων αὐτὴν, ἀλαζών· ἡ δὲ ἐπὶ τὸ ἔλαττον, εἰρωνεία, καὶ εἴρων. Τῆς δὲ εὐτραπελίας, ἡ μὲν ὑπερβολὴ, βωμολοχία, καὶ ὁ ἔχων αὐτὴν βωμολόχος· ἡ δὲ ἐπὶ τὸ ἔλαττον, ἀγροικία, καὶ ὁ ἔχων, ἄγροικος. Τῆς δὲ φιλίας, ὁ μὲν ὑπερβάλλων καὶ οὐδενὸς ἕνεκα, ἄρεσκος καλείσθω· εἰ δὲ ἕνεκα τῆς αὐτοῦ ὠφελείας, κόλαξ· ὁ δὲ ἐλλείπων καὶ ἄχαρις ἐν πᾶσι, δύσερίς τις καὶ δύσκολος.

Οὐ μόνον δὲ ἐν τοῖς πάθεσιν αὐτοῖς, ἀλλὰ καὶ ἐν τοῖς περὶ τὰ πάθη, μεσότητές εἰσι, καθάπερ ἐπὶ τῆς αἰδοῦς φαίνεται· καὶ γὰρ ἡ αἰδὼς, ἀρετὴ μὲν οὐκ ἔστιν, ἐπεὶ οὐκ ἔστι πάθους μεσότης, ἀλλὰ τῶν περὶ τὸ πάθος. Τῶν ἐπαινουμένων δέ ἐστιν· ὁ γὰρ αἰδήμων ἐπαινεῖται, καὶ παρ' ἑκάτερα, καὶ ὑπερβολὴν ἔχει καὶ ἔλλειψιν· καὶ αὐτὴ μεσότης ἐστί. Καὶ ὁ μὲν ὑπερβάλλων αἰδοῖ, καταπλὴξ καλεῖται· ὁ δὲ ἐλλείπων, ἢ ὁ μηδὲ ὅλως αἰδούμενος, ἀναίσχυντος, ὁ δὲ μέσος, αἰδήμων.

Ἔστι δὲ καὶ ἐν τῇ λύπῃ μεσότης, ὅτε λυπεῖται ἐπὶ τοῖς παρὰ τὴν ἀξίαν εὐτυχοῦσιν, ἥ τις νέμεσις καλεῖται. Καὶ ὑπερβολὴ δέ ἐστι παρ' ἑκάτερα καὶ ἔλλειψις. ὑπερβολὴ μὲν, ὅταν τις ἐπὶ

lius quæ traduntur aſſequi poſſint ſtudioſi, quædam iis imponere conabimur. Dicamus ergo extremitates veri, alteram quidem quæ ſimulatione quadam rem auget, arrogantiam, & qui ea eſt præditus, arrogantem: quæ vero minuit, diſſimulationem, & qui ea eſt præditus, diſſimulatorem. Jam exceſſus in feſtivitate, ſcurrilitas, & cui adeſt hoc vitium, ſcurra: defectus vero ruſticitas, & cui adeſt hoc vitium, ruſticus vocatur. In amicitia autem, qui excedit modum, ſine cauſa quidem, blandus dicitur: qui vero commodi ſui cauſa, adulator. Qui contra deficit, atque in omnibus eſt injucundus, difficilis ac moroſus. — Ariſtot. l. 2. c. 7.

Non ſolum autem in affectibus ipſis, ſed & in iis qui circa eos ſunt, mediocritates invenies, quemadmodum in verecundia apparet. Verecundia enim virtus non eſt, ſi quidem neque affectus, ſed eorum quæ circa affectum ſunt, eſt mediocritas. Eſt interim in iis quæ laudantur. Laudatur enim verecundus, ſi quidem utrinque & exceſſum habet & defectum: ipſa enim eſt mediocritas. Et qui verecundia excedit modum, attonitus, qui vero deficit, aut quem nihil omnino pudet, impudens, medius autem verecundus vocatur. — Εἰσὶ δὲ καὶ ἐν τοῖς πάθεσι, &c.

Sed & in dolore eſt mediocritas, ut cum quis moleſte fert aliquem præter meritum felicem eſſe, quæ indignatio dicitur. Quod quidem non minus & exceſſum utrinque & defectum habet. Et exceſſum quidem, cum ex omnium feli- — Νέμεσις δὲ μεσότης φθόνου &c.

citate

Ariſtot. l. 2. c. 7.

citate aliquis dolorem capit. Atque hoc vitium invidia dicitur, & qui eo laborat, invidus. Defectus autem, cum non tantum non dolet aliquis ſed etiam gaudet, quoties aliquem præter meritum ſuum infelicem videt. Et talis quidem malevolus dicitur: habitus autem malevolentia. Cum autem mediocritas indignatio dicatur, qui præditus eſt ea, indignabundus dicitur. Cæterum cum de mediocritate, tum vero de extremitatibus, poſthac accuratius agemus.

πᾶσι τοῖς εὐτυχοῦσι λυπεῖται· καὶ ἡ τοιαύτη κακία, φθόνος καλεῖται, καὶ ὁ ἔχων, φθονερός. Ἔλλειψις δέ, ὅταν τις οὐ μόνον οὐ λυπεῖται, ἀλλὰ καὶ χαίρει ἐπὶ τοῖς παρὰ τὴν ἀξίαν κακῶς πράττουσι· καὶ ὁ τοιοῦτος, ἐπιχαιρέκακος καλεῖται, καὶ ἡ ἔλλειψις ἐπιχαιρεκακία· τῆς δὲ μεσότητος νεμέσεως καλουμένης, ὁ ἔχων, νεμεσητικὸς καλεῖται. Ἀλλὰ περὶ μὲν τῆς μεσότητος καὶ τῶν ἄκρων, καὶ ὕστερον ταῦτα ἀκριβέστερον ἐροῦμεν.

Περὶ δὲ δικαιοσύνης, &c.

Sicut & de juſtitia, quæ cum duplex ſit, pluraque dicenda ſint de ea, nunc quidem agendi de ea tempus non eſt: verum in ſequentibus & dividemus eam, & de utraque agemus. Ut appareat, quomodo mediocritates ſint, & quorum. Eodemque modo de virtutibus rationis.

Καὶ περὶ τῆς δικαιοσύνης δέ, ἐπεὶ διπλῆ τίς ἐστι, καὶ δεῖ αὐτῇ μακροτέρων λόγων, νῦν μὲν οὐκ εὔκαιρον λέγειν· ἐν δὲ τοῖς ἑξῆς διελόντες περὶ ἑκατέρας διαληψόμεθα, πῶς μεσότητές εἰσι, καὶ τίνων. Ὁμοίως δὲ καὶ περὶ μὲν λογικῶν ἀρετῶν.

CAP. VII.

De contrarietate vitiorum quæ utrinque virtutem ambiunt, tum quam inter ſe tum quam ad virtutem habent.

ΚΕΦ.

Περὶ τῆς ἐναντιότητος τῶν παρ' ἑκάτερον τῆς ἀρετῆς κακιῶν, ἥν τε πρὸς ἀλλήλους ἔχουσι καὶ πρὸς τὴν ἀρετήν.

Τριῶν δὲ διαθέσεων οὐσῶν, &c.

Nunc de contrarietate extremorum, tum quam inter ſe tum quam ad mediocritatem habent, agamus. Cum ergo habitus ſunt tres, unus quidem ipſa virtus, quam mediocritatem dicimus, duo vero vitiorum, quorum alterum excedit, alterum deficit, in omnibus quædam eſt oppoſitio. Ac primũ extrema inter ſe pugnant,

Νῦν δὲ ἐροῦμεν περὶ τῆς ἐναντιότητος τῶν ἄκρων πρὸς ἄλληλα, καὶ πρὸς τὴν μεσότητα. Τριῶν γὰρ διαθέσεων οὐσῶν, μιᾶς τῆς ἀρετῆς, ἥ τις μεσότης ἐστί· δύο δὲ κακιῶν, τῆς μὲν ὑπερβαλλούσης, τῆς δὲ ἐλλειπούσης, ἐν πάσαις ἐστί τις ἀντίθεσις· καὶ αἱ μὲν ἄκραι ἐναντίως ἔχουσι πρὸς ἀλλήλας· ἡ δὲ

μέση

μέση πρὸς ἑκατέραν τῶν ἄκρων. Ὥσπερ γὰρ τὸ ἴσον καὶ πρὸς τὸ μεῖζον ἀντικείμενόν ἐστι, καὶ πρὸς τὸ ἔλαττον· τοῦ μὲν γὰρ μείζονος ἔλαττόν ἐστι, τοῦ δὲ ἐλάττονος μεῖζον· οὕτως αἱ μέσαι ἕξεις, πρὸς μὲν τὰς ἐλλείψεις ὑπερβολαί εἰσι, πρὸς δὲ τὰς ὑπερβολὰς, ἐλλείψεις· ὃ καὶ ἐν πάθεσι καὶ ἐν πράξεσιν ὁμοίως ἔχει· ἐν πάθεσι μὲν, ἀνδρεία μεσότης, ἐν πράξεσι δὲ, ἡ κατὰ τὴν ἀνδρείαν πρᾶξις· καὶ διὰ τούτων ὁ ἀνδρεῖος πρὸς μὲν τὸν δειλὸν θρασὺς φαίνεται, πρὸς δὲ τὸν θρασὺν, δειλός. Ὁμοίως δὲ καὶ ὁ σώφρων πρὸς μὲν τὸν ἀναίσθητον, ἀκόλαστος, πρὸς δὲ τὸν ἀκόλαστον, ἀναίσθητος· ὁ δὲ ἐλευθέριος, ἄσωτος μὲν, πρὸς τὸν ἀνελεύθερον· πρὸς δὲ τὸν ἄσωτον, ἀνελεύθερος, καὶ ὅλως ἑκάτερος τῶν ἄκρων τῷ ὀνόματι ἑτέρου τὸν μέσον καλεῖ· καὶ ὁ μὲν θρασὺς, τὸν ἀνδρεῖον δειλὸν καλεῖ, ὁ δὲ δειλὸς, θρασύν. Καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως.

Οὕτω δὲ τῶν ἄκρων πρὸς τὸ μέσον ἀντικειμένων καὶ πρὸς ἄλληλα, μείζων ἐστὶν αὐτῶν ἐναντιότης· πορρωτέρω γὰρ ἀλλήλων ἐστὶν ἢ τοῦ μέσου. Καθάπερ τὸ μέγα καὶ τὸ μικρὸν πλέον ἀντίκειται πρὸς ἄλληλα ἢ τὸ μέσον τὸ ἴσον δηλονότι. Καὶ πρὸς μὲν τὸ μέσον, ἐστί τις ὁμοιότης ἐν ἑκατέρῳ τῶν ἄκρων, ὥσπερ τῇ θρασύτητι πρὸς τὴν ἀνδρείαν, καὶ τῇ ἀσωτίᾳ πρὸς τὴν ἐλευθεριότητα· ἐν δὲ τοῖς ἄκροις, οὐδεμία

Medium vero cum extremitate utraque. Nam ut hoc quod æquale eſt, majori opponitur & minori (ſiquidem majore minus eſt, minore autem majus) ita medii quoque habitus, ad defectus quidem ſunt exceſſus, ad exceſſus autem ſunt defectus. Quod quidem cum in affectibus tum in actionibus eodem modo ſe habet. In affectibus enim fortitudo eſt mediocritas, in actionibus autem, ea quæ ſecundum fortitudinem eſt actio. Ideoque fortis reſpectu quidem timidi, audax videtur, reſpectu autem audacis, timidus. Eodemque modo & temperans, reſpectu quidem ſtupidi, intemperans eſt, reſpectu vero intemperantis, ſtupidus. Sic & liberalis reſpectu illiberalis eſt prodigus, reſpectu autem prodigi, eſt illiberalis. Uterque denique extremorum alterius nomine mediocritatem indigitat: itaque & audax fortem, timidum: timidus audacem vocat. Atque ita in reliquis.

Ariſtot. l. 2. c. 7.

Hoc autem modo extrema cum & inter ſe ſint oppoſita, & oppoſita ſint medio, major illorum inter ſe eſt contrarietas. Longius enim abſunt à ſe mutuo, quam à medio. Sicut id quod magnum & quod parvum eſt, longius à ſe abſunt mutuo, quam à medio, ab æqualitate dico. Aliqua enim medii ſimilitudo eſt in utroque extremo: ſicut in audacia fortitudinis, & liberalitatis in prodigalitate. Contra vero nulla in extremitatibus ſimilitudo eſt, ſed plurimum inter

Οὕτω δ' ἀντικειμένων ἀλλήλοις τούτων &c.

Ariſtot. l. 2. c. 7.

ſe differunt. Quæ vero plurimum inter ſe diſtant, contraria judicãtur. Quare magis quoq; contraria, quæ magis à ſe diſtant mutuo.

Magis autem inter ſe diſtant extremitates, quam à medio. Quanquam ſane non æqualiter utraque diſtat extremitas. Sed in quibuſdam defectus magis opponitur medio, quam exceſſus: in quibuſdam contra exceſſus magis, quam defectus. Ipſæ namque mediocritates ad alterum magis inclinant extremum, quam ad alterum: magiſque ſimiles nonnunquam defectui, nonnunquam vero ſunt exceſſui. Sic fortitudo magis ad audaciam accedit, quam ad timiditatem: quare etiam magis eſt contraria timiditati, quam audaciæ. Rurſus temperantia magis eſt ſtupori ſimilis, quam intemperantiæ: ideoque magis eſt intemperatniæ contraria, quam ſtupori. Porro non tantum ea quæ cum altero extremorum eſt ſimilitudo, ejus quæ cum altero extremorum eſt contrarietatis cauſa eſt: ſed ſæpe hoc à nobis eſt. Cum enim viro bono cum extremitatibus ſemper ſit pugnandum, ut qui ad mediocritatem tendat, ea certe cum qua magis illi luctandum eſt, magis quoque medio contraria eſt extremitas. Major autem lucta eſt cum iis, ad quæ natura magis propendemus, aut quo magis impellimur. Quare quo magis ipſi impellimur, hoc quoque medio magis eſt contrarium. Sicut ex duabus temperantiæ extremitatibus, magis ad intemperantiam impellimur,

Περὶ δὲ τὸ μέσον ἀντικεῖται, &c.

ἐστὶν ὁμοιότης, ἀλλὰ πλεῖστον ἀλλήλων διαφέρουσι· τὰ δὲ πλεῖστον ἀλλήλων ἀπέχοντα, ἐναντία ὁρίζονται. Ὥστε καὶ μᾶλλον ἐναντία, τὰ μᾶλλον ἀλλήλων ἀπέχοντα.

Τὰ δὲ ἄκρα πλέον ἀντίκειται πρὸς ἄλληλα, ἢ πρὸς τὸ μέσον. οὐκ ἐπίσης δὲ ἀντίκειται ἄκρων ἑκάτερον. Ἀλλ' ἐπὶ τινῶν μὲν ἡ ἔλλειψις πλέον ἀντίκειται πρὸς τὸ μέσον, ἢ ἡ ὑπερβολή· ἐπὶ τινῶν δὲ ἡ ὑπερβολὴ μᾶλλον, ἢ ἡ ἔλλειψις. Νεύουσι γὰρ αἱ μεσότητες πρὸς τὸ ἕτερον τῶν ἄκρων πλέον ἢ πρὸς τὸ ἕτερον, καὶ ὁμοιότεραι εἰσί ποτε μὲν ἐλλείψει, ποτὲ δὲ ὑπερβολῇ· οἷον ἡ ἀνδρία μᾶλλον ὁμοιοῦται τῇ θρασύτητι, ἢ τῇ δειλίᾳ· καὶ τοῦτο ἐναντιωτέρα ἐστὶ τῇ δειλίᾳ, ἢ τῇ θρασύτητι. Ἡ δὲ σωφροσύνη μᾶλλον ὁμοία ἐστὶ τῇ ἀναισθησίᾳ, ἢ τῇ ἀκολασίᾳ· καὶ διὰ τοῦτο ἐναντιωτέρα ἐστὶ τῇ ἀκολασίᾳ, ἢ τῇ ἀναισθησίᾳ. ἔστι δὲ οὐ μόνον ἡ πρὸς τὸ ἕτερον τῶν ἄκρων ὁμοιότης αἰτία τῆς πρὸς τὸ ἕτερον ἐναντιότητος, ἀλλὰ καὶ ἐξ ἡμῶν αὐτῶν τὸ τοιοῦτον συμβαίνει· ἐπεὶ γὰρ ὁ πόλεμος τῷ σπουδαίῳ πρὸς τὰ ἄκρα γίνεται τὴν μεσότητα ζητοῦντι, πρὸς τῶν ἄκρων μείζων ἡ μάχη, ἐκεῖνο ἐναντιώτερον τῷ μέσῳ δοκεῖ· μείζων δὲ ἡ μάχη πρὸς μᾶλλον πεφύκαμεν, καὶ εἰς πλέον κινούμεθα. Ὥστε εἰς πλέον αὐτοὶ κινούμεθα, ἐκεῖνο ἐναντιώτερόν ἐστι τῷ μέσῳ. Καθάπερ τῶν τῆς σωφροσύνης ἄκρων πλέον εἰς ἀκολασίαν κινούμεθα, ἢ εἰς ἀναισθησίαν

ὅτι πρὸς ἡδονὰς πεφύκαμεν μᾶλλον, ἢ πρὸς τοὐναντίον. Καὶ διὰ τοῦτο πρὸς τὴν ἀκολασίαν μείζων ὁ πόλεμος· καὶ αὕτη ἐναντιωτέρα ἐστὶ τῇ σωφροσύνῃ, ἢ ἡ ἀναισθησία. Ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων ἔχει.

quam ad ſtuporem: quia in voluptates magis inclinamus quam in contrarium. Ac propterea major cum intemperantia lucta eſt. Quare hæc quoque magis temperantiæ eſt contraria, quam ſtupori. Eodemque modo & in reliquis habet. Ariſt. l. 2. c. 11.

ΚΕΦ. η.

Περὶ τοῦ, πῶς ἂν γένοιτο μάλιστα τῆς μεσότητος τυγχάνειν.

Ὅτι μὲν οὖν ἡ ἠθικὴ ἀρετὴ μεσότης ἐστὶ δύο κακιῶν, τῆς μὲν καθ' ὑπερβολήν, τῆς δὲ κατ' ἔλλειψιν, διὰ τὸ τὸ μέσον ἀεὶ ζητεῖν τῶν παθῶν καὶ τῶν πράξεων, ἱκανῶς εἴρηται. Τὸ δὲ ἐπίστασθαι λαβεῖν τὸ μέσον καὶ γενέσθαι σπουδαῖον, ἐργῶδές ἐστιν. Ἐν παντὶ γὰρ πράγματι τὸ μέσον εὑρεῖν, δύσκολόν ἐστιν· ὥσπερ τοῦ κύκλου τὸ μέσον, δηλονότι τὸ κέντρον, οὐ πᾶς εὑρεῖν δύναται, ἀλλὰ μόνος ὁ γεωμετρεῖν ἐπιστάμενος· οὕτω γὰρ καὶ ἐπὶ τῶν παθῶν καὶ τῶν πράξεων ἔχει. Τὸ μὲν γὰρ ὀργισθῆναι, ῥᾴδιον, καὶ τὸ δοῦναι ἀργύριον καὶ δαπανῆσαι· τὸ δὲ ὡς δεῖ, καὶ ὅτε δεῖ, καὶ πρὸς τίνα, καὶ ὅσον καὶ τίνος ἕνεκα, ὅπερ ἐστὶ τὸ μέσον, καὶ τὸ εὖ, καὶ σπάνιον καὶ ἐπαινετὸν, καὶ καλὸν, τοῦτο δὲ οὐ ῥᾴδιον, οὐδὲ τοῦ βουλομένου παντός.

Διὰ τοῦτο προσήκει τὸν βουλόμενον σπουδαῖον γενέσθαι, καὶ στοχαζόμενον τὸ μέσον, πρῶτον ἀποχωρεῖν πάσῃ δυνάμει τῶν

CAP. VIII.

Quomodo potiſſimum ad mediocritatem perveniatur.

Ac virtutem quidem moralem, mediocritatem eſſe duorum vitiorum, quorum alterum in exceſſu, alterum eſt in defectu, quia cum in affectibus tum vero in actionibus ſemper quærit medium, ſatis jam dictum eſt. Medium porro conſequi poſſe, bonumque virum evadere, vere operoſum eſt. In omni namque re invenire medium difficile eſt: ſicut videlicet circuli medium, centrum dico, non quilibet invenire poteſt, ſed ſolus ille qui geometriæ peritus eſt. Eodem modo & in affectibus ſe res habet & in actionibus. Facile enim eſt iraſci, & pecuniam aut dare aut expendere. Cæterum ut oportet, aut cum oportet, aut cui oportet, aut quantum oportet, aut cujus gratia oportet, quod & medium & rectum & rarum eſt, & laudabile ac honeſtum, hoc vero nec facile eſt, nec cujuſvis. Cap. 11. Ὅτι μὲν οὖν ἐστὶν ἡ ἀρετὴ ἡ ἠθικὴ μεσότης, &c.

Quare oportet eum qui vir bonus eſſe velit, ac de medio ſollicitus eſt, omni primum ſtudio eam vitare extremitatem, quæ Διὸ δεῖ τὸν στοχαζόμενον τοῦ μέσου, &c.

 maxime

Ariſtot. l. 2. c. 11.

maxime medio eſt contraria. Hoc autem eſt illud, cui ex duobus illis quæ mediocritatem ambiunt maxime addictus eſt malis. Quemadmodum Calypſo monebat quoque,

A fumo procul atque à fluctu dirige puppim.

Etenim peccamus quidem, ad quamcunque extremitatem auferamur, non eodem tamen modo. Majus enim peccatum erit in contraria magis extremitate, quam in minus contraria. Cum vero exquiſite medium contingere ſit difficile, ſecunda, ut in proverbio eſt, navigatione danda eſt opera, minima ut mala eligamus. Hoc autem fiet, ſi eo quo diximus modo, ad extremitates nos componamus.

Σκοπεῖν δὲ δεῖ πρὸς ἃ καὶ αὐτοὶ εὐκατάφοροί ἐσμεν, &c.

Cæterum nec illud tantum videndum eſt, ad quod omnes maxime extremum natura inclinent homines, ſed ad quod etiam noſtrum quiſque. Alii namque alio inclinamus. Hoc autem ſciemus, ſi inquiramus, quæ aut voluptatem nobis adferant, aut quæ moleſtiam. Cumque id intelligemus ad quod extremum propendeamus magis, omni deinde ſtudio in contrariam nos abripiemus partem. Si enim vehementer hanc extremitatem vitemus, ita demum ad medium veniemus. Sicut illi, qui incurva ligna dirigere conantur; in contrarium enim ea flectunt.

... ἡ μάλιστα φυλακτέον τὸ ἡδύ, &c.

Præ reliquis autem quæ vehementer afficiunt, maxime violenta ſunt, voluptas & jucunditas. Ac propterea ſumma ad-

ἄκρων τὸ μᾶλλον ἐναντίον τοῦ μέσου· δηλονότι, πρὸς ὃ μᾶλλον ἐναντιώτερός ἐστι τῶν παρ' ἑκάτερα τῆς μεσότητος κακῶν· καθάπερ καὶ ἡ Καλυψὼ παρήνει τὸ,

— τοῦ μὲν καπνοῦ καὶ κύματος ἐκτὸς ἔεργε
Νῆα —

καὶ γὰρ ἁμαρτάνομεν μὲν, πρὸς ὅπερ ἂν πέσομεν τῶν ἄκρων. ἀλλ' οὐχ ὁμοίως. Μείζων γὰρ ἔσται ἡ ἁμαρτία ἐν τῷ ἐναντιωτέρῳ τῶν ἄκρων, ἢ ἐν τῷ ἧττον ἐναντίῳ· ἐπεὶ οὖν ἄκρως τοῦ μέσου τυχεῖν χαλεπὸν, κατὰ τὸν δεύτερόν φασι πλοῦν τὰ ἐλάχιστα τῶν κακῶν αἱρεῖσθαι προσήκει. Τοῦτο δὲ ἔσται, εἰ διακείμεθα πρὸς τὰ ἄκρα τοῦτον τὸν τρόπον, ὃν ἔφην.

Δεῖ δὲ μὴ μόνον σκοπεῖν πρὸς ποῖον τῶν ἄκρων πεφύκαμεν οἱ ἄνθρωποι, ἀλλὰ καὶ αὐτὸς ἕκαστος ἡμῶν πρὸς ποῖον πέφυκε ζητητέον. Ἄλλοι γὰρ πρὸς ἄλλα πεφύκαμεν. Γνωσόμεθα δὲ τοῦτο, ἐξετάσαντες τίσιν ἡδόμεθα καὶ τίσι λυπούμεθα· εὑρόντες δὲ πρὸς ποῖον τῶν ἄκρων πεφύκαμεν, ἐπὶ τὸ ἐναντίον αὐτοῦ διὰ σπουδῆς ἡμᾶς αὐτοὺς ἀφελκύσομεν. Φεύγοντες γὰρ σφόδρα τοῦτο τὸ ἄκρον, εἰς τὸ μέσον ἥξομεν. Ὥσπερ ποιοῦσιν οἱ τὰ διεστραμμένα τῶν ξύλων ὀρθῶσαι σπουδάζοντες· κλίνουσι γὰρ εἰς τοὐναντίον.

Μάλιστα δὲ τῶν ἄλλων παθῶν ἡ ἡδονὴ καὶ τὸ ἡδὺ, βίαιον. Καὶ διὰ τοῦτο πολλῆς χρεία τῆς ἀκριβείας, καὶ τὴν
ἀπάτην

ἀπάτην πάντα τρόπον φυλάττεσθαι δεῖ, ὅτε τὴν πονηρὰν τῆς ἀγαθῆς ἡδονῆς ἐθέλομεν διακρίνειν· χαλεπὸν γὰρ ἀδέκαστον εἶναι τῶν τοιούτων κριτήν. Ὥσπερ οὖν οἱ δημογέροντες τῶν Τρώων πρὸς τὴν Ἑλένην ἔπαθον, καλὴν μὲν εἰπόντες αὐτὴν, καὶ τοῦ κάλλους θαυμάσαντες, ψηφισάμενοι δὲ καὶ οὕτως ἔχουσαν ἀποπέμψαι πρὸς τοὺς Ἕλληνας· τοῦτο δεῖ παθεῖν καὶ ἡμᾶς πρὸς τὴν ἡδονήν. Οὕτω γὰρ αὐτὴν ἀποπεμπόμενοι, ἧττον ἁμαρτησόμεθα. Αὕτη ἐστὶν ἡ μέθοδος ὡς ἐν κεφαλαίῳ καὶ τύπῳ, δι' ἧς μάλιστα τυχεῖν δυνησόμεθα τῆς μεσότητος.

Καὶ οὕτω δὲ ὅμως χαλεπόν ἐστι, καὶ μάλιστα ἐν τοῖς μερικοῖς. Οὐ γὰρ ὡρισμένη τις ἐστὶν ἡ κρίσις τούτων, ἀλλὰ ἄλλοτε ἄλλη· ἐπεὶ μηδὲ αὐτὰ ὡρισμένα· οἷον τὸ ὀργισθῆναι· οὐ γὰρ ῥᾴδιον διορίσαι, τίσι, καὶ πῶς, καὶ πότε ὀργιστέον· καὶ γὰρ ἡμεῖς ἀπὸ τοῦ καιροῦ κρίνοντες, καὶ τῶν ἄλλων περιστάσεων, ἄλλοτε ἄλλα ἀποφαινόμεθα. Καὶ ποτὲ μὲν τοὺς ἐλλείποντας ἐπαινοῦμεν, καὶ πρᾴους φαμὲν, ποτὲ δὲ τοὺς ὑπερβάλλοντας ὀργῇ, καὶ καλοῦμεν ἀνδρώδεις. Ἀλλ' ὁ μὲν μικρὸν τῆς μεσότητος ἐκκλίνας οὐ ψέγεται· καὶ γὰρ οὔτε ὑπερβάλλειν, οὔτε ἐλλείπειν δοκεῖ· ψέγεται δὲ ὁ τοσοῦτον τῆς μεσότητος παρεκκλίνας, ὅσον μὴ λαθεῖν. Τὰ δὲ μέχρι τίνος καὶ ἐπὶ πόσον τοῦ ὀρθοῦ παρεκβάντες ψεγόμεθα, οὐκ

hibenda eſt cura, ſummoque opere videndum eſt, ne decipiamur, cum ab honeſta diſcernenda eſt improba. Difficile enim eſt, integrum eſſe in his judicem. Quemadmodum ergo proceres illi Homerici de Helena ſentiebant, quam ut pulchram eſſe concedebant, imo propter formæ elegantiam admirabantur, ita ablegandam tamen eſſe ad Græcos judicabant, quamvis talis eſſet: eodem modo nobis de voluptate ſentiendum eſt. Si enim eodem modo ablegemus illam, minus peccabimus. Hæc vero ergo via eſt & ratio, quantum quidem ſummatim ea breviterq; tradi potuit, qua maxime ad mediocritatem perveniemus.

Aristot. l.2.c.11.

Nec minus tamen difficultatis reſtat propterea, maximeque in ſingularibus. Quia non facile in iis eſt certum quid definire, ſed alias judicamus aliter: ſiquidem nec ipſa definita ſunt. Exempli gratia in ira. Nec enim facile eſt definire, quibus, & quomodo, & quando iraſci quis debeat. Etenim cum vel ex occaſione vel aliis judicemus circumſtantiis, aliter alias neceſſe eſt ut pronunciemus. Interdum namque eos qui deficiunt in iraſcendo laudamus, ac manſuetos dicimus, interdum eos qui excedunt in eodem, & viriles appellamus. Et qui parum quidem à mediocritate deflectit, non reprehenditur, quia nec excedere videtur nec deficere; contra vero qui tantum abit, ut latere non poſſit. At vero quatenus aut quantum abi e à recto quis ut vi-

Χαλεπὸν δ' ἴσως τοῦτο, &c.

Ariſtot. l.2.c.11.

ſuperetur debeat, univerſaliter deſcribi non poteſt. Siquidem nec aliud quicquam quod in ſingularibus verſatur, aliaſq; aliter ſe habet. In hujuſmodi n. ſingulare quoque judicium requiritur, & quod fit à ſenſibus. Videtur ergo, medium in omnibus habitum laude dignum eſſe. Nonnunquam autem ad exceſſum, nonnunquam vero ad defectum declinandũ eſt, ut diximus, hoc eſt ad eam è duabus extremitatem, quæ ad mediocritatẽ magis accedit. Ita namque facilius & mediocritatẽ aſſequẽur & bonũ.

ἐστιν ἑνὶ καθολικῷ διορίσασθαι λόγῳ· ἐπεὶ μηδὲ ἄλλο μηδὲν, ὅπερ ἐν τοῖς μερικοῖς εὑρίσκεται, καὶ ἄλλοτε ἄλλως ἔχει. Ἡ γὰρ τούτων κρίσις μερικῶς καὶ αἰσθήσει γίνεται· φαίνεται τοίνυν, ὅτι ἐν πᾶσιν ἡ μέση ἕξις ἐπαινετή. Δεῖ δὲ, καθὼς εἴρηται, ἀποκλίνειν ποτὲ μὲν ἐπὶ τὴν ὑπερβολὴν, ποτὲ δὲ ἐπὶ τὴν ἔλλειψιν· δηλονότι ἐπὶ ταύτην τῶν ἀκροτήτων, ἥτις ὁμοιοτέρα ἐστὶ τῇ μεσότητι. Οὕτω γὰρ ῥᾷστα τῆς μεσότητος τευξόμεθα, καὶ τοῦ ἀγαθοῦ.

ARISTO-

ARISTOTELIS ETHICORUM LIBER III.

ΚΕΦ. α.

Περὶ ἑκουσίου καὶ ἀκουσίου.

ΕΠεὶ δὲ ἡ ἀρετὴ περὶ πάθη καὶ πράξεις ἐστὶ, καὶ ἔστιν ἀρετὴ πρᾶξις ἀγαθοῦ ἑκούσιον, καὶ ἡ κακία τοὐναντίον, καὶ ἐν τῷ ὁρισμῷ κακίας καὶ ἀρετῆς καὶ τὸ ἑκούσιον παραλαμβάνεται, διὰ τοῦτο τῷ λέγοντι περὶ ἀρετῆς καὶ κακίας, ἀνάγκη περὶ ἑκουσίου καὶ ἀκουσίου διαλαβεῖν. Τῷ γὰρ ἑκουσίῳ καὶ ἀκουσίῳ τὰς πράξεις κρίνομεν. Καὶ τὰς μὲν ἐπαινετὰς λέγομεν, τὰς δὲ συγγνωστὰς, τὰς δὲ ψόγου ἀξίας. Καὶ τὰς μὲν ἑκουσίως γινομένας ἀγαθὰς ἐπαινοῦμεν, τὰς δὲ ἑκουσίως πονηρὰς ψέγομεν, τὰς δὲ ἀκουσίως πονηρὰς οὐ ψέγομεν, ἀλλὰ συγγνώμης ἀξιοῦμεν·

CAP. I.

De eo quod ſponte eſt, & de invito.

Ariſto:. l.3. c. 1.

CUm in affectibus ergo & actionibus verſetur virtus, eademque ſit actio bona & quæ fit ſponte, ſicut contra vitium: quumque in definitione virtutis addatur vox, ſponte, propterea ei qui de virtute agit aut vitio, de eo quod aut ſponte eſt aut invitum, agendum eſt. Siquidem his duobus actiones omnes dijudicamus. Quarum alias laude, alias venia, alias reprehenſione dignas eſſe dicimus. Et bonas quidem quæ ſponte fiunt laudamus: improbas contra, quæ ſponte quidem fiunt, vituperamus, quæ ab invito vero, non vituperamus, ſed iis ignoſcimus: ſicut quæ ab invito cum damno fiunt

Lib. 3. Cap. 1. Τῆς ἀρετῆς δὴ περὶ πάθη τε, &c.

Ariſtot. l.3.c.1

fiunt proprio, miſericordia dignas judicamus. Quare cùm de iis quæ aut laude digna ſunt aut reprehenſione, ſermo nobis inſtitutus ſit, neceſſe eſt, ut de voluntario quoque agamus & invito. Hæc vero diſputatio legiſlatoribus etiam eſt utilis, quia ex his intelligent, quinam pœnis aut contra honoribus afficiendi ſint; qui item venia ſint digni aut miſericordia: quod præcipuum artis civilis caput eſt. Reſtat ergo, ut, quid ſponte ſit, quid invitum, diſtinguamus.

Δοκεῖ δὲ ἀκούσια εἶναι, &c.

Videtur ergo invitum eſſe id quod violentum eſt, aut quod fit per ignorantiam.

Βίαιον δὲ οὗ ἡ ἀρχὴ, &c.

Violentum vero, cujus principium non in agente eſt, ſed extrinſecus, cui nihil confert aut qui agit aut qui patitur. Ut ſi quem aliquo impulerit ventus aut à loco in locum tranſtulerit, aliive homines, in quorum vel poteſtate ſumus, aut qui nolentem etiam poſſunt impellere. Contra vero id eſſe ſponte dicimus, cujus in agente totum eſt principium. Sunt autem non nulla quæ nec invita ſunt proprie nec ſponte, ſed medii cujuſdam generis: ſicut nonnulla quæ metu fiunt majoris mali, aut honeſti alicujus cauſa. Ut ſi tyrannus aliquis turpe quicquam injungeret, in cujus poteſtate & parentes ejus eſſent & liberi: quique agentem hoc cum ſuis omnibus ſervare, non agentem autem poſſet è medio tollere. Nam de hoc dubitari poteſt, utrum ſponte ſit an invitum. Tale eſt quod in tempeſtatibus à navigantibus fieri ſolet, cum one-

τὰς δὲ ἀκουσίως πονηρὰς καὶ ἐπὶ βλάβῃ τῶν ποιούντων γινομένας ἐλέου ἀξίας ἡγούμεθα. Διὰ τοῦτο, ἐπεὶ περὶ τῶν ἐπαινετῶν καὶ τῶν ψόγου ἀξίων ὁ λόγος ἡμῖν, δέον εἰδέναι περὶ ἑκουσίου καὶ ἀκουσίου. Ὁ δὲ περὶ τούτων λόγος καὶ τοῖς νομοθετοῦσι χρήσιμος· ἀπὸ τούτων γὰρ εἴσονται τίνας τε κολάζειν ἄξιον, καὶ τίνας τιμᾶν, καὶ τίνας ἀξιοῦν συγγνώμης ἢ ἐλέου· ὃ δὴ τῆς ἐν πολιτείᾳ τέχνης κεφάλαιόν ἐστι· διοριστέον δὴ, τί ἐστιν ἑκούσιον, καὶ τί ἀκούσιον.

Δοκεῖ τοίνυν ἀκούσιον εἶναι τὸ βίαιον, ἢ δι' ἄγνοιαν γινόμενον.

Βίαιον δὲ, οὗ ἡ ἀρχὴ οὐκ ἐν τῷ ποιοῦντι, ἀλλὰ ἔξωθεν, ἐν ᾗ οὐδὲν συμβάλλεται ὁ πράττων ἢ ὁ πάσχων. Οἷον εἴ τινα κινήσει τὸ πνεῦμα, καὶ ἀπὸ τόπου εἰς τόπον ἀγάγοι, ἢ ἄνθρωποι κύριοι ὄντες καὶ δυνάμενοι κινεῖν μὴ βουλόμενον. Ἑκούσιον δὲ, τοὐναντίον, οὗ ἡ ἀρχὴ ἐν τῷ ποιοῦντι πᾶσα. Εἰσὶ δέ τινα μήτε ἀκούσια ὄντα κυρίως μήτε ἑκούσια, ἀλλὰ μέσα τινά· εἰσὶ δὲ ὅσα διὰ φόβον μειζόνων κακῶν πράττεται, ἢ διὰ καλόν τι. Οἷον, εἰ τύραννος προστάττοι αἰσχρόν τι ποιῆσαι κύριος ὢν καὶ αὐτοῦ, καὶ γονέων, καὶ τέκνων, καὶ δυνάμενος πράττοντα μὲν σώζειν καὶ αὐτὸν καὶ τοὺς αὐτοῦ, μὴ πράττοντα δὲ, ἀποκτεῖναι. Τοῦτο γὰρ ἀμφισβήτησιν ἔχει, πότερον ἑκούσιόν ἐστιν, ἢ ἀκούσιον. Τοιοῦτον δέ ἐστι καὶ τὸ γινόμενον ἐν τοῖς κλυδωνίοις ὑπὸ τῶν ἐπιβα-

τῶν

τῶν· ῥίπτουσι γὰρ τὰ ἀγώγιμα· ὅπερ οὔτε ἑκούσιον εἴποι τις ἂν τελείως, οὔτε ἀκούσιον, ἀλλ' ἑκάτερον παρὰ μέρος. Τοῦ γὰρ ἔργου ἐστὶ μὲν καὶ ἀρχὴ ἔξωθεν, ὁ κλύδων δηλονότι· ἔστι δὲ καὶ ἐν τοῖς ποιοῦσι· κρίνοντες γὰρ αὐτοὶ καὶ βουλόμενοι τοῦτο ποιοῦσιν ἐπὶ σωτηρίᾳ καὶ αὐτῶν καὶ τῶν συμπλεόντων οἵ γε νοῦν ἔχοντες· ὥστε τὰς τοιαύτας πράξεις μικτὰς εἶναι· καὶ ἑκουσίου καὶ ἀκουσίου μετέχειν. Δοκοῦσι δὲ μᾶλλον τοῦ ἑκουσίου μετέχειν, ἢ τοῦ ἑτέρου· καὶ γὰρ κατὰ τὸν καιρὸν τοῦ κλύδωνος αἱ τοιαῦται πράξεις αἱρεταί εἰσι· καὶ τὸ τέλος αὐτῶν εἴ τις κατὰ τὸν καιρὸν ἐκεῖνον σκοπεῖ, ἀγαθόν ἐστι καὶ θελητόν. Ἐπεὶ καὶ τὸ ἑκάστης πράξεως τέλος κατὰ τὸν καιρὸν αὐτῆς ἐστί, καὶ ἀπὸ τοῦ καιροῦ ἢ ἀγαθὸν ἢ πονηρὸν γίνεται. Ὥστε καὶ τὸ ἑκούσιον, ἢ τὸ ἀκούσιον, κατὰ τὸν καιρὸν ὅτε πράττεται, ζητητέον· κατ' ἐκεῖνον τοίνυν τὸν καιρὸν ἑκὼν πράττει ἃ πράττει, εἰ καὶ ἐν ἄλλῳ καιρῷ γαλήνης οὔσης οὐκ ἂν ποιήσειε βουλόμενος ταῦτα· καὶ γὰρ τὰ ὀργανικὰ μέρη, καὶ χεῖρες, καὶ πόδες, οὐκ ἔξωθεν ὑπ' ἄλλης ἀρχῆς κινοῦνται, ἀλλ' ὑπὸ τῆς ἐν αὐτῷ τῷ ποιοῦντι. Ἃ δέ τις ποιεῖ ὑφ' ἑαυτοῦ κινούμενος, κύριός ἐστι καὶ ποιεῖν, καὶ μή. Τοιαῦτα δὲ ἑκούσια λέγονται. Ἔστι τοίνυν ἑκούσιον μὲν αὐτὴ ἡ πρᾶξις, δηλονότι μετὰ τῶν περιστατικῶν· ἁπλῶς δὲ καὶ χωρὶς περιθήκης ἀκούσιον: χωρὶς γὰρ τῆς περι-

ra ejiciunt: quod neque ſponte plane dici poteſt, nec invitum, Ariſtot. 3. c. 1.
ſed utrumque ex parte. Illius quippe actionis principium eſt extrinſecus, tempeſtas nimirum, idemque tamen eſt in agentibus: quippe cum judicio certoque conſilio, tum ſalutis ſuæ cauſa, tum aliorum qui una navigant, hoc faciunt ſapientiſſimi quique. Ex quo apparet, mixtas eſſe actiones hujuſmodi, partemque ab eo quod ſponte eſt, partem vero ab invito trahere. Ita tamen, ut plus ab eo quod ſponte eſt, quam ab invito habere videantur. Eo enim tempore quo fiunt, hoc eſt, dum tempeſtas ſævit, eligendæ actiones ſunt hujuſmodi. Sed & finis earum, ſi quis tempus illud reſpiciat, bonus eſt & amplectendus. Siquidem uniuſcujuſque actionis finis talis aut talis eſt pro tempore; & reſpectu temporis aut bonus fit aut malus. Quare id quoq; quod ſponte eſt & invitum reſpectu ejus quo fit temporis, ſpectandum eſt. Eo quippe tempore ſponte agit quæ agit, licet alio, tranquillitatis nimirum, ſponte hæc non ageret. Partes quippe inſtrumentales, manus puta pedeſque, non ab alio extrinſecus moventur principio, quam ab illius qui agit. Quæ vero motu ab aliquo aguntur proprio, hæc vel agere vel non agere poterit. Talia autem ſunt quæ ſponte fieri dicuntur. Eſt ergo ſponte; ipſa quidem actio, reſpectu calamitatis nimirum; ſimpliciter autem & per ſe conſiderata, invitum. Extra calamitatem enim, nemo tale

Ariſtot. l. 3. c. 1.

tale quid eligeret. Rurſus aliæ harum actionum laude dignæ judicantur, reprehenſione aliæ. Et laudem quidem meretur, quoties turpe quid ab aliquo aut moleſtum ſuſtinetur magnæ rei cauſa aut honeſtæ. Reprehenſione vero, cum improbæ aut ſceleſtæ. Improbus enim eſt qui turpiſſima ſuſtinet, nullius aut honeſti cauſa, aut mediocris ſaltem boni. Jam vero ſunt & alia, quæ neq; laude, ut dicebamus, nec vituperatione, ſed venia potius & miſericordia, digna judicamus, quoties magnorum aliquis nimirum metu malorum, & quæ talia ſunt ut naturam excedant humanam, non agit quæ oportet. Quædam autem ita ſunt turpia, ut omnis ſit præciſa agenti excuſatio: quia omni ratione fugienda ſunt, etiam ſi per tormenta exquiſitiſſima ſubeunda mors eſſet. Ideoque ridicula videntur, quæ Euripideum illum Alcmæonem cogunt ut matrem tollat. Jam vero difficile eſt judicare, quorum malorum metu quænam turpes ſubeundæ actiones ſint, aut quæ pro quibus ſint eligendæ. Tum a. multò difficilius eſt, cum ſemel quod ſequendum eſt inveneris, in ſententia permanere. Plerumque enim quæ agere cogimur, magis turpia quam moleſta ſunt: quæ vero cum expectatione agimus, moleſta ſunt. Quapropter generoſi eſt hominis, ea quæ moleſta ſunt, forti potius ſubire animo, quam turpi aliqua actione defungi. Unde etiam in talibus actionibus laudamus alios, alios repre-

στάσεως· οὐδεὶς ἂν ἕλοιτο τοιαῦτα ποιεῖν. Τινὲς δὲ τῶν τοιούτων πράξεων καὶ ἐπαίνων ἀξιοῦνται, ἔνιαι δὲ καὶ ψόγων. Ἐπαίνων μὲν, ὅταν τις αἰσχρόν τι ἢ λυπηρὸν ὑπομένῃ ἀντὶ καλῶν καὶ μεγάλων· ψόγων δὲ, ὅταν φαύλων ἕνεκα. Φαῦλος γὰρ, ὁ τὰ αἴσχιστα ὑπομένων, ἐπὶ μηδενὶ καλῷ ἢ μετρίῳ· ἔστι δὲ ἃς οὔτε ἐπαίνων οὔτε ψόγων ἀξιοῦμεν, καθὼς εἴρηται, ἀλλὰ συγγνώμης ἢ ἐλέου, ὅταν τις τὰ μὴ δέοντα πράττει, δέει μεγάλων δεινῶν, καὶ μειζόνων ἢ δύνασθαι ὑπομεῖναι φύσιν ἀνθρωπίνην. Ἔνια δὲ οὕτως εἰσὶν αἰσχρὰ, ὥστε οὐδεμία ἐστὶ τῷ ποιοῦντι παραίτησις, ἀλλὰ δεῖ φεύγειν τὴν πρᾶξιν τούτων πάσῃ δυνάμει, κἂν δέῃ ἀποθανεῖν, πάντα παθόντα τὰ δεινότατα. Καὶ γὰρ τὸν Εὐριπίδου Ἀλκμαίωνα γελοῖα φαίνεται τὰ ἀναγκάσαντα μητροκτονῆσαι· ἐνίοτε δὲ χαλεπόν ἐστι διακρῖναι, τίνων δεινῶν φόβῳ τινὰ τῶν αἰσχρῶν ὑπομένειν ἄξιον, καὶ τίνα ἀντὶ τίνος αἱρησόμεθα· ἔτι χαλεπώτερον τὸ εὑρόντα τὸ προσῆκον, ἐμμεῖναι τοῖς δεδογμένοις. Καὶ γὰρ ὡς ἐπὶ τὸ πλεῖστον ἃ μὲν ἀναγκαζόμεθα ποιεῖν, μᾶλλον αἰσχρὰ, ἢ λυπηρά· ἃ δὲ προσδοκῶντες ποιοῦμεν, λυπηρά· διὰ τοῦτο γενναίου ἀνδρὸς ἐστὶ κατατολμῆσαι τῶν λυπηρῶν ὑπὲρ τοῦ μηδὲν αἰσχρὸν ὑπομεῖναι ποιῆσαι. Ὅθεν ἐν ταῖς τοιαύταις πράξεσι καὶ ἐπαινοῦμεν τινας καὶ ψέγομεν ἐνίους,

κίους, καὶ οὐδέτερον τούτων, ἀλλὰ συγγνώμης ἀξιοῦμεν. Ἔστι τοίνυν ἁπλῶς μὲν ἀκούσια, ὁπόταν ἡ αἰτία αὐτῶν ἐν τοῖς ἐκτὸς ᾖ, καὶ ὁ πράττων μηδὲν συμβάλληται πρὸς τὴν πρᾶξιν· ἑκούσια δὲ, ὁπόταν ἡ αἰτία τῆς πράξεως πᾶσα ᾖ ἐν τῷ ποιοῦντι. Ἃ δὲ δι᾽ ἑαυτὰ μὲν οὐκ εἰσὶ θελητὰ, θέλομεν δὲ αὐτὰ κατά τινα καιρὸν καὶ τινων ἄλλων ἕνεκα, καθ᾽ ἑαυτὰ μὲν ἀκούσιά εἰσι, νῦν δὲ καὶ ἀντὶ τῶνδε ἑκούσια. Μᾶλλον δὲ δοκεῖ ἑκούσια εἶναι, ἢ ἀκούσια· αἱ γὰρ πράξεις ἀεὶ ἐν τοῖς μερικοῖς γίνονται, ἐν οἷς ἀεὶ καὶ ὁ καιρὸς, καὶ ὁ τόπος, καὶ ἡ αἰτία. Ταῦτα δὲ ἑκουσίους τὰς τοιαύτας πράξεις ποιοῦσι. Διὰ τὴν αὐτὴν δὲ αἰτίαν, δηλονότι τὸ περὶ τὰ μερικὰ εἶναι τὰς πράξεις, οὐκ ἔστιν εὐχερὲς ἀποδοῦναι, ποῖα αἰσχρὰ ποίων λυπηρῶν προκρίνειν ἄξιον· πολλαὶ γὰρ διαφοραὶ ἐν τοῖς μερικοῖς.

hendimus, quoſdam etiam neq; hoc neque illud, ſed venia dignamur tantum. Sunt ergo ſimpliciter invita, quoties eorum cauſa eſt extrinſecus, nihilque ad actionem confert qui agit: quæ vero ſponte eſſe dicimus, quotieſcunque omnis penes agentem actionis cauſa eſt. Quæ autem per ſe non eligenda ſunt, ſed pro tempore aliquo aut alterius alicujus rei cauſa eliguntur, per ſe quidem invita ſunt, nunc vero & pro his ſponte dicuntur eſſe. Et ſponte quidem magis videntur eſſe, quam invita: quoniam in ſingularibus ſemper actiones verſantur: in quibus ſemper tempus, aut locus ſpectatur, aut cauſa. Ea autem ut ſponte dicantur eſſe, hujuſmodi actiones, efficiunt. Rurſuſque eadem hac de cauſa, quod in ſingularibus nimirum actiones verſentur, non facile eſt definire, quæ turpia quibus præferenda ſint moleſtiis: quia multæ in ſingularibus ſunt differentiæ.

Ariſtot. l. 3. c. 1.

ΚΕΦ. β'.

Ἔτι περὶ ἑκουσίου, καὶ ἀκουσίου, καὶ τῶν μεταξὺ αὐτῶν θεωρουμένων.

Δοκεῖ δὲ καὶ τὰ καλὰ, καὶ τὰ ἡδέα, βίαιά τινα εἶναι, ὅτι αὐτὰ κινεῖ καὶ ἀναγκάζει ποιεῖν τοὺς ποιοῦντας τῷ κάλλει καὶ τῇ ἡδονῇ, ἔξωθεν ὄντα. Οὐκ ἔστι δέ· εἰ γὰρ τοῦτο δώσομεν, πάντα ἂν εἴη βίαια. Πάν-

CAP. II.

Adhuc de eo quod ſponte fit & de invito, uſque quæ inter utrumque conſiderantur.

Videntur autem ea quoque, quæ pulchra & quæ jucunda ſunt, violenta quodammodo eſſe: quia cum extra nos quoque poſita ſint, jucunditate ſua & pulchritudine agere cogunt ea quæ agunt homines. Quod tamen non ita eſt. Nam ſi hoc con-

Ariſtot. l. 3. c. 1.

concedatur, omnia violenta e-runt: omnia ſiquidem quæ agimus, quia pulchra eſſe ac jucunda putamus, ideo quoque agimus. Et nonnulla quidem cum moleſtia agimus: quæcunque nempe extrinſecus aliena vis imponit nobis; nonnulla vero cum voluptate, quæ ſponte ipſi voluptatis ergo facimus. Omnia vero pulchritudinis cujuſdam aut jucunditatis cauſa facimus. Nam & illa quoque quæ moleſta ſunt, coacti cum facimus, voluptatis cauſa facimus. Etenim ut moleſtiora vitemus, ea facimus. Hoc vero eſt voluptatem ſequi. Quare neque ea quæ pulchra, neque ea quæ jucunda ſunt, violenta oportet dicere. Adde quod ridiculum ſit, externa aut pulchra aut jucunda, cauſas actionum eſſe exiſtimare: ac non potius ſeipſum, qui talibus facillime capiatur. Atqui bonarum actionum facile ſibi cauſam aliquis adſcribit, contrariarum vero non ſibi ſed voluptati. Cum non ita ſit tamen. Invitum enim eſt, cujus extrinſecus eſt principium, neque quicquam ad actionem confert is qui agit.

Τὸ δὲ δι' ἄγνοιαν ἑκούσιον, &c.

Quæ vero propter ignorationem fiunt, ea an ſponte ſint, an vero invita, nunc videndum eſt. Porro non eodem modo habent omnia. Alia namq; ſunt invita, alia quæ ſponte fiunt, rurſuſque nec hoc nec illud: quæ quidem nunc non ſponte fieri dicantur. Et alia in vita quidem, quæ poſt actionem cum novimus deploramus, quorumque nos pœnitet. Non ſponte, quæ ſine moleſtia agimus, & cum egimus, recordamur ſine pœnitentia. Qu

τα γὰρ ὅσα πράττομεν, ἕνεκα τοῦ νομίζειν, ὅτι καλὰ ἢ ἡδέα, πράττομεν. Καὶ μὲν τινα λυπούμενοι πράττομεν, ὅσα ποιοῦμεν ἔξωθεν βιαζόμενοι· τινὰ δὲ μεθ' ἡδονῆς, ὅσα ἑκόντες αὐτοὶ ποιοῦμεν, τοῦ ἡδέος ἕνεκα. Πάντα δὲ ἕνεκά τινος καλοῦ ἢ ἡδέος ποιοῦμεν· καὶ γὰρ καὶ ἃ λυπηρὰ ποιοῦμεν ἀναγκαζόμενοι, τῆς ἡδονῆς ἕνεκα ποιοῦμεν· ποιοῦμεν γὰρ ἵνα φύγωμεν τὰ λυπηρότερα. Τοῦτο δὲ τὴν ἡδονὴν ἐστι διώκειν. Διὰ τοῦτο οὐ δεῖ τὰ καλὰ καὶ ἡδέα βίαια λέγειν· ἄλλως τε καὶ γελοῖόν ἐστιν, αἴτια νομίζειν τῶν πράξεων τὰ ἔξωθεν καλὰ καὶ ἡδέα, καὶ μὴ ἑαυτὸν ὑπὸ τούτων ῥαδίως ἁλισκόμενον. Ἀλλὰ τῶν μὲν καλῶν πράξεων πολλάκι τις ἑαυτὸν αἰτιᾶται, τῶν δ' αἰσχρῶν, οὐχ ἑαυτὸν, ἀλλὰ τὴν ἡδονήν. Οὐκ ἔστι δέ· ἀκούσιον γάρ ἐστιν, οὗ ἡ ἀρχὴ ἔξωθεν οὐδὲν πρὸς τὴν πρᾶξιν συμβάλλοντος τοῦ πράττοντος.

Τὰ δὲ δι' ἄγνοιαν γινόμενα, ζητητέον εἰ ἑκούσιά εἰσιν ἢ ἀκούσια. Ἔχει δὲ οὐ πάντα ὁμοίως· ἀλλὰ τὰ μὲν ἀκούσιά εἰσι, τὰ δὲ ἑκούσια, τὰ δὲ οὔτε ἑκούσια οὔτε ἀκούσια, ἀλλὰ καλείσθω οὐχ ἑκούσια. Καὶ ἀκούσια μὲν, ὅσα ποιήσαντες λυπούμεθα, γνόντες μετὰ τὸ ποιῆσαι, καὶ μεταμελόμεθα. Οὐχ ἑκούσια δὲ, ὅσα ποιοῦντες οὐ λυπούμεθα, καὶ μετὰ τὴν πρᾶξιν οὐ μεταμελόμεθα·

γ

γὰρ δι' ἄγνοιαν πράττων καὶ μετὰ τὸ γνῶναι μὴ δυσχεραίνων τῇ πράξει, οὔτε ἑκὼν ἔπραξεν ὅγε μὴ ᾔδει, οὔτε ἄκων· οὐ γὰρ νῦν ἑαυτῷ δυσχεραίνει. Διὰ τοῦτο οὐχ ἑκούσια τὰ τοιαῦτα καλείσθω. Διαφέρει δὲ τὸ δι' ἄγνοιαν πράττειν, τοῦ ἀγνοοῦντα πράττειν. Καὶ διὰ τοῦτο, τὸ μὲν δι' ἄγνοιαν πράττειν, ἢ ἀκούσιόν ἐστιν, ἢ οὐχ ἑκούσιον· τὸ δὲ ἀγνοοῦντα πράττειν, ἑκούσιόν ἐστι. Καὶ γὰρ τὸ ἀγνοοῦντα πράττειν ἐστὶν, ἐπάν τις ὀργίζηται, ἢ μεθύῃ, ἢ ἄλλως τινὰ ποιῇ πονηρίαν. Οὗτος γὰρ οὐ δι' ἄγνοιαν, ἀλλὰ διὰ ἡδονὴν, ἢ ἄλλο τι ποιεῖ ὃ ποιεῖ, ἀγνοῶν δέ. Πᾶς οὖν μοχθηρὸς ἀγνοεῖ τίνα δεῖ πράττειν, καὶ τίνων ἀπέχεσθαι. Καὶ διὰ τὴν τοιαύτην ἁμαρτίαν οἱ ἄνθρωποι ἄδικοι, ἢ ὅλως κακοὶ γίνονται. Αἱ δὴ τοιαῦται πράξεις οὐκ εἰσὶν ἀκούσιοι· ἡ γὰρ ἐν τῇ προαιρέσει ἄγνοια, ἥ τις ἐστὶν αἰτία τῶν κακιῶν, οὐκ ἔστιν αἰτία τοῦ ἀκουσίου, ἀλλὰ τῆς μοχθηρίας. Οὐ γὰρ τὸ καθόλου περὶ τῆς μέθης ἀγνοεῖν ὅτι πονηρὸν, αἴτιον γίνεται τοῦ ἀκουσίου· ἀλλὰ τὸ ἀγνοῆσαι μερικῶς τήνδε τὴν μέθοδον· οἷον, φέρε εἰπεῖν, οὐκ εἰδότα μέχρι πόσου πίνοντας ἔνι μεθύειν. Τοῦτο γὰρ καὶ συγγνώμης ἀξιοῦται καὶ ἐλέου· ὁ γὰρ οὕτως ἀγνοήσας, δι' ἄγνοιαν ποιεῖ ὃ ποιεῖ, καὶ ἀκουσίως πράττει. Δεῖ δὲ διορίσαι, τίνα καὶ πόσα ἐστὶν, ἃ ἀγνοοῦντες ἀκουσίως πραττόμεθα· τὸ αὐτοῦ πρόσωπον τοῦ πρὸς ὃν τις ποιεῖ ὃ

enim per ignorantiam agit aliquid, & cum novit, non indignatur hac actione; neque ſponte fecit, quod non noverat, neque invitus, quia poſtquam novit, non indignatur ſibi. Quare non ſponte ejuſmodi dicuntur. Aliud autem eſt propter ignorantiam. Aliud ignorantem agere. Ideoque qui propter ignorantiam agit, aut invitus agit aut non ſponte: at qui ignorans agit, ſponte. Ignorantem enim dicimus agere eum, qui iraſcitur, aut inebriatur, aut ſimili peccat modo. Hic enim non propter ignorantiam, ſed propter voluptatem quam reſpicit, aut aliud quid hoc agit, ignorans tamen. Quivis ergo improbus, quæ facienda & à quibus abſtinendum eſt, ignorat. Ac per hujuſmodi errorem injuſti fiunt homines, aut omnino mali. Hujuſmodi autem actiones non ſunt invitæ. Quæ namque in præelectione eſt ignorantia, unde naſcuntur hæc vitia, non eſt cauſa inviti, ſed improbitatis. Nec enim ſi aliquis in genere ignorat, malam eſſe ebrietatem, hæc inviti cauſa erit: ſed quod ſigillatim non conſtat nobis hæc ratio. Ut exempli gratia, ſi ignoremus, quatenus bibendum ſit, ut inebriemur. Hoc enim & venia dignum putamus & miſericordia. Nam qui ita ignorat, propter ignorantiam facit quod facit, ac invitus agit. Sed & illud definiendum eſt, quæ ſint & qualia, quæ ignorantes facimus inviti; perſona, propterea, in qua agitur, quod agitur: tum ipſum

Ariſtor. l. 3. c. 1.

Ariſtot. l. 3. c. 1.

ipſum quod agitur, interdumq; etiam inſtrumentum quo agitur, ſed & cauſa cur fiat, ut puta ſalutis: nec non quomodo fiat, modus videlicet, ut puta, remiſſe, an vehementer. Hæc igitur omnia nemo ignorare poteſt, niſi qui inſaniat. Quædam tamen etiam qui mentis ſit compos. Sicut interdum aliquis hoc ipſum ignorat quod agit, ut qui myſteria eliminat. Solent enim dicere, ſe cum de aliis vellent loqui lapſos eſſe, atque ea occaſione aliquid de myſteriis, quod non debebant, addidiſſe: vel quod non ſatis perſpicerent, quid dicerent, vel quod neſcirent eſſe myſtica. Hi enim rem ipſam quam agunt ignorant. Nec enim advertunt ſe myſteria prodere. Sic aliquis emittit catapeltam in aliquem, cum monſtrare vellet tantum, eumque interficit. Aut alius filium ſuum, quem putat hoſtem eſſe, ut Merope. Aut qui haſtam præferratam ſine mucrone eſſe cogitat, vel qui conſervandi alicujus cauſa lapidem jacit, quem pumicem eſſe exiſtimat, eique vitam eripit. Qui igitur aliquid ex iis ignorat, in quibus actio cernitur, invitus fecit. Proprie vero invitus, cum ea quæ ad actionem proprie ſpectant, ignoravit. Ea autem ſunt, perſonæ, & opus, in quibus eſt actio, & cujus gratia. Quæ ſi ignoraverit, ac præterea acceſſerit eorum quæ patravit pœnitentia, invitus fecit improprie. Tale ergo cum ſit invitum, contra erit id quod ſit ſponte: cujus nimirum principium in ipſo

*ὄντος δ' ἀκουσίου τοῦ βιαίου, &c.

ποιεῖ, τὸ πρᾶγμα ὃ ποιεῖ, ἐνίοτε δὲ καὶ τὸ διὰ τίνος ὀργάνου ποιεῖ, καὶ τὸ οὗ ἕνεκα, οἷον σωτηρίας, καὶ πῶς, δηλαδὴ τὸν τρόπον, οἷον, ἠρέμα ἢ σφόδρα. Ἅπαντα μὲν οὖν ταῦτα οὐδεὶς ἂν ἀγνοήσειεν, εἰ μὴ μαίνοιτο· ἐνδέχεται δέ τινα τούτων ἀγνοεῖν καὶ σωφρονοῦντα· ὥσπερ ἀγνοεῖ τις πολλάκις αὐτὸ τὸ πρᾶγμα ὃ πράττει, καθάπερ οἱ ἐξειπόντες τὰ μυστήρια· λέγοντας γὰρ περὶ ἄλλων συγχυθῆναί φασι, καί τι καὶ περὶ τῶν μυστηρίων προφθέγξασθαι, μὴ συνορῶντες ὃ λέγουσιν, ἢ καὶ ἀγνοοῦντες ὅτι ἀπόρρητα ἦν. Οὗτοι γὰρ αὐτὸ τὸ πρᾶγμα γινόμενον ἀγνοοῦσιν· οὐ γὰρ γινώσκουσιν, ὅτι τὰ μυστήρια ἐξάγουσι. Καί τις ἀφῆκε πρός τινα καταπέλτην, δεῖξαι βουλόμενος αὐτὸν, καὶ τυχὼν, ἀπέκτεινε· καί τις τὸν υἱὸν τὸν ἑαυτοῦ οἰηθεὶς πολέμιον εἶναι, ὥσπερ ἡ Μερόπη, ἢ λελογχωμένον τὸ δόρυ νομίσας ἄνευ λόγχης εἶναι, ἢ κίσηριν τὸν λίθον ὑπολαβὼν, ἐπὶ σωτηρίᾳ πέμψας, ἀπέκτεινεν. Ὁ τοίνυν τι τούτων ἀγνοῶν, ἐν οἷς ἡ πρᾶξις, ἄκων ἐποίησε. Κυρίως δὲ ἄκων, ὅταν τὰ κυριώτατα ἀγνοῇ τῶν περὶ τὸ πρᾶγμα· κυριώτατα δὲ, τὰ πρόσωπα, καὶ τὸ ἔργον, ἐν οἷς ἡ πρᾶξις, καὶ τὸ οὗ ἕνεκα. Ἅ τινα εἰ ἀγνοεῖ καὶ προσέτι μεταμέλοι αὐτῷ ἐφ᾽ οἷς ἐποίησε, κυρίως ἄκων ἐποίησε.

Τοιούτου δὲ ὄντος τοῦ ἀκουσίου, τὸ ἑκούσιόν ἐστιν, οὗ ἡ ἀ[illegible]

ἐν αὐτῷ, εἰδότι τὸ καθ' ἕκαστα, ἐν οἷς ἡ πρᾶξις.

Οὐ γὰρ καλῶς λέγεται ἀκούσια εἶναι, ἃ ποιοῦμεν ὑπὸ θυμοῦ κινούμενοι, ἢ ἐπιθυμίας γιτώσκοντες πάντα τὰ κατὰ μέρος, δι' ὧν, καὶ ἐν οἷς πράττομεν. Εἰ γὰρ τοῦτο δοίημεν, πρῶτον μὲν οὐδὲν τῶν ἀλόγων ζώων ἑκούσιόν τι πράττειν ἐροῦμεν· ἀεὶ γὰρ ἐπιθυμίᾳ καὶ θυμῷ πράττει. Ὁμοίως δὲ καὶ τοὺς παῖδας· ἔπειτα καὶ ἐφ' ἡμῖν ἄτοπον συμβαίνει· ἢ γὰρ οὐδὲν ἑκουσίως πράττομεν τῶν δι' ἐπιθυμίαν, ἢ θυμόν· ἢ τὰ καλὰ μὲν ἑκουσίως, τὰ φαῦλα δὲ ἀκουσίως, τῶν γὰρ ἀπὸ ἐπιθυμίας ἢ θυμοῦ, τὰ μὲν ἀγαθὰ, τὰ δὲ φαῦλα. Εἰ μὲν οὖν τὰ καλὰ μόνον ἑκουσίως πράττομεν, τὰ φαῦλα δὲ ἀκουσίως, γελοῖον εἰπεῖν. Ἓν γὰρ τὸ αἴτιον, θυμὸς ἢ ἐπιθυμία. Τὸ δὲ ἑκούσιον καὶ ἀκούσιον, ἡ διαφορὰ τῆς αἰτίας ποιεῖ, τῷ τὸ μὲν ἔνδον εἶναι, τὸ δὲ ἔξωθεν. Εἰ δὲ πάντα ἀκούσια, πῶς οὐκ ἄτοπον, ἀκουσίως ὀρέγεσθαι λέγειν, ὧν δεῖ ὀρέγεσθαι; ἔστι γὰρ εἰς δέον χρήσασθαι τῇ ἐπιθυμίᾳ, καὶ τῷ θυμῷ, καὶ δεῖ, ὀργίζεσθαι ἐπί τισι, καὶ ἐπιθυμεῖν τινῶν, οἷον ὑγείας, ἢ μαθήσεως. Ἅπερ ἀκούσια λέγειν οὐκ εὔλογον. Τὰ γὰρ ἀκούσια, λυπηρά· τὰ δὲ κατ' ἐπιθυμίαν, ἡδέα. Ἔτι εἰ ἀκούσια ἦν τὰ κατὰ θυμὸν ἁμαρτηθέντα, διέφερεν ἂν τῶν ἀπὸ τοῦ λογισμοῦ ἁμαρτανομένων, κατὰ τὴν ἑκουσίου καὶ ἀκουσίου διαφοράν. Διαφέρει δὲ οὐδέν· καὶ γὰρ ταῦτα ὁμοίως ἐκείνοις

qui perſpecta habet ſingula, in quibus actio ſpectatur.

Nec enim recte dicuntur invita eſſe, quæ iræ aut cupiditatis impulſu agimus. Nam ſi hoc concedamus, primo nullum rationis expers animal, ſponte quidquam agere dicemus. Omnia enim vel iræ, vel cupiditatis inſtinctu faciunt: ut nec pueros. Sed & in nobis abſurdum erit: nam aut nihil ſponte agemus, quod cupiditatis impulſu facimus vel iræ, aut honeſta quidem ſponte, vitioſa autem inviti. Etenim quæ à cupiditate ſunt & ira, alia bona, alia ſunt improba. Jam ridiculum erit ſi judicemus, bona tantum ſponte, mala autem invitis fieri nobis. Eadem enim cauſa eſt, ira nimirum aut cupiditas. Sponte autem quid ut ſit aut invitum, cauſæ facit differentia: quod altera intus, altera ſit extrinſecus. Quod ſi omnia invita ſunt, quis neget abſurdum, ſi dicamus invitos ea nos petere, quæ peti oportet? Poteſt enim aliquis, ut oportet, cupiditate uti & ira. Sunt enim nonnulla quorum cauſa iraſcendum eſt, ſicut quædam concupiſcenda ſunt: ut puta, ſanitas, aut diſciplinæ; quæ invita dicere abſurdum erit. Quæ enim inviti, moleſta ſunt, quæ vero cum cupiditate conjuncta ſunt, jucunda. Adde quod ſi invita eſſent quæ per iram committimus, differrent ab iis quæ ex ratione peccantur, ſecundum ejus quod ſponte eſt atque inviti differentiam. Nunc autem non differunt. Hæc enim nihilo quam illa ſecus vitanda ſunt,

Ariſtot. l. 3. c. 1. Ἴσως γὰρ οὐ καλῶς λέγεται τὰ ἀκούσια εἶναι τὰ διὰ θυμὸν, &c.

Ariſtot. l. 3. c. 2. quod ei quod ſponte eſt convenit, nec reprehendenda ſunt minus, quod non eſſet, ſi ut quod ſponte eſt differrent, & invitum. Prӕterea affectus quoq; qui ratione carent, ſunt hominis, quemadmodum ratio. Ab his vero, ira nimirum & cupiditate, omnes humanӕ proveniunt actiones. Has ergo invitas dicere, abſurdum erit.

φαυκτὰ, ὃ τοῦ ἑκουσίου ἐστὶ, καὶ ψόγων ἄξια οὐδὲν ἧττον· ὅπερ οὐκ ἂν ἦν, εἰ διέφερεν ὡς ἑκούσιον ἀκουσίου· ἔτι δὲ τὰ ἄλογα πάθη καὶ ἀνθρώπινα εἰσιν, ὥσπερ ὁ λογισμός. Ἀπὸ τούτων δὲ τῶν παθῶν, θυμοῦ δηλονότι καὶ ἐπιθυμίας, πᾶσαι αἱ ἀνθρώπιναι γίνονται πράξεις. Ταύτας τοίνυν ἀκουσίους λέγειν, ἄτοπον.

CAP. III.

De præelectione.

Cap. 2. Διωρισμένων δὲ τῶν τε ἑκουσίων, &c.

POſtquam autem de eo quod ſponte eſt egimus & de invito, proximum eſt ut de præelectione agamus. Quæ quidem proprium quid cum virtute habet: ea quippe tanquam norma mores diſtinguere diſcimus atque actiones.

Ἡ προαίρεσις δὲ ἑκούσιον μὲν φαίνεται, &c. Eſt ergo ſpontaneum, quidem præelectio, non ipſum tamen id quod ſponte eſſe dicimus, ſed eorum aliquid quæ ad id quod ſponte eſt referuntur. Siquidem latius id quod ſponte eſt ſe extendit, quam præelectio. Idque vel ex eo apparet, quod id quod ſponte eſt, reliquis quoque animalibus & pueris, non minus quam conſummatæ induſtriæ hominibus, commune eſt: nam & pueri & reliqua ſponte agunt animalia: præelectio vero ſolis illis, qui & judicare poſſunt & deliberare, adeſſe dicitur. Etenim cum conſilio appetitus, præelectio vocatur. Quin & illa quæ ſubito à nobis nulla prius inſtituta deliberatione fiunt, ſponte

*Videtur ſcribendum, μεταβουλῆς, &c.

ΚΕΦ. γ'.

Περὶ προαιρέσεως.

ΕΠεὶ δὲ περὶ ἑκουσίου καὶ ἀκουσίου διωρισάμεθα, μετὰ ταῦτα ἀκόλουθον ἂν εἴη περὶ τῆς προαιρέσεως διαλαβεῖν. Ἡ γὰρ προαίρεσις οἰκείως ἔχει πρὸς τὴν ἀρετὴν, καὶ τῷ ταύτης κανόνι δυνησόμεθα κρίνειν τὰ ἤθη, καὶ τὰς πράξεις.

Ἡ προαίρεσις τοίνυν ἑκούσιον μὲν ἐστιν, οὐκ ἔστι δὲ αὐτὸ τὸ ἑκούσιον, ἀλλά τι τοῦ ἑκουσίου. Τὸ γὰρ ἑκούσιον ἐπὶ πλέον ἐστὶ τῆς προαιρέσεως. Καὶ δῆλον· τὸ μὲν γὰρ ἑκούσιον καὶ ζώοις ἀλόγοις, καὶ παισὶ, καὶ τελείοις τὸν νοῦν πρόσεστι· ποιοῦσι γὰρ καὶ οἱ παῖδες καὶ τἄλλα ζῶα ἑκουσίως. Ἡ δὲ προαίρεσις μόνοις τοῖς κρίνειν δυναμένοις καὶ βουλεύεσθαι εἰδόσι πρόσεστιν· ἡ γὰρ * μεταβολῆς ὄρεξις, προαίρεσις καλεῖται. Καὶ ἄλλως τε, καὶ τὰ ἐξαίφνης ὑφ' ἡμῶν γινόμενα μὴ προβεβουλευμένων, ἑκούσια λέγον[illegible]

λέγονται, προαιρετὰ δ᾽ οὐδαμῶς.

Οὐ γάρ ἐστιν ἡ προαίρεσις θυμὸς, ἢ ἐπιθυμία, ἢ βούλησις, ἢ δόξα, καθώς τινες ὑπειλήφασιν.

Ὁ μὲν γὰρ θυμὸς τε καὶ ἡ ἐπιθυμία κοινή ἐστι καὶ ἡμῖν καὶ τοῖς ἀλόγοις. Προαίρεσις δὲ οὐδαμῶς. Ἔτι δὲ καὶ ὁ ἀκρατὴς οὐ λέγεται προαιρούμενος πράττειν ἃ πράττει, ἀλλ᾽ ἐπιθυμῶν· ὁ δὲ ἐγκρατὴς λέγεται πράττειν προαιρούμενος, οὐκ ἐπιθυμῶν. Ἔτι προαιρέσει μὲν ἐπιθυμία ἐναντίον ἐστί· καὶ προαιρούμεθα πολλάκις ἐναντία ὧν ἐπιθυμοῦμεν· ἐπιθυμία δὲ ἐπιθυμίᾳ οὐκ ἔστιν ἐναντίον· ἡ ἄρα προαίρεσις οὐκ ἔστιν ἐπιθυμία. Ἔτι ἡ μὲν ἐπιθυμία λυπηρά ἐστι, καὶ τὸ ἡδὺ ἀεὶ ἀντικείμενον ἔχει· πρὸς αὐτὸ γὰρ ἀεὶ φέρεται· ἡ δὲ προαίρεσις οὔτε λυπηρά ἐστιν, οὔτε τὸ ἡδὺ ἀντικείμενον ἔχει.

Ἔτι δὲ οὐδὲ ὁ θυμὸς προαίρεσίς ἐστι, καὶ πολλῷ μᾶλλον, ἢ ἡ ἐπιθυμία· ἥκιστα γὰρ τὰ διὰ θυμὸν γινόμενα κατὰ προαίρεσιν εἶναι δοκεῖ.

Ἀλλὰ μὴν οὐδὲ βούλησίς ἐστιν ἡ προαίρεσις· καίτοι ἔγγιστα εἶναι ταῦτα δοκεῖ. Ἡ μὲν γὰρ προαίρεσις οὐκ ἔστι τῶν ἀδυνάτων· οὐ γὰρ προαιρούμεθα ἵπτασθαι, ἢ ἀθάνατοι εἶναι, ἀλλὰ βουλόμεθα· ὁ γὰρ τὰ τοιαῦτα προαιρούμενος δοκοίη ἂν ἠλίθιος εἶναι. Ἡ προαίρεσις ἄρα οὐκ ἔστι βούλησις· καὶ βουλόμεθα μὲν πολλάκις ἅπερ οὐχ ἡμεῖς αὐτοὶ

eſſe dicimus, non ex præelectione tamen.

Nec enim ira eſt præelectio aut cupiditas, aut voluntas, ut nonnulli exiſtimarunt, aut opinio. — Ariſtot. l. 3. c. 2. Οἱ δὲ λέγουσι τὴν ἐπιθυμίαν, &c.

Ira ſiquidem & cupiditas cum reliquis quæ ratione carent nobis eſt communis. Præelectio autem neutiquam. Sed neque incontinens cum præelectione dicitur agere quæ agit, ſed cum concupiſcentia. Sicut contra continens cum præelectione, non cum concupiſcentia. Præelectioni præterea adverſatur cupiditas, ſiquidem contraria ſæpe præeligimus, ab iis quæ concupiſcimus: cupiditati vero non adverſatur cupiditas: non ergo cupiditas eſt præelectio. Deinde cum moleſtia conjuncta eſt cupiditas, ſemperque oppoſitum habet jucundum: eo ſiquidem ſemper tendit. Præelectio contra nec moleſta eſt, nec oppoſitum habet jucundum. — Οὐ γὰρ κοινὴ ἡ προαίρεσις, &c.

Sed nec ira eſt præelectio, multoque ab ea longius abeſt, quam cupiditas. Minime ſiquidem quæ per iram fiunt ex præelectione fieri videntur. — Θυμὸς δ᾽ ἔτι ἧττον, &c.

Sed nec voluntas eſt præelectio: quamvis vicina hæc videantur. Nec enim in iis quæ fieri non poſſunt, eſt præelectio. Quemadmodum non præeligimus volare, aut immortales eſſe, ſed volumus. Nam qui ejuſmodi præeligeret, fatuus videtur. Quare nec voluntas eſt præelectio. Quin & volumus ſæpe, quæ ipſi non agimus, ſed — Ἀλλὰ μὴν οὐδὲ βούλησις, &c.

Ariſto. l. 3. c. 2.

alii: ut, exempli gratia, hiſtrionem aliquem primas obtinere in ſcena, aut athletam: quæ tamen nemo præeligit, ſed ea tantum, quæ per ſe putat poſſe fieri. Rurſus, finis ipſius ſemper eſt voluntas; eorum quæ ad finem tendunt, prælectio. Sic ſanitatem ipſam quidem volumus, quæ vero ad ſanitatem tendunt, quibuſque comparatur ſanitas, præeligimus. Sed & felicitatem volumus, & velle nos dicimus, non autem præeligere: quod plane abſurdum eſſet. Omnino denique eorum quæ in noſtra poteſtate ſunt, videtur eſſe prælectio.

Οὐδὲ δόξα δ' ἂν εἴη, &c.

Sed neque opinio eſt. Opinio namque in omnibus verſatur ſimiliter, ſive ea ſint æterna, ſive in poteſtate noſtra, ſive fieri non poſſint: at vero prælectio eorum eſt tantum quæ in poteſtate ſunt noſtra. Adde quod opinio, vero diſtinguitur & falſo: aliam namque opinionem veram, aliam falſam dicimus. Prælectio autem bono potius & malo. Aliam enim boni dicimus, aliam mali. Idem autem cum univerſali opinione nemo prælectionem eſſe putat. Neque ſane cum vniverſali opinione tantum non eſt idem, ſed nec cum ulla.

Τῷ γὰρ προαιρεῖσθαι τἀγαθὰ ἢ τὰ κακὰ ποιοί τινές ἐσμεν, &c.

A prælectione enim tales aut tales evadimus: quatenus namq: mala præeligimus, mali quoque evadimus: quatenus vero bona, boni. Ab opinione autem, non item. Præterea præeligimus aliquid agere aut non agere, ſequi aliquid aut vitare ejuſmodi. Opinione autem judicamus quid ſit quod præeligimus,

ἀλλ' ἕτεροι, ποιοῦσιν, οἷον ὑποκριτήν τινα νικᾶν τὸν ἐν τῇ σκηνῇ, ἢ ἀθλητήν· προαιρεῖται δὲ ταῦτα οὐδείς, ἀλλ' ὅσα οἴεται γενέσθαι ἂν δι' αὐτοῦ. Ἔτι ἡ μὲν βούλησις τοῦ τέλους ἐστὶν ἀεί, ἡ δὲ προαίρεσις τῶν πρὸς τὸ τέλος φερόντων. Βουλόμεθα μὲν γὰρ τὴν ὑγίειαν, προαιρούμεθα δὲ ἃ πρὸς αὐτὴν φέρει, καὶ δι' ὧν ἐστὶν ὑγιαίνειν. Καὶ τὴν μὲν εὐδαιμονίαν καὶ βουλόμεθα καὶ φαμὲν βούλεσθαι, προαιρεῖσθαι δὲ οὐ λέγομεν· ἐπεὶ μηδὲ ἁρμόζει. Καὶ ὅλως ἔοικεν ἡ προαίρεσις τῶν ἐφ' ἡμῖν εἶναι.

Ἀλλὰ μὴν οὐδὲ δόξα ἐστίν. Ἡ μὲν γὰρ δόξα περὶ πάντα ὁμοίως ἐστὶ καὶ τὰ ἀΐδια, καὶ τὰ ἐφ' ἡμῖν, καὶ τὰ ἀδύνατα· ἡ δὲ προαίρεσις, τῶν ἐφ' ἡμῖν ἐστὶ μόνων. Ἔτι ἡ δόξα τῷ ψευδεῖ καὶ τῷ ἀληθεῖ διαιρεῖται· τὴν μὲν γὰρ τῶν δοξῶν ἀληθῆ λέγομεν, τὴν δὲ ψευδῆ· ἡ δὲ προαίρεσις τῷ ἀγαθῷ καὶ τῷ κακῷ μᾶλλον διαιρεῖται· τὴν μὲν γὰρ τοῦ ἀγαθοῦ λέγομεν, τὴν δὲ τοῦ κακοῦ. Τῇ μὲν οὖν καθόλου δόξῃ ταὐτὸν εἶναι τὴν προαίρεσιν, οὐδεὶς δοκεῖ. Οὐ μόνον δὲ τῇ καθόλου δόξῃ οὐκ ἔστι ταὐτόν, ἀλλ' οὐδέ τινι.

Ἀπὸ μὲν γὰρ τῆς προαιρέσεως ποιοί τινες γινόμεθα· τῷ γὰρ προαιρεῖσθαι τὰ κακὰ, κακοὶ γινόμεθα, καὶ τῷ προαιρεῖσθαι τὰ ἀγαθὰ, ἀγαθοί. Ἀπὸ δὲ τῆς δόξης, οὐκ ἔτι. Ἔτι προαιρούμεθα μὲν πράττειν τι, ἢ μὴ πράττειν, λαβεῖν τι, ἢ φυγεῖν τι τῶν τοιούτων· δοξάζομεν δὲ τί

ἐστιν ὃ προαιρούμεθα, ἢ ἄλλό τι, ἢ τίνι συμφέρει, ἢ πῶς· λαβεῖν δὲ, ἢ φυγεῖν τι, ἢ ἑλέσθαι, οὐκ ἔστι τῆς δόξης· ἢ ἄρα προαίρεσις οὐκ ἔστι δόξα. Ἔτι ἡ μὲν προαίρεσις ἐπαινεῖται, ὅταν προαιρώμεθα ἃ δεῖ· ἡ δὲ δόξα ἐπαινεῖται, ὅταν δοξάζωμεν τὰ ἀληθῆ· ἔτι, προαιρούμεθα μὲν, ἃ σφόδρα γινώσκομεν ἀγαθὰ εἶναι, δοξάζομεν δὲ, ἃ οὐ πάνυ γινώσκομεν ἀληθῆ εἶναι. Ἔτι ὁ αὐτὸς οὐχ ὁμοίως προαιρεῖται καὶ δοξάζει· δοξάζει γὰρ πολλάκις καλῶς, δοξάζων τὰ ἀληθῆ, προαιρεῖται δὲ τὰ φαῦλα· οὐκ ἄρα ταυτὸν δόξα καὶ προαίρεσις. Εἰ δὲ πολλάκις ἡ δόξα προηγεῖται τῆς προαιρέσεως ἢ παρακολουθεῖ, οὐ διὰ τοῦτο ταυτὸν ἔσται δόξα καὶ προαίρεσις. Τοῦτο γὰρ οὐδὲν κωλύει διάφορα εἶναι.

aut, aliud quidpiam, aut cui conducat, aut quomodo. Ariſtot. l.3. c.2.
At vero ſequi aliquid aut vitare, aut eligere, non eſt opinionis, Quare nec opinio eſt præelectio. Deinde laudatur præelectio, cum quæ oportet præeligimus: contra opinio, cum vera opinamur. Sed & præeligimus quæ bona ſcimus admodum, opinamur vero quæ non admodum vera eſſe ſcimus. Præterea, idem aliquis non eodem modo præeligit & opinatur. Sæpe enim bene opinatur aliquis, cum vera opinatur, & tamen mala præeligit. Ergo non idem eſt opinio & præelectio, Quod ſi ſæpenumero præelectionē præcedit opinio aut ſequitur, non tamen propterea idem eſt utrumque. Non enim hoc obſtat, quo minus inter ſeſe differant.

ΚΕΦ. δʹ.

Περὶ προαιρέσεως, τί ἐστι καὶ περὶ τίνα, καὶ περὶ βουλεύσεως.

Ἐπεὶ δὲ οὔτε ἐπιθυμία ἐστὶν ἡ προαίρεσις, οὔτε θυμὸς, οὔτε βούλησις, οὔτε δόξα, ζητητέον τί ἐστιν, ἢ ποῖόν τί ἐστι. Φαίνεται μὲν οὖν, ὅτι ἑκούσιόν ἐστιν, οὐκ αὐτὸ τὸ ἑκούσιον, καθὼς εἴρηται· Οὐ γὰρ πᾶν ἑκούσιον προαιρετόν· ἀλλὰ τῶν ἑκουσίων ἐκεῖνο μόνον προαιρετὸν καλεῖται, ὃ προβουλευόμενοι ποιοῦμεν· ἡ γὰρ προαίρεσις μετὰ λόγου καὶ δια-

CAP. IV.

De præelectione, quid ſit, & in quibus verſetur, itemque de deliberatione.

Cum ergo nec cupiditas ſit præelectio, nec ira, nec Τί ἐστι ἢ ποῖόν τι ἐστι, &c.
voluntas, nec opinio, videndum eſt quid ſit & quale. Apparet autem eſſe quod eſt ſponte, neq; ipſum tamen quod ſponte eſſe dicimus, ut dictum eſt: nec enim omne præelectioni ſubjacet quod ſponte eſt, ſed ex reliquis quæ ſponte ſunt, ſolum illud præelectioni ſubjicitur, quod præmiſſa prius deliberatione facimus, Etenim cum ratione ea fit &

79961

Ariſtot. l. 3. c. 3.

mente. Quod vel ex ipſo nomine apparet. Videtur namq; vox προαιρετὸν, hoc eſt, quod ſubjicitur præelectioni deſignare τὸ πρὸ ἑτέρων αἱρετὸν, hoc eſt, id quod præ reliquis præeligitur.

Cap. 3. Βουλεύονται δὲ περὶ πάντων, &c.

Quæ cum ita ſe habere ponamus, reſtat ut videamus, utrum de omnibus poſſit inſtitui deliberatio, an vero de nonnullis nequeat. Ut ex eo intelligamus, quorum ſit & quorum non ſit præelectio. Ad deliberativa nāq; refertur præelectio. Ita nunc ea voco de quib. non fatuus aut inſanus, ſed prudens deliberat.

Περὶ δὲ τῶν ἀϊδίων οὐδεὶς βουλεύεται, &c.

Ac primum neque de æternis eſt deliberatio, ſicut de mundo: neq; enim quomodo æterna moveantur corpora, quiſquam deliberat: nec de iis quæ habere ſe aliter non poſſunt: ſicut de quadrati latere, & diametro: ut ſi quis vellet efficere, ut eandem inter ſe rationem habeant, quam numerus ad numerum.

Ἀλλ' οὐδὲ περὶ τῶν ἐν κινήσει, &c.

Neque de iis quæ ſemper eodem modo moventur: ſive id neceſſitate fiat, ſeu natura, ſive alia ratione aliqua. Ut de converſionibus ſolis & ortibus.

Οὐδὲ περὶ τῶν ἄλλοτε ἄλλως, &c.

Sed neque de iis quæ alias aliter ſe habent, deliberatio inſtituitur: ut de ſiccitatibus & imbribus.

Οὐδὲ περὶ τῶν ἀπὸ τύχης, &c.

Neq; de iis quæ à fortuna ſunt: ut de theſauri inventione: quia neq; horum quicquam in poteſtate noſtra eſt, neq; humanum eſt.

Ἀλλ' οὐδὲ περὶ τῶν ἀνθρωπικῶν, &c.

Sed neque de humanis omnibus deliberabimus, verum de iis tantum quæ in poteſtate ſunt noſtra: hoc eſt, quæ aut ipſi per nos, aut per alios efficere poſſumus. Neque n. Lacedæ-

νοίας. Φαίνεται δὲ καὶ ἀπὸ τοῦ ὀνόματος· τὸ γὰρ προαιρετὸν δοκεῖ σημαίνειν τὸ πρὸ ἑτέρων αἱρετόν.

Τούτων δὲ ὑποκειμένων, ζητητέον, πότερον περὶ πάντων δυνατὸν βουλεύσασθαι, ἢ περὶ ἐνίων οὐ δυνατόν· ἵνα γνῶμεν ἐντεῦθεν, τινῶν ἐστὶν ἡ προαίρεσις, καὶ τινῶν οὐκ ἔστι. Τῶν γὰρ βουλευτῶν καὶ ἡ προαίρεσίς ἐστι. Βουλευτὸν δὲ λέγω, περὶ οὗ βουλεύσαιτ' οὐκ ἠλίθιος ἢ μαινόμενος, ἀλλ' ὁ νοῦν ἔχων.

Ἡ τοίνυν βουλὴ οὔτε περὶ τῶν ἀϊδίων ἐστὶν, οἷον περὶ τοῦ κόσμου· οὐδεὶς γὰρ βουλεύεται πῶς δεῖ κινεῖσθαι τὰ οὐράνια σώματα· ἢ περὶ τῶν ἀδυνάτων ἄλλως εἶναι, οἷον περὶ τῆς πλευρᾶς τοῦ τετραγώνου καὶ τῆς διαμέτρου, ποιῆσαι λόγον τινὰ ἔχειν πρὸς ἀλλήλας, ὃν ἀριθμὸς πρὸς ἀριθμόν.

Οὔτε περὶ τῶν κινουμένων ἀεὶ ὡσαύτως, ἢ ἀνάγκῃ, ἢ φύσει, ἢ δι' ἄλλην τινὰ αἰτίαν, οἷον τροπῶν καὶ ἐπιτολῶν.

Ἀλλ' οὐδὲ περὶ τῶν ἄλλοτε ἄλλως ἐχόντων βουλευόμεθα, οἷον αὐχμῶν καὶ ὄμβρων.

Οὐδὲ τῶν ἀπὸ τῆς τύχης, οἷον θησαυροῦ εὑρέσεως, ὅτι οὐδὲν τούτων ἐφ' ἡμῖν ἐστιν, οὐδὲ ἀνθρώπινον.

Καὶ μὴν οὐδὲ περὶ τῶν ἀνθρωπικῶν πάντων βουλευόμεθα, ἀλλὰ μόνον περὶ τῶν ἐφ' ἡμῖν, καὶ ἅπερ ἂν αὐτοὶ πράξαιμεν, ἢ δι' ἡμῶν αὐτῶν ἢ δι' ἑτέρων. Οὐ γὰρ Λακεδαι-

μόνιοι

-νιοι περὶ τῆς τῶν Σκυθῶν πολιτείας βουλεύονται, πῶς ἂν Σκύθαι ὀρθῶς πολιτεύοιντο. Οὐδὲν γὰρ τῶν εἰρημένων δι' ἡμῶν ἂν γένοιτο.

Βουλευόμεθα δὲ περὶ τῶν ἐφ' ἡμῖν πρακτῶν, ἅ τινα γνωσόμεθα.

Οὕτω τρία εἰσὶ τὰ αἴτια ἐν τοῖς οὖσι, φύσις, ἀνάγκη, καὶ τύχη· ἔτι δὲ νοῦς καὶ πᾶν τὸ δι' ἀνθρώπου, οἷον τέχνη, ἢ ἄλλη τις πρᾶξις· οἱ δὲ ἄνθρωποι βουλεύονται οὔτε περὶ ὧν αἰτία ἡ φύσις, οὔτε περὶ ὧν ἡ ἀνάγκη αἰτία, ἢ ὧν ἡ τύχη· ἀλλὰ περὶ μόνων ἐκείνων, ὧν αἰτία ἐστὶν ἡ ἀνθρωπίνη μέθοδος, καὶ ἡ πρᾶξις.

Ἔτι δὲ, οὐδὲ περὶ πασῶν τῶν ἀνθρωπίνων μεθόδων οἱ ἄνθρωποι βουλεύονται. Περὶ γὰρ τὰς ἀκριβεῖς καὶ αὐτάρκεις τῶν ἐπιστημῶν οὐκ ἔστι βουλή· οἷον περὶ τῶν γραμμάτων. Οὐ γὰρ διστάζομεν πῶς γραπτέον· ὅτι ἐγνωσμένον ἐστὶν ἀκριβῶς, καὶ ὡρισμένα εἰσὶ τὰ σημεῖα.

Ἀλλ' ὅσα γίνονται ὑφ' ἡμῶν δυνάμενα πολλαχῶς γενέσθαι, περὶ τούτων βουλευόμεθα· οἷον περὶ τῶν κατὰ τὴν ἰατρικὴν πράξεων, ἅτινες οὐ πάνυ εἰσὶν ὡρισμέναι, ἢ τὴν χρηματιστικήν· πολλαχῶς γὰρ δυνατὸν χρηματίσασθαι· ἢ τὴν κυβερνητικήν, ἢ γυμναστικήν. Καὶ μᾶλλον περὶ τῶν κατὰ τὴν κυβερνητικὴν βουλευσόμεθα, ἢ τὴν γυμναστικήν. Ἐπεὶ καὶ ἔλαττόν ἐστιν ἀκριβὴς ἡ κυβερνητική. Καὶ περὶ τῶν λοιπῶν ὁμοίως.

Πλέον δὲ περὶ τῶν κατὰ τὰς τέχνας βουλευόμεθα ἢ τὰς ἐπιστήμας· πλέον γὰρ διστάζομεν ἐν

monii de Scytharum delibera- Ariſtot.
bunt Republica, quo pacto recte l. 3. c. 3.
ea adminiſtrari debeat. Neque enim quicquam eorum per nos fieri poteſt, quæ diximus.

De iis autem quæ fieri per nos Βουλευό-
poſſunt, deliberamus; quæ jam μεθα δὲ,
videbimus. &c.

Atque ita tres in rerum natu- Αἴτια γὰρ
ra ſunt cauſæ: natura, neceſſitas, δοκοῦσιν
& fortuna. Sed & mens & quæ- εἶναι, &c.
cunque fiunt per hominem, ut artes aliæque actiones, eodem referuntur. Jam vero neque de iis, quorum natura, ut neceſſitas aut fortuna cauſa eſt, deliberare ſolent homines, ſed de iis tantum, quorum diſciplina aliqua humana cauſa eſt aut actio.

Sed neque de omnibus ho- Καὶ περὶ
minum diſciplinis deliberare μὲν τὰς
ſolemus: quia de accuratis & ἀκριβεῖς,
quæ per ſe abſolutæ ſunt, nul- &c.
la eſt deliberatio: ut de literis. Nec enim dubitamus, quomodo ſcribendum ſit: quia ſatis de eo conſtat, & definitæ ſunt notæ.

At vero quæ per nos fi- Ἀλλ' ὅσα
unt, cum diverſis modis poſ- γίνονται,
ſint fieri, hæc ſunt de quibus &c.
deliberamus. Ut in actionibus medicis, quæ non admodum ſunt definitæ, aut in quæſtuaria (quia multis modis quæſtum facimus) aut in gubernatoria, aut gymnaſtica. Et magis in gubernatoria quam in gymnaſtica, ſiquidem minus accurata eſt gubernatoria. Eodemque de reliquis modo.

Sed & in artibus magis quam Μᾶλλον δὲ
in ſcientiis locum habet deli- καὶ περὶ
beratio: magis enim dubitamus τὰς τέ-
in χνας, &c.

Ariſtot. l. 3 c. 3. in artibus, quia minus definitæ ſunt quam ſcientiæ.

Τὸ βουλεύεσθαι δ', &c. Porro in iis, quæ ut plurimum ita ſe habent, deliberare quidem ſolemus: cùm vero neque horum ſatis eſt manifeſta ratio, ut puta quomodo eveniant, & in quibus, ibi rurſus definita non poteſt eſſe deliberatio.

Συμβούλους δὲ παραλαμβάνομεν, &c. Quare & conſiliarios aſſumimus, cum de rebus magnis deliberamus: quia nobis diffidimus, neque putamus nos ſufficere ut de tanto recte judicemus negotio.

Βουλευόμεθα δ' οὐ περὶ τῶν τελῶν, &c. Ac deliberamus quidem non de finibus, ſed de iis quæ ad fines referuntur. Nec enim medicus de reſtituenda ægro ſanitate deliberat (quia non eſt aliud quo reſpiciat, ac propterea deliberatione opus non habet) ſed de iis quæ ad ſanitatem referuntur: quæ non uno modo poſſunt fieri. Eodem modo nec de perſuadendo deliberat rhetor, ſed de iis quæ ad perſuadendum pertinet. Sed neque ſenatum convocat politicus, ut de bona legum conſtitutione deliberet (conſtat enim bene adminiſtrari Rempublicam deberi) ſed de iis quæ ad bonam legum conſtitutionem faciunt.

Ἀλλὰ θέμενοι τὸ τέλος, &c. Omnes denique qui ſimile quid agunt, finem quidem ipſum præſupponunt; cæterum quo pacto, quibuſque eo perventuri ſint mediis, deliberant. Cumque quæ deducant eo ſint plurima, quomodo facillime eo pervenire poſſint ac optime, deliberant. At vero, cum unus tantum

ταῖς τέχναις, ὅτι ἔλαττον εἰσιν ὡρισμέναι τῶν ἐπιστημῶν.

Τὸ δὲ βουλεύεσθαι, ἐστὶ μὲν τῶν ὡς ἐπὶ τὸ πλεῖστον ἐνδεχομένων γίνεσθαι· ὅταν δὲ καὶ ἐπὶ τούτων ὁ τρόπος ἄδηλος, ἢ πῶς δηλονότι γενήσεται, καὶ ἐν οἷς οὐκ ἔστι δυνατὸν τὴν βούλευσιν ὡρισμένην εἶναι.

Διὰ τοῦτο καὶ συμβούλους παραλαμβάνομεν, ὅταν ᾖ περὶ μεγάλων ἡ βουλή· καὶ τὸ ἀπιστοῦμεν ἡμῖν αὐτοῖς ὡς οὐχ ἱκανοῖς περὶ τοῦ πράγματος διαγνῶναι.

Βουλευόμεθα δὲ οὐ περὶ τελῶν, ἀλλὰ περὶ τῶν πρὸς τὰ τέλη. Ὁ γὰρ ἰατρὸς οὐ βουλεύσεται δοῦναι τὴν ὑγίειαν τῷ κάμνοντι· οὐ γὰρ ἐνδέχεται πρὸς ἄλλο τι βλέπειν τὸν ἰατρόν· καὶ τούτου χάριν οὐ χρείαν ἔχει βουλεύσεως· ἀλλὰ περὶ τῶν φερόντων εἰς τὴν ὑγίειαν, περὶ τούτων βουλεύεται, ἅ τι πολλαχῶς ἐνδέχεται γίνεσθαι. Ὁμοίως δὲ καὶ ὁ ῥήτωρ οὐ βουλεύσεται περὶ τῆς πειθοῦς, ἀλλὰ περὶ τῶν φερόντων εἰς τὴν πειθώ. Καὶ ὁ πολιτικὸς οὐ καθίζει τὴν βουλὴν, ἵνα γνῷ περὶ τῆς εὐνομίας· δεῖ γὰρ καλῶς τὰ πράγματα αὐτὸν διοικῆσαι· ἀλλὰ περὶ τῶν συνιστάντων τὴν εὐνομίαν βουλεύεται.

Καὶ ὅλως πάντες οἱ τοιοῦτοι τὸ μὲν τέλος ὑποτίθενται, ζητοῦσι δὲ πῶς, καὶ διὰ τίνων ἀφίξονται πρὸς αὐτό. Καὶ πολλῶν ὄντων δι' ὧν ἐπιτυχεῖν τοῦ σκοποῦ, ζητοῦσι διὰ τίνος ῥᾷστα καὶ κάλλιστα τὸ τέλος εὑρήσουσιν. Ὅταν δὲ δι' ἑνὸς ἐνδέχεται μόνου, τῷ

Τῷ

τι οὐ τοῦτο ζητοῦσιν, ἀλλὰ τὸν τρόπον πῶς χρησόμεθα αὐτῷ, καὶ τίνι πράξει μεταχειρισάμενοι, διὰ τούτου τοῦ τέλους τευξόμεθα. Καὶ πάλιν ἐκείνην τὴν πρᾶξιν διὰ τίνος ἐργασόμεθα, κἀκεῖνο διὰ τίνος· ἕως ἂν ἔλθωμεν ἐπὶ τὸ ἀμέσως γινόμενον, καὶ οὐ δι' ἄλλου, ὃ ἐστι τὸ πρῶτον αἴτιον τοῦ τέλους, ὅπερ τελευταῖον εὑρίσκεται. Οὕτω γὰρ ὁ βουλευόμενος ἀπὸ τοῦ τέλους ἀρχόμενος, διὰ τῶν πρὸς τὸ τέλος ὁδεύει, μέχρι τοῦ πρώτου αἰτίου τὴν πρᾶξιν πᾶσαν ἀναλύων, καθάπερ οἱ μαθηματικοὶ τὰ διαγράμματα.

Ἔστι τοίνυν ἡ μὲν βούλευσις ζήτησίς τις· πᾶσα δὲ ἡ ζήτησις οὐκ ἔστι βούλευσις. Καί τοι, καθὼς εἴρηται, τρόπον τινὰ ὁμοίως καὶ ὁ βουλευόμενος, καὶ ὁ μαθηματικὸς ἀναλύει. Καὶ ὃ ἔσχατον εὑρίσκεται ἀναλύοντι, τοῦτο ἔργον πρῶτον γίνεται τῷ βουλευομένῳ· καθάπερ ὁ μαθηματικὸς, πρὸς ὃ ἔσχατον ἀφίξεται ἀναλύων, τοῦτο ὑποτεθεὶς, καὶ ἀπὸ τούτου διὰ τῶν ἄλλων ὁδεύων, ἀποδείκνυσι τὸ προκείμενον· καὶ ἄμφω δὲ, εἰ ἀναλύοντες ἀδυνάτοις ἐντύχοιεν, ἀφίστανται τοῦ ζητήματος. Οἷον, εἰ χρημάτων δεήσει πρὸς τὸ ζητούμενον τέλος, ὃ τούτων ἄνευ οὐκ ἔνι γενέσθαι, ἀδύνατον δὲ φανείη ταῦτα πορισθῆναι, περὶ τοῦ τρόπου οὐκ ἔτι ζητοῦσιν, ἀλλ' ἀφίστανται· εἰ δὲ δυνατὸν, ἐγχειροῦσι πράττειν. Ἐκεῖνα δὲ δυνατὰ καλοῦμεν, ἃ δι' ἡ-

modus eſt, tunc non hoc quærunt, ſed rationem potius qua utemur eo, & quid potiſſimum agendo pervenire ad finem poſſimus. Rurſuſque hæc ipſa actio, quo medio, & hoc ipſum quo tandem poſſit effici: donec ad illud perveneiimus quod ſine medio fit, nec per aliud: quæ prima finis cauſa eſt, ad quam poſtremo pervenitur. Ita namque qui deliberat à fine primum incipit, unde ad ea quæ ad finem ſpectant abire pergit: atque ita uſque ad primam cauſam actionem totam reſolvit, ſicut deſignationes ſuas mathematici. Aristot. l 3. c. 3.

Eſt ergo deliberatio, quæſtio aliqua: nec omnis tamen quæſtio, eſt deliberatio. Et tamen aliquatenus, ut jam dictum eſt, ſimiliter cum mathematicis reſolvit quæ deliberat: & quod poſtremum in reſolutione invenitur, hoc primum deliberanti opus eſt. Quemadmodum ad quod ultima reſolutione pervenit mathematicus, hoc ſuppoſito, ab eo tranſit ad reliqua, atque ita confirmat hoc de quo agitur. Sed & uterque cum in aliquid quod fieri non poteſt inciderit, deſiſtit quærere. Sicut, exempli gratia, ſi opus ſit pecuniis, ut ad eum quem quærit finem perveniat aliquis, quod ſine illis eo perveniri non poſſit, illæ autem pecuniæ haberi non queant, de modo quo hoc fieri poſſit non amplius quærunt, ſed abſiſtunt. Sin vero poſſe conſtet fieri, agere id aggrediuntur. Ea autem fieri poſſe putamus, quæ per nos poſſunt

Φαίνεται δ' ἡ μὲν ζήτησις οὐ πᾶσα εἶναι βούλευσις, &c.

Ariſtot. l.3. c.3. poſſunt fieri. Nam & quæ per amicos noſtros, aliquo modo per nos fiunt. Quia & horum cauſa eſt in nobis. Interdum autem (ſicut dictum eſt) de inſtrumentis, interdum vero de uſu eorum deliberamus. Denique, interdum de iis quæ ad finem tendunt, quomodo haberi poſſint, interdum de modo quo uti iis poſſimus, aut etiam per quem.

Ἔοικε δὲ καθάπερ εἴρηται, &c. Ex iis ergo quæ dicta ſunt, apparet de fine ipſo non deliberari. Siquidem in iis quæ in poteſtate ſunt hominis, ut vel fiant vel non fiant, habetur deliberatio. Quæ vero in poteſtate hominis ſunt actiones, ſunt humanæ. Humanæ vero actiones cauſa fiunt alterius. Quæ vero alterius cauſa fiunt, non ſunt fines: quare neque id de quo deliberatur, finis eſt. Jam vero ut ſub deliberationem finis non cadit, ita nec quæ ad finem tendunt, ſi ſint ſingularia. Ut, exempli gratia, an hoc ſit panis, an piſtus ſit aut factus ut oportet. Hæc enim ſenſu dijudicamus, non conſilio aut judicio. Nam qui de his ſemper deliberare volet, in infinitum abibit.

Βουλευτὸν δὲ καὶ προαιρετὸν τὸ αὐτό, &c. Quod ergo ſub deliberationem cadit, hoc eſt: quod autem ſub præelectionem, ſub deliberationem quoque cadit, ſed definitam. Nam quod à conſilio reliquis præpoſitum eſt, præelectione ſubjacere dicitur. Quia poſtquam ſemel id quod fieri oportet reliquis prætulimus, non amplius de re deliberamus, ſed jam definite quomodo agendum ſit novimus. Rei quippe quam

ὑφ' ἡμῶν γένοιτ' ἄν. Τὰ γὰρ διὰ τῶν φίλων τρόπον τινὰ δι' ἡμῶν γίνονται. Ἡ γὰρ αἰτία καὶ τούτων ἐν ἡμῖν ἐστι. Βουλευόμεθα δὲ, καθὼς εἴρηται, ποτὲ μὲν περὶ τῶν ὀργάνων, ποτὲ δὲ περὶ τῆς χρήσεως αὐτῶν, καὶ ἁπλῶς ποτὲ μὲν περὶ τῶν φερόντων εἰς τὸ τέλος, πῶς ἂν ληφθεῖεν· ποτὲ δὲ περὶ τοῦ τρόπου, πῶς χρησόμεθα αὐτοῖς, ἢ διά τινος.

Φαίνεται δὴ ἀπὸ τῶν εἰρημένων, μὴ εἶναι τὸ τέλος βουλευτόν. Βουλευτὰ μὲν γάρ εἰσιν, ὧν κύριος ὁ ἄνθρωπός ἐστι ποιῆσαι ἢ μή. Ὧν δὲ ὁ ἄνθρωπος κύριός ἐστιν, ἐκεῖναι πράξεις ἀνθρώπιναί εἰσιν. Αἱ δὲ ἀνθρώπιναι πράξεις, ἄλλων ἕνεκα γίνονται· ἃ δὲ ἄλλων ἕνεκα γίνονται, οὐκ εἰσὶ τέλη· τὸ βουλευτὸν ἄρα οὐκ ἔστι τέλος. Οὔτε τοίνυν τὸ τέλος ἐστὶ βουλευτὸν, οὔτε τῶν πρὸς τὸ τέλος, ὅσα καθ' ἕκαστα· οἷον εἰ ἄρτος τοῦτο, εἰ πέπεπται, εἰ πεποίηται ὡς δεῖ· ταῦτα γὰρ αἰσθήσει γινώσκομεν, οὐ βουλῇ, καὶ κρίσει. Εἰ δὲ περὶ τούτων ἀεὶ βουλεύσονται, εἰς ἄπειρον ἥξει.

Τὸ μὲν οὖν βουλευτὸν, τοῦτό ἐστι· τὸ δὲ προαιρετόν ἐστι βουλευτὸν ὡρισμένον· τὸ γὰρ ἀπὸ τῆς βουλῆς προκριθὲν, προαιρετὸν καλεῖται. Μετὰ γὰρ τὸ προκεῖναι ὃ δέον ζητεῖσθαι, οὐκ ἔτι περὶ τοῦ πράγματος βουλευόμεθα, ἀλλὰ γινώσκομεν ὡρισμένως ὡς δεῖ ποιεῖν. Ἀνάγομεν

γὰρ

γὰρ τὴν μὲν τοῦ πράγματος τοῦ ζητουμένου ἀρχὴν εἰς τὴν ἡμετέραν βούλησιν· τὴν δὲ ἡμετέραν κρίσιν καὶ βούλησιν, εἰς τὴν προαίρεσιν, ἥτις ἐστὶν ἀρχὴ ἤδη τῆς πράξεως. Τοῦτο δὲ δῆλον καὶ ἀπὸ τῶν ἀρχαίων πολιτειῶν, ἃς Ὅμηρος ἐν ταῖς ῥαψῳδίαις ἐμιμεῖτο· εἰσάγει γὰρ τοὺς βασιλεῖς μετὰ τὴν βουλὴν τὸ προκριθὲν ἀπαγγέλλοντας τῷ δήμῳ, ὥσπερ τῇ προαιρέσει, ὥστε πραχθῆναι. Ἐπεὶ τοίνυν τὸ προαιρετὸν βουλευτόν ἐστιν, ὀρεκτὸν τῶν ἐφ᾽ ἡμῖν δηλονότι, ὃ μετὰ τὴν βουλὴν ὀρεγόμεθα, δυνάμενοι τοῦτο ποιῆσαι, φανερὸν, ὅτι ἡ προαίρεσις εἴη ἂν ὄρεξις βουλευτικὴ τῶν ἐφ᾽ ἡμῖν. Ἐκ τοῦ βουλεύσασθαι γὰρ κρίναντες, ὀρεγόμεθα κατὰ τὴν βούλευσιν. Οὗτος μὲν οὖν ὁ ὁρισμὸς τῆς προαιρέσεως, ὡς ἐν τύπῳ· εἴρηται δὲ καὶ περὶ ποῖά ἐστιν· ὅτι τὰ πρὸς τὸ τέλος.

quærebamus principium ad voluntatem revocamus noſtram: noſtrum vero & judicium & voluntatem, ad præelectionem, quæ principii jam actionis eſt. Quod vel ex antiquis apparet Rebuſpublicis, quas in poematis ſuis Homerus expreſſit. In quibus introducuntur reges, qui demiſſo concilio, populo, quæ optima judicarant eſſe denuntiant, tanquam præelectione, ut agantur. Cum ergo id quod ſub præelectionem cadit, ſit id de quo deliberamus, quo id videlicet quod in poteſtate noſtra eſt appetimus, quodque poſt conſilium appetere ſolemus, cum in poteſtate noſtra ſit ut fiat, ex eo manifeſtum eſt, præelectionem eſſe appetitionem deliberativam eorum quæ in poteſtate ſunt noſtra. Nam cum ex eo quod deliberavimus judicemus, ſecundum deliberationem quoque appetimus. Hæc igitur rudis quædam præelectionis eſt definitio. Sed & in quibus verſetur, jam dictum eſt: iis nimirum quæ ad finem ſpectant. A. i lot. l. 3. c. 3.

ΚΕΦ. έ.

Περὶ βουλήσεως καὶ βουλητοῦ.

Δεῖ δὲ καὶ περὶ τῆς βουλήσεως εἰπεῖν ἤδη. Ὅτι μὲν οὖν ἡ βούλησις τοῦ τέλους ἐστὶν, ἀπὸ τῶν προειρημένων ἐδείχθη. Ἀμφισβητεῖται δὲ πότερον παντὸς τέλους, οὗ τις ἂν ἐθέλοι τυχεῖν, ἡ βούλησίς ἐστι, ἢ τοῦ ἀγαθοῦ μόνου.

Καὶ τοίνυν οἱ μὲν λέγουσιν αὐτὴν τοῦ ἀγαθοῦ μόνου, οἱ δὲ τοῦ δοκοῦντος, ἢ ὄντος δὲ, ἢ μὴ ὄντος.

CAP. V.

De voluntate & eo quod ſub voluntatem cadit.

SEd & de voluntate jam agendum eſt. Voluntatem ergo finis eſſe, ex iis quæ ſupra diximus, apparet. Jam vero utrum cujuſlibet ſit finis, quem aliquis proponit ſibi, an vero boni tantum, quæritur. Ἡ δὲ βούλησις, &c.

Alii ergo dicunt eam boni tantum eſſe, alii ejus, quod videtur, ſive ſit ſive non ſit. Δοκεῖ δὲ τοῖς μὲν, &c.

Ariſtot. l. 3. c. 3. Συμβαίνει δὲ τοῖς μὲν, &c.

Ex eorum autem opinione, qui dicunt ſolum bonum ſub voluntatem cadere, ſequitur, ut malum dicant ſub voluntatẽ non cadere improbi, cum tamen hoc ſub voluntatem ejus cadat.

Συμβαίνει δὲ τοῖς μὲν λέγουσι τὸ ἀγαθὸν, μόνον βουλητὸν εἶναι, τὸ κακὸν λέγειν μὴ εἶναι τῷ μοχθηρῷ βουλητόν· καί τοι βουλητόν ἐστιν αὐτῷ.

Τοῖς δ' αὖ τὸ φαινόμενον, &c.

At vero ex eorum, qui dicunt bonum quod videtur tale, illud eſſe quod ſub voluntatem cadit, nihil ſub voluntatem cadere per ſe, ſed quod in ſingulis videtur tale: quoniam alii aliud bonũ videtur, idemque ſæpenumero huic bonum, illi malum: ac frequenter idem homo contraria eſſe exiſtimat bona, atque ita nihil ſub voluntatem natura ſua cadet & per ſe.

Τοῖς δὲ λέγουσι τὸ δοκοῦν ἀγαθὸν ἐκεῖνο εἶναι τὸ βουλητὸν, οὐ δι' ἑαυτὸ, ἀλλὰ μόνον τὸ ἑκάστῳ δοκοῦν, ἐπειδὴ ἄλλῳ ἄλλο δοκεῖ ἀγαθὸν, καὶ τὸ αὐτὸ τοῖς μὲν ἀγαθὸν δοκεῖ, τοῖς δὲ κακὸν, ἢ ὁ αὐτὸς ἄνθρωπος τὰ ἐναντία ἀγαθὰ νομίζει πολλάκις, καὶ οὕτως οὐδὲν ἔσται βουλητὸν φύσει καὶ δι' ἑαυτό.

Εἰ δὲ ταῦτα μὴ ἀρέσκει, &c.

Quod ſi hæc non videntur veriſimilia, illud dicemus: natura ſua & revera, ſub voluntatem cadere id quod eſt: illud vero quod videtur tantum, aliquatenus & reſpectu ſingulorum hominum voluntati ſubjacere. Nam licet revera bonum non ſit, reſpectu alicujus certe circumſtantiæ, eſt bonum. Sic præmiari natura ſua eſt malum, præmiatori vero, & pro tempore aliquo, bonum. Quare ſimpliciter bonum videtur: quatenus vero bonum eſt, etiam ſub voluntatem cadit. Unde fit interdum, ut quod videtur bonum, aliquatenus etiam ſub voluntatem cadat. Viro igitur bono, id quod revera bonum eſt, ſub voluntatem cadit: improbo vero, quod ſors obtulerit.

Εἰ δὲ ταῦτα οὐ δοκεῖ εἰκότα εἶναι, ἐκεῖνο ἐροῦμεν· βουλητὸν μὲν εἶναι φύσει καὶ ἀληθείᾳ καὶ δι' ἑαυτὸ, τὸ ἀγαθόν· πῇ δὲ καὶ ἑκάστῳ τῶν ἀνθρώπων τὸ δοκοῦν ἀγαθὸν βουλητόν ἐστιν· εἰ γὰρ καὶ τῇ ἀληθείᾳ οὐκ ἔστιν ἀγαθὸν, ἀλλὰ κατά τινα περίστασιν ἀγαθόν ἐστιν, οἷον τὸ λωποδυτεῖν, κακὸν μέν ἐστι τῇ φύσει, τῷ λωποδύτῃ δὲ καὶ κατά τινα καιρὸν, ἀγαθόν· διὰ τοῦτο καὶ δοκεῖ ἀγαθὸν ἁπλῶς εἶναι· καθόσον δὲ ἀγαθὸν, καὶ βουλητόν ἐστιν. Ὥστε συμβαίνει τὸ δοκοῦν ἀγαθὸν πῇ εἶναι βουλητέον. Τῷ μὲν οὖν σπουδαίῳ, τὸ ἀληθῶς ἀγαθὸν βουλητόν ἐστι· τῷ δὲ φαύλῳ, τὸ τυχόν.

Ὥσπερ καὶ ἐπὶ τῶν σωμάτων, &c.

Sicut & in corporibus ſe habet. Iis etenim quibus recte ea valent, ſalubria videntur ea quæ revera ſunt talia, ægris vero, alia. Eodem quoque mo-

Ὥσπερ ἔχει καὶ ἐπὶ τῶν σωμάτων· τοῖς μὲν ὑγιαίνουσι καὶ εὖ ἔχουσι τὰ σώματα, ὑγιεινὰ δοκεῖ τὰ κατ' ἀλήθειαν ὑγιεινά, τοῖς δὲ ἐπινόσοις, ἕτερα· ὁμοίως δὲ καὶ πικρὰ

πικρὰ καὶ γλυκέα, τοῖς μὲν ὑγιαίνουσι τὰ ὄντα πικρὰ τῇ φύσει καὶ γλυκέα, τοιαῦτα δοκεῖ, ὁμοίως καὶ θερμὰ καὶ βαρέα, καὶ τῶν ἄλλων ἕκαστα· τοῖς δὲ νοσοῦσι τὰς αἰσθήσεις, ἑτεροῖα. Οὕτω τοίνυν καὶ ἐπὶ τῶν ἀγαθῶν καὶ ἡδέων καὶ κακῶν· ὁ μὲν σπουδαῖος τὰ ὄντα νομίζει καὶ τὰ ἀληθῆ, ὁ δὲ φαῦλος τἀναντία πολλάκις· καθ' ἑκάστην γὰρ τῶν ψυχικῶν διαθέσεων ἐστί τι ἴδιον ἀγαθὸν, καὶ ἡδύ· καὶ τούτῳ διαφέρει τῶν φαύλων ὁ σπουδαῖος, ὅτι διακρίνει τὸ ἀγαθὸν τοῦ ἡδέος, καὶ τὸ ἀληθὲς ἐν πᾶσιν ὁρᾷ, καθάπερ κανὼν καὶ μέτρον αὐτῶν γινόμενος. Οἱ δὲ φαῦλοι, μὴ δυνάμενοι τὸ ἀληθὲς συνιδεῖν, ὑπὸ τῆς ἡδονῆς ἀπατῶνται, νομίζοντες ἀγαθὰ τὰ ἡδέα, οὐκ ὄντα φύσει ἀγαθά· ὁμοίως δὲ καὶ τὰ λυπηρὰ φεύγουσιν, οὐκ ὄντα φύσει πονηρὰ καὶ φευκτά.

do in amaris & dulcibus, iis quidem qui bene ſe habent, ea quæ natura ſua ſunt amara aut dulcia, videntur quoque talia: ſic & calida & gravia, atque ita in ſingulis. Iis vero quorum ſenſus vitioſi ſunt, alia. Similiter ergo in bonis quoque, jucundis, & malis. Vir quippe bonus, ea quæ revera ſunt talia, eſſe quoque exiſtimat: malus vero contraria ſæpiſſime. Pro unaquaq; namque naturæ conſtitutione, peculiare quid bonum eſt, & jucundum. Quia hoc quoque ab improbis differt vir probus, quod à jucundo diſtinguat bonum, veritatemque in omnibus tanquam norma eorum conſpicetur & regula. Improbi vero, cum veritatem animadvertere nequeant, à voluptate decipiuntur, ut qui bona eſſe exiſtiment, quæ jucunda ſunt, cum natura ſua bona non ſint. Eodemque modo moleſta vitant, cum natura ſua nec mala ſint, nec vitanda. Ariſtot. l.3. c.5.

ΚΕΦ. ς'.

CAP. VI.

Ὅτι καὶ ἡ ἀρετὴ καὶ ἡ κακία ἑκούσιον.

Vtrumque, & virtutem & vitium, ſponte eſſe.

ΕΠεὶ δὲ, τὰ μὲν τέλη βουλυτὰ, τὰ δὲ πρὸς τὰ τέλη, βουλευτὰ καὶ προαιρετὰ, φανερὸν ὅτι αἱ πράξεις αἱ περὶ τὰ βουλευτὰ καὶ προαιρετὰ, κατὰ προαίρεσιν εἶεν ἂν καὶ ἑκούσιοι. Τοιαῦται δὲ αἱ κατ' ἀρετὴν πράξεις· περὶ γὰρ τὰ βουλευτὰ καὶ προαιρετὰ γίνονται. Ἐφ' ἡμῖν ἄρα ἐστὶν ἡ ἀρε-

CUm ergo fines ſub voluntatem, ea vero quæ ad fines ſpectant, ſub deliberationem ac præelectionem cadant, manifeſtum erit eas quoque quæ in utroq; verſantur actiones, ſecundum præelectionē eſſe & ſponte. Tales autem actiones ſunt quæ ex virtute fiunt: quia in iis quæ ſub deliberationē cadunt ac præelectionem verſantur. Quare & Cap. 5. Ὄντος δὲ βουλητοῦ μὲν, τοῦ τέλους, &c.

in

Ariſtot. l. 3. c. 5.

in noſtra poteſtate virtus erit & vitium: quippe cum eæ actiones, quibus virtuti aſſueſcimus, præelectionis ſint, & in poteſtate noſtra. Jam ſi bonum agere in poteſtate noſtra eſt, etiam non agere in poteſtate noſtra erit. In quibus enim non agere, in iis quoq; agere. Et ſi ut bonum agamus, quod bonum eſt, in noſtra poteſtate eſt, etiam ut non agamus, quod turpe eſt, in noſtra poteſtate erit. Et ſi ut malum non agamus, quod bonum eſt, in noſtra poteſtate eſt, etiam ut malum agamus, quod turpe eſt, in noſtra poteſtate erit. Hæc autem ſunt quæ bonos nos efficiunt aut malos. Ex quo apparet, eſſe in poteſtate noſtra, ut probi ſimus aut improbi.

Τὸ δὲ λέγειν ὡς οὐδεὶς ἑκὼν πονηρὸς, &c.

Jam vero, dicere neminem ſponte eſſe improbum, aut invitum felicem, verum ex parte, ex parte rurſus falſum videtur. Alterum enim, neminem invitum fieri felicem, verum eſt, falſum autem eſt prius. Improbitas enim minime eſt invita. Etenim ex præcedentibus ſatis probavimus, hominem actionum ſuarum eſſe principium. Quorum vero penes nos ſunt principia, hæc in poteſtate noſtra ſunt & ſunt ſponte. Ex quo apparet, omnem ſponte eſſe humanam actionem, ſive ea proba ſit ſive improba. Hanc autem ſententiam & privati homines re ipſa confirmant, & legiſlatores. Etenim ſuppliciis eos afficiunt, qui malum agunt, niſi aliunde coacti id faciant, aut per ignorantiam, cujus penes ipſos cauſa eſt. Ut ſi quis ebrius malum quid faciat

τῇ καὶ ἡ κακία· αἱ γὰρ πράξεις, δι' ὧν ἐθιζόμεθα ἑαυτοὺς εἰς τὴν ἀρετὴν, προαιρεταὶ καὶ ἐφ' ἡμῖν εἰσίν. Εἰ δὲ τὸ πράττειν τὸ ἀγαθὸν ἐφ' ἡμῖν, καὶ τὸ μὴ πράττειν ἐφ' ἡμῖν ἐστίν. Ἐν οἷς γὰρ τὸ μὴ, καὶ τὸ ναί. Καὶ εἰ τὸ πράττειν τὸ ἀγαθὸν ἐφ' ἡμῖν ἐστὶν ἀγαθὸν ὂν, καὶ τὸ μὴ πράττειν αὐτὸ αἰσχρὸν ὂν ἐφ' ἡμῖν ἔσται. Καὶ εἰ τὸ μὴ πράττειν τὸ κακὸν ἀγαθὸν ὂν, ἐφ' ἡμῖν ἐστὶ, καὶ τὸ πράττειν τὸ κακὸν, αἰσχρὸν ὂν, ἐφ' ἡμῖν ἐστί. Ταῦτα δὲ ἡμᾶς ἀγαθοὺς ἢ κακοὺς ποιεῖ. Ὥστε ἐφ' ἡμῖν ἐστὶ τὸ ἐπιεικέσιν εἶναι, ἢ πονηροῖς. Τὸ δὲ λέγειν ὡς οὐδεὶς ἑκὼν πονηρὸς, οὐδ' ἄκων μακάριος, τὸ μὲν ἀληθὲς δοκεῖ, τὸ δὲ ψεῦδος. Τὸ μὲν γὰρ, ὡς οὐδεὶς ἂν γένοιτο μακάριος ἄκων, ἀληθές. Ψεῦδος δὲ τὸ πρῶτον· ἡ γὰρ μοχθηρία οὐδαμῶς ἀκούσιον· δέδεικται γὰρ ἀπὸ τῶν εἰρημένων, τὸν ἄνθρωπον ἀρχὴν εἶναι τῶν ἰδίων πράξεων. Ὧν δὲ αἱ ἀρχαὶ ἐν ἡμῖν, ταῦτα ἐφ' ἡμῖν ἐστὶ, καὶ ἑκούσια· ὥστε διὰ τοῦτο πᾶσαν ἀνθρωπίνην πρᾶξιν ἑκούσιον εἶναι· ὁμοίως τήν τε ἀγαθὴν καὶ τὴν πονηράν. Τούτῳ δὲ τῷ λόγῳ καὶ οἱ ἰδιῶται καὶ οἱ νομοθέται μαρτυροῦσι, δι' ὧν πράττουσι. Καὶ γὰρ τιμωροῦνται μὲν καὶ κολάζουσι τοὺς ποιοῦντας τὰ πονηρὰ, ἐὰν μὴ ποιῶσιν ἑτέρωθεν βιασθέντες, ἢ ἀγνοοῦντες ἄγνοιαν, ἧς οὐκ εἰσὶν αἴτιοι αὐτοί. Καθάπερ εἴ τις μεθύων πονηρόν τι ποιήσειεν ἀγνο-

ἀγνοίας· οὗτος γὰρ καὶ τῆς ἀγνοίας αἴτιος ἐγένετο ἑαυτῷ. Τοὺς δὲ τὰ καλὰ πράττοντας τιμῶσιν, ἵνα τοὺς ἄλλους προτρέψωνται μὲν ἐπὶ τὰ ἀγαθὰ, κωλύσωσι δὲ ποιεῖν τὰ φαῦλα. Ὅθεν δῆλον, ὅτι νομίζουσιν ἐφ' ἡμῖν εἶναι, πονηροῖς τε εἶναι καὶ γίνεσθαι ἀγαθοῖς. καὶ διὰ τοῦτο πείθειν τὰ τοιαῦτα ἐπιχειροῦσιν. Ἃ γὰρ μήτε ἐφ' ἡμῖν ἐστὶ, μήτε ἑκούσια, οὐδεὶς προτρέπεται πράττειν νοῦν ἔχων· οὐδεὶς γὰρ πείθει τινὰ μὴ θερμαίνεσθαι, ἢ ἀλγεῖν, ἢ πεινῆν, ἢ ἄλλο ὁτιοῦν τῶν τοιούτων, ὧν οὐκ ἐσμὲν αὐτοὶ κύριοι· οὐ γὰρ δυνατὸν γενέσθαι τὸ πλέον ἀπὸ τῆς παρακλήσεως, οὐδ' ἂν αὐτοὶ οἱ παρακαλούμενοι σφόδρα βουλόμεθα· οὐδὲν γὰρ ἧττον πεισόμεθα αὐτά· ὁμοίως δὲ καὶ εἴ τις ἄκων ἀγνοεῖ μὴ δυνάμενος εἰδέναι, τοῦτον οὐδεὶς προτρέψεται δυνηθῆναι εἰδέναι· οὐ γάρ ἐστιν ἐπ' αὐτῷ εἰδέναι καὶ ἀγνοεῖν· ὃς δὲ αἴτιός ἐστιν ἑαυτῷ τῆς ἀγνοίας, δι' ἧς ἐποίησε τὸ πονηρὸν, κολάζεται· καὶ γὰρ ἑκουσίως φαίνεται ἀγνοῶν, ὅτι ἐπ' αὐτῷ ἐστὶν εἰδέναι καὶ ἀγνοεῖν. Καθάπερ ὁ μεθύων, ἢ ὁ δι' ἀμέλειαν ἀγνοῶν τὸν νόμον, ὃν ἐδύνατο ῥᾳδίως μαθεῖν· κἀκεῖνος γὰρ αἴτιός ἐστιν ἑαυτῷ καὶ τῆς ἀγνοίας καὶ τῆς μοχθηρίας, καὶ ἑκὼν ἐστὶ μοχθηρός. Ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων, ἃ δυνατὸν μαθεῖν, οὐ γινώσκοντες ἁμαρτάνομεν. Καὶ τούτων ἕνεκα δίδομεν δίκην τοῖς νομοθέταις· κύριοι γὰρ ἐσ-

ignarus. Hujus enim penes ipſum cauſa ignorantiæ eſt. Eos vero qui bonum agunt, honore afficiunt: cum ut alios ad bene agendum impellant, tum ut à malis actionibus avertant. Unde manifeſtum eſt, exiſtimare eos, eſſe in poteſtate noſtra, vel ut improbi vel ut ſimus probi. Ac propterea perſuadere hoc iis conantur. Quæ namque nec in poteſtate ſunt noſtra, neque ſunt ſponte, nemo, qui modo non ſit demens, agere compellit aliquem. Nec enim quiſquam perſuadere poteſt aliquem ut non caleſcat, aut frigeat, aut etiam eſuriat, vel aliud quid tale, quod in poteſtate non eſt noſtra. Nihil enim hujuſmodi proficiet adhortatio, quamvis admodum hoc velit qui admonetur. Nec enim minus illa nobis evenient. Similiter ſi quid invitus aliquis ignorat, quod ſcire non poteſt, hunc nemo adhortabitur, ut poſſit ſcire. Quia in poteſtate non eſt ejus ut aut ſciat aut ignoret. Qui vero ignorantiæ ſibi cauſa eſt, unde natum eſt illud malum, ſupplicio afficitur. Sponte enim ignorare videtur, quod in poteſtate ſua habet ut vel ſciat vel ignoret. Sicut qui ebrius eſt, aut per incuriam ignorat legem, quam ſcire facile poterat. Nam & ille ignorantiæ ſibi illius & improbitatis auctor eſt, volenſque eſt improbus. Sic & in aliis quæ ſcire poteramus, ſi ignoremus ea, peccare dicimur. Ac propterea pœnas legiſlatoribus damus. Etenim in noſtra poteſtate eſt non ignorare

Ariſtot. l.3. c.5.

rare

Ariſtot. L.3. c.5.

rare illa, quia in poteſtate noſtra eſt vitare negligentiam, operamque in eorum inveſtigatione ponere.

Αλλ' ἴσως τοιοῦτός τίς ἐστιν ὥστε μὴ ἐπιμεληθῆναι, &c

Quod ſi aliquis ſit talis, ut negligentiam hanc vitare nequeat, non tamen propterea pœnam minus ſubibit: nam vel propterea ſupplicio afficietur, quod illius quoque negligentiæ, quam vitare amplius non poteſt, ipſe ſibi cauſa ſit, ad quam incontinenter diſſoluteque vivendo pervenit. Qua vivendi ratione, improbi plerique injuſtique evadunt ac intemperantes. Nec hac tantum, ſed & quoties non hoc quidem propoſitum habent, ut male agant, ſed cum diſſolutam agunt vitam luxuque diffluunt. Ab hac enim vivendi ratione, eo deveniunt, ut male agant. Semper enim agendo creſcit, ut dictum eſt, conſuetudo, qua mali evadimus aut boni, aliumve quemcunque conſequimur habitum. Sicut videmus eos qui in gymnicis volunt excellere certaminibus, aut aliquam quamcunque actionem exercere aut certamen, perpetuo in eorum actione verſari & exercitio, quibus eo perventuros ſe exiſtimant. Neque quiſquam ignorare poteſt ipſas actiones eſſe, per quas ad habitum virtutis deducamur aut vitii, niſi qui plane ſit ſtupidus. Quod ſi hoc planum eſt omnibus, manifeſtum quoque eſt, omnes de actionibus ſuis judicare poſſe & operibus, utrum ad virtutem referantur, an vero ad vitium. Cum vero ſciant quæ agunt, ſponte quoque aut boni

μὲν τοῦ μὴ ἀγνοεῖν, ὅτι ἐφ' ἡμῖν ἐστὶ μὴ ἀμελεῖν, ἀλλὰ ἐπιμεληθῆναι μαθεῖν.

Εἰ δέ τις καὶ τοιοῦτός ἐστιν, οἷος μὴ δύνασθαι ἐπιμεληθῆναι, οὐ διὰ τοῦτο φεύξεται τὴν δίκην· κολασθήσεται μὲν οὖν διὰ τοῦτο· ὅτι καὶ τοῦ μὴ δύνασθαι ἐπιμεληθῆναι, αὐτὸς ἑαυτῷ αἴτιος ἐγένετο, ἀκρατῶς καὶ ἀνειμένως διαιτώμενος, ἀφ' ἧς διαίτης καὶ οἱ πλείους μοχθηροὶ γίνονται, καὶ ἄδικοι, καὶ ἀκόλαστοι. Καὶ γὰρ γίνονται μὲν καὶ ἀπὸ τῶν ἀδίκων καὶ ἀκολάστων πράξεων ἐθιζόμενοι, ἄδικοι καὶ ἀκόλαστοι· γίνονται δὲ καὶ ὅταν αὐτὸ μὲν μὴ προκείμενον ἔχουσι τὸ κακουργεῖν, ζῶσι δὲ βίον ἀνειμένον, καὶ τρυφῇ χαίρουσιν. Ἀπὸ ταύτης γὰρ τῆς διαίτης καὶ ἐπὶ τὸ κακουργεῖν ἔρχονται· ἀεὶ γὰρ ἀπὸ τῶν ἐνεργειῶν ἐθιζόμενοι, καθὼς προείρηται, πονηροὶ ἢ ἀγαθοὶ γινόμεθα, ἢ ἄλλην τινὰ ἕξιν λαμβάνομεν· καθάπερ ὁρῶμεν καὶ τοὺς ἐθέλοντας γυμνικοὺς γενέσθαι, ἢ ἄλλην τινὰ πρᾶξιν ἢ ἀγωνίαν ἀσκῆσαι, ἐνεργοῦντες καὶ γυμναζομένους ἐν πράξεσι, δι' ὧν εἰς ἐκεῖνα ἀφίξονται. Καὶ οὐδεὶς ἀγνοεῖ, ὅτι ἀπὸ τῶν ἐνεργειῶν εἰς ἕξιν ἐρχόμεθα κακιῶν ἢ ἀρετῶν, εἰ μὴ λίαν εἴη ἀναίσθητος. Εἰ δὲ τοῦτο δῆλον ἅπασι, φανερόν ἐστιν ὅτι πάντες γινώσκουσι τὰ ἑαυτῶν ἔργα καὶ τὰς πράξεις, εἴτε πρὸς κακίαν φέρουσιν, εἴτε πρὸς ἀρετήν· εἰδότες δὲ ἃ ποιοῦσιν, ἑκόντες εἰσὶν ἢ ἀγαθοὶ, ἢ πονηροί.

νιεσί. Πάνυ γάρ ἐστιν ἄλογον, τὸν ἀδικοῦντα λέγειν ὅτι οὐ βούλεται ἄδικος εἶναι, ἢ τὸν ἀκόλαστον ὅτι οὐ βούλεται ἀκολασταίνειν. Εἰ γὰρ καὶ βουλόμενος δίκαιος καὶ σώφρων γενέσθαι, οὐ δύναται τῷ μακρῷ ἔθει κρατούμενος, καὶ οὕτως ἑκὼν ἐστι πονηρός. Καὶ γὰρ καὶ ὁ διαίτῃ διεφθαρμένῃ χρώμενος, καὶ ἀπειθῶν τοῖς ἰατροῖς, καὶ διὰ τοῦτο νοσήσας, ἑκὼν μὲν νοσεῖ· καὶ γὰρ ἐπ' αὐτῷ ἦν ἡ δίαιτα· βουλόμενος δὲ ἀπαλλαγῆναι, οὐ δύναται. Πρὶν μὲν γὰρ νοσῆσαι, ἐπ' αὐτῷ ἦν τὴν ὑγίειαν φυλάττειν. Προεμένῳ δὲ διὰ τῆς ἀκρατοῦς διαίτης, οὐκ ἔστιν ἐπ' αὐτῷ τὴν ὑγίειαν ἐπαναγαγεῖν· ὥσπερ λίθον μὲν τις δύναται κατὰ πελάγους ἀφεῖναι, ἀφεὶς δὲ, οὐ δύναται πάλιν ἐπαναλαβεῖν· ἀλλ' ὅμως ἑκὼν ἔρριψε τὸν λίθον. Ἐπ' αὐτῷ γὰρ ἦν ῥίψαι, καὶ μή. Οὕτω τοίνυν καὶ ἐπὶ τοῦ ἀδίκου καὶ τοῦ ἀκολάστου· πρὶν μὲν γὰρ πονηροὺς γενέσθαι καὶ εἰς ταύτην τὴν ἕξιν ἐλθεῖν, ἐξῆν μὴ γενέσθαι· γενόμενοι δὲ οὐ δύνανται μὴ εἶναι. Οὐ μόνον δὲ αἱ ψυχικαὶ κακίαι ἑκούσιοί εἰσιν, ἀλλ' ἐνίοις τῶν ἀνθρώπων καί τινες σωματικαὶ ἑκουσίως γίνονται, δι' ἃς καὶ ἐπιτιμῶνται. Τοῖς μὲν γὰρ κατὰ φύσιν αἰσχροῖς οὐδεὶς ἐπιτιμᾷ νοῦν ἔχων· τοῖς δὲ δι' ἀγυμνασίαν, καὶ ἀμέλειαν, ἢ μοχθηρίαν τὰ σώματα διαφθείρασι, τούτοις μεμφόμεθα· ὅς μὲν γὰρ ἐπὶ

ſunt, aut mali. Quippe cum valde abſurdum ſit, eum qui injuſte agit, dicere ſe injuſtum eſſe nolle, aut qui intemperanter agit intemperantem eſſe nolle. Etenim licet nequeat ſi velit, poſtquam diuturna illa jam victus eſt conſuetudine, aut juſtus eſſe aut temperans, nihilominus tamen ſponte eſt improbus. Nam & qui victu utitur corrupto, neq; morem gerit medicis, propterea que æger eſt, ſponte certe æger eſt. Nam in poteſtate ejus erat, ut vel hoc modo vel illo viveret. Et cum defungi morbo velit, jam non poteſt. Nam priuſquam quidem æger eſſet, in poteſtate ejus erat, ut valetudinem tueretur ſuam. Cum vero ſemel per illam victus incontinentiam projecit eam, non eſt in poteſtate ejus ut priſtinam ſibi reſtituat valetudinem. Sicut, exempli gratia, lapidem poteſt aliquis in mare projicere, ubi vero jam emiſit, non poteſt reſumere. Et tamen ſponte emiſit lapidem: quia in ejus poteſtate erat, ut aut emitteret, aut non. Eodem ergo modo in injuſto quoque & intemperante. Priuſquam enim ſunt vitioſi, & adhunc pervenere habitum, poterant non eſſe: cum vero eſſe cœperunt, non poſſunt non eſſe. Neque vero animi tantum ſponte fiunt vitioſitates, ſed quibuſdam hominibus nonnullæ corporis quoque eveniunt ſponte: quarum cauſa reprehenduntur nihilominus. Ea quippe quæ à natura ſunt turpia, nemo reprehendit, niſi qui mente caret. Ea vero quæ per ignaviam aut negligentiam aut aliam improbitatem corpora corrumpunt, ſolemus repre-

Ariſtot. l. 3. c. 5.

Ariſtot. l.3.c.5. reprehendere. Qui enim à natura cæcus aut morbo aut ab ictu eſt aliquo, ei nemo hoc exprobraverit, ſed potius miſericordia proſequitur: qui vero ex vinolentia aut alia improbitate aliqua corrupit oculos, hunc & improbare ſolemus & reprehendere. Unde apparet ex corporis ipſius vitiis, ea quæ ſponte & in poteſtate ſunt noſtra, reprehendi, quæ vero invita, neutiquam. Quare eodem quoque modo erit in aliis. Nam quæ punimus, quorumque cauſa ſupplicia exigimus, omnia ſunt ſponte, & in poteſtate noſtra: quæ vero non ſunt talia, ſunt invita. Quare ſponte eſt vitioſitas.

φύσεως τυφλὸς, ἢ ὑπὸ νόσου, ἢ ὑπὸ πληγῆς, τοῦτον οὐκ ὀνειδίζομεν, ἀλλὰ μᾶλλον ἐλεοῦμεν· ὁ δὲ ἐξ οἰνοφλυγίας, ἢ ἄλλης τινὸς μοχθηρίας διέφθειρε τοὺς ὀφθαλμοὺς, τούτῳ μεμφόμεθα, καὶ ἐπιτιμῶμεν. Φαίνεται τοίνυν, ὅτι τῶν σωματικῶν κακιῶν αἱ μὲν ἑκούσιοι καὶ ἐφ' ἡμῖν ἐπιτιμῶνται· αἱ δὲ ἀκούσιοι οὐδαμῶς· ὥστε καὶ ἐπὶ τῶν ἄλλων οὕτως ἂν ἔχοι. Ἃς μὲν γὰρ κολάζομεν, καὶ ὑπὲρ ὧν αἱ τιμωρίαι, πᾶσαί εἰσιν ἑκούσιοι καὶ ἐφ' ἡμῖν, αἱ δὲ μὴ τοιαῦται, ἀκούσιοι. Ἡ κακία ἄρα ἑκούσιον.

Εἰ δέ τις λέγοι ὅτι πάντες ἐφίενται τοῦ φαινομένου ἀγαθοῦ, &c. Videtur autem cum recta hoc pugnare ratione: quia ex eo fit vitium, quod aliquis finem ſibi in agendo proponat improbum. Id autem ex eo proficiſcitur, quia bonum quis eſſe exiſtimat quod agit. Judicare autem de bono aut malo, non eſt in poteſtate noſtra. Omnes enim id appetimus, quod bonum videtur. Hæc autem imaginatio in noſtra non eſt poteſtate: quare nec vitium eſt voluntarium.

Δοκεῖ δὲ τῷ λόγῳ ἐκεῖνο ἐναντιοῦσθαι· ὅτι ἡ μὲν κακία γίνεται ἀπὸ τοῦ προθέναι τοῖς ἔργοις τέλος πονηρόν· τοῦτο δὲ γίνεται ἀπὸ τοῦ νομίζειν, ὅτι ἀγαθόν ἐστι· τὸ δὲ νομίζειν τὸ ἀγαθὸν, ἢ τοὐναντίον, οὐκ ἔστιν ἐφ' ἡμῖν. Πάντες μὲν γὰρ ἐφιέμεθα τοῦ φαινομένου ἀγαθοῦ, τῆς δὲ φαντασίας ταύτης οὐκ ἐσμὲν αὐτοὶ κύριοι· ἡ ἄρα κακία οὐκ ἔστιν ἑκούσιον.

Ad illud reſpondemus, in virtute quoque hæc ita ſe habere, cum tamen ſit voluntaria. Nemo enim invitus fit felix. Si enim à vitioſo habitu proficiſcitur hæc boni ignorantia, & à bono habitu boni cognitio, manifeſtum quoque eſt, nos ſponte bonos quoque fieri & malos: quia hujus habitus nobis cauſa ſumus. Quod ſi finis cognitio non eſt ab habitu, nec ſub præelectionem quidem cadet, ſed

Πρὸς δὴ τοῦτο, ἐκεῖνο λέγομεν, ὅτι καὶ ἐπὶ τῆς ἀρετῆς ταῦτα ὁμοίως ἔχει· ἀλλ' ἑκούσιόν ἐστιν. Οὐδεὶς γὰρ ἄκων μακάριος. Εἰ μὲν γὰρ ἀπὸ τῆς ἕξεως τῆς πονηρᾶς ἡ ἄγνοια γίνεται τοῦ ἀγαθοῦ· καὶ ἀπὸ τῆς ἀγαθῆς ἡ γνῶσις τοῦ ἀγαθοῦ, φανερὸν ὅτι ἑκουσίως καὶ ἀγαθοὶ καὶ πονηροὶ γινόμεθα· τῆς γὰρ ἕξεως ἡμεῖς ἡμῖν αὐτοῖς αἴτιοι. Εἰ δὲ ἡ γνῶσις τοῦ τέλους, οὐκ ἔστιν ἀπὸ τῆς ἕξεως, οὐδ' ἔστι προαιρε-

τὴ

τῇ, ἀλλ' ὥσπερ ὄψις ἀγαθή, ἢ ἄλλό τι τῶν φυσικῶν ἐστὶν, ὅπερ μὴ ἔχοντα οὐκ ἔνι λαβεῖν ἑτέρωθεν· οὐδὲ αὐτόν τινα κτήσασθαι οἴκοθεν, ἀλλὰ φῦναι ἀνάγκη μετὰ τῆς τοιαύτης κρίσεως· εἰ μέλλει κρίνειν καλῶς, ὃ ἐστιν ἡ τελεία καὶ ἀληθινὴ εὐφυΐα. Εἰ δὴ ταῦτά ἐστιν ἀληθῆ, καὶ οὕτως ὁμοίως τῇ ἀρετῇ καὶ ἡ κακία ἑκούσιόν ἐστιν· ἡ γὰρ γνῶσις τοῦ τέλους ὡσαύτως ἐστὶ καὶ τῷ φαύλῳ καὶ τῷ σπουδαίῳ, εἴτε ἀπὸ τῆς ἕξεως γινώσκεται ἢ ἀγνοεῖται, ἢ φύσει, καθὼς εἴρηται. Εἰ δὲ τὴν ἀρετὴν ἑκούσιον λέγομεν, ὅτι τὸ μὲν τέλος φύσει ἐστὶ καὶ γινώσκεται τῷ σπουδαίῳ, τὰ δὲ πρὸς τὸ τέλος ἐπ' αὐτῷ ἑλέσθαι καὶ μή, τί κωλύει καὶ τὴν κακίαν διὰ ταῦτα ἑκούσιον εἶναι; καὶ γὰρ καὶ τὰ πρὸς τὸ τέλος ἄγοντα φαῦλον, ἐφ' ἡμῖν ἑλέσθαι καὶ μή· εἰ δὲ πάλιν ἑκούσιόν ἐστιν ἡ ἀρετή, ὅτι καὶ ἡ γνῶσις τοῦ τέλους ἀπὸ τῶν ἕξεων γίνεται τῶν ἀγαθῶν, ὧν αὐτοί πως συναίτιοί ἐσμεν, εἴη ἂν καὶ ἡ κακία διὰ τοῦτο ἑκούσιον, ὅτι ἀπὸ τῶν πονηρῶν ἕξεων ἀγνοεῖται τὸ τέλος.

ut viſus bonus erit, aut tale quid, quod natura nobis dedit: quæ niſi quis habeat, ne aliunde quidem accipiet, nec ipſe ſubminiſtrabit ſibi; ſed naſci eum ejuſmodi oportebit judicio, ſi recte judicare velit: quæ vera erit & conſummata naturæ perfectio. Quod ſi hæc vera ſunt, una cum virtute ſponte quoque erit vitioſitas: quia finis cognitio, eodem modo penes probum eſt & improbum, ſive ea ab habitu cognoſcitur aut ignoratur, ſive à natura, ut eſt dictum. Quod ſi virtutem ſponte eſſe dicimus, quia finis natura eſt & cognoſcitur à viro bono, quæ vero ad finem ſpectant, vel eligi ab eo poſſunt vel nor, quid vetat propter hæc ipſa ſponte quoque eſſe vitium? Nam & quæ ad finem deducunt malum, ſunt in poteſtate noſtra, ut vel eligantur vel non. Quod ſi rurſus ſponte eſt virtus, quia cognitio finis fit ab habitu bono, cujus ex parte cauſa ſumus, etiam ſponte erit propterea vitium, quia improbos habitus ſequitur finis ignorantia. Ariſtot. l. 3. c. 5.

ΚΕΦ. ζ'.

Ὅτι οὐχ ὁμοίως ἑκούσιά εἰσιν αἱ πράξεις, καὶ αἱ ἕξεις. Καὶ περὶ ἀνδρείας.

CAP. VII.

Non eodem modo ſponte eſſe actiones & habitus. Item de fortitudine.

Τί μὲν οὖν ἐστιν ἡ ἀρετή; καθόλου καὶ ὁλοσχερῶς εἴρηται, ὅτι μεσότης ἐστὶ δύο κακιῶν, τῆς μὲν ἐλλειπτι-

Quid ergo eſt virtus? In genere & ſummatim quaſi, jam dictum eſt, mediocritatem eſſe duorum malorum in medio, quorum Κοινῇ μὲν οὖν περὶ τῶν ἀρετῶν εἴρηται ἡμῖν, &c.

Ariſt. t. l. 3. c. 6.

quorum ab altero deficit, alterum vero excedit: Deinde eſſe habitum: & à quibus gignatur. Quin etiam, à quibus functionibus vel actionibus ea fit, has ipſas poſtquam virtutem conſecuti ſumus, fieri à nobis. Sed & illud oſtendimus, in poteſtate eam noſtra eſſe, & ſponte eſſe. Nunc illud dicendum eſt, non ſimiliter actionem eſſe ſponte, & habitum (nam utraque ſponte eſſe oſtendimus) actiones enim ita agimus, ut ſigillatim eas noſcamus: ac propterea penes nos eſt ſimpliciter, ut vel agamus eas vel non agamus, à principio eorum uſque ad finem. Atque ita ſponte ſunt proprie. At vero habitus non cognoſcitur omnino. Nec enim per ſe cognoſcitur, ſed per eas actiones ex quibus fit ille. Actiones enim facile cognoſcimus, ex quibus conſequimur habitum, habitum autem non item. Quemadmodum in morbis corporum: victum enim quo utimur & cognoſcimus, & adhibemus, morbus autem ſequitur occulte. Habitus ergo ſponte eſſe dicitur, quia eæ à quibus naſcitur ſponte ſunt actionum functiones. Has enim non agere poſſumus.

Cap. 6. Διαλαβόντες δὲ περὶ ἑκάστης, &c.

Jam autem & de habitibus dicendum erit ſigillatim: quid nimirum ſint ſinguli, & in quibus animi verſentur affectibus, tum quo pacto fiant. Ex quibus etiam manifeſtum erit quod ſint. Ac primum quidem de fortitudine agemus.

Ὅτι μὲν οὖν μεσότης, &c.

Eam autem in metu verſari & fiducia, ita ut mediocritas ſit earum, quæ timiditatem quidem

σαν, τὴν δὲ ὑπερβάλλουσαν, καὶ ὅτι ἕξις ἐστίν· ἔτι δὲ εἴρηται καὶ ὑπὸ τίνων γίνεται, καὶ ὅτι ὑφ' ὧν ἐνεργειῶν καὶ πράξεων γίνεται, ταύτας πράττομεν μετὰ τὸ κτήσασθαι τὴν ἀρετήν· ἐδείχθη δὲ ὅτι καὶ ἐφ' ἡμῖν ἐστὶ, καὶ ἑκούσιος. νῦν δ' εἴη ῥητέον, ὅτι οὐχ ὁμοίως ἐστὶν ἑκούσιον ἡ πρᾶξις καὶ ἡ ἕξις. Καὶ γὰρ ἐδείχθη καὶ ἄμφω ἑκούσια εἶναι). Τὰς μὲν οὖν πράξεις ποιοῦμεν, γινώσκοντες κατὰ μέρος, καὶ διὰ τοῦτο κύριοι ἐσμὲν καθάπαξ αὐτὴν ποιῆσαι ἢ μὴ ποιῆσαι, ἀπ' ἀρχῆς αὐτῶν μέχρι τέλους· καὶ εἰσὶν ἑκούσιοι κυρίως. Ἡ δὲ ἕξις οὐ γινώσκεται παντελῶς. Γνώριμος γὰρ ἡ ἕξις οὐ δι' ἑαυτήν ἐστιν, ἀλλὰ διὰ τὰς πράξεις, ἐξ ὧν γίνεται. Τὰς μὲν γὰρ πράξεις σφόδρα γινώσκομεν ὅθεν τὴν ἕξιν λαμβάνομεν, τὴν δὲ ἕξιν οὐκ ἔτι. Καθάπερ καὶ ἐπὶ τῶν ἀῤῥωστιῶν γίνεται· τὴν μὲν γὰρ δίαιταν γινώσκοντες αἱρούμεθα, ἡ δὲ ἀῤῥωστία λεληθότως ἐπακολουθεῖ. Λέγεται τοίνυν ἕξις ἑκούσιος, διὰ τὸ τὰς ἐνεργείας ἐξ ὧν γίνεται, ἑκουσίους εἶναι, ταύτας γὰρ δυνατὸν ἦν μὴ ποιῆσαι.

Δεῖ δὲ ἤδη καὶ περὶ τῶν ἕξεων κατὰ μέρος διεξελθεῖν, τί τέ ἐστιν ἑκάστη, καὶ περὶ ποῖα πάθη τῆς ψυχῆς, καὶ πῶς γίνεται· ἅμα δὲ ἀπὸ τούτων δῆλον ἔσται καὶ πόσαι εἰσί. Καὶ πρῶτον περὶ τῆς ἀνδρείας διαληψόμεθα.

Ὅτι μὲν οὖν περὶ φόβους καὶ θάῤῥη ἐστὶ, καὶ ὅτι μεσότης τούτων ἐστὶν ὑπερβάλλουσα μὲν τὴν

τὴν δειλίαν, ἐλλείπουσα δὲ τῆς θρασύτητος, διὰ τῶν προειρημένων ἐφάνη. Ῥητέον δὲ, τίσιν ἀντίκειται.

Ὁ μὲν οὖν φόβος περὶ τὰ φοβερὰ λέγεται, καὶ τούτοις ἀντίκειται· φοβερὰ δέ εἰσι καθόλου πάντα τὰ δοκοῦντα κακά· διὸ καὶ τὸν φόβον ὁριζόμενοι φασὶν εἶναι προσδοκίαν κακοῦ. Φοβούμεθα οὖν πάντα τὰ κακὰ, οἷον ἀδοξίαν, πενίαν, νόσον, ἀφιλίαν, θάνατον· ἡ δὲ ἀνδρεία οὐ τούτοις πᾶσιν ἀντίκειται· οὐ γὰρ περὶ πάντα ὁ ἀνδρεῖός ἐστι. Φοβεῖται γὰρ ὁ ἀνδρεῖος, ἃ δεῖ φοβεῖσθαι: οὐ πάντα δὲ ταῦτα δέον φοβεῖσθαι, ἀλλ' ἔνια· οἷον ἀδοξίαν φοβεῖσθαι μὲν καλὸν, μὴ φοβεῖσθαι δὲ, αἰσχρόν· τὸ μὲν γὰρ αἰδήμονός ἐστιν ἀνθρώπου, τὸ δὲ ἀναισχύντου, εἰ καὶ ἀνδρεῖος ὁ τοιοῦτος καλεῖται κατὰ μεταφορὰν, ὅτι ἔχει τι τοῦ ἀνδρείου, τὸ μὴ πάντα φοβεῖσθαι δηλονότι. Ἄφοβος γάρ τις ἐστι καὶ ὁ ἀνδρεῖος. Πενίαν δὲ καὶ νόσον ἴσως οὐ δεῖ φοβεῖσθαι, καὶ πάντα ὅσα μὴ ἀφ' ἡμῶν αὐτῶν ἡμῖν συμβαίνουσιν, ἢ διὰ κακίαν. ὥσπερ δὲ ὁ μὴ φοβούμενος ἃ δέον φοβεῖσθαι, οὐκ ἔστιν ἀνδρεῖος, εἰ μὴ κατὰ μεταφορὰν, οὕτως οὐδὲ ὁ μὴ φοβούμενος ἃ μὴ δεῖ φοβεῖσθαι, ἀνδρεῖός ἐστιν, ἀλλὰ καθ' ὁμοιότητα μόνον λέγεται ἀνδρεῖος· καὶ γὰρ πολλοὶ ταῦτα μὴ φοβούμενοι, ἀλλὰ ἐλευθέριοι ὄντες καὶ πρὸς χρημάτων ἀποβολὴν εὐθαρ-

excedit, ab audacia autem deficitur, ex ſuperioribus ſatis maniſeſtum fuit. Jam vero dicendum eſt, quibus opponatur. Ariſtot. l. 3. c. 6.

Metus ergo eorum quæ metuuntur dicitur reſpectu, quibus etiam opponitur. Ea autem ſunt quæcunque mala nobis videntur in univerſum omnia. Quare qui metum definiunt, volunt eum eſſe expectationem mali. Mala ergo metuimus omnia. Ut exempli gratia, infamiam, paupertatem, morbum, amicorum penuriam, mortem. Porro non iis omnibus fortitudo opponitur: nec enim in omnibus homo fortis verſatur. Quæ enim metui debent metuit vir fortis: atqui non metui debent hæc omnia, ſed quædam tantum. Ut, exempli gratia, infamiam metuere pulchrum, non metuere turpe eſt, alterum namque pudentis, alterum vero impudentis eſt hominis. Neque refert, quod fortis dicatur metaphorice homo ejuſmodi, quia aliquid commune cum forti habet homine: quod non omnia metuat videlicet. Sicut fortis quoque metu vacat. Paupertatem vero forte aut morbum, vel ſi quæ ſunt ejuſmodi quæ ſine culpa noſtra eveniunt, aut ſine vitio aliquo noſtro, non oportet metuere. Jam ſicut qui non metuit ea quæ metui oportet, non eſt fortis, niſi forte metaphorice ita dicatur: ſic nec ille qui non metuit quæ metui non oportet, fortis eſt, ſed ex ſimilitudine fortis ſolummodo dicitur. Quippe cum multi qui hæc aut ejuſmodi non metuunt, ſed liberales ſunt, fortique animo

Φοβούμεθα δὲ δηλονότι τὰ φοβερὰ, &c.

Ariſtot. l. 3. c. 6.

familiaris rei jacturam ferre poſſunt, meticuloſi nihilominus in bellicis ſunt periculis. Sicut autem qui metuit ea quæ non metuere oportet, non eſt fortis, ita nec qui non metuit quæ metuere oportet, fortis eſt: ut qui, exempli gratia, contumeliam in uxore metuit aut liberis, non eſt timidus, ſicut qui non metuit non eſt fortis. Et ſi quis cum flagellandus eſt, non metuit, ſed confidit. Hi quippe cum quæ metui oportet non metuant, fortes quoque non ſunt. Eſt itaque fortis, qui ea quæ maxima ſunt in periculis, non metuit: ſi quidem nemo adverſorum tolerantior eſt, quam fortis. Non eodem tamen ſemper modo. Quædam namque pericula, propter eam quâ inferuntur rationem, etiam forti terribilia ſunt. Ut, exempli gratia, mors omnium malorum extremum eſſe videtur, quippe cum terminus vitæ ſit, neque qui jam mortuus eſt, bonus eſſe poſſit aut malus. Ac propterea maximum quoque malum videtur & bonis & improbis.

Δόξει δ' ἂν οὐδὲ περὶ θάνατον τὸν ἐν παντί, &c.

Jam vero quæ à turpi cauſa eſt, terribilis eſt forti: quæ vero ab honeſtiſſima aliqua, ut quæ in bello contingit, minime, ſed valde expetenda. Quæ in morbo autem vel in mari, quatenus non ab illuſtri aliqua cauſa infertur, terribilis quoque forti erit: quatenus vero moleſta eſt, minime. Quare fortis erit, qui aut pulchram mortem non metuit, aut certe non turpem: quique parato animo quæcunq; mortem inferunt ſubitoque in-

σῶς ἔχοντες, δειλοί εἰσιν ἐν τοῖς πολεμικοῖς κινδύνοις. Ὥσπερ δὲ ὁ φοβούμενος ἃ δεῖ μὴ φοβεῖσθαι, οὐκ ἔστιν ἀνδρεῖος, οὕτως οὐδὲ ὁ μὴ φοβούμενος ἃ δεῖ φοβεῖσθαι, ἀνδρεῖός ἐστιν· οἷον τὴν περὶ παῖδας ἢ γυναῖκα ὕβριν ὁ μὲν φοβούμενος, οὐκ ἔστι δειλός· ὁ δὲ μὴ φοβούμενος, οὐκ ἔστιν ἀνδρεῖος. Ἢ ἐάν τις μέλλων μαστιγοῦσθαι οὐ φοβεῖται, ἀλλὰ θαρρεῖ. Οὗτοι γὰρ ἃ δεῖ φοβεῖσθαι μὴ φοβούμενοι, οὐκ εἰσὶν ἀνδρεῖοι. Ἔστι τοίνυν ἀνδρεῖος ὁ τὰ μέγιστα μὲν τῶν δεινῶν μὴ φοβούμενος· οὐδεὶς γὰρ καρτερικώτερος τοῦ ἀνδρείου, οὐκ ἀεὶ δὲ ὁμοίως· τινὰ γὰρ τῶν δεινῶν διὰ τὸν τρόπον καθ' ὃν ἐπάγονται, φοβερά εἰσι καὶ τῷ ἀνδρείῳ· οἷον ὁ θάνατος μὲν δοκεῖ εἶναι τὸ ἔσχατον τῶν κακῶν, ὅτι πέρας ἐστὶ τοῦ βίου, καὶ οὐ δυνατὸν τὸν τεθνεῶτα ἢ ἀγαθὸν ἢ κακὸν γίνεσθαι. Καὶ τούτου ἕνεκα δοκεῖ μέγιστον εἶναι δεινόν, καὶ τοῖς ἀγαθοῖς καὶ τοῖς φαύλοις.

Ἀλλ' ὁ μὲν ἀπὸ αἰσχρῶν γινόμενος αἰτιῶν, φοβερός ἐστι τῷ ἀνδρείῳ· ὁ δὲ ἀπὸ τῶν ἀρίστων, οἷός ἐστιν ὁ ἐν πολέμῳ συμβαίνων, οὐκ ἔτι, ἀλλὰ καὶ σφόδρα ἀγαπητός ἐστιν· ὁ δὲ ἐν νόσῳ, ἢ ἐν θαλάττῃ θάνατος, καθόσον μὲν οὐκ ἐπῆλθε κατὰ σεμνοῦ τινος, φοβερὸς ἔσται τῷ ἀνδρείῳ, καθόσον δὲ λυπηρός ἐστιν, οὐδαμῶς· ὥστε λέγοιτο ἂν ἀνδρεῖος ὁ περὶ τὸν καλὸν θάνατον ἢ τὸν μὴ αἰσχρὸν ἀδεής, καὶ ὅσα θάνατον ἐπιφέρει αἰ-

φνιδίας

φνιδίως ἐπερχόμενα. Οἷά εἰσι τὰ ἐν τῷ πολέμῳ· ὁ γὰρ τὰ ἀφνιδίως ἐπερχόμενα δεινὰ καρτερῶν ἀπόδειξιν ἐναργῆ παρέχεται τῆς πρὸς ἕξιν ἀνδρείας ἐληλακέναι. Κυρίως δὲ ἀνδρεῖος, ὁ τὸν ἄριστον θάνατον καρτερῶν· ὥσπερ καὶ ἐπὶ τῶν τιμῶν ἔχει. Τὰς μὲν γὰρ παρὰ τοῖς τυράννοις τιμὰς, ὡς οὐδὲν ὅσιον ἐχουσῶν οὐδὲ βέβαιον, ὁ ἀνδρεῖος καταφρονήσει. Τῶν δὲ ἐν ταῖς πόλεσι ταῖς εὐνομουμέναις, ὡς ἐννόμων καὶ δικαίων, οὐκ ἔτι. Εἰσὶ δὲ καὶ οἱ θαλάττιοι πρὸς τὸν θάνατον ἀδεεῖς· ἀλλ' οὐχ ὁμοίως τῷ ἀνδρείῳ. Οἱ μὲν γὰρ δοκοῦσι καρτερεῖν, διὰ τὸ καθάπαξ ἀπεγνωκέναι τὴν σωτηρίαν· οἱ δὲ διὰ τὴν ἐμπειρίαν ἐλπίζοντες περιγενέσθαι τῶν ἀπὸ τῆς θαλάσσης κακῶν. Ἐπεὶ οὐδὲ δυνατὸν κυρίως ἐν τούτοις τις ἀνδρίζεσθαι· ἀνδρίζεται γάρ τις ἐν οἷς χρεία τόνου τινὸς καὶ ὁρμῆς, ἢ θάνατος σεμνός ἐστιν. Ἐν κλύδωνι δὲ, ἢ ἐν νόσῳ, τὰ τοιαῦτα χώραν οὐκ ἔχει. Οὔτε γὰρ ὁ θάνατος ἀγαθοῦ τινός ἐστιν αἴτιος, οὔτε ὁρμῇ τινὶ καὶ ἀλκῇ χρώμεθα πρὸς αὐτόν.

Ἔτι τοίνυν ὁ ἀνδρεῖος περὶ τὰ φοβερὰ οὐχ ὁμοίως ἔχει. Εἰσὶ γὰρ ἄλλα ἄλλοις φοβερώτερα. Οἱ μὲν γὰρ τὴν τῶν χρημάτων ἀποβολὴν μάλιστα φοβοῦνται, ὅσοι φιλοχρήματοι, οἱ δὲ τὴν ἀδοξίαν, ὅσοι δόξης μάλιστα τῶν ἄλλων ἐρῶσιν, καὶ τὰ ἄλλα

gruunt ſubire eſt paratus. Cujus generis ſunt bellica. Nam qui ſuſtinet ea quæ ſubito ingruunt pericula, manifeſtum documentum dat, ſe ad ſummum fortitudinis perveniſſe habitum. Jam vero fortis eſt proprie, qui præſtantiſſimam ſuſtinet mortem: plane ut in honoribus ſe res habet. Honores quippe qui à tyrannis deferuntur, cum nulla ex parte aut legitimi ſint aut ſtabiles, contemnet vir fortis. Qui in urbibus vero bene conſtitutis, cum & legitimi ſint & æqui, non item. Jam vero mortis quoque metu vacant nautæ: non ita tamen ut fortis. Alii enim ſuſtinere eam videntur, quod ſemel de ſalute deſperaverint: alii quod experientiæ confidant ſuæ: ac propterea facile ſe maritimis putant ſuperiores fore periculis. Accedit, quod nec proprie in his fortiter ſe gerere dicatur aliquis. Id enim in iis fit proprie, in quibus vigor erectus ille impetuſq; animi locum habet, aut cum mors eſt illuſtris. In tempeſtate vero aut morbo; ea locum non habet. Quippe cum nec mors talis, boni alicujus cauſa ſit, neque robore ullo animi aut vi maſcula adverſus eam utamur.

Ariſtot. l. 3. c. 7.

Præterea vero fortis non eodem modo in terribilibus ſe habet. Alia namque aliis magis ſunt terribilia. Quidam enim pecuniarum jacturam maxime metuunt, qui nempe pecunias amant, quidam infamiam, qui nimirum gloriam præ reliquis amant, atque ita in reliquis, quæ

Cap. 7. Τὸ δὲ φοβερὸν οὐ πᾶσι μὲν τὸ αὐτὸ, &c.

Ariſt. r. l.3.c.7.

quæ alii maxime, alii minus, alii vero omnino non metuunt. Sunt & alia quæ nemo non metuit mortalium. Sicut illa quæ ſupra hominem ſunt mala: ut, exempli gratia, fulmina violenta, terræ motus, exundationes maris. Hæc enim omnibus qui ſapiunt ſunt terribilia.

Ὁ δ᾽ ἀνδρεῖος ἀνέκπληκτος, &c.

Ea ergo vir fortis quoque metuit, ſed ut oportet, & ut ratio jubet, aut cauſa honeſtatis: quem finem affectuum ſuorũ vir bonus ſtatuit & actionum: hujus enim cauſa virtus omnis exercetur. Hæc autem non ſimiliter omnibus ſunt terribilia, ſed minus aliis, aliis magis: ſicut & ea quæ non ſunt ſupra hominem, quæ non omnibus ſunt terribilia. Ut puta paupertas, infamia, & hujuſmodi. Quæ etiam vir bonus cum oportet metuet, ſicut dictum eſt, & ut oportet. Propterea quippe peccat improbus, quia nec ut oportet nec cum oportet, nec ubi oportet metuit. Similiter & quia cum confidit, non quo oportet modo confidit, nec eo quo oportet tempore. Qui ergo & confidit & metuit quæ oportet, cujuſque cauſa oportet, item cum oportet aut confidere aut metuere, fortis eſt. Quia ut æquum eſt utrumque facit, & ut fortitudinis requirit ratio. Hic enim omnis, quæ ſecundum virtutem inſtituitur, functionis finis eſt: ut ſecundum rationem fiat habitus. Sicut eæ quæ ſecundum juſtitiam fiunt actiones, finem hunc habent, ut ſecundum rationem habitus juſtitiæ agantur: illæ item quæ ſecundum fortitu-

ὁμοίως· ἅτινα οἱ μὲν σφόδρα φοβοῦνται, οἱ δὲ ἔλαττον, οἱ δὲ οὐδαμῶς. Εἰσὶ δέ τινα, ἃ οὐδείς ἐστιν ἀνθρώπων, ὃς οὐ φοβεῖται· οἷα ὅσα τὰ ὑπὲρ ἄνθρωπον κακά, οἷον σκηπτοί, καὶ σεισμοί, καὶ θαλάσσης ἐκδρομαί. Ταῦτα γὰρ πᾶσι τοῖς νοῦν ἔχουσι φοβερά.

Καὶ ὁ ἀνδρεῖος φοβεῖται μὲν, ὡς δεῖ δὲ, καὶ καθὼς ὁ λόγος προστάττει, καὶ τοῦ καλοῦ ἕνεκα: τοῦτο γὰρ τέλος ὁ σπουδαῖος ποιεῖται τῶν ἰδίων παθῶν καὶ τῶν πράξεων, καὶ διὰ τοῦτο πᾶσα ἀρετή. Καὶ ταῦτα δὲ, οὐχ ὁμοίως πᾶσίν εἰσι φοβερὰ, ἀλλὰ τοῖς μὲν μᾶλλον, τοῖς δὲ ἧττον, ὥσπερ καὶ τὰ κατὰ ἄνθρωπον, ἅπερ οὐ πᾶσίν εἰσι φοβερά. Οἷον πενία, καὶ ἀδοξία, καὶ τὰ τοιαῦτα. Ἅτινα καὶ ὁ σπουδαῖος, ὅτε δεῖ, φοβηθήσεται, καθὼς εἴρηται, καὶ ὡς δεῖ. Ὁ γὰρ φαῦλος διὰ τοῦτο ἁμαρτάνει, ὅτι οὐ φοβεῖται καθὼς δεῖ, ἢ ὅτε δεῖ, ἢ ἔνθα δεῖ. Ὁμοίως δὲ καὶ θαῤῥῶν, οὐ κατὰ τὸν προσήκοντα τρόπον καὶ χρόνον θαῤῥεῖ. Ὁ μὲν οὖν θαῤῥῶν ἢ φοβούμενος ἃ, καὶ οὗ ἕνεκα, καὶ ὅτε προσήκει θαῤῥεῖν καὶ φοβεῖσθαι, ἀνδρεῖος· κατὰ τὸ εἰκὸς γὰρ θαῤῥεῖ καὶ φοβεῖται, καὶ ὥσπερ ὁ λόγος τῆς ἀνδρείας ἔχει. Τοῦτο γὰρ τέλος ἐστὶ πάσης ἐνεργείας τῆς κατ᾽ ἀρετὴν, τὸ κατὰ τὸν λόγον τῆς ἕξεως γίνεσθαι. Οἷον αἱ κατὰ δικαιοσύνην πράξεις τέλος ἔχουσι, τὸ κατὰ τὸν λόγον τῆς ἕξεως τῆς δικαιοσύνης πράττεσθαι· καὶ αἱ κατὰ τὴν ἀνδρείαν,

δρείαν, κατὰ τὸν λόγον τῆς ἕξεως τῆς ἀνδρείας. Τέλος μὲν γὰρ ἁπάσης πράξεως, τὸ καλόν· καλὸν δὲ τῷ ἀνδρείῳ, ὁ τῆς ἀνδρείας λόγος, καὶ τῷ δικαίῳ ὁ τῆς δικαιοσύνης, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. Τοῦτο γάρ ἐστιν ὁ λόγος τῶν πράξεων, τὸ κατὰ τὴν ἕξιν γίνεσθαι· ὅρος γάρ ἐστιν ἑκάστῳ, τὸ τέλος αὐτοῦ· ὁ μὲν οὖν ἀνδρεῖος ἐν τῷ δέοντι καὶ τῷ προσήκοντι ἕστηκε.

Τῶν δὲ ὑπερβαλλόντων, ὁ μὲν τῷ μὴ φοβεῖσθαι ὑπερβάλλων, ἀνώνυμος· εἴρηται δ' ἡμῖν ἐν τοῖς πρότερον, ὅτι πολλά ἐστιν ἀνώνυμα· καλοῖτο δ' ἂν ὁ τοιοῦτος, μαινόμενος, ἢ ἀνάλγητος, εἰ μηδὲν φοβοῖτο, μήτε σεισμὸν μήτε κύματα, καθάπερ φασὶ τοὺς Κελτούς. Ὁ δὲ τῷ θαρρεῖν ὑπερβάλλων περὶ τὰ φοβερά, θρασύς. Δοκεῖ δὲ καὶ ἀλαζὼν εἶναι ὁ θρασὺς καὶ προσποιητικὸς εἶναι ἀνδρείας· σχηματίζεται γὰρ ἀνδρεῖος εἶναι. Ὡς γὰρ ἐκεῖνος περὶ τὰ φοβερὰ ἔχει, οὕτως ὁ θρασὺς βούλεται φαίνεσθαι. Ἐν οἷς οὖν δύναται μιμεῖται. Διὸ καί εἰσιν οἱ πολλοὶ αὐτῶν θρασύδειλοι· ἐν τούτοις γὰρ θρασυνόμενοι, τὰ φοβερὰ οὐχ ὑπομένουσιν· ὁ δὲ τῷ φοβεῖσθαι ὑπερβάλλων, δειλός· ὅτι ἃ μὴ δεῖ, φοβεῖται, καὶ οὐχ ὡς δεῖ. Ἐλλείπει δὲ καὶ τῷ θαρρεῖν, ὑπερβάλλει δὲ ἐν ταῖς λύπαις, καὶ δυσελπίς τις ἐστιν ὁ δειλός· πάντα γὰρ φοβεῖται.

Ὁ δὲ ἀνδρεῖος, ἐναντίος· εὔελπις γάρ ἐστι. Τὸ γὰρ θαρρεῖν ἀπὸ τοῦ τὰ χρηστὰ ἐλ-

dinem, ſecundum rationem quoque habitus: illus ut fiant. Finis ſiquidem actionis omnis eſt honeſtas. Honeſtas vero fortitudinis ratio, ſicut juſto juſtitiæ: & in aliis ſimiliter. Hæc enim eſt actionum ratio, ut ſecundum habitum fiant. Terminus namque ſingulis eſt finis ſuus. Fortis ergo ubi æquum eſt ac oportet, conſiſtit.

Eorum vero qui modum excedunt, il'e qui non metuendo excedit, caret nomine. Quemadmodum ante diximus, multa eſſe ſine nomine. Dici tamen poterit qui talis erit, inſanus aut doloris expers, ſi nihil metuat videlicet, nec terræ motum, nec tempeſtatem, ut de Celtis dicunt. Qui vero confidentia excedit in ſubjecto terribili, audax eſt. Atque audax quidem arrogans quoque videtur eſſe, ac affectare fortitudinem. Virum quippe fortem imitatur. Nam ut ille in iis quæ terribilia ſunt ſe habet, ſic audax videri poſtulat. Quatenus ergo poteſt eum imitatur. Quæ cauſa eſt, ut plurimi eorum audaces ſint ac timidi. Quippe cum in quibus audaciam ſuam jactant, in iiſdem mox pericula non ſuſtinent. Qui vero metu modum excedit, timidus eſt: quia quæ non oportet metuit, nec ut oportet. Quinetiam in confidendo deficit. In doloribus vero modum excedit, neque facile quicquam ſperat, quem timidum dicimus: qui omnia nimirum metuit.

Contra vero ſe habet fortis: ſemper enim ſperat. Etenim ex eo ipſo

Ariſto. l.3. c.7.

Τῶν δὲ ὑπερβαλλόντων, &c.

Ὁ δὲ ἀνδρεῖος ἐναντίος, &c.

Ariſtot. l. 3. c. 8.

ipſo quod bene ſperat, fiducia illa naſcitur. Quare in iiſdem timidus & audax verſatur,& fortis. In ſubjecto enim omnes metus verſantur & confidentiæ. Non tamen ſimiliter: alio enim atque alio modo ſe habent in iis. Illi namq; aut excedunt modum aut deficiunt: hic vero mediocriter ſe habet, & ubi debet conſiſtit. At audaces quidem ſunt præcipites, cumq; ante pericula vehementer urgeant, ac ſupra modum ea appetant,in illis cum verſantur,reſiliunt. Contra vero fortes: in ipſo namq; ſervent opere, cum ante modeſte ſe gerant. Quemadmodum igitur dictum eſt, fortitudo eſt mediocritas in iis, quæ aut fiduciam ſpectant aut metum, quemadmodum oportet: quæ, & quia honeſtum eſt ſubit atque eligit, & quia non ſubire aut eligere, eſt turpe.

Τὸ δὲ ἀποθνήσκειν, φεύγοντα πενίαν, &c.

Jam vero paupertatis cauſa aut amoris mori velle non eſt fortitudinis, ſed potius timiditatis. Nam quæ moleſta ſunt vitare velle, mollitiei propriũ eſt ac ignaviæ. Neq; enim quiſquam propterea ejuſmodi mortem eligit, quia honeſta eſt, ſed ut iis defungi malis poſſit, quibus ferendis amplius par non eſt. Ita vero affici, proprium eſt ignaviæ. Talis ergo fere eſt fortitudo.

θαρρεῖν, γίνεται. Περὶ ταὐτὰ μὲν οὖν καὶ ὁ δειλὸς, καὶ ὁ θρασύς ἐστι, καὶ ὁ ἀνδρεῖος. Εἰσὶ γὰρ περὶ τὰ φοβερὰ καὶ θαρραλέα· ἀλλ' οὐχ ὁμοίως· διαφόρως γὰρ ἔχουσι πρὸς αὐτά· οἱ μὲν γὰρ ὑπερβάλλουσι καὶ ἐλλείπουσιν· ὁ δὲ μέσως ἔχει, καὶ ἐπὶ τῷ δέοντι ἵσταται· καὶ οἱ μὲν θρασεῖς προπετεῖς, καὶ πρὸ τῶν κινδύνων ὁρμῶντες, καὶ σφόδρα βουλόμενοι τὰ δεινὰ, ἐν αὐτοῖς δὲ γινόμενοι ἀποπηδῶσιν· οἱ δὲ ἀνδρεῖοι τοὐναντίον, ἐν αὐτοῖς μὲν τοῖς ἔργοις ὀξεῖς, πρότερον δὲ ἡσυχίαν ἄγουσι. Καθάπερ οὖν εἴρηται, ἡ ἀνδρεία μεσότης ἐστὶ περὶ θαρραλέα καὶ φοβερὰ, καθὼς δεῖ· καὶ ὅτι καλὸν, αἱρεῖται καὶ ὑπομένει, καὶ ὅτι μὴ αἱρεῖσθαι καὶ ὑπομένειν, αἰσχρόν.

Τὸ δὲ ἀποθνήσκειν βούλεσθαι διὰ πενίαν, ἢ διὰ ἔρωτα, οὐκ ἔστιν ἀνδρείας, ἀλλὰ μᾶλλον δειλίας· τὸ γὰρ φεύγειν τὰ ἐπίπονα, μαλακίας καὶ χαυνότητος. Οὐ γὰρ αἱρεῖταί τις τὸν τοιοῦτον θάνατον ὅτι καλὸς, ἀλλ' ὅτι ἀπαλλαγὴ ἐστὶ κακοῦ, ὃ φέρειν οὐ δύναται· τὸ δὲ οὕτως ἔχειν, δειλίας· ἡ μὲν οὖν ἀνδρεία τοιοῦτόν τι,

CAP. VIII.

Amplius de fortitudine.

Cap. 8. Λέγονται δὲ καὶ ἕτεραι, &c.

Dicuntur etiam aliæ quædam fortitudines, idque quinq; modis. Quarum prima eſt civilis.

ΚΕΦ. η.

Ἔτι περὶ ἀνδρείας.

Λέγονται δὲ καὶ ἕτεραι ἀνδρεῖαι κατὰ πέντε τρόπους· πρώτη, ἡ πολιτική,

καθ'

καθ' ἣν οἱ πολῖται, διὰ τὰ ἐν τοῖς νόμοις ἐπιτίμια καὶ τὰ ὀνείδη, καὶ διὰ τὰς τιμάς, ὑπομένουσι τοὺς ὑπὲρ τῆς πόλεως κινδύνους. Καὶ δοκοῦσιν ἀνδρειότατοι εἶναι, παρ' οἷς οἱ δειλοὶ ἄτιμοι, οἱ δὲ ἀνδρεῖοι, ἔντιμοι. Οἵους καὶ Ὅμηρος ἐν τοῖς ποιήμασιν ᾄδει· οἷον τὸν Διομήδην καὶ τὸν Ἕκτορα.

Πουλυδάμας μοι πρῶτος ἐλεγχείην ἀναθήσει.

καὶ Διομήδης·

Ἕκτωρ γάρ ποτε φήσει ἐνὶ Τρώεσσ' ἀγορεύων,
Τυδείδης ὑπ' ἐμεῖο.——

ἔοικε δὲ αὕτη ἡ ἀνδρεία τῇ προτέρᾳ εἰρημένῃ, ὅτι καθάπερ ἐκείνη τοῦ καλοῦ ἕνεκα, οὕτω καὶ αὕτη διά τινα γίνεται ἀρετήν. Διὰ τὴν αἰδῶ γὰρ καὶ τὴν τοῦ καλοῦ ὄρεξιν, καὶ διὰ τὴν φυγὴν τοῦ ὀνείδους, αἰσχροῦ ὄντος, οἱ πολῖται ἀνδρίζονται. Αἰδούμενοι γὰρ τοὺς νόμους καὶ τιμῆς ὀρεγόμενοι, τοὺς κινδύνους ὑπομένουσι. Δευτέρα δὲ ἀνδρεία, καθ' ἣν ἀνδρίζονται οἱ ὑπὸ τῶν ἀρχόντων ἀναγκαζόμενοι τοὺς πόνους καρτερεῖν, καὶ πρὸς τοὺς κινδύνους ἀνδρείως ἔχειν· χείρων δὲ αὕτη τῆς πολιτικῆς, ὅτι διὰ φόβον, καὶ οὐ δι' ἔρωτα ἀγαθοῦ, γίνεται· καὶ οἱ κατ' αὐτὴν ἀνδριζόμενοι, οὐ τὸ αἰσχρὸν ἀλλὰ τὸ λυπηρὸν φεύγουσιν. Ἀναγκάζουσι γὰρ οἱ κύριοι, ὥσπερ ὁ Ἕκτωρ·

Ὃν δέ κ' ἐγὼν ἀπάνευθε μάχης πτώσσοντα νοήσω,
Οὔ οἱ ἄρκιον ἐσσεῖται φυγέειν κύνας ——

κἂν μὴ παρῶσι δὲ οἱ στρατηγοὶ τῇ παρατάξει, καὶ ἀναγ-

Ita eam voco, qua cives, præmiorum aut pœnarum quæ à legibus præſcribuntur, & ignominiarum aut honorum cauſa, pro republica pericula ſubeunt. Und fit ut fortiſſimi videantur eſſe, apud quos ſine honore timidi, maximo vero in honore ſunt fortes. Quales ſunt de quibus in poematis ſuis Homerus canit. Diomedes nempe & Hector. Ariſtot. l.3.c.8.

Polydamas fœdum mihi primus crimen inuret.

Et Diomedes.

Namque aliquando Hector Trojanis dicet in urbe,
Tydides, à me, &c.

Hæc autem fortitudinis ſpecies, quam proxime ad ſuperiorem accedit. Quia ſicut illa honeſtatis cauſa ſuſcipitur, ita hanc virtus aliqua producit. Pudore enim honeſtatiſque ſtudio adducti ac vitandæ cauſa ignominiæ quam fœdam eſſe ſentiunt, fortiter ſe gerunt cives. Cum enim & leges vereantur, atque honorem appetant, facile quoq; pericula ſuſtinent. Altera fortitudinis ſpecies eſt, qua fortes dicuntur, quos aut moleſtiam perferre, aut fortiter ſe periculis opponere, ſuperiores cogunt. Quæ quidem inferior civili eſt, quod à metu potius quam ab amore boni eſt: & quod qui ea ſunt præditi, non id quod turpe ſed quod moleſtū eſt fugiunt. Cogunt namq; eos ſuperiores: ut Hector.

Quem procul à pugna pavitantem ſtare videbo,
Non tamen ille canes paſcet minus.

Licet autem forte imperatores abſint ab acie, neque cogant

Ariſtot l.3. c.8.

milites ſuſtinere pericula, tamen propter eum quem animis eorum impreſſerunt metum, quod ſæpe eos cum ordinem deſererent verberibus in officio continuerunt, idem faciunt. Atq; ita neceſſario videntur fortes eſſe. Cum contra non neceſſitatis cauſa ſed honeſtatis eligenda ſit fortitudo.

Δοκεῖ δὲ καὶ ἡ ἐμπειρία, &c.

Videtur etiam rerum ſingularum experientia, fortitudo eſſe. Quam ob cauſam, fortitudinem eſſe ſcientiam putabat Socrates. Jam vero alii aliarum rerum periti, fortes in iis dici poterunt, in bellicis vero, milites. Videntur enim quædam in bello vana eſſe, quæ maxime noverunt iſti: ideoque cum alii ignorent quæ aggrediantur, illi fortes videntur. Hoc enim experientia illa confert iis, ut & nocere ipſi adverſariis poſſint, facile & ab illis ſibi caveant: & ut eorum tela & lanceas vitare, ipſos vero facile ferire poſſint. Vel quod dextre armis uti poſſint, vel quod arma habeant ejuſmodi, quæ maxime ſint idonea, cum ad impetendos hoſtes, tum ut nihil ab illis contra patiantur. Quare ut armati pugnant cum inermibus. Ac propterea in certaminibus hujuſmodi, non qui maxime fortes ſunt, pugnant optime, ſed qui & robuſtiſſimi ſunt, & aut corpore excellunt, aut experientia. Qui tamen ſi majus expectatione ingruat periculum, aut ſi vel numero vel apparatu vincat hoſtis, timidi evadunt. Quare primi quoque ſolent fugere, qui experientia excellunt: cum ci-

κάζωσι τοὺς στρατιώτας τοὺς κινδύνους καρτερεῖν, ἀλλὰ φόβον αὐτοῖς ἐνθέντες, δι᾽ ὃν πολλάκις ἐτύπτησαν λιπόντες τὴν τάξιν, τὸ αὐτὸ δρῶσι· καὶ οὕτω δι᾽ ἀνάγκην ἀνδρεῖοι δοκοῦσιν εἶναι· δεῖ δὲ οὐ δι᾽ ἀνάγκην αἱρεῖσθαι τὴν ἀνδρείαν, ἀλλ᾽ ὅτι καλόν.

Δοκεῖ δὲ καὶ ἡ περὶ τὰ καθέκαστα ἐμπειρία, ἀνδρεία εἶναι. Διὰ τοῦτο καὶ ὁ Σωκράτης τὴν ἀνδρείαν ἐπιστήμην ἐνόμισεν εἶναι. Ἄλλοι μὲν οὖν ἐν ἄλλοις ἐπιστήμονες ὄντες ἀνδρεῖοι ἂν περὶ ταῦτα καλοῖντο, ἐν δὲ τοῖς πολεμικοῖς οἱ στρατιῶται. Δοκεῖ γὰρ εἶναι τινὰ ἐν τῷ πολέμῳ κενὰ, ἃ μάλιστα συνεωράκασιν οὗτοι, καὶ τῶν ἄλλων μὴ εἰδότων οἷς συμπλέκονται, αὐτοὶ ἀνδρεῖοι δοκοῦσιν. Ἐκ γὰρ τῆς ἐμπειρίας ταύτης δύνανται ποιῆσαι τοὺς ἀντιπάλους κακῶς, καὶ μηδὲν παθεῖν ὑπ᾽ ἐκείνων, καὶ φυλάξασθαι μὲν τὰ βέλη καὶ τὰ δόρατα, πατάξαι δὲ αὐτοὺς εὐχερῶς. Διὰ τὸ δύνασθαι χρῆσθαι τοῖς ὅπλοις καλῶς, καὶ τοιαῦτα ἔχειν τὰ ὅπλα, ὁποῖα ἂν γένοιτο ἐπιτήδεια, καὶ πρὸς τὸ πατάξαι τοὺς ἀντιπάλους, καὶ πρὸς τὸ μηδὲν παθεῖν δεινὸν ὑπ᾽ ἐκείνων. Μάχονται γοῦν ὥσπερ ὡπλισμένοι ἀνόπλοις. Καὶ ἐν τοῖς τοιούτοις ἀγῶσιν οὐχ οἱ ἀνδρειότατοι μαχιμώτατοί εἰσιν, ἀλλ᾽ οἱ μάλιστα ἰσχύοντες, καὶ τὰ σώματα ἄριστα ἔχοντες, καὶ τὴν ἐμπειρίαν ἄριστοι. Δειλοὶ δὲ γίνονται οἱ τοιοῦτοι, ὅταν ὑπερβάλλῃ ὁ κίνδυνος καὶ λείπωνται τοῖς πλήθεσι καὶ ταῖς παρασκευαῖς· πρῶτοι γὰρ οἱ ἔμπειροι φεύγουσιν· οἱ δὲ ἀνδρειζό-

μενοι

μένοι κατὰ τὰ πολιτικά, μένοντες ἀποθνήσκουσιν· ὅπερ κἀπὶ τοῦ Ἑρμαίου συνέβη. Οἱ μὲν γὰρ παρατατόμενοι στρατιῶται, ἔφυγον, αἰσθόμενοι τοῦ κινδύνου μείζονος· οἱ δὲ πολῖται μείναντες ἀπέθανον. ὁ γὰρ θάνατος αὐτοῖς αἱρετώτερος ἐδόκει τῆς σωτηρίας ταύτης. οἱ δὲ στρατιῶται ἠνδρίζοντο μέν, οἰόμενοι κρείττους εἶναι καὶ πλείους τῶν ἀντιπάλων· ἐπεὶ δὲ ἑώρων ἐλάττονες ὄντες καὶ χείρονες, ἔφυγον, τὸν θάνατον μᾶλλον φοβηθέντες, ἢ τὸ αἰσχρόν. Ὁ δὲ ἀνδρεῖος, οὐ τοιοῦτος.

Λέγεται δὲ ἀνδρεία καὶ ὁ θυμὸς παρά τισι, καὶ ἀνδρεῖοι καλοῦνται, καθάπερ τὰ θηρία, ἐπὶ τοὺς τρώσαντας φερόμενοι· ὅτι καὶ οἱ ἀνδρεῖοι θυμοειδεῖς. Ὁ γὰρ θυμὸς ὁρμητικόν ἐστι πρὸς τοὺς κινδύνους. Ὅθεν καὶ Ὅμηρός φησι·

—σθένος ἔμβαλλε θυμῷ. — καί,
—μένος καὶ θυμὸν ἔγειρε, — καί,
—δριμὺ δ' ἀνὰ ῥῖνας μένος, καί,
—ἔζεσεν αἷμα. —

πάντα γὰρ τὰ τοιαῦτα ἔοικε σημαίνειν τὴν τοῦ θυμοῦ ἔγερσιν καὶ ὁρμήν. Ὁ μὲν οὖν ἀνδρεῖος καλοῦ τινὸς ἕνεκα πάντα ποιεῖ, ἄγεται δὲ ὑπὸ τοῦ θυμοῦ οὐδαμῶς, ἀλλὰ χρῆται τούτῳ συνεργῷ καθάπερ ὀργάνῳ. Οἱ δὲ λεγόμενοι ἀνδρεῖοι, διὰ τὴν ὁρμὴν τοῦ θυμοῦ, οὐ διὰ τὸ καλὸν πράττουσιν, ἀλλὰ διὰ λύπην, ὥσπερ τὰ θηρία διὰ

viliter contra fortes ad mortem uſque perſiſtant. Sicut in Hermæo factum eſt. Ubi milites, quos in acie dux locaverat, cum periculum ſentirent expectatione magis, in fugam abierunt; cives vero ad mortem uſque perſtiterunt. Potior enim tali ſalute illis mors videbatur. Contra milites, quamdiu ſe ſuperiores eſſe aut plures hoſtibus putarent, rem gerebant ſtrenue, cum vero pauciores eſſe & inferiores viderent, fuga ſibi conſulebant: ut qui mortem magis timerent, quam dedecus. Talis autem non eſt fortis. Ariſtot. l. 3. c. 8.

Sed & iram nonnulli dicunt fortitudinem: & qui ferarum ritu in eos à quibus vulnerati ſunt feruntur, eos fortes vocant: quia fortes etiam aliquo modo ſunt iracundi. Ira quippe natura ſua in pericula tendit. Unde & Homerus ait: Καὶ τὸν θυμὸν ἐπὶ τὴν ἀνδρείαν ἐπιφέρουσι, &c.

—*vimque adddidit iræ.* Et,
—*vires iramq; ciebat.* Et,
—*Eximius nares ſubiit vigor.* Et,
—*tum ſanguis ferbuit intus.*

Quibus omnibus, iræ concitatio oſtendi videtur & impetus. Vir autem fortis, honeſti alicujus cauſa agit omnia, neque ullo modo ab ira impellitur, ſed auxilio ejus utitur ut inſtrumento: cum eos quos fortes ab iræ impetu dicunt, non honeſtas impellat, ſed dolor. Ideoq; plane ut feræ, quia ſunt perculſæ ab aliquo aut metuunt, ira non utuntur, ſed ab ea potius trahuntur.

tur. Eodem namque modo hi homines, qui antequam ab aliquo percutiuntur aut metuunt, nullam ſignificationem dant alicujus iræ: ſicut & feræ, ſi in ſylva aliqua occurrant aut palude, neminem adoriuntur priores, neque invadunt. Quare neque fortis dicendus eſt, qui aut doloris impulſu aut iræ, aut cujuſcunque denique affectus cauſa, periculis ſe objicit, neq; ullum ante malum præcepit. Eo enim modo & aſini cum eſuriunt fortes dicendi eſſent merito: qui licet verberibus ſubacti, paſcere non deſinunt. Quin & mœchi libidinis cauſa, multa audacia patrant facinora: cum tamen neque aſini fortes ſint neque homines, quos vel dolor vel ira, vel alius denique in periculum affectus rapit. Naturalis autem, maximeque propria fortitudo eſt illa, quoties ab ira quidem impellimur, cum prælectione tamen & boni cauſa. Quos vero reliqua impellunt quæ jam diximus, non fortes ſunt, ſed pugnaces. Neque enim honeſtate inducti ruunt aut indignantur, ſed ab affectu trahuntur: neque ut oportet, aut ut recta jubet ratio, ſed prout ille quem dixi movet affectus.

Ariſtot. l. 3. c. 8.

Omnes quoque qui bene ſperant, videntur fortes eſſe, cum tamen non ſint omnes. Poſſunt enim bene ſperare aliqui, non quod non metuant ea quæ moleſtiam adferre poſſunt, idque honeſtatis cauſa: ſed quia ſæpe vicerint & plurimos, ideoque nune quoque exiſtiment nullum ſibi à malo illo periculum futu-

Παρα- πλήσιον δ' ἴσχυσι πν ὡς.

τὸ πληγῆναι, ἢ διὰ τὸ φοβεῖσθαι, οὐ χρώμενα τῷ θυμῷ· ἀλλ' ὑπ' αὐτοῦ μᾶλλον ἀγόμενα· οἵ τινες, πρὶν πληγῆναι ἢ φοβηθῆναι, οὐδεμίαν ἀποδείκνυνται ὁρμήν. Ἐπεὶ καὶ τὰ θηρία, ἐὰν ἐν ὕλῃ ᾖ ἢ ἐν ἕλει, οὐ προσέρχονται, οὐδὲ ὁρμῶσιν. Οὐκ ἔστι τοίνυν ἀνδρεῖος, ὁ δι' ἀλγηδόνα, ἢ θυμοῦ κινούμενος, ἢ ἄλλου τινὸς πάθους, πρὸς τὸν κίνδυνον ὁρμῶν, καὶ μηδὲν τῶν δεινῶν προορώμενος· ἐπεὶ οὕτω γε κἂν οἱ ὄνοι ἀνδρεῖοι καλοῖντο δικαίως, πεινῶντες· τυπτόμενοι γὰρ οὐκ ἀφίστανται τῆς νομῆς· καὶ οἱ μοιχοὶ δὲ διὰ τὴν ἐπιθυμίαν τολμηρὰ πολλὰ δρῶσιν· ἀλλ' οὐκ εἰσὶν ἀνδρεῖοι, οὔτε οἱ ὄνοι, οὔτε ἄνθρωποι, οἱ δι' ἀλγηδόνα ἢ θυμοῦ, ἢ ἄλλου τινὸς πάθους ἐξελαυνόμενοι πρὸς τὸν κίνδυνον. Ἡ δὲ φυσικωτάτη καὶ ἡ κυρίως ἀνδρεία ἐκείνη ἐστὶν, ὅταν κινώμεθα μὲν διὰ τοῦ θυμοῦ, μετὰ προαιρέσεως δὲ, καὶ ἕνεκα τοῦ ἀγαθοῦ. Οἱ δὲ διὰ τὰ προειρημένα ὀργιζόμενοι, οὐκ ἀνδρεῖοί εἰσιν, ἀλλὰ μάχιμοι. Οὐ γὰρ διὰ τὸ καλὸν ὁρμῶσι καὶ ὀργίζονται, ἀλλὰ διὰ τὸ πάθος· καὶ οὐχ ὡς δέον ἐστὶ, καὶ ὁ ὀρθὸς ἀπαιτεῖ λόγος, ἀλλ' ὡς ἂν κινήσειε τὸ πάθος.

Δοκοῦσι δὲ καὶ οἱ εὐέλπιδες πάντες ἀνδρεῖοι εἶναι· οὐκ εἰσὶ δὲ πάντες. Δυνατὸν γὰρ εὐέλπιδας εἶναι, οὐ διὰ τὸ μὴ φοβεῖσθαι τὰ λυπηρὰ τοῦ ἀγαθοῦ ἕνεκα, ἀλλὰ διὰ τὸ πολλάκις καὶ πολλοὺς νενικηκέναι, καὶ διὰ τοῦτο θαρρεῖν, ὡς οὐ περιπεσοῦνται τοῖς κακοῖς. Δοκοῦσι δὲ

ἀνδρεῖοι,

ἀνδρεῖοι, διὰ τὸ ἐοικέναι τοῖς ἀνδρείοις κατὰ τὸ θαρρεῖν. Ἀλλ' οἱ μὲν ἀνδρεῖοι θαρροῦσι, διὰ τὰ προειρημένα, οὗτοι δέ, διὰ τὸ οἴεσθαι μηδὲν πείσεσθαι λυπηρόν. Οὕτω δὲ καὶ οἱ μεθυσκόμενοι εὐέλπιδές εἰσιν, ὅτι οἴονται πάντα αὐτοῖς καθ' ἡδονὴν ἀπαντήσειν. Διὰ τοῦτο καὶ ἐπειδὰν ἐναντίοις ἐντύχωσι τῶν προσδοκωμένων, ἀποπηδῶσιν· ὁ δὲ ἀνδρεῖος ἐρχόμενα καὶ φαινόμενα τὰ λυπηρὰ ὑπομένει, ὅτι ἀγαθόν ἐστιν ὑπομένειν, ἢ αἰσχρὸν τὸ μὴ ὑπομένειν· διὰ τοῦτο καὶ ἐν τοῖς ἀνδρείοις ἐκεῖνος μᾶλλον ἀνδρεῖός ἐστιν, ὃς ἐν τοῖς ἀφνιδίοις ἀτάραχος καὶ ἄφοβός ἐστιν, ἢ ἐν τοῖς σφόδρα προδήλοις καὶ πρὸ ὀφθαλμῶν οὖσιν. Ὁ μὲν γὰρ προγινώσκων τὰ λυπηρὰ, λογισμῷ καὶ κρίσει προπαρασκευασάμενος, ὑπομείνειεν ἄν· ὁ δὲ μὴ προγινώσκων, εἶτα ἐπιόντα ὑπομένων, δῆλός ἐστιν εἰς ἕξιν ἀνδρείας ἐλθών.

Λέγονται δὲ ἀνδρεῖοι καὶ οἱ δι' ἄγνοιαν τῶν ἀπαντησόντων κακῶν εἰς τοὺς κινδύνους ὁρμῶντες. Καὶ σχεδὸν τῶν εὐελπίδων οὐδὲν διαφέρουσι, πλὴν ὅσον οἱ μὲν εὐέλπιδες ὑπομένουσι τὰ δεινὰ χρόνον τινά· οἱ δὲ ἀγνοοῦντες, ἐπειδὰν γνῶσιν, φεύγουσιν, ὥσπερ οἱ Ἀργεῖοι ἔπαθον περιπεσόντες τοῖς Λάκωσιν, ὡς Σικυωνίοις.

rum. Ac propterea fortes videntur, quod quatenus fiducia quoque ſunt prædit, ſimiles fortibus videantur. Cum tamen fortes propter ea confidant quæ diximus: hi vero quod à dolore aut moleſtia tutos ſe fore arbitrentur. Ita bene quoque ſperant ebrii, quia omnia ex animi ſententia eventura ſibi judicant, ideoque ſi aliud eveniat quam expectabant, reſiliunt. At vero fortis ea quæ venire videt eminus ſuſtinere audet pericula: vel quod ſuſtinere ſit honeſtum, vel quod non ſuſtinere ſit turpe. Quare inter omnes qui fortes habentur, ille maxime excellit, qui vel ob ea quæ ſubito ingruunt immotus manet & interritus, aut in iis quæ maxime apparent & ante oculos ſunt, talem ſe præſtat. Nam qui prius novit quæ moleſtiam inferre poſſunt, vel ratione diu ante inſtructus vel judicio, facile ea ſuſtinuerit: qui vero licet prius ignoraverit tamen cum ingruunt ea ſuſtinet, ſatis profecto probat, ſe jam habitum eſſe conſecutum fortitudinis. Aristot. l. 3. c. 8.

Dicuntur & illi fortes, qui quod ea quæ occurrere poſſint mala ignorant, periculis ſe objiciunt: qui fortaſſe ab iis quos bene ſperare diximus nihil differunt: niſi quod hi ad tempus aliquod ſuſtineant pericula: ii vero qui ignorant, ſimul ac intelligunt, fugæ ſe tradunt. Sicut Argivi, qui in Laconas inciderũt, cum Sicyonios putarent eſſe. Ἀνδρεῖοι δὲ φαίνονται καὶ οἱ ἀγνοοῦντες, &c.

CAP.

CAP. IX.

Ariſtot. l.3.c.9. *Amplius de fortitudine: fortem nimirum magis in iis quæ terribilia ſunt, quam quæ fiduciam adſerunt, aut quæ jucunda ſunt verſari.*

Cap. 9. Πεϱὶ θάϱϱη ϗ φόϐȣς ἡ ἀνδϱεία ἐστι, &c.

QUi igitur vere fortes ſint, & qui videantur eſſe, jam oſtendimus. Cum vero in fiducia metuque fortitudo verſetur, non eodem modo tamen in utroque: magis enim in iis quæ terrorem inferunt. Nam qui in his minime movetur, magis fortis eſt, quam qui in illis ut oportet ſe habet. Quia majus hic certamen quam ibi cernitur. Difficilius enim moleſtiam ſuſtinere eſt, quam à jucundis abſtinere. Quare etiam moleſta eſt fortitudo, quia fortes ſunt qui moleſtiam ſuſtinent. Hæc enim cauſa eſt cur laudetur. Quamvis enim voluptas quoque aliqua conjuncta ſit cum fortitudine, quia finis ejus eſt dulcis, nihilominus tamen ab iis cum quibus congredi debet ſæpe offuſcatur moleſtiis. Sicut in gymnicis fit certaminibus. Quippe pugilibus finis quidem eſt jucundus; corona nimirum & honores; cædi tamen moleſtum eſt: ſi quidem ex carne conſtant: ideoque illis neceſſe eſt moleſtum eſſe omnem laborem. Quia ergo magnæ eorum ſunt moleſtiæ, parva voluptas, nulla frui voluptate videntur. Idem quoque fere in fortibus videmus. Mors quippe iis & vulnera moleſta ſunt, ac propterea invitis

ΚΕΦ. Θ.

Ἔτι πεϱὶ ἀνδϱείας· ὅτι ὁ ἀνδϱεῖος πεϱὶ τὰ φοϐεϱὰ ϗ λυπηϱὰ ἐστι μᾶλλον, ἢ πεϱὶ τὰ θαϱϱαλέα ϗ ἡδέα.

ΤΙνες μὲν ȣ͂ν οἱ ἀληθῶς ἀνδϱεῖοι, ϗ τίνες οἱ δοκȣ͂ντες εἴϱηται. Ἐπεὶ δὲ πεϱὶ θάϱϱη ϗ φόϐȣς ἐστὶν ἡ ἀνδϱεία, ȣ̓χ ὁμοίως πεϱὶ ἄμφω ἐστίν. Ἀλλὰ μᾶλλον πεϱὶ τὰ φοϐεϱά. Ὁ γὰϱ πεϱὶ τὰ φοϐεϱὰ ἀτάϱαχος, μᾶλλον ἀνδϱεῖός ἐστιν, ἢ ὁ πεϱὶ τὰ θαϱϱαλέα. Μείζων γὰϱ ὁ ἀγὼν ȣ̓τος, ἢ ἐκεῖνος· τὸ γὰϱ ὑπομένειν λύπην, χαλεπώτεϱόν ἐστιν, ἢ τῶν ἡδέων ἀπέχεσθαι. Διὰ τȣ͂το ϗ λυπηϱὸν ἡ ἀνδϱεία, ὅτι ἀνδϱεῖοί εἰσιν, οἱ τὰ λυπηϱὰ ὑπομένοντες· τȣ͂το δὲ χαίϱειν ϗ ἐπαινεῖται. Εἰ γὰϱ ϗ ἡδονήν ἔχει τινὰ ὁ ἀνδϱεῖος διὰ τὸ τέλος· τὸ γὰϱ τέλος ἡδύ· ἀλλ' ὅμως ὑπὸ τῶν λυπηϱῶν, ὅις παλαίει, ϗ ταύτην ἀφανίζεσθαι συμϐαίνει. Καθάπεϱ ϗ ἐπὶ τῶν γυμνικῶν ἀγώνων ἔχει. Τοῖς γὰϱ πύκταις τὸ μὲν τέλος ἡδύ. Στέφανος γὰϱ ϗ τιμαί· τὸ δὲ τύπτεσθαι, ἀλγεινόν· σάϱκινοι γάϱ· τοῖς δὲ πόνοις λυπηϱὸν πᾶς πόνος. Ὅτι τίνων τὰ μὲν λυπηϱὰ μεγάλα, τὸ δὲ ἡδὺ μικϱὸν, ȣ̓δὲν ἡδὺ δοκȣ͂σιν ἔχειν· τοιȣ͂τον δή τι ϗ ἐπὶ τῶν ἀνδϱείων συμϐαίνει. Ὁ μὲν γὰϱ θάνατος, ϗ τὰ τϱαύματα λυπηϱὰ ἔστιν αὐτοῖς, ϗ διὰ τȣ͂το ϗ ἀκȣ́σια

στια· ὑπομένουσι δ' αὐτά, ὅτι καλὸν τὸ ὑπομένειν, ἢ ὅτι αἰσχρὸν μὴ ὑπομένειν. Καὶ τοσοῦτον μᾶλλον δοκοῦσιν, ὅσον ἂν εἶεν ἀγαθοὶ καὶ ἀνδρεῖοι, καὶ εὐδαίμονες, καὶ πᾶσαν μετελθόντες ἀρετήν. Τοῖς γὰρ τοιούτοις μάλιστα ὁ θάνατος λυπηρόν, ὅτι τὸ ζῆν πολλοῦ τινός, ἄξιον ἦν, διὰ τὸ ἄριστα ζῆν, καὶ ὡς προσῆκεν ἀνθρώπῳ, καὶ ὁ θάνατος αὐτοὺς πολλῶν ἀποστερήσει τῶν ἀγαθῶν. Διὰ τὸ μέγεθος τοίνυν τῶν λυπηρῶν, δοκεῖ τὸν ἀνδρεῖον μηδεμίαν ἡδονὴν ἔχειν· τὸ δὲ οὕτως ἀλγεῖν καὶ δάκνεσθαι ὑπὸ τῶν λυπηρῶν, οὐδὲν κωλύει ἀνδρεῖον εἶναι. Τὸ μὲν γὰρ ἡττᾶσθαι τῶν λυπηρῶν, καὶ ὑποχωρεῖν, οὐκ ἀνδρείας, τὸ δὲ δάκνεσθαι καὶ λυπεῖσθαι, οὐκ ἔτι· ὅσον γὰρ μᾶλλον λυπεῖται, καὶ λυπούμενος ὑπομένει διὰ τὸ ἀγαθόν, τοσοῦτον ἀνδρεῖος ἂν εἴη κυρίως. Ἐπεὶ καὶ ἐν πάσαις ταῖς ἄλλαις ἀρεταῖς οὐδεμία ἐνέργεια μεθ' ἡδονῆς ἐστὶ καθ' ἑαυτήν· ἀλλὰ μόνον διότι πρὸς τὸ τέλος ἀγαθὸν ἄγει, ἡδεῖα δοκεῖ τῷ ἐνεργοῦντι. Ἐν δὲ τοῖς στρατιώταις ἴσως οὐκ ἀνάγκη πᾶσαν τὴν ἀκρίβειαν τῆς ἀνδρείας ὅρον ζητεῖν. Μᾶλλον δὲ χρησιμώτεροι ἂν εἶεν πρὸς τὸν πόλεμον οἱ ἀνδρείας μὲν οὐ πάνυ μετέχοντες, τῶν ἄλλων δὲ ἀγαθῶν ἐστερημένοι. ἑτοιμότεροι γὰρ εἰσι πρὸς τοὺς κινδύνους καὶ τὸν βίον μικρῶν ἕνεκα κερδῶν προδίδοασιν· οἱ γὰρ κυρίως ἀνδρεῖοι, φρόνιμοι ὄντες, καὶ τὰ ἄλλα σπουδαῖοι, χαίρου-

eveniunt. Et tamen ea ſuſtinent, vel quod honeſtum ſit ſuſtinere vel quod non ſuſtinere ſit turpe. Ariſtot. l. 3. c. 9. Eoq; magis moleſta videntur quo magis vel boni vel fortes ſunt, vel felices, aut omni denique virtutum genere præditi. Iis quippe maxime moleſta mors eſt, quia vita eorum maxime æſtimanda eſt, cum & optime vivant, & ut oportet hominem: & quia eos plurimis privatura eſt mors bonis. Quare quia maximæ eorum ſunt moleſtiæ, nulla quoque viri fortis eſſe voluptas videtur. Atqui licet hæc moleſta ei ſint, animumque ejus vellicent, nihil obſtat quo minus ſit fortis. Succumbere enim iis aut cedere, fortis non eſt: at vero pungi ab iis aut moleſtiam ſentire, contra. Quo enim majori afficitur moleſtia, moleſtiamque tamen honeſtatis cauſa ſuſtinet, eo magis proprie fortis eſt dicendus. Quia nec in reliquis virtutibus, ulla cum voluptate per ſe eſt functio: ſed ſolummodo quia ad bonum deducit finem, jucunda quoque videtur ei, qui operatur. In militibus autem forte nec neceſſe eſt, accuratam nimis velle fortitudinis definitionem quærere: quin potius, magis ad bellum utiles futuri ſunt, qui fortitudinis vix participes, reliquis quoque virtutibus privati ſunt. Quippe cum tales ad ſubeunda maxime parati ſint pericula, & exigui cauſa lucri vitam ſuam protrudant. Nam quos proprie fortes dicimus, cum prudentes ſint, aliiſque præditi virtutibus, vitam quoque

Ariſtot. l.3. c.9. amant ſuam, quod ea ſit optima: atq; ideo non facile eam profundunt. Ac de fortitudine quidem ſatis jam dictum eſt. Quare facile erit, ex iis quæ dicta ſunt, rudem quoque aliquam illius definitionem formare.

σι· μὲν τῷ βίῳ ἑαυτῶν ἀγαθῷ ὄντι, προΐενται δὲ αὐτὸν οὐ πάνυ ῥᾳδίως. Περὶ μὲν οὖν ἀνδρείας ἱκανῶς εἴρηται. Ῥᾴδιον δὲ ἀπὸ τῶν εἰρημένων καὶ ὁρισμὸν αὐτῆς ἀποδοῦναι, ὡς ἐν τύπῳ.

CAP. X.

De temperantia.

Μετὰ δὲ ταῦτα περὶ σωφροσύνης, &c.

POſt hæc de temperantia dicamus, ut quæ aliquo modo connexa ſit cum fortitudine: quatenus utraque ejus partis eſt, quæ ratione caret.

Ὅτι μὲν οὖν μεσότης ἐστὶ, &c.

Temperantiam ergo mediocritatem eſſe quæ in voluptatibus cernitur, jam dictum eſt à nobis. In voluptatibus dico; quia licet etiam in moleſtiis, minus tamen nec eodem modo quo in iis verſatur. In his vero etiam intemperantia cernitur.

Περὶ ποίας οὖν τῶν ἡδονῶν νῦν ἀφορίσωμεν, &c.

In voluptatibus ergo cerni temperantiam jam diximus. Nunc in quibus peculialiter voluptatibus, definiemus. Voluptatum aliæ corporis ſunt, aliæ animæ. Sic in honoris ſtudio & diſcendi cupiditate, animæ conſiſtit voluptas: uterque enim & hic & ille eo delectatur quod amat, cum tamen non corpus ejus afficiatur illo, ſed mens. Qui hujuſmodi ergo voluptate delectantur, neque temperantes dicuntur, neque intemperantes. Sicut neq; quos alia delectant, quæ non ſunt corporis. Studioſos enim fabularum, aut qui aliquid libenter narrant, & in rebus nihili

ΚΕΦ. Ι.

Περὶ σωφροσύνης.

Μετὰ δὲ ταῦτα περὶ σωφροσύνης λέγωμεν· ὁμοταγὴς γάρ ἐστι τρόπον τινὰ τῇ ἀνδρείᾳ, καθόσον τοῦ ἀλόγου μέρους εἰσὶν ἀμφότεροι.

Ὅτι μὲν οὖν ἡ σωφροσύνη μεσότης ἐστὶ περὶ ἡδονὰς, εἴρηται ἡμῖν· περὶ ἡδονὰς δὲ λέγω, ὅτι εἰ καὶ περὶ λύπας ἐστὶν, ἀλλ' ἧττον, καὶ οὐχ ὁμοίως, ὡς περὶ τὰς ἡδονὰς ἔχει· ἐν τούτοις δὲ καὶ ἡ ἀκολασία φαίνεται.

Ὅτι μὲν οὖν περὶ ἡδονάς ἐστιν ἡ σωφροσύνη, εἴρηται· νῦν δὲ ἀφορίσωμεν περὶ ποίας ἐστὶ τῶν ἡδονῶν. Τῶν ἡδονῶν δὲ αἱ μέν εἰσι σωματικαὶ, αἱ δὲ ψυχικαί· ἐν γὰρ φιλοτιμίᾳ καὶ φιλομαθείᾳ ἡδοναί εἰσι ψυχικαί· ἑκάτερος γὰρ ὅ, τε φιλότιμος, καὶ ὁ φιλομαθὴς, ἥδεται ᾧ φιλεῖ, μηδὲν πάσχοντος τοῦ σώματος, ἀλλὰ μᾶλλον τῆς διανοίας. Οἱ δὲ περὶ τὰς τοιαύτας ἡδονὰς, οὔτε σώφρονες οὔτε ἀκόλαστοι λέγονται. Ὁμοίως δὲ οὐδ' οἱ περὶ τὰς ἄλλας, ὅσαι οὐκ εἰσὶ σωματικαί· τοὺς γὰρ φιλομύθους καὶ διηγητικοὺς, περὶ τὰ τυχόντα κατατρί-

βοντ

ζοντας τὰς ἡμέρας, ἀδολέσχους ὀνομάζομεν, ἀκολάστους δ' οὐδαμῶς· οὐδὲ τοὺς λυπουμένους ἐπὶ χρήμασιν ἢ φίλοις, ὅταν ἢ τούτους ἢ ἐκεῖνα ζημιωθῶσι.

Περὶ μὲν οὖν τὰς ψυχικὰς ἡδονάς, οὐκ ἔστιν ἡ σωφροσύνη· περὶ δὲ τὰς σωματικὰς εἴη ἄν· οὐ περὶ πάσας δὲ οὐδὲ ταύτας. Οἱ γὰρ χαίροντες τοῖς ἡδέσι τῶν ὁρατῶν, οἷον χρώμασι καὶ σχήμασι καὶ γραφῇ, οὔτε σώφρονες, οὔτε ἀκόλαστοι λέγονται· οὐδ' ὅσοι ψόφων τινῶν καὶ μελῶν ἐρῶσιν· οὐδ' ὅσοι τῶν ἡδέων ὀσμῶν. Καίτοι ἐν τούτοις εἰσὶ καὶ μεσότητες, καὶ τὸ ὡς δεῖ, καὶ ὑπερβολαὶ καὶ ἐλλείψεις τοῦ δέοντος. Ἀλλ' ὅμως οὔτε τοὺς μέσους σώφρονας λέγομεν, οὔτε τοὺς ὑπερβάλλοντας ἀκολάστους. Εἰ δὲ τῶν περὶ τὰς ὀσμὰς τοὺς μὲν μήλων ὀσμῆς ἐρῶντας, ἢ ῥόδων, ἢ θυμιαμάτων, οὐ λέγομεν ἀκολάστους· ἀλλὰ τοὺς μύρων καὶ ὄψων ἀκολάστους καλοῦμεν, ἀλλὰ κατὰ συμβεβηκός. Χαίρουσι γὰρ τούτοις οἱ ἀκόλαστοι· ὅτι διὰ τούτων ἀνάμνησις γίνεται αὐτοῖς τῶν ἐπιθυμητῶν. Ἴδοι δ' ἄν τις καὶ τοὺς ἄλλους, ὅταν πεινῶσιν, ἡδομένους τῇ τῶν βρωμάτων ὀσμῇ. Ὅθεν δῆλον, ὅτι οἱ ταῖς τοιαύταις ὀσμαῖς ἡδόμενοι, κατὰ συμβεβηκὸς ἥδονται· ὅτι ἀνάμνησις αὐτοῖς γίνεται τῶν βρωμάτων, καὶ τῆς ἄλλης φλυαρείας, οἷς ἥδονται οἱ ἀκόλαστοι· οὐκ ἔστι τοίνυν οὔτε τῷ ἀνθρώπῳ, οὔτε ἄλλῳ τινὶ ζώῳ κατὰ τὰς εἰρημέ-

diem conterunt, garrulos dicimus: intemperantes vero, minime. Sed neque qui pecuniarum cauſa aut amicorum dolent, cum in his aut illis damnum ſenſerint. Ariſtot. l. 3. c. 9.

Quare in voluptatibus animæ, non ſpectatur temperantia: In corporis vero verſari poteſt. Quamvis nec in omnibus his quoque. Etenim quos ea quæ viſu jucunda ſunt delectant, ut exempli gratia, colores, figuræ, aut pictura aliqua, neque temperãtes neq; intẽperantes dicuntur: ſicut neq; qui ſonitus amant aliquos aut cantus: nec qui odores jucundos. Et tamen, in his quoq; aliqua mediocritas, certuſque; & quatenus oportet, eſt terminus. Sicut exceſſus quoque illius quod oportet, & defectus. Et tamen, neque qui medium ſervant, temperantes, neque qui excedunt, intemperantes dicimus. Jam vero, in odoris voluptate, quod eos quidem, quos malorum aut roſarum aut ſuffimentorum odor delectat, intemperantes non dicimus, ſed quos unguenta aut obſonia, ſciendum illud fieri per accidens. Quoniam his delectantur intemperantes, quia ex his voluptatum ſuarum iis ſuboritur recordatio. Sicut etiam alios videmus, quos, cum eſuriunt, odor cibi delectat. Unde apparet, eos qui ejuſmodi capiuntur odoribus, delectari per accidens. Tum enim aut cibi, aut aliarum quibus delectantur ineptiarum meminiſſe intemperantes incipiunt. Quare neque homini, neque reliquis ullam animalibus ſenſus illi quos dixi-

Περὶ δὲ τὰς σωματικὰς εἴη ἂν σωφροσύνη &c.

mus voluptatem adferunt, niſi
Ariſtot. l.3. c.9 per accidens. Voluptates autem dico in quibus vel temperans ſpectatur vel intemperans. Canes etenim licet odore delectentur leporis, non hoc odoris cauſa fit, ſed cibi. Nam cum odor ille ſenſum iis feræ objiciat, ita eam perſequuntur. Sic neque odore bovis aut voce delectatur leo, ſed paſtu. Ex voce tamen intelligit, ſe prope eſſe. Neque gaudet, quod viderit invenerit-ve cervum, aut agreſtem capram, ſed quia cibum habiturus eſt.

Περὶ τὰς τοιαύτας δὲ ἡδονὰς ἡ σωφροσύνη, &c. Quare in iis demum voluptatibus, quas cum reliquis communes animalibus habemus, temperantia ſpectatur aut intemperantia. Hæ autem tactus ſunt & guſtus. Unde etiam, brutales quodammodo & ſerviles eſſe intemperantes videntur: quia in iiſdem, quibus bruta delectantur, incontinentes ſunt voluptatibus. Porro horum rurſus tactu magis quam guſtu delectantur: nam guſtu magis, omnino non, ſed tactu. Quare non in aliis tantum voluptatibus, ſed in cibo quoque intemperans ſpectatur & potu. Quibus quoque non quia guſtus objecta ſunt delectatur. modo (ſiquidem guſtus eſt proprie de ſaporibus judicare, ſicut illi faciunt qui vina guſtant, aut qui obſonia condiunt) ſed quatenus tactus, magis. Unde & Philoxenus quidam Erixius, homo helluo, guttur ſibi longius gruis gutture optabat, quod diu ſeſe quaſi tactu oblectaret cupediorum. Omnium quippe ſenſuum

τας αἰσθήσεις ἥδονη, εἰ μὴ κατὰ συμβεβηκός. Ἡδονὰς δὲ λέγω, περὶ ἃς ὁ ἀκόλαστός ἐστιν, ἢ ὁ σώφρων. Καὶ γὰρ οἱ κύνες, εἰ καὶ χαίρουσι ταῖς ὀσμαῖς τῶν λαγωῶν, ἀλλ' οὐ δι' αὐτάς, ἀλλὰ διὰ τὴν βρῶσιν. Ἀπὸ γὰρ τῆς ὀσμῆς αἴσθησιν λαμβάνοντες τῆς θήρας, διώκουσιν. Ὁμοίως δὲ καὶ ὁ λέων οὐχ ἥδεται τῇ ὀσμῇ τοῦ βοὸς, ἢ τῇ φωνῇ, ἀλλὰ τῇ βρώσει· ὅτι καὶ ἐγγύς ἐστι, διὰ τῆς φωνῆς ᾔσθετο. Οὐδὲ χαίρει ὅτι εἶδεν, καὶ εὗρεν ἔλαφον, ἢ ἄγριον αἶγα, ἀλλ' ὅτι βορὰν ἕξει.

Περὶ τὰς ἡδονὰς τοίνυν, ὧν κοινωνοῦμεν καὶ τοῖς λοιποῖς ζώοις, ἡ σωφροσύνη καὶ ἡ ἀκολασία ἐστίν· αἱ δὲ εἰσιν, ἁφὴ καὶ γεῦσις. Διὰ τοῦτο θηριώδεις τινὲς καὶ ἀνδραποδώδεις οἱ ἀκόλαστοι φαίνονται, ὅτι οἷς ἥδονται τὰ θηρία, περὶ ταῦτά εἰσιν ἀκρατεῖς. Τούτων δὲ μᾶλλον τῇ ἁφῇ ἥδονται, ἢ τῇ γεύσει. Μᾶλλον δὲ τῇ γεύσει μὲν οὐδαμῶς, ἀλλὰ τῇ ἁφῇ μόνον. Ὥστ' ἀκόλαστοι οὐ μόνον ἐν ταῖς ἄλλαις ἡδοναῖς, ἀλλὰ καὶ ἐν σιτίοις καὶ ἐν ποτοῖς. Καὶ τούτοις γὰρ οὐχ, ὡς γευστοῖς μόνον χαίρουσι· γεύσεως γάρ ἐστι τὸ κρῖναι τοὺς χυμοὺς, ὅπερ ποιοῦσιν οἱ τοὺς οἴνους δοκιμάζοντες καὶ σιτία ὄψα ἀρτύοντες, ἀλλὰ μᾶλλον ἁπτοῖς. Διὰ τοῦτο καί τις Φιλόξενος Ἐρύξιος, ὀψοφάγος ὤν, ηὔξατο τὸν φάρυγγα αὐτοῦ μακρότερον γεράνου γενέσθαι, ὡς ἡδόμενος τῇ ἁφῇ τῶν ὄψων· κοινοτάτη γάρ ἐστιν ἡ ἁφὴ ἐν πάσαις ταῖς

ταῖς αἰσθήσεσιν· ἐπεὶ καὶ ἁφῇ τινὶ πᾶσαι αἱ αἰσθήσεις αἰσθάνονται. Περὶ ταύτην δὴ τὴν ἁφὴν ἀκολασία ἐστὶ, καὶ δόξειεν ἂν δικαίως ἐπονείδιστος εἶναι, ὅτι συμβαίνει ἡμῖν, οὐ καθόσον ἐσμὲν ἄνθρωποι, ἀλλὰ καθὸ ζῶα. Τὸ δὲ τοῖς τοιούτοις χαίρειν, καὶ τούτων μάλιστα ἐφίεσθαι, θηριῶδες. Καί τοι εἰσὶ καὶ κατὰ τὴν ἁφὴν ἐλευθέριοι ἡδοναί, ἃς ὁ ἀκόλαστος ἀφῄρηται. Οἷον αἱ ἐν τοῖς γυμνασίοις διὰ τρίψεως καὶ θερμασίας γινόμεναι. Οὐ γὰρ περὶ πᾶν τὸ σῶμα, ἀλλὰ περί τινα μέρη.

maxime communis eſt tactus: ſiquidem tactu quodammodo ſenſus omnes percipimus. In hoc ergo tactu intemperantia cernitur. Atque ideo quoque inter opprobria merito ponitur: quia non qua homines ſumus, ſed qua animalia, evenit nobis. Quare talibus aut delectari, aut maxime appetere, belluinum eſt. Sunt tamen liberales quædam quæ in tactu conſiſtunt voluptates: ſed quibus privatus eſt intemperans. Ut quæ frictione in gymnaſiis & calefactione fiunt. Nec enim in toto corpore, ſed in partibus quibuſdam eveniunt. Aristot. l. 3. c. 11.

ΚΕΦ. ια΄.

Περὶ ἐπιθυμίας.

Ἐπεὶ δὲ περὶ ἐπιθυμιῶν ἀκόλουθον εἰπεῖν, ῥητέον ποσαχῶς ἡ ἐπιθυμία· ἡ μὲν οὖν ἐστι κοινὴ καὶ φυσική· ἡ δὲ ἰδία καὶ ἐπίθετος. Κοινὴ μὲν οὖν ἐπιθυμία ἐστὶ, τὸ ὀρέγεσθαι τροφῆς ξηρᾶς ἢ ὑγρᾶς, ὅταν ἐν χρείᾳ τούτων γινώμεθα· ἰδία δὲ καὶ ἐπίθετος, τὸ τοιᾶσδε ὀρέγεσθαι, ἢ τοιᾶσδε. Τοῦτο γὰρ οὐκ ἔτι φυσικὸν οὐδὲ κοινόν· οὐ γὰρ τῆς αὐτῆς πάντες ὀρέγονται, οὐδὲ ὁμοίως· ἀλλ᾽ οἱ μὲν ταύτης, οἱ δὲ ἐκείνης. Καὶ οἱ τῆς αὐτῆς ὀρεγόμενοι, οὐχ ὁμοίως ὀρέγονται, ἀλλ᾽ οἱ μὲν μᾶλλον, οἱ δὲ ἧττον. Ὥστε ἡ τοιαύτη ἐπιθυμία οὐκ ἔστι κοινὴ οὐδὲ φυσικὴ ἁπλῶς, ἀλλὰ ἐπίθετος, ὑφ᾽ ἡμῶν ἐπινοηθεῖσα. Καί τοι κατά τινα τρόπον

CAP. XI.

De cupiditate.

Quoniam ut de cupiditatibus agamus poſtulat ſeries, quotuplex ſit cupiditas, primo dicendum eſt. Alia igitur communis & naturalis eſt; alia peculiaris & aſcititia. Communis ergo eſt, cum nutrimentum, ſive ſiccum illud ſit ſive humidum, appetimus: idque cum eo opus habemus. Peculiaris vero & aſcititia, cum tale aut tale. Hoc enim, nec naturale eſt nec commune. Siquidem nec eadem omnes petunt, nec eodem modo. Alii enim hoc, alii illud. Rurſus qui idem petunt, non eodem modo petunt: ſed minus *hi*, magis illi. Quare nec communis eſt cupiditas talis, neque naturalis ſimpliciter, ſed aſcititia potius, atque à nobis excogitata. Et tamen naturalis quo-

Cap. 11. Τῶν δ᾽ ἐπιθυμιῶν αἱ μὲν κοιναὶ δοκοῦσιν εἶναι, &c.

Ariſtot. l.3.c.11.

Ἐν μὲν ταῖς φυσικαῖς ἐπιθυμίαις, &c.

quodammodo etiam hæc eſt: quia pro ratione naturæ ſuæ ſingulis ſua eſt cupiditas.

In cupiditatibus ergo pauci peccant naturalibus, & eodem modo. Cum nimirum magis cupiditati indulgent, quam oportet. Ut cum plus quam oportet edit aliquis: ſicut glutones, qui ultra quam neceſſe eſt, naturalem explent cupidinem. Tales autem fiunt, qui nimium ſerviles ſunt. In aſcititiis vero cupiditatibus & quas peculiares diximus, peccant multi, nec eodem modo. Siquidem multæ ejuſmodi cupiditatum ſunt ſpecies. Sicut ciborum quoq; & potuum ac indumentorũ variæ ſunt ſpecies: & quæcunq; natura appetimus, varia ſunt ac multiformia. Ac propterea multis quoque modis in ejuſmodi cupiditatibus peccamus: cum vel aliis quam oportet delectamur, aut magis, quam plerique. In omnibus quippe modum excedit intemperans. Nam qui aliis delectantur quam oportet, ſiquando etiam eas quas oportet admittant voluptates, magis tamen quam oportet, nec ut plerique, iis delectantur.

καὶ φυσική ἐστι, διὰ τὸ ἀκολούθως ἕκαστον τῇ ἑαυτοῦ φύσει καὶ τὴν ἐπιθυμίαν ἔχειν.

Ἐν μὲν οὖν ταῖς φυσικαῖς ἐπιθυμίαις ὀλίγοι ἁμαρτάνουσι, καὶ καθ᾽ ἕνα τρόπον· ὅταν χρῶνται ταῖς τοιαύταις ἐπιθυμίαις πλέον, ἢ προσήκεν, οἷον ὅταν πλείω τῶν μετρίων ἐσθίωσιν, ὥσπερ οἱ γαστρίμαργοι, οἵ τινες παρὰ τὸ δέον πληροῦσι τὴν φυσικὴν ἐπιθυμίαν. Τοιοῦτοι δὲ γίνονται οἱ λίαν ἀνδραποδώδεις. Ἐν δὲ ταῖς ἐπιθέτοις καὶ ἰδίαις ἐπιθυμίαις πολλοὶ ἁμαρτάνουσι, καὶ κατὰ πολλοὺς τρόπους· ἐπεὶ πολλαὶ ἰδέαι τῶν τοιούτων ἐπιθυμιῶν· πολλαὶ γὰρ ἰδέαι τροφῶν, καὶ ποτῶν, καὶ ἐνδυμάτων, καὶ τῶν ἄλλων φυσικῶν ἐπιθυμητῶν. Καὶ διὰ τοῦτο καὶ πολλαχῶς περὶ τὰς τοιαύτας ἐπιθυμίας ἁμαρτάνουσιν· ἢ χαίροντες οἷς μὴ δεῖ, ἢ πλέον ἢ κατὰ τοὺς πολλούς. Οἱ γὰρ ἀκόλαστοι κατὰ πάντα ὑπερβάλλουσι· χαίροντες γὰρ οἷς οὐ δεῖ, ἐάν ποτε καὶ τὰς δεούσας τῶν ἡδονῶν ἕλωνται, πλέον ἢ προσήκει, καὶ οὐχ ὡς οἱ πολλοί, χαίρουσιν αὐταῖς.

CAP. XII.

Quomodo in doloribus temperantia ſpectetur atque intemperantia.

ΚΕΦ. ιβ'.

Τίνα τρόπον περὶ λύπας ἐστὶν ἡ σωφροσύνη καὶ ἡ ἀκολασία.

Intemperantiam ergo quæ in voluptatibus exceſſus eſt, vituperandam eſſe, manifeſtum eſt, porro, quod ad ea quæ moleſta ſunt, non quemadmodum cum de fortitudine agebamus, dictum

Ὅτι μὲν οὖν ἡ περὶ τὰς ἡδονὰς ὑπερβολή, ἡ ἀκολασία, ψεκτόν, δῆλον· ἐν δὲ ταῖς λύπαις, οὐ καθάπερ ἐπὶ τῆς ἀνδρείας ἐλέγετο, ὅτι τὸ μὴ ὑπομένειν,

νειν, μηδὲ φέρειν, δειλία ἐστίν, οὕτω καὶ ἐπὶ τῆς σωφροσύνης, τὸ μὴ ὑπομένειν, ἀκολασία ἐστίν, ἢ τὸ φέρειν, σωφροσύνη· ἀλλ' ἔστιν ἀκολασία περὶ τὰς λύπας, ὅταν τις λυπῆται τῶν ἡδέων οὐ τυγχάνων, πλέον ἢ δεῖ, καὶ οὐχ ὡς δεῖ· καὶ σωφροσύνη ὁμοίως, ὅταν τις ὅσον δεῖ λυπῆται, καὶ ὡς δεῖ, καὶ ἐφ' οἷς δεῖ, καὶ μηδεμίαν αὐτῷ λύπην ἐπάγῃ ἡ τῶν ἡδέων ἀπουσία. Ὁ γὰρ ἀκόλαστος ἐπιθυμεῖ τῶν ἡδέων πάντων ἢ τῶν μάλιστα, καὶ ἄγεται ὑπὸ τῆς ἐπιθυμίας, ὥστε ἀντὶ πάντων τὰ ἡδέα αἱρεῖσθαι· διὸ καὶ λυπεῖται ἀποτυγχάνων τῶν ἐπιθυμητῶν· μετὰ λύπης γὰρ ἡ ἐπιθυμία. Ὥστε καὶ ἄτοπόν τι δοκεῖ, τὸ δι' ἡδονὴν λυπεῖσθαι, καὶ αἰτίαν εἶναι τὴν ἡδονὴν τοῦ ἐναντίου· ἡ μὲν οὖν περὶ τὰς ἡδονὰς ὑπερβολή, ἀκολασία ἐστίν, ὡς εἴρηται.

Ἡ δὲ ἔλλειψις ὄνομα οὐκ ἔχει, διὰ τὸ μὴ πάνυ εὑρίσκεσθαι. Οἱ γὰρ περὶ τὰς ἡδονὰς ἐλλείποντες, καὶ τοῦ δέοντος ἔλαττον ἐπιθυμοῦντες αὐτῶν, οὐ πάνυ γίνονται· σχεδὸν γὰρ ἔξω τῆς ἀνθρωπίνης φύσεώς ἐστιν ἡ τοιαύτη ἀναισθησία· καίτοι καὶ τὰ ἄλογα ζῷα διακρίνει τὰ βρώματα, καὶ χαίρει μὲν τοῖς ἡδέσι, τοῖς δὲ μὴ τοιούτοις, οὐδαμῶς· εἰ δέ τις οὐδὲν ἡδὺ νομίζει εἶναι, οὐδὲ γινώσκει διαφορὰν τῶν ἡδέων καὶ τῶν ἐναντίων, πόρρω ἂν εἴη τοῦ ἄνθρωπος εἶναι. Ἡ μὲν

à nobis fuit, ſubire ea aut ſuſtinere non poſſe, timiditatem eſſe; ita hic quoque de temperantia agitur: neque enim aut non ſuſtinere ea intemperantia, aut ſuſtinere temperantia eſt. Sed ita demum in doloribus ſpectatur intemperantia, cum aliquis plus quam oportet, aut non ut oportet, dolet ſe carere voluptatibus. Eodemque modo temperantia, cum quantum oportet, aut ut oportet, aut ob quæ oportet, triſtatur aliquis, neque ullo propterea dolore afficitur, quod voluptate caret. Etenim voluptates aut omnes maximas deſiderat intemperans. Atq; ita à cupiditate ducitur, ut reliquis præferat omnibus ea, quæ voluptatem adferunt. Quare etiam dolet quoties fruſtratur iis quæ deſideranda judicat. Cum moleſtia enim conjuncta eſt ejus cupiditas. Ac propterea abſurdum videtur, voluptatis cauſa dolere aliquem, ipſamque voluptatem contrarii cauſam eſſe. Exceſſus ergo in voluptatibus, intemperantia eſt, ut diximus. *Ariſtot. l.3.c.11.*

Defectus vero, quia raro reperitur, caret nomine. Qui namq; in voluptatibus deficiunt, aut minus quam oportet eas concupiſcunt, ſunt pauciſſimi. Quare extra naturam fere humanam relegandus ejuſmodi ſtupor videtur. Nam & reliqua quæ ratione carent animalia, cibum tamen diſtinguunt: ita ut jucundis delectetur, averſetur contraria. Quod ſi quis talis eſt, ut nihil jucundum eſſe exiſtimet, neq; à contrariis ea poſſit diſtinguere, multum hic à conditione abeſt hominis. Qua- *Ἐλλείποντες δὲ περὶ τὰς ἡδονὰς, &c.*

Ariſtot. l. 3. c. 12. Ὁ δὲ σώφρων μέσως περὶ ταῦτα ἔχει, &c.

re in voluptatibus ac moleſtiis, defectus & exceſſus, ſunt vitia. Mediocritas vero virtus, nimirum temperantia. Neque enim temperans maxime iis delectatur, quibus intemperans, ſed iis potius angitur, quibus gaudere non oportet. Sed neque quibus gaudet, magis gaudet quam oportet, neque dolet cum jucunda abſunt, neque ea concupiſcit, aut ſi, mediocriter certe, nec magis quam oportet, neque cum non oportet. Quæ vero ita jucunda ſunt, ut ad valetudinem bonumque corporis conducant habitum, aut ſaltem neque huic obſint nec illi, ea quidem appetit, ſed mediocriter, & ut oportet. Qui voluptates namque eas concupiſcit, quæ ipſi vel ut ſit, vel ut bene ſit, obeſſe videntur, ſecus appetit quam decet. Talis autem non eſt temperans, ſed ut recta præcipit ratio.

ὧν περὶ τὰς ἡδονὰς ἢ λύπας ἔλλειψις ἢ ὑπερβολή, κακία ἐστίν. Ἀρετὴ δὲ τὸ μέσον, ἡ σωφροσύνη· ὁ γὰρ σώφρων οὔτε ἥδεται μάλιστα οἷς ὁ ἀκόλαστος, ἀλλὰ μᾶλλον δυσχεραίνει πᾶσιν, οἷς οὐ δέον ἐστὶ χαίρειν· οὔτε οἷς χαίρει, μᾶλλον χαίρει τοῦ δέοντος, οὔτε λυπεῖται τῶν ἡδέων ἀπόντων, οὐδ' ἐπιθυμεῖ τῶν ἡδέων, ἢ ἐπιθυμῶν μετρίως ἐπιθυμεῖ, καὶ οὐ πλέον ἢ δεῖ, οὐδὲ ὅτε μὴ δεῖ. Ὅσα μέν τοι πρὸς ὑγίειάν ἐστιν ἢ πρὸς εὐεξίαν συντείνοντα, ἡδέα ὄντα, ἢ τὸ ἐλάχιστον οὐκ ἐμποδὼν γινόμενα τῇ ὑγιείᾳ καὶ τῇ εὐεξίᾳ, τούτων ὀρέγεται μὲν μετρίως δὲ, καὶ καθὼς δεῖ· ὁ γὰρ ἡδονῶν ἐπιθυμῶν, αἵ τινες αὐτῷ πρὸς τὸ εἶναι ἐμποδὼν γίνονται, ἢ πρὸς τὸ εὖ εἶναι, παρὰ τὸ δέον ἐπιθυμεῖ. Ὁ δὲ σώφρων οὐ τοιοῦτος, ἀλλ' ὡς ὁ ὀρθὸς λόγος.

CAP. XIII.

Intemperantiam magis ſponte eſſe quam timiditatem.

Cap. 12. Ἑκούσιον δὲ μᾶλλον ἔοικεν ἡ ἀκολασία τῆς δειλίας &c.

QUoniam ergo & intemperantia eſt ſponte, & timiditas, videndum an eodem modo ſint ſponte. Quod non videtur, cum contra magis ſponte eſſe videatur intemperantia. Timiditatis enim cauſa dolor eſt. Quia enim dolorem timemus, timidi exiſtimus. At intemperantiam voluptas creat: quibus voluptas eligendum, quid dolor fugiendum quid eſt. Quod vero rei eligendæ cauſa facimus,

ΚΕΦ. ιγ'.

Ὅτι ἡ ἀκολασία μᾶλλον ἑκούσιόν ἐστιν, ἢ ἡ δειλία.

ΕΠεὶ δὲ καὶ ἡ ἀκολασία καὶ ἡ δειλία ἑκούσιά εἰσι, ζητητέον, εἰ ὁμοίως εἰσὶν ἑκούσια. Δοκεῖ δὲ μὴ ὁμοίως, ἀλλὰ τὴν ἀκολασίαν μᾶλλον ἑκούσιον εἶναι· τῆς μὲν γὰρ δειλίας ἡ λύπη αἰτία· διὰ γὰρ τὸ φοβεῖσθαι τὴν λύπην, δειλοὶ γινόμεθα. Τὴν δὲ ἀκολασίαν ἡ ἡδονὴ ποιεῖ· ὧν ἡ μὲν ἡδονὴ αἱρετὸν, ἡ δὲ λύπη φευκτόν· ὃ δὲ διὰ τὸ αἱρετὸν ποιοῦμεν μᾶλλον

μᾶλλόν ἐστιν ἑκούσιον τοῦ διὰ τὸ φευκτὸν γινομένου· καὶ ἡ μὲν λύπη ἐξίστησι, καὶ φθείρει τὴν τοῦ ἔχοντος φύσιν, ἡ δὲ ἡδονὴ οὐδὲν τοιοῦτον ποιεῖ.

Διὰ τοῦτο καὶ ἐπονειδιστότερον ἡ ἀκολασία τῆς δειλίας· ἐπεὶ γὰρ διὰ τὸ ἑκούσιον ἀγαθὸν ἢ κακὸν, ἐπαινεῖταί τις ἢ ψέγεται, φανερὸν ὅτι τὸ κακὸν, ἢ τὸ ἀγαθὸν, καθόσον ἐστὶν ἑκούσιον, κατὰ τοσοῦτον ἐπαινεῖται μᾶλλον ἢ ψέγεται. Ἐπεὶ καὶ εὐκολώτερόν ἐστι τῆς ἀκολασίας ἀποστῆναι, ἢ τῆς δειλίας· οἱ γὰρ ἐθισμοὶ, δι᾽ ὧν τὰ τοιαῦτα κατορθοῦνται, ἐπὶ μὲν τῆς δειλίας ἐπικίνδυνοί εἰσιν· οἱ γὰρ ἐν τῷ πολέμῳ ἐθισμοὶ, καὶ ἐν ἄλλοις τισὶ φοβεροῖς, δι᾽ ὧν τὴν δειλίαν ἐκβαλλόμεθα, οὐ πόῤῥω κινδύνων· οἱ δὲ σώφρονες ἐθισμοὶ, καθάπαξ εἰσὶν ἀκίνδυνοι. Ὥστε καὶ διὰ τοῦτο μᾶλλον ἑκούσιόν ἐστιν ἡ ἀκολασία τῆς δειλίας.

Δόξειε δ᾽ ἂν οὐχ ὁμοίως ἑκούσιον εἶναι τὴν δειλίαν τοῖς καθ᾽ ἕκαστον· ἡ μὲν γὰρ δειλία, αὐτὴ δηλονότι ἡ ἕξις, ἄλυπός ἐστιν· οὐ γὰρ ἀναγκαζόμεθα παρ᾽ οὐδενὸς λυπηροῦ δειλοὶ εἶναι· ὥστε μᾶλλον ἑκούσιόν ἐστι· τὰ δὲ κατὰ τὴν δειλίαν ἔργα, ἃ ποιοῦμεν διὰ λύπην καὶ φόβον, ἀνάγκῃ τινὶ ποιοῦμεν, ἥ τις ἐξίστησιν ἡμᾶς, καὶ πείθει τὰ ὅπλα ῥίπτειν, καὶ τὰ ἄλλα ἀσχημονεῖν. Καὶ τούτου χάριν ἧττον ἑκούσιά εἰσι τὰ καθ᾽ ἕκαστον. Ἐπὶ δὲ τῆς ἀκολασίας, τὸ ἀνάπαλιν ἔχει. Αὐτὴν μὲν τὴν ἀκολασίαν οὐδεὶς ἐπιθυμεῖ,

magis ſponte eſt, quam quod fugiendæ. Adde quod dolor naturam ejus qui habet, de ſtatu ſuo dejicit ac corrumpit: cum nihil tale faciat voluptas. Ariſtot. l.3.c.12.

Quare majori vituperatione digna eſt intemperantia, quam timiditas. Nam cũ vel propter id quod ſponte bonum eſt vel malum, laudetur aut vituperetur aliquis, manifeſtum eſt malum, quoque aut bonum, quatenus eſt ſponte, laudari magis aut vituperari. Sicut facilius quoque eſt ab intemperantia abſtinere, quam à timiditate. Conſuetudo quippe, qua ejuſmodi emendantur vitia, ſi timiditatem ſpectes, cum periculo conjuncta eſt (dum enim in bello, aliave quacunque re terribili, timiditatis expugnandæ cauſa aſſueſcimus, non longe à periculis abſumus) ſi temperantiam, ſine ullo. Quare, ob hanc quoque cauſam magis ſponte eſt intemperantia, quam timiditas. Διὸ καὶ ἐπονειδιστότερον, &c

Videri autem poterit, non ſimiliter ſponte eſſe timiditas ut ſingularia. Timiditas enim, ipſe dico habitus, ſine dolore eſt: neque enim ulla eſt quæ nos timidos eſſe cogat moleſtia: quare magis ſponte eſt. At vero timiditatis opera, quæ propter dolores procedunt aut metum, neceſſitate quadam adducti facimus, quæ nos perturbat, & ut arma abjiciamus, aliaque id genus pudenda, perſuadet. Ac propterea minus ſponte eſſe videntur ſingularia. In intemperantia vero contra ſe habet. Ipſam enim nemo cupit, neque intemperans Δόξειε δ᾽ ἂν οὐχ ὁμοίως ἑκούσιον ἡ δειλία εἶναι, &c.

temperans eſſe petit: at vero intemperantiæ opera magno deſiderio faciunt. Ut minus intemperantia ſit ſponte quam ſingularia.

Ariſtot. l.3.c.12.

Hoc vero intemperantiæ nomen, ad puerilia etiam crimina transferimus: pueroſque qui peccant *ἀκολάστους* dicimus, quia ejuſmodi peccata aliquid cum ea, quam diximus, habent commune intemperantia. At vero, utrum ab utro dicatur ſcire velle, nihil ad inſtitutum noſtrum facit. Niſi forte poſterius à priori deduci, veriſimile eſſe dicendum ſit. Atque adeo à puerilibus peccatis ad hanc intemperantiam tranſlatum eſſe nomen. Idque non inepte, ſed convenienter admodum. Sicut enim caſtigare cum turpia appetit oportet puerum, ejuſque intra limites modeſtiæ redigere lubidinem: eodem quoque modo caſtiganda eſt, cum efferre ſe nimium incipit, cupiditas. Etenim & puer, niſi in officio contineatur, cum ſine modo ullo aut ſine voluptatem petat, ac præcipue ob ætatem, facile officium excedet. Et cupiditas, niſi à ratione caſtigetur, late ſe extendet. Quin etiam dum quotidie ex præſcripto cupiditatis actiones inſtituit ſuas, rationem etiam ipſam ſæpe expellet. Quare & mediocres & paucas oportet eſſe cupiditates, & quæ cum recta non pugnent ratione. Tales autem dicto audientes & *κεκολασμένας*, hoc eſt, caſtigatas, dicimus. Unde non immerito, tam in pueris quam in cupiditate, quod cum

Τὸ δ' ὄνομα τῆς ἀκολασίας, &c.

οὐδὲ βούλεταί τις ἀκόλαστος εἶναι, τὰ δὲ κατὰ τὴν ἀκολασίαν ἔργα σφόδρα ὀρεγόμενοι ποιοῦσιν. Ὥστε τὴν ἀκολασίαν ἧττον ἑκούσιον εἶναι τῶν καθ' ἕκαστα.

Τοῦτο δὲ τὸ ὄνομα τῆς ἀκολασίας, καὶ ἐπὶ τὰς παιδικὰς ἁμαρτίας φέρομεν, καὶ τοὺς ἁμαρτάνοντας τῶν παίδων ἀκολάστους καλοῦμεν. Ἔχουσι γὰρ αἱ τοιαῦται ἁμαρτίαι πρὸς τὴν εἰρημένην ἀκολασίαν ὁμοιότητά τινα· πότερον δὲ ἀπὸ ποτέρου καλεῖται, ζητεῖν, οὐδὲν πρὸς τὸν λόγον τὸν προκείμενον συντελεῖ· πλὴν ἐκεῖνο εἰπεῖν εἰκός, ὅτι τὸ ὕστερον ἀπὸ τοῦ προτέρου καλεῖσθαι μᾶλλον προσήκει, καὶ ἀπὸ τῶν παιδικῶν ἁμαρτιῶν, ἐπὶ ταύτην τὴν ἀκολασίαν τὸ ὄνομα μετενεχθῆναι. Ἔοικε δὲ οὐ κακῶς, ἀλλὰ καὶ λίαν προσηκόντως μετενεχθῆναι τὸ ὄνομα· ὥσπερ γὰρ κολάζειν δεῖ τὸν παῖδα τῶν αἰσχρῶν ὀρεγόμενον, καὶ συστέλλειν εἴσω τοῦ μετρίου τὴν ὄρεξιν αὐτοῦ, οὕτω καὶ τὴν ἐπιθυμίαν κεκολάσθαι δεῖ, πολλὴν αὔξησιν ἔχουσαν. Ὅ, τε γὰρ παῖς, εἰ μὴ παιδαγωγοῖτο, τὴν ὄρεξιν τοῦ ἡδέος ἄπληστον ἔχων, καὶ μάλιστα διὰ τὴν ἡλικίαν, ἔξω τοῦ δέοντος πεσεῖται· ἥ τε ἐπιθυμία, εἰ μὴ ὑπὸ τοῦ λόγου κολάζοιτο, ἐπὶ πολὺ ἥξει· καὶ ὑπὸ τῶν κατ' ἐπιθυμίαν ἐνεργειῶν αὐξανομένη, καὶ τὸν λογισμὸν ἐκκρούει πολλάκις. Διὸ δεῖ μετρίας τὰς ἐπιθυμίας καὶ ὀλίγας εἶναι, καὶ τῷ λόγῳ μηδὲν ἐναντιοῦσθαι. Τὰς δὲ τοιαύτας εὐπειθεῖς λέγομεν καὶ κεκολασμένας· ὥστε εἰκότως τοὐναντίον ἐπί τε τῶν παίδων καὶ τῆς ἐπιθυμίας,

θυμίας, ἀκολασία καλεῖται. Ὥσπερ γὰρ τὸν παῖδα δεῖ κατὰ τὸ πρόσταγμα τοῦ παιδαγωγοῦ ζῆν, οὕτω καὶ τὸ ἐπιθυμητικὸν κατὰ τὸν λόγον. Διὸ δεῖ τοῦ σώφρονος τὸ ἐπιθυμητικὸν συμφωνεῖν τῷ λόγῳ· σκοπὸς γὰρ ἀμφοῖν τὸ καλόν. Καὶ ἐπιθυμεῖ ὁ σώφρων ὧν δεῖ καὶ ὡς δεῖ, καὶ ὅτε· οὕτω δὲ τάττει καὶ ὁ λόγος. Ταῦτ' οὖν ἡμῖν εἰρήσθω περὶ σωφροσύνης.

his pugnat, *ἀκολασία* dicitur. Ariſtot. l.3.c.12. Nam ut puerum ex præſcripto pædagogi oportet vivere, ita partem illam quæ cupidini ſervit, ex rationis. Quare eandem quoq; in temperante partem rationi oportet reſpondere. Utriuſque enim finis eſt honeſtas. Ideoq; quæ oportet, & ut oportet, & cum oportet, concupiſcit temperans. Hoc enim & ratio præſcribit. Atque hæc quidem de temperantia dicta ſint nobis.

ARISTO-

ARISTOTELIS ETHICORUM

LIBER IV.

CAP. I. — ΚΕΦ. α.

De liberalitate.

Ariſtot. l. 4. c. 1.

Cap. 1. Λέγωμεν δ' ἑξῆς περὶ ἐλευθεριότητος, &c.

EST & liberalitas, virtus quæ ad eam animi partem refertur, in qua regnat cupiditas. Ac propterea poſtquam de temperantia egimus, de liberalitate agendum eſt. Eſt autem liberalitas, talis in pecuniis mediocritas, cum neque plus quam oportet, neque minus, ſed ut oportet, & in quibus oportet, & quorum causâ oportet eas impendimus. Laudatur enim liberalis, neq; in re bellica, neque in quibus temperans, neq; in judiciis, quemadmodum vir justus, ſed in largiendis accipiendiſque pecuniis.

Μᾶλλον δ' ἐν, &c.

In largiendo tamen magis.

Χρήματα δὲ, &c.

Pecunias autem jam dicimus ea omnia, quarum æſtimationem nummo metimur.

Περὶ ἐλευθεριότητος.

ΚΑΙ' ἡ ἐλευθεριότης δὲ τοῦ ἐπιθυμητικοῦ ἐστὶν ἀρετή. Καὶ δὴ τοῦτο μετὰ σωφροσύνην περὶ ἐλευθεριότητος λέγομεν. Ἔστι δὲ ἐλευθεριότης ἡ περὶ χρήματα μεσότης, ὅταν οὔτε πλέον τοῦ δέοντος, οὔτε ἔλαττον ἀναλίσκωμεν, ἀλλ' ὡς δεῖ, καὶ ἐφ' οἷς προσήκει, καὶ ὧν ἕνεκα. ἐπαινεῖται γὰρ ὁ ἐλευθέριος οὐκ ἐν τοῖς πολεμικοῖς, οὐδ' ἐν οἷς ἐπαινεῖται ὁ σώφρων, οὐδ' αὖ ἐν ταῖς κρίσεσιν, ὥσπερ ὁ δίκαιος, ἀλλὰ περὶ δόσιν χρημάτων καὶ λῆψιν.

Μᾶλλον δ' ἐπαινεῖται ἐν τῇ δόσει.

Χρήματα δὲ λέγομεν, πάντα, ὅσων ἡ ἀξία νομίσματι μετρεῖται.

Ἡ μὲν οὖν περὶ χρήματα μεσότης ἡ ἐλευθεριότης ἐστὶν· ἡ δὲ ὑπερβολὴ ἡ ἀσωτία· ἔλλειψις δὲ ἡ ἀνελευθεριότης.

Ἀσωτίαν δὲ οὐ μόνον τὴν περὶ τὰ χρήματα ὑπερβολὴν λέγομεν, ἀλλὰ ἐνίοτε καὶ τοὺς ἀκολάστους ἀσώτους καλοῦμεν, οἵ τινες πολλὰ δι᾽ ἀκολασίαν δαπανῶσι, καὶ ἀσωτίαν τὴν τοιαύτην κακίαν ὀνομάζομεν. Διὰ τοῦτο καὶ φαυλότατοί εἰσιν οἱ τοιοῦτοι, πολλὰς ἅμα κακίας ἔχοντες, καὶ περὶ χρήματα δὲ καὶ ἡδονὰς διεφθαρμένοι· διὰ τοῦτο οὐδὲ οἰκείως προσαγορεύονται ἑνὶ ὀνόματι μίαν κακίαν δηλοῦντι· βούλεται γὰρ ἄσωτος εἶναι ὁ ἕν τι κακὸν ἔχων, τὸ φθείρειν τὴν οὐσίαν· ἄσωτος γὰρ ὁ δι᾽ ἑαυτὸν ὀλλύμενος. δοκεῖ γὰρ ἀπώλειά τις αὐτοῦ εἶναι καὶ ἡ τῆς οὐσίας φθορά, ὡς τοῦ ζῆν διὰ τῶν χρημάτων ὄντος.

Ἀσώτους μὲν οὖν καὶ τοὺς ἀκρατεῖς καὶ εἰς ἀκολασίαν δαπανηροὺς καλοῦμεν· ἀνελευθέρους δὲ μόνους τοὺς πλέον ἢ δεῖ τῶν χρημάτων ἀντεχομένους, καὶ πρὸς τὴν ἐλευθεριότητα ἐλλείποντας.

Ἐπεὶ τοίνυν πᾶσιν, ὧν χρεία τίς ἐστιν, οἷον δόξης, ἢ τροφῆς, τούτοις δυνατὸν χρῆσθαι καὶ εὖ καὶ κακῶς· τοιοῦτον δὲ καὶ ὁ πλοῦτος· καὶ τούτου γὰρ χρεία τίς ἐστιν ἐν τῷ βίῳ· δυνατὸν ἄρα χρῆσθαι τῷ πλούτῳ καὶ εὖ καὶ κακῶς· ἐπεὶ δὲ ἑκάστῳ πράγματι ἐκεῖνος χρῆται καλῶς, ὁ ἔχων τὴν περὶ αὐτὸ ἀρετήν, καὶ τῷ πλούτῳ ἐκεῖνος χρήσεται ἀει-

Mediocritas ergo in pecuniis eſt liberalitas: ſicut exceſſus prodigalitas, defectus eſt illiberalitas. (Ariſtot. l.4. c.1. Ἔστι δὲ καὶ ἡ ἀσωτία, &c.)

Jam prodigalitatem vero non exceſſum ſolum in pecuniis dicimus, ſed & intemperantes nonnunquam prodigos vocamus, qui per intemperantiam multa profundunt. Atque hoc quoq; vitium, prodigalitatis appellamus nomine. Quare peſſimi quoque ſunt hujuſmodi, ut qui multis ſimul vitiis laborent: nec in pecuniis tantum ſed & in voluptatibus corrupti ſunt quaſi. Ac propterea, neque uno proprie nomine, quod unius peculiariter ſit vitii, appellantur. Debet enim prodigus is eſſe, qui uno hoc laborat malo, ut rem conſumat ſuam. Eſt enim prodigus, qui ſua ipſius perit opera. Videtur autem aliquo modo ſe perdere, qui rem perdit familiarem, quia ex pecuniis quodammodo vitam habemus. (Τὴν δ᾽ ἀσωτίαν &c.)

Prodigos ergo & incontinentes, & qui per intemperantiam ſua profundunt, uno nomine appellamus. Illiberales vero, eos tantum, qui plus quam oportet pecuniis adhærent, & in liberalitate deficiunt. (Καὶ τὴν μὲν ἀνελευθερίαν, &c.)

Cum igitur omnibus, quorum uſus eſt aliquis, vel bene quis uti poſſit vel male: ut puta, gloria aut cibo: taleſque ſint etiam divitiæ (nam & harum aliquis in vita uſus eſt) ſequitur ut iis quoque aut bene aliquis uti poſſit aut male. Cum autem rebus ſingulis bene utatur ille, qui propria cujuſque rei eſt virtute præditus, etiam divitiis recte utetur, (Ὧν δ᾽ ἐστὶ χρεία, &c.)

qui

Ariſtot. l. 4. c. 1. Χρῆσις δ' εἶναι δοκεῖ χρημάτων, &c.

qui earũ eſt virtute præditus. Hic autẽ eſt quem liberalem dicimus. Uſus autem pecuniarum non eſt alius, quam largiri aut expendere. Accipere enim eas & ſervare, non tam uſus videtur, quam poſſeſſio. Ideoque liberalis magis in erogandis quam in accipiendis verſatur pecuniis: magiſq; illi convenit, ut ſciat quomodo inſumere oporteat, quorum cauſa, & in quos quam quomodo accipere debeat, quorum cauſa, & à quibus. In uſu ergo pecuniarum verſatur, ut diximus. Uſus vero magis eſt dare quã accipere. Sed & magis virtus videtur, beneficio afficere, quam affici: & quæ honeſta ſunt agere, quam, quæ turpia ſunt non agere. Ejus autem qui dat eſt bene facere, & quæ honeſta ſunt agere, ſicut ejus qui accipit, beneficio affici, & turpia non agere. Accipere enim unde oportet, eſt beneficio affici, ſicut non accipere unde non oportet, eſt non turpia agere. Præterea, id quod magis laudatur, magis etiam virtuti convenit, dare autem ut oportet, quam accipere, magis laudatur: gratia quippe & laus magis ei tribuitur qui dat, quam qui non accipit. Præterea, in difficiliori verſatur virtus: difficilius autem eſt, ut oportet dare, quam accipere, aut non accipere ut oportet. Suum enim ipſius dimittere multo eſt difficilius, quam alienum remittere. Quare magis liberali conveniet, dare honeſte, quam aut non accipere, aut accipere honeſte. Siquidem nec eos, qui unde non oportet non accipi-

στα, ὁ ἔχων τὴν περὶ αὐτὰ ἀρετήν· Οὗτος δέ ἐστιν ὁ ἐλευθέριος. Ἡ δὲ χρῆσις τῶν χρημάτων οὐδὲν ἄλλό ἐστιν, ἢ δαπάνη καὶ δόσις. Ἡ δὲ λῆψις καὶ φυλακὴ οὐ χρῆσις δοκεῖ, ἀλλὰ μᾶλλον κτῆσις. Διὰ τοῦτο ὁ ἐλευθέριος περὶ τὴν δαπάνην ἐστὶ τῶν χρημάτων μᾶλλον ἢ περὶ τὴν λῆψιν, καὶ μᾶλλον αὐτῷ προσήκει τὸ εἰδέναι, ὅπως δεῖ δαπανᾷν, καὶ ὧν ἕνεκα, καὶ πρὸς οὕς, ἢ ὅπως δεῖ λαμβάνειν, καὶ ὧν ἕνεκα, καὶ παρ' ὧν δεῖ. Ἔστι μὲν γὰρ περὶ τὴν χρῆσιν τοῦ πλούτου, καθὼς εἴρηται· χρῆσις δὲ ἡ δόσις μᾶλλόν ἐστιν, ἢ ἡ λῆψις. Καὶ ἔτι μᾶλλον δοκεῖ ἀρετὴ εἶναι, τὸ εὖ ποιεῖν, ἢ τὸ εὖ πάσχειν, καὶ τὸ τὰ καλὰ πράττειν, ἢ τὸ τὰ αἰσχρὰ μὴ πράττειν· ἕπεται δὲ τῇ μὲν δόσει τὸ εὖ ποιεῖν, καὶ τὸ τὰ καλὰ πράττειν, τῇ δὲ λήψει τὸ εὖ πάσχειν, καὶ τὸ αἰσχρὰ μὴ πράττειν. Τὸ γὰρ λαβεῖν ὅθεν δεῖ, εὖ πάσχειν ἐστίν, καὶ τὸ μὴ λαβεῖν ὅθεν οὐ δεῖ, τὸ μὴ αἰσχρὰ πράττειν ἐστίν. Ἔτι, ὃ μᾶλλον ἐπαινεῖται, τοῦτο μᾶλλον ἀρετῇ προσήκει, μᾶλλον δὲ ἐπαινεῖται τὸ ὡς δεῖ διδόναι, ἢ τὸ ὡς δεῖ λαμβάνειν· ἡ γὰρ χάρις, καὶ ὁ ἔπαινος τῷ διδόντι μᾶλλον, ἢ τῷ μὴ λαμβάνοντι· ἔτι περὶ τὸ δυσχερέστερόν ἐστιν ἡ ἀρετή· δυσχερέστερον δέ ἐστι διδόναι καλῶς, ἢ λαμβάνειν, ἢ μὴ λαμβάνειν καλῶς. Τὸ γὰρ οἰκεῖον προέσθαι πολλῷ δυσχερέστερον τοῦ τὸ ἀλλότριον ἀποπέμψασθαι· μᾶλλον ἄρα προσήκει τῷ ἐλευθερίῳ διδόναι καλῶς, ἢ οὐ λαμβάνειν ἢ λαμβάνειν καλῶς· ἐπεὶ καὶ ἐλευθερίους οὐ τούτους καλοῦμεν, ὅ-

σοι

τοι οὐ λαμβάνουσιν ὅθεν οὐ δεῖ, ἀλλὰ ὅσοι διδόασιν οἷς δεῖ· ἐκεῖνοι γὰρ μᾶλλον δοκοῦσι δίκαιοι ἢ ἐλευθέριοι, καὶ διὰ τοῦτο ἐπαινοῦνται· οἱ δὲ λαμβάνοντες ὅθεν δεῖ, οὐδὲ ἐπαινοῦνται· ἐπαινεῖται γὰρ ὁ δυσχερές τι ποιῶν διὰ τὸ ἀγαθόν· ὁ δὲ λαμβάνων ὅθεν δεῖ, οὐδὲν δυσχερὲς ὑπομένει. Ἔτι φιλοῦνται οἱ ἐλευθέριοι μάλιστα τῶν σπουδαίων, ὅτι ὠφέλιμοί εἰσι· τὸ δὲ ὠφέλιμον οὐκ ἐν τῷ μὴ λαβεῖν κακῶς, ἀλλ' ἐν τῷ δοῦναι καλῶς· ὁ ἄρα ἐλευθέριος περὶ τὴν δόσιν εἶναι δοκεῖ μᾶλλον, ἢ περὶ τὴν λῆψιν· ἔστι τοίνυν ἐλευθέριος ὁ διδοὺς οἷς δεῖ, καὶ τοῦ καλοῦ ἕνεκα.

Πᾶσαι γὰρ αἱ κατ' ἀρετὴν πράξεις τοῦ καλοῦ ἕνεκα. Καὶ οὐ μόνον τοῦ καλοῦ ἕνεκα, καὶ οἷς δεῖ, καὶ ὅτε δεῖ, καὶ τ' ἄλλα πάντα ὅσα ἕπεται τῇ ὀρθῇ δόσει, ἀλλὰ καὶ ἡδέως, ἢ ἀλύπως· ὁ γὰρ μετὰ λύπης διδοὺς οὔπω ἐλευθέριος· ἐλευθερίου μὲν γὰρ ἔργον ποιεῖ, ἐλευθέριος δὲ οὔπω ἐστίν· οὔπω γὰρ εἰς ἕξιν ἦλθεν. Οὐ γὰρ ἂν ἐλυπεῖτο· τὰ γὰρ κατ' ἀρετὴν ἔργα ἢ ἡδέα ἐστὶν, ἢ ἄλυπα· ὁ δὲ διδοὺς οἷς μὴ δεῖ, ἢ οὐ τοῦ καλοῦ ἕνεκα, ἀλλὰ διά τινα ἄλλην αἰτίαν, οὐκ ἐλευθέριος, ἀλλὰ ἄλλός τις ῥηθήσεται. Ὁμοίως δὲ οὐδὲ ὁ μετὰ λύπης διδοὺς, καθὼς εἴρηται· ὁ γὰρ τοιοῦτος προτιμᾷ τὰ χρήματα τῆς καλῆς πράξεως· διὰ τοῦτο δὲ οὐκ ἐλευθέριος.

Ὁ γὰρ ἐλευθέριος δώσει

unt, ſed qui dant quibus oportet, liberales dicimus. Quia illi juſti magis quam liberales videntur: ac propterea laudantur. Qui vero unde oportet accipiunt, nè laudantur quidem. Laudatur enim qui quod difficile eſt agit, idque honeſtatis cauſa. At qui unde oportet accipit, nihil quod difficile ſit ſuſtinet. Sed & maxime, ex omnibus qui honeſte agunt, laudantur liberales, quia proſunt. Prodeſſe autem non in eo eſt, ut aliquis non accipiat male, ſed ut det honeſte. Quare in dando magis quam in accipiendo liberalitas ſpectatur. Qui ergo dat quibus oportet, idque honeſtatis cauſa, liberalis eſt. Ariſtot. l.4. c.1.

Omnes enim quæ ex virtute fiunt actiones, honeſtatis fiunt cauſa. Quamvis neq; hoc tantum requiratur, ut honeſtatis cauſa, quibuſq; oportet, & cum oportet, cæteraq; quæ ut bene det aliquis requiri ſolent: ſed & ut lubenter, & ſine moleſtia. Nam qui moleſte dat aliquid, necdum liberalis eſt. Opus enim liberalis facit, nondum tamen eſt liberalis, quia nondum conſecutus eſt habitum, quod ſi eſſet, nè moleſtum quidem hoc illi eſſet. Quæ enim ex virtutis præſcripto fiunt opera, aut jucunda ſunt, aut non moleſta. Qui vero quibus non oportet, aut non honeſtatis ergo, ſed alia aliqua de cauſa dat, non liberalis, ſed alio dicetur nomine: ut neque qui cum moleſtia dat, ſicut diximus. Talis enim honeſtæ actioni pecunias præponit: quare neq; liberalis eſſe poteſt. Αἱ δὲ κατ' ἀρετὴν πράξεις, &c.

Sicut enim dat quemadmodum Οὐδὲ λήψεται δὲ, ὅθεν μὴ δεῖ, &c.

Ariſtot. l.4. c.1.

dum recta præſcribit ratio, ita niſi à quibus oportet, liberalis non accipit: idque quia non æſtimat pecunias. Cum autem non æſtimet, ne petet quidem. Nec enim libenter beneficio afficitur, qui afficit libenter. Quare & unde oportet accipiet, à propriis nimirum pecuniis: non quia pulchrum ducit, quæſtum facere, ſed quia neceſſe eſt, ut donare poſſit. Ideoque nec facultates negliget proprias, quia ex iis prodeſſe cogitat.

Οὐδ' τοῖς τυχοῦσι δώσει, &c.

Sed neque cuilibet dabit, ut dare poſſit, quibus, & cum, & ubi oportet. Eſt autem viri valde liberalis, adeo in dando excellere, ut minora ſibi relinquat. Utilitatem quippe ſuam negligere, maximæ liberalitatis ſignum eſt. Nec enim è magnitudine eorum quæ dantur, liberalitas ſpectatur aut numero, ſed è proportione quam ad facultatem donantis ea quæ donantur habent. Hinc enim liberalitatis probatur habitus. Quare nil vetat magis liberalem eſſe, qui è parvis pauciora donat facultatibus, quam qui multa è majoribus. Plerumque autem evenit, ut qui labore non proprio rem pepererunt, ſed relictam poſſident ab aliis, liberales videantur magis: vel quod egeſtatem nunquam ſunt experti; ideoque non admodum divitiis adhærent, vel quod, ut parentes ſolent & artifices, magis amant pecunias, qui eas pepererunt. Cæterum neque admodum diteſcere poſſunt liberales, quia neque ad accipiendum admodum ſunt prom-

μένῳ, ὡς ὁ ὀρθὸς τάττει λόγος, λήψεται δ' οὐδαμῶς παρ' ὧν οὐ δεῖ λαβεῖν· ὅ, τε μὴ τιμῶν τὰ χρήματα οὔτε αἰτήσεται· οὐ γὰρ εὐχερῶς εὐεργετεῖται, ὁ φιλῶν τὸ εὐεργετεῖν· λήψεται δ' ἀφ' ὧν δεῖ, δηλονότι ἀπὸ τῶν οἰκείων κτημάτων, οὐχ ὅτι καλὸν ἡγεῖται τὸ χρηματίζεσθαι, ἀλλ' ὅτι ἀναγκαῖον πρὸς τὸ διδόναι· καὶ διὰ τοῦτο οὐδὲ τῶν ἰδίων ἀμελήσει χρημάτων, βουλόμενος διὰ τούτων τισὶν ἐπαρκεῖν:

Οὐδὲ τοῖς τυχοῦσι δώσει, ἵνα ἔχῃ διδόναι οἷς δεῖ, καὶ ὅτε, καὶ οὗ καλόν· ἔστι δὲ σημεῖον τοῦ σφόδρα ἐλευθερίου καὶ τὸ ὑπερβάλλειν ἐν τῇ δόσει τοσοῦτον, ὥστε καταλείπειν ἑαυτῷ τὰ ἐλάττω. Τὸ γὰρ μὴ πρὸς τὴν οἰκείαν χρείαν ὁρᾶν, τῆς μεγίστης ἐλευθεριότητος σημεῖόν ἐστιν· οὐ γὰρ πρὸς τὸ μέγεθος, ἢ τὸ πλῆθος τῶν διδομένων ἡ ἐλευθεριότης κεῖται, ἀλλὰ κατὰ τὴν ἀναλογίαν, ἣν ἔχουσι τὰ διδόμενα πρὸς τὴν οὐσίαν τοῦ διδόντος. Ἀπὸ τούτου γὰρ ἡ ἕξις τῆς ἐλευθεριότητος δείκνυται· ὥστε οὐδὲν κωλύει ἐλευθεριώτερον εἶναι τοῦ τὰ πολλὰ διδόντος, τὸν ἐλάττω διδόντα, ἐὰν ἀπὸ ἐλάττονος οὐσίας διδῷ. Συμβαίνει δὲ τοὺς μὴ κτησαμένους οὐσίαν ἰδίοις πόνοις, ἀλλὰ διαδεξαμένους παρ' ἄλλων, ἐλευθεριωτέρους δοκεῖν· οἱ γὰρ τοιοῦτοι ἄπειροί εἰσι τῆς ἐνδείας· καὶ διὰ τοῦτο οὐ σφόδρα ἀγαπῶσι τὸν πλοῦτον. Καὶ ὅτι καθάπερ οἱ γονεῖς καὶ οἱ ποιηταὶ μᾶλλον ἀγαπῶσι τὰ χρήματα οἱ κτησάμενοι. Οἱ δὲ ἐλευθέριοι οὐ δύνανται σφόδρα πλουτεῖν

οὔτ

τε γὰρ εὐχερεῖς εἰς τὸ λαμ-άνειν εἰσὶν, οὔτε εἰς τὸ φυ-λάττειν τὴν οὐσίαν προνοητι-κοί· ἀλλὰ μᾶλλον προετικοὶ τῶν ὄντων· καὶ οὐ τιμῶντες δι' αὐτὰ τὰ χρήματα, ἀλλ' ἕνεκα τῆς δόσεως. Διὸ καὶ ἐγ-καλοῦμεν τῇ τύχῃ, ὅτι μὴ πλουτοῦσιν οἱ ἐλευθέριοι, πλούτου ὡς χρημάτων ὄντες ἄξιοι. Τοῦτο δὲ οὐ συμβαίνει ἀλόγως· τὸν γὰρ μὴ ἐπιμελούμενον ὅπως ἔχῃ χρήματα, πῶς οἷόν τε πλουτεῖν; ὥσπερ οὐδ' ἄλλο κτήσασθαι δυνατὸν, τὸν μὴ ἐπιμελούμενον ὅπως κτή-σηται. Διὰ τοῦτο οὐδὲ ὁ ἐ-λευθέριος δυνήσεται πλου-τεῖν, μήτε ἑτέρωθεν χρήμα-τα συλλέγων, καὶ τὰ οἴκοι σκορπίζων.

Ἔτι καὶ μὴ δίδωσιν οἷς οὐ δεῖ, καὶ ὅτε μὴ δεῖ· ἵνα μὴ εἰς τὰ μὴ δέοντα ἀναλώσας ἐν-δεὴς εὑρεθῇ πρὸς τὰ δέοντα, καὶ μὴ δῷ οἷς δεῖ, καὶ ὅτε δεῖ· ἐλευθέριος γάρ ἐστι, κα-θὼς εἴρηται, ὁ κατὰ τὴν ἀνα-λογίαν τῆς οὐσίας δαπανῶν εἰς ἃ δεῖ. Ὁ δὲ ὡς ἔτυχε δι-δοὺς, ἄσωτος. Διὰ τοῦτο τοὺς τυράννους οὐ λέγομεν ἀσώτους, εἴ τοι πολλὰ καὶ ἄμετρα δι-ντας. Τὸ γὰρ πλῆθος τῆς ήσεως, τὸ πλῆθος τῶν δόσεων ὑπερβάλλειν δοκεῖ, καὶ πλείω τὴν οὐσίαν τῆς δαπάνης μβαίνει.

Ἐπεὶ τοίνυν ἡ ἐλευθεριό-μεσότης ἐστὶ περὶ χρη-των δόσιν καὶ λῆψιν, ὁ ευθέριος καὶ δώσει καὶ δαπα-ήσει εἰς ἃ δεῖ, καὶ ὅσα καὶ ἐν μικροῖς καὶ ἐν με-λοις ὁμοίως, καὶ ἀμφότε-

pti: neque ad ea quæ habent conſervanda ſatis ſunt providi: ſed potius ad erogandum parati. Quia non per ſe æſtimant pecunias, ſed ut donare poſſint. Quare fortunam quoque accuſare ſolemus; quoties opibus deſtitui liberales videmus; quia facultatibus opibuſq; ſunt digniſſimi. Quod tamen non fit ſine ratione. Nam qui non dat operam ut diteſcat, quid mirum eſt hunc non diteſcere? cum neque aliud quicquam ſine cura quiſquam poſſideat aut labore. Ideoque nec diteſcet facile liberalis: cum nec opes aliunde conquirat, & quas habet diſſipet. Ariſtot. l. 4. c. 1.

Sed neque donat eas, quibus non oportet, neque cum non oportet. Quod propterea facit, ne ſi ubi non opus eſt eas conſumat, poſtea ubi opus eſt non habeat: atque ita, quibus, aut cum oportet, dare nequeat. Eſt enim liberalis, ut dictum eſt, qui pro ratione opum ſuarum ſumptus facit, ubi oportet. Qui vero ſine diſcrimine, eſt prodigus. Ideoque nec tyrannos prodigos dicimus, licet multa donent & ſine modo. Quia facultatum magnitudo donorum excedere videtur magnitudinem, ſemperque plura ſunt quæ poſſident, quam quæ impendunt. Οὐ μὴν δώσει γε οἷς οὐ δεῖ, &c.

Cum in dandis ergo accipiendiſque opibus mediocritas ſit, liberalitas, ideo quoque in ea quæ oportet, & quantum oportet, dabit expendetque liberalis. Quin & in magnis juxta ac parvis ſimiliter: ſed & utrumq; Τῆς ἐλευθεριότητος δὴ μεσότητος οὔσης, &c.

Ariſtot. l. 4. c. 1.

libenter faciet: ut vel donet ex præſcripto rectæ rationis, vel accipiat. Quia mediocritas in dando & accipiendo eſt liberalitas. Sequitur autem ut qui dat honeſte, accipiat quoque honeſte, & utrumque quidem cum voluptate.

Ἐὰν δὲ παρὰ τὸ δέον καὶ τὸ καλῶς ἔχον συμβαίνῃ, &c

Quare dolebit quoque, ſi vel non donarit ut oportet, vel non acceperit: idque modice, & ut oportet. Sed & libenter cum aliis communicat quæ habet, nec moroſum in eo ſe præbet, aut difficilem: quia cum pecunias contemnat, non admodum curat, ſi aut injuria in iis afficiatur aut damno. Contra vero gravius ferre ſolet, ſi cum ſumptum facere neceſſe eſt, non fecerit, quam ſi quid cum neceſſe non eſt, conſumpſerit. Nam cum aliquid quod non neceſſe eſt conſumpſerit, pecuniarum damnum patitur, quod non ita tangit liberalem. At ſi aliquid ubi neceſſe eſt non conſumpſerit, in officio peccat, ideoq; hoc virtutis damnum eſt, ac propterea magis dolet. Quare nec Simonidis admittit conſilium, qui contra ſuadet. Prodigus vero in voluptate ſemper peccat & dolore. Neque enim, in quibus oportet, gaudere ſolet, nec quemadmodum. De quo planius in ſequentibus agetur.

ερα ἡδέως ποιήσει, τό, τε δοῦναι, καὶ τὸ λαβεῖν κατὰ τὸν προσήκοντα λόγον· μεσότης γάρ ἐστιν ἡ ἐλευθεριότης περί τε λῆψιν καὶ δόσιν. Ἕπεται δὲ τῷ διδόντι καλῶς καὶ λαμβάνειν καλῶς, καὶ ἄμφω μὲν ἡδονῆς.

Ὥστε λυπήσεται, ἐὰν μὴ δῷ ἢ μὴ λάβῃ κατὰ τὸν προσήκοντα λόγον· καὶ τοῦτο δὲ μετρίως καὶ ὡς δεῖ. Ἔστι δὲ ὁ ἐλευθέριος καὶ εὐκοινώνητος ἐν τοῖς χρήμασι, καὶ ἡδύς ἐστιν ἐν ταῖς περὶ τὰ χρήματα κοινωνίαις, ὅτι χρημάτων καταφρονῶν οὐ πάνυ ἄχθεται ἀδικούμενος καὶ ζημιούμενος. Μᾶλλον γὰρ ἄχθεται εἴ τι προσῆκον ἀναλῶσαι οὐκ ἀνάλωσεν, ἢ εἴ τι προσῆκον μὴ ἀναλῶσαι, ἀνάλωσε. Τὸ μὲν γὰρ δαπανῆσαι ποτὲ παρὰ τὸ δέον, περὶ χρήματά ἐστιν ἡ ζημία, καὶ οὐ τοσοῦτον λυπεῖ τὸν ἐλευθέριον· τὸ δὲ μὴ εἰς τὸ δέον δαπανῆσαι, περὶ τὸ δέον καὶ τὴν ἀρετὴν ἡ ζημία γίνεται· καὶ διὰ τοῦτο μᾶλλον λυπεῖ· ὥστε οὐδὲ τὴν Σιμωνίδου λέγεται προσίεσθαι, τἀναντία ὑποτιθεμένου. Ὁ δὲ ἄσωτος περὶ τὴν ἡδονὴν ἀεὶ καὶ τὴν λύπην διαμαρτάνει· οὔτε γὰρ ἥδεται ἐφ' οἷς δεῖ, καὶ οὐχ ὡς δεῖ· φανερώτερον δὲ ἐν τοῖς ἑξῆς ῥηθήσεται.

CAP. II.

Majus malum eſſe illiberalitatem, quam ſit prodigalitas.

*Εἴρηται δ' ἡμῖν ὅτι ὑπερβολαὶ, &c.

Mediocritas ergo eſt liberalitas, quemadmodum ex-

ΚΕΦ. β'.

Ὅτι χεῖρον κακὸν ἡ ἀνελευθεριότης τῆς ἀσωτίας.

Ἔστι μὲν οὖν ἡ ἐλευθεριότης μεσότης, ὑπερβολὴ

λὴ δὲ ἡ ἀσωτία, ἔλλειψις δὲ ἡ ἀνελευθεριότης. Ἡ μὲν οὖν ἀσωτία τῷ διδόναι καὶ μὴ λαμβάνειν ὑπερβάλλει, τῷ δὲ λαμβάνειν ἐλλείπει· ἡ δὲ ἀνελευθεριότης τῷ λαμβάνειν ὑπερβάλλει, τῷ δὲ διδόναι ἐλλείπει.

Ἀμφοτέρων δὲ οὐσῶν ἔξω τοῦ δέοντος χείρων ἐστὶν ἡ ἀνελευθεριότης τῆς ἀσωτίας. Ἡ γὰρ ἀσωτία πρῶτον μὲν οὐ δύναται παραμένειν, ἀλλὰ εὐχερῶς ἀφίσταται, τῆς ὕλης δαπανηθείσης (ὁ γὰρ πλοῦτος ταχέως ἐπιλείπει τοὺς δαπανῶντας ἰδιώτας, διδόντας μὲν ἀμέτρως, λαμβάνοντας δὲ οὐδαμόθεν) ἡ δὲ ἀνελευθεριότης, οὐδαμῶς. Οὔτε γὰρ αὐξομένου τοῦ πλούτου βελτίων ὁ ἀνελεύθερος γίνεται, καὶ δαπανωμένου πολλῷ χείρων. Ἔπειτα καὶ ὑπὸ τῆς ἡλικίας, καὶ ὑπὸ τῆς πείρας τῶν ἀπὸ τῆς ἀπορίας κακῶν ἰαθῆναι τὸν ἄσωτον δυνατὸν, καὶ πρὸς τὸ μέσον ἐλθεῖν· ἐγγὺς γάρ ἐστι τοῦ μέσου. (καὶ γὰρ δίδωσι, καὶ οὐ λαμβάνει· εἰ καὶ μὴ ὡς δεῖ, καὶ οἷς οὐ δεῖ) ὥστε εἰ τοῦτο μόνον ἐθισθείη, διδόναι οἷς δεῖ, καὶ ὡς δεῖ, εἴη ἂν ἐλευθέριος· καὶ δώσει οἷς δεῖ, καὶ οὐ λήψεται ὅθεν οὐ δεῖ. Διὰ τοῦτο ὁ ἄσωτος οὐ δοκεῖ φαῦλός τις εἶναι τὸ ἦθος· οὐ γὰρ μοχθηροῦ καὶ ἀγεννοῦς τὸ ὑπερβάλλειν ἐν τῷ διδόναι καὶ μὴ λαμβάνειν, ἠλιθίου δέ. Διὰ τοῦτο βελτίων ὁ ἄσωτος τοῦ ἀνελευθέρου, καὶ διὰ τὰ εἰρημένα, καὶ ὅτι ὁ μὲν ἄσωτος πολλοὺς ὠφελεῖ, ὁ δὲ

cessus prodigalitas, defectus est illiberalitas. Jam vero in dando & non accipiendo prodigalitas excedit, in accipiendo deficit. Sicut in accipiendo illiberalitas excedit, in dando autem deficit. Aristot. l.4. c.1.

Cum autem extra viri boni officium ſit utraque, pejor tamen prodigalitate est illiberalitas. Primum enim diu permanere nequit, ſed exhauſta materia ſua, cito quoque deficit prodigalitas (facile enim homines plebeios, qui aſſiduos ſumptus faciunt, facultates deſtituunt: ſi præſertim ſine fine donent & modo, neque quicquam aliunde accipiant) nentiquam vero illiberalitas. Neque enim ſi creſcant opes, melior illiberalis efficitur, & ſi exhauſta deficere incipiant, multo deterior. Præterea, ab ætate eorumque quæ paupertatem ſequi ſolent malorum experientia, ſanari poteſt prodigus, & ad medium redire: a quo non longe abeſt; dat enim & non accipit, quamvis non quemadmodum oportet, & quibus. Quare ſi huic tantum poſſet aſſueſcere, ut nimium quibus oportet daret, & quemadmodum, liberalis eſſet: nam & quibus oportet daturus eſſet, neque unde non oportet acciperet. Quare nec mala indole videtur eſſe prodigus. Non enim improbi eſt aut degeneris in dando excedere, neque quicquam accipere, ſed ſtolidi. Ideoq; melior illiberali eſt prodigus: cum propter ea quæ dicta ſunt, tum quia prodigus multis prodeſt, illibe- Τὰ μὲν ἐν τῆς ἀσωτίας, &c.

Ariſtot. l.4.c.1.

rális vero nemini, ac nè ſibi ipſe quidem. Prodigum enim jam intelligo, qui dando quidem excedit, non dando autem deficit: quam ſupremum eſſe reſpectu illiberalis ſuppoſuimus. Multi enim & prodigi ſunt & illiberales, qui accipiendo ſimul deficiunt & dando. Fiunt quippe partim ad accipiendum proclives, quia volunt quidem expendere, hoc autem facile facere non poſſunt: cito enim eos facultates deficiunt; ideoque aliunde coguntur ſibi comparare. Partim etiam quod, ſiquidem de officio ſolliciti non ſunt, neque quid fieri debeat reſpiciunt, undique & occaſione qualibet, accipiunt. Nihil enim aliud quam dare deſiderant: quomodo vero & unde oporteat accipere quod detur, nihil habent penſi. Quare neque liberalis eſt eorum donatio, quia neq; honeſta eſt, neq; honeſtatis cauſa ſuſcipitur, neq; ut oportet. Interdum enim quos pauperes eſſe oportebat divitiis cumulant: viris vero bonis & qui moderate vivunt, nè hilum quidem darent. Quin etiam adulatoribus, & qui in aliis ipſis adminiſtri ſunt voluptatibus, multa largiuntur. Quare etiam intemperantes ſunt plerumque prodigi. Nam quia non ex præſcripto vivunt rationis, ad voluptatem declinant: quia vero aſſueverunt multa impendere, etiam intemperantiæ ſuæ ſumptus indulgent. Quare & admodum intemperantes ſunt. Prodigus ergo cum ſine cura ulla vivat ac diſciplina, eo quo dixi, nequitiæ prolabitur; ſi vero ad diſciplinam accedat & cura,

ἀνελεύθερος οὐδένα, ἀλλ' οὐδὲ ἑαυτόν. Ἄσωτον δὲ λέγω, ὃς ὑπερβάλλει μὲν τῷ διδόναι, ἐλλείπει δὲ τῷ μὴ διδόναι, ὃν ὑπεθέμεθα ἄκρον εἶναι πρὸς τὸν ἐλευθέριον. Πολλοὶ γὰρ ἄσωτοι καὶ ἀνελεύθεροί εἰσιν, ὑπερβάλλοντες ὁμοίως καὶ τῷ λαμβάνειν καὶ τῷ διδόναι· ληπτικοὶ γάρ εἰσι διὰ τὸ βούλεσθαι μὲν ἀναλίσκειν, εὐχερῶς δὲ τοῦτο μὴ ποιεῖν. Ταχέως γὰρ ἐπιλείπει αὐτοὺς τὰ ὑπάρχοντα, καὶ ἀναγκάζονται ἑτέρωθεν πορίζειν· ἅμα δὲ καὶ διὰ τὸ μὴ φροντίζειν τοῦ δέοντος, πανταχόθεν, καὶ ὡς ἔτυχε, λαμβάνουσι. Διδόναι γὰρ ἐπιθυμοῦσι μόνον, τὸ δὲ πῶς δεῖ, καὶ πόθεν λαμβάνοντας, οὐδὲν προσδιαφέρει. Διὰ τοῦτο οὐδὲ ἐλευθέριοί εἰσιν αἱ δόσεις αὐτῶν· οὐ γὰρ καλαὶ, οὐδὲ τοῦ καλοῦ ἕνεκα, οὐδὲ ὡς δεῖ· ἀλλ' ἐνίοτε οὓς δεῖ πένεσθαι, τούτους πλουσίους ποιοῦσι, τοῖς δὲ μετρίοις τὰ ἤθη οὐδὲν ἂν δοῖεν. Τοῖς κόλαξι δὲ, ἢ ἄλλην τινὰ ἡδονὴν αὐτοῖς πορίζουσι, πολλὰ παρέχουσιν. Διὸ καὶ ἀκόλαστοι εἰσιν ὡς ἐπὶ τὸ πλεῖστον οἱ ἄσωτοι. Διὰ γὰρ τὸ μὴ ζῆν κατὰ λόγον, πρὸς τὰς ἡδονὰς ἀποκλίνουσι· διὰ δὲ τὸ εἰθίσθαι πολλὰ δαπανᾶν, καὶ εἰς τὰς ἀκολασίας δαπανηροὶ γίνονται· ὥστε σφόδρα ἀκόλαστοι εἰσί. Ὁ μὲν ἂν ἄσωτος ἀπαιδαγώγητος γενόμενος, εἰς τοσοῦτον χωρεῖται πονηρίας, παιδαγωγηθεὶς δὲ καὶ τυχὼν ἐπιμελείας, εἰς

τὸ

τὸ μέσον ἀφικέσθαι δύναται.

Ἡ δὲ ἀνελευθεριότης ἀνίατός ἐστιν· οὐ γάρ ἐστιν ἐλπὶς ἀπὸ πλείονος πείρας ἢ ἡλικίας τινὸς, βελτίονα γενέσθαι τὸν ἀνελεύθερον. Τὸ γὰρ πεῖραν λαβεῖν τῶν ἐν τῷ βίῳ, καὶ τὸ γῆρας, καὶ τὰ ἐκ τοῦ γήρως κακὰ, καὶ πᾶσα ἀδυναμία, καὶ κακοπάθεια, πολλῷ μείζω ποιεῖ τὴν ἀνελευθεριότητα. Καὶ ἄλλως δὲ μᾶλλον πεφύκασιν οἱ ἄνθρωποι πρὸς τὴν ἀνελευθεριότητα, ἢ πρὸς τὴν ἀσωτίαν· οἱ γὰρ πλεῖστοι τῶν ἀνθρώπων φιλοχρήματοι καὶ ἀνελεύθεροί εἰσι· διδόασι δὲ οὐ σφόδρα πολλοὶ, ἐλάχιστοι δὲ οἱ ἄσωτοι. Διὰ τοῦτο τοίνυν πολλῷ βελτίων ἡ ἀσωτία τῆς ἀνελευθεριότητος· φαίνεται γὰρ ἀπὸ τούτων ἐγγύτερον οὖσα τοῦ μέσου.

Καὶ χωρὶς δὲ τούτων καὶ πολυειδές τι κακὸν ἡ ἀνελευθεριότης· πολλοὶ γὰρ τρόποι δοκοῦσι τῆς ἀνελευθεριότητος εἶναι. Ἐπεὶ γὰρ περὶ λῆψιν καὶ δόσιν ἐστὶν, οἱ μὲν τῶν ἀνελευθέρων περὶ τὴν δόσιν φαύλως ἔχουσιν, οἱ δὲ περὶ τὴν λῆψιν· οἱ μὲν γὰρ οὔτε οὐδενὶ διδόασιν, οὔτε λαμβάνειν βούλονται παρ᾽ οὐδενός. Οἱ μὲν διά τινα ἐπιείκειαν, καὶ ἵνα μὴ ἀναγκασθῶσι πρᾶξαί τι αἰσχρὸν, οἱ δὲ φοβούμενοι, μή ποτε καὶ δοῦναί ποτε ἀναγκασθῶσιν, διότι λαμβάνουσιν. Ἀγαπῶσιν οὖν τῷ μήτε λαμβάνειν μήτε διδόναι.

Καλοῦνται δὴ οὗτοι φειδωλοὶ, γλίσχροι, κίμβικες, ὅσοι ἐν δόσει ἐλλείπουσι· τούτων δὲ καὶ ὁ κυμινοπρίστης.

ad officium poteſt redire.

Contra vero nullam admittit medicinam illiberalitas. Neq; enim ſpes eſt, ut ab experientia majori aut ætate fiat melior illiberalis. Earum quippe rerum quæ in vita ſe offerunt experientia, ſicut & ſenectus, & quæ ſenectutis mala ſunt, omniſque impotentia & miſeria, illiberalitatem ſemper augent. Adde quod per ſe ad illiberalitatem magis quam ad prodigalitatem inclinant homines. Pecuniarum enim ſtudioſi ſunt plerique hominum & illiberales: neque multi ſunt qui donant: & exiguo admodum numero ſunt prodigi. Quare multo quoque melior illiberalitate videtur prodigalitas: quia ex his apparet ſatis, propius eam abeſſe à medio.

Ariſtot. l. 4. c. 1. Ἡ δὲ ἀνελευθερία ἀνίατός ἐστι, &c.

Præter hæc, multiforme malum eſt illiberalitas. Multi namque ejus modi videntur. Cum enim in accipiendo verſetur & dando, alii eorum in dando, alii in accipiendo male verſantur. Alii namque neque dant cuiquam, neque accipere quidquam volunt ab ullo. Quorum nonnullos eo adducit naturæ probitas, nè quicquam turpe aut ſe indignum committere cogantur: quoſdam metus, nè dare quicquam cogantur, quia accipiunt. Quare neque dare malunt nec accipere.

Πολλοὶ γὰρ τρόποι δοκοῦσι τῆς ἀνελευθερίας εἶναι, &c.

Dicuntur autem hi, parci, tenaces, ſordidi, quicunque dando deficiunt. Inter quos eſt cuminiſector, quem vocant,

Οἱ μὲν γὰρ ἐν ταῖς τοιαύταις, &c.

Ariſt. l. 4 c. 1
Οἱ δ᾽ ἂν κατὰ τὴν, &c.

Alii rurſus accipiendo excedunt, qui res turpes quaſcunque vel agunt vel ferunt, ut aliquid accipiant; idque neque ut oportet, neque à quibus. Et hi quidem omnes turpilucres dicuntur. Quales ſunt, exempli gratia, lenones, fœneratores, aleatores, præmiatores, & latrones. Quorum nemo eſt qui non lucri cauſa & quidem exigui, maximam ſubeat infamiam. Nam qui magni cauſa lucri hæc & ejuſmodi faciunt, quique nec unde, nec quemadmodum oportet accipiunt, non turpilucres, ſed improbi dicuntur, & impii & injuſti. Quales ſunt tyranni, & qui urbes vaſtant, aut templa ſpoliant. Aleator enim, exempli gratia, unde non oportet, accipit: ab amicis nimirum, quibus dare oportebat; parva tamen: ac propterea inter turpilucres cenſetur. Sic & magna quidem pericula ſubit latro, parvi tamen lucri cauſa. Ut & præmiator, & ſi quis præterea talis.

Εἰκότως δὲ τῇ ἐλευθεριότητι, &c.

Merito ergo liberalitati contraria dicitur illiberalitas: tum quod longius abſit ab ea, quam prodigalitas (magis enim illi eſt contraria, quia magis malum eſt quam prodigalitas) tum quod pluribus modis in hac quam in prodigalitate peccent homines.

Ἕτεροι δὲ τῇ λήψει ὑπερβάλλουσιν, ὅσοι πάντα τὰ αἰσχρὰ καὶ ποιοῦσι καὶ πάσχουσιν, ἵνα τι λάβωσιν, οὐχ ὡς δεῖ, οὐδὲ παρ᾽ ὧν δεῖ. Οὗτοι δὲ πάντες αἰσχροκερδεῖς καλοῦνται. Οἷοί εἰσιν οἱ πορνοβοσκοὶ, καὶ οἱ τοκισταὶ, καὶ οἱ κυβευταὶ, καὶ οἱ λωποδύται, καὶ οἱ λῃσταί· πάντες γὰρ ἕνεκα κέρδους καὶ τούτου μικροῦ, μεγάλα ὑπομένουσιν ὀνείδη· οἱ γὰρ μεγάλων ἕνεκα κερδῶν τὰ τοιαῦτα ὑπομένοντες καὶ λαμβάνοντες ὅθεν οὐ δεῖ, οὐδὲ ὡς δεῖ, οὐχ αἰσχροκερδεῖς, ἀλλὰ πονηροὶ, καὶ ἀσεβεῖς, καὶ ἄδικοι καλοῦνται. Οἷοί εἰσιν οἱ τύραννοι, καὶ οἱ τὰς πόλεις πορθοῦντες, καὶ ἱερὰ συλῶντες· ὁ γὰρ κυβευτὴς λαμβάνει μὲν ὅθεν οὐ δεῖ· παρὰ τῶν φίλων γὰρ, οἷς δεῖ διδόναι· μικρὰ δὲ, καὶ διὰ τοῦτο αἰσχροκερδής. Καὶ ὁ λῃστὴς μεγάλους μὲν ὑπομένει κινδύνους, ἀλλὰ μικροῦ λήμματος ἕνεκα. Ὁμοίως καὶ ὁ λωποδύτης, καὶ εἴ τις ἄλλος τοιοῦτος.

Εἰκότως οὖν ἡ ἀνελευθερία τῇ ἐλευθεριότητι ἐναντίον λέγεται· ὅτι τε μᾶλλον ἀφέστηκεν αὐτῆς, ἢ ἡ ἀσωτία, ἐναντιώτερον γάρ ἐστιν αὐτῆς, διότι μεῖζον κακόν ἐστιν, ἢ ἡ ἀσωτία· καὶ ὅτι κατὰ πλείονας τρόπους ἁμαρτάνουσιν οἱ ἄνθρωποι περὶ ταύτην, ἢ περὶ τὴν ἀσωτίαν.

ΚΕΦ. γ'. — CAP. III.

Ariſtot. l. 4. c. 2.

Περὶ μεγαλοπρεπείας.

Περὶ μὲν οὖν ἐλευθεριότητος, καὶ τῶν ἀντικειμένων κακιῶν, τοσαῦτα εἰρήσθω· ἀκόλουθον δ' ἂν εἴη μετὰ ταῦτα περὶ μεγαλοπρεπείας διεξελθεῖν· ἔοικε γὰρ ἡ μεγαλοπρέπεια τῇ ἐλευθεριότητι, καθόσον καὶ αὐτὴ περὶ χρήματά ἐστι, καὶ περὶ δαπάνας χρημάτων.

Διαφέρει δὲ, ὅτι ἡ μὲν ἐλευθεριότης καὶ περὶ δόσεις, καὶ περὶ λήψεις, καὶ δαπάνας ἐστίν· ἡ δὲ μεγαλοπρέπεια περὶ δαπάνας μόνον. Καὶ ἡ μὲν ἐλευθεριότης περὶ δαπάνας ὀλίγων χρημάτων καὶ μικρῶν, ἡ δὲ μεγαλοπρέπεια περὶ μεγάλων καὶ πολλῶν. Καθάπερ δηλοῖ καὶ αὐτὸ τὸ ὄνομα τῆς μεγαλοπρεπείας· ἔστι γὰρ δαπάνη μεγέθει πρέπουσα· τὸ δὲ μέγεθος οὐκ ἔστι τὸ αὐτὸ πᾶσι τῆς δαπάνης. Οὐ γὰρ τὸ αὐτὸ μέγεθος πᾶσι προσήκει, ἀλλὰ ἀνάλογον· οὐ γὰρ τὸ αὐτὸ δαπάνημα προσήκει τριηράρχῳ, καὶ τῷ ἀρχιθεωρῷ· ἀλλ' ἑκατέρῳ τὸ πρέπον τῷ μεγέθει τῆς ἀρχῆς, ὅπερ ἑκάτερος ἀναλώσας ὡς δεῖ, καὶ περὶ ἃ δεῖ, μεγαλοπρεπὴς λέγεται. Ὁ γὰρ τὰ πρέποντα μὲν δαπανῶν καὶ ἑαυτῷ καὶ τῷ λαμβάνοντι, μὴ μεγάλα δὲ, οὐ λέγεται μεγαλοπρεπὴς, ἀλλὰ ἐλευθέριος· οἷός ἐστιν ὁ λέγων, Πολλάκι δόσκον ἀλήτῃ· ἀλλ' ὁ μεγάλα δαπανῶν, καὶ πρέποντα καὶ ἑαυτῷ καὶ τῷ λαμβάνον-

De magnificentia.

Cap. 2. Δόξειεν δ' ἂν ἀκόλουθον εἶν, &c.

AC de liberalitate quidem vitiiſque oppoſitis dictum ſit hactenus. Sequi autem videtur, ut de magnificentia deinceps agamus. Similis enim liberalitati eſt magnificentia, quatenus & ipſa in pecuniis iiſque recte expendendis verſatur.

Οὐχ ὥσπερ δ' ἡ ἐλευθεριότης διατείνει, &c.

Hoc rurſus differunt, quod in accipiendo, dandoque & ſumptu faciendo, liberalitas verſetur, in ſumptu faciendo tantum magnificentia. Deinde, in paucis nec ita magnis ſumptibus verſatur liberalitas; in magnis contra multiſque magnificentia. Quemadmodum ipſum quoque magnificentiæ nomen indicat. Eſt enim ſumptus magnitudine decorus. In omnibus autem non eadem ſumptus eſt magnitudo. Neque enim eadem convenit omnibus, ſed pro ratione. Sicut neque idem ſumptus triremium & ſpectaculorum convenit præfecto; ſed qui imperii utriuſque convenit magnitudini, quam uterque cum ut oportet impendit, & in quibus oportet, magnificus vocatur. Qui enim convenienter tum ſibi tum accipienti impendit, neque magna tamen, nondum magnificus dicitur, ſed liberalis. Qualis ille eſt, qui ait:

Mendico dare ſæpe ſolebam,

Sed qui tum magna, tum quæ ſibi conveniunt, & accipienti,

Ariſtot. l. 4. c. 2.

Ita ut magnificus ſit liberalis, liberalis tamen non ſit ſemper magnificus.

Τῆς τοιαύτης δὲ ἕξεως ἡ μὲν ἔλλειψις, &c.

Hujus vero habitus, defectus quidem indecora parſimonia, exceſſus autem inepta magnificentia & elegantiæ ignorantia vocatur, & ſi quæ ejuſmodi ſunt, quæ committuntur, non quod ſumptus idonei magnitudine excedant magnificentiam, ſed quod in quibus non oportet, & non ut oportet, eos impendant. Et de iis quidem quæ utrinque eam cingunt vitiis, poſtea accuratius agemus. Nunc de magnificentia dicamus.

Ὁ δὲ μεγαλοπρεπὴς ἐπιστήμονι ἔοικε, &c.

Homini porro ſcientia prædito ſimilis eſt magnificus, quia ex rationis præſcripto omnia conſiderat, & ad normam quaſi idoneam ſingula diſponit. Quare ſumptus quidem faciet magnos, ſed concinne, & ut oportet. Eæ namque quæ ſecundum habitum ſunt functiones, habitum ſequuntur, ideoque, ut in principio diximus, functionibus quoque definitur habitus. Itaq; ſumptus quoque hominis magnifici & magni ſunt, & quæ tum ipſi magnifico, tum operi etiam cujus cauſa impenduntur, quod magnum quoque oportet eſſe, conveniunt. Atq; ita ſumptus operi, opus reſpondebit ſumptibus. Quod ſi alterum neceſſe erit excedere, id opus erit: hoc enim magis convenit magnifico. Sumptus autem hos faciet, primum honeſtatis cauſa, quod quidem omnibus commune eſt, qui virtute aliqua ſunt præditi: deinde etiam libenter ac prolixè, neque ſubducta nimis accurate

πῆ. Ὥστε τὸν μὲν μεγαλοπρεπῆ καὶ ἐλευθέριον εἶναι, τὸν δὲ ἐλευθέριον, οὐ πάντως μεγαλοπρεπῆ.

Ταύτης δὲ τῆς ἕξεως ἡ μὲν ἔλλειψις μικροπρέπεια καλεῖται, ἡ δὲ ὑπερβολὴ, βαναυσία καὶ ἀπειροκαλία, καὶ ὅσαι τοιαῦται, αἵ τινες γίνονται οὐ διὰ τὸ ὑπερβάλλειν τῇ μεγαλοπρεπείᾳ τῷ μεγέθει τῆς δαπάνης τῆς προσηκούσης, ἀλλὰ τῷ δαπανᾶν ἐν οἷς οὐ δεῖ, καὶ οὐχ ὡς δεῖ. Καὶ περὶ μὲν τῶν παρ' ἑκάτερα τῆς μεγαλοπρεπείας κακιῶν ὕστερον ἀκριβέστερον ἐροῦμεν· λέγωμεν δὲ περὶ τῆς μεγαλοπρεπείας.

Ἔστι τοίνυν ὁ μεγαλοπρεπὴς, καθάπερ ἐπιστήμων, θεωρῶν πάντα κατὰ λόγον, καὶ τάττων μετὰ τοῦ πρέποντος κανόνος· δαπανήσει γὰρ τὰ μεγάλα ἐμμελῶς, καὶ ὡς προσῆκεν. Αἱ γὰρ κατὰ τὴν ἕξιν ἐνέργειαι τῇ ἕξει ἀκολουθοῦσι, καὶ διὰ τοῦτο ἡ ἕξις ταῖς ἐνεργείαις ὁρίζεται, καθὼς εἴρηται ἐν ἀρχῇ· ὥστε καὶ αὐτοῦ τοῦ μεγαλοπρεποῦς δαπάναι, μεγάλαι καὶ πρέπουσαι τῷ μεγαλοπρεπεῖ, καὶ τῷ ἔργῳ, οὗ ἕνεκα δαπανῶνται, μεγάλῳ καὶ αὐτῷ ὄντι. Καὶ οὕτως ἔσονται αἱ δαπάναι μὲν τῷ ἔργῳ πρέπουσαι, τὸ δὲ ἔργον ταῖς δαπάναις προσῆκον· εἰ δὲ δεῖ τὸ ἕτερον ὑπερβάλλειν, τὸ ἔργον. Τοῦτο γὰρ μᾶλλον προσήκει τῷ μεγαλοπρεπεῖ· ταῦτα δὲ ὁ μεγαλοπρεπὴς δαπανήσει, πρῶτον μὲν τοῦ καλοῦ ἕνεκα, ὅπερ κοινόν ἐστι πᾶσι τοῖς σπουδαίοις· ἔπειτα ἡδέως καὶ προετικῶς, μηδὲν ἀκριβολογούμενος· ἡ γὰρ ἀκριβολογία

μικρο-

μικροπρεπές· ὁ δὲ μεγαλοπρεπὴς περὶ μὲν τοῦ ἔργου σκέψεται, ὅπως ἄριστον γένοιτο καὶ πρεπωδέστατον, καὶ τούτου χάριν ὁ πλεῖστος λόγος αὐτῷ. Περὶ δὲ τῆς δαπάνης, ὅση προσήκει τῷ ἔργῳ, καὶ περὶ τοῦ μηδὲν πλέον ἀναλωθῆναι, ἀλλὰ γενέσθαι δι' ὅσων μάλιστα ἐνδέχεται ἐλαχίστων, οὐ τοσοῦτον ποιεῖται λόγον· μικροπρεπὲς γὰρ τὸ τοιοῦτον. Ἀνάγκη δέ, καθὼς εἴρηται, τὸν μεγαλοπρεπῆ καὶ ἐλευθέριον εἶναι· εἰ καὶ ὁ ἐλευθέριος οὐκ ἔστι μεγαλοπρεπής. Δαπανᾷ γὰρ ὁ μεγαλοπρεπὴς ἃ δεῖ, καὶ ὡς δεῖ, καὶ ὅτε δεῖ· τοῦτο δέ ἐστιν ὁ ἐλευθέριος. Μεγάλα δὲ καὶ μεγάλων ἕνεκα, ὅπερ ἐστὶν ἴδιον τοῦ μεγαλοπρεποῦς. Πολλάκις γὰρ καὶ διὰ τῆς αὐτῆς δαπάνης ὁ μεγαλοπρεπής, οὐ τὸ αὐτὸ ἔργον ποιεῖ τῷ ἐλευθερίῳ, ἀλλὰ μεγαλοπρεπέστερον· οἷον, φέρε εἰπεῖν, θεραπεῦσαι τὸ θεῖον δεῆσαν, ὁ μὲν ἐλευθέριος χρυσοῦν τι σκεῦος ποιήσει, καὶ λίθους τιμίους ἐγκολλήσει τῷ σκεύει· ὁ δὲ μεγαλοπρεπὴς ναὸν μέγαν καὶ καλὸν οἰκοδομήσει, ἢ ἀνδριάντας ἀναστήσει, ἢ γεφύρας οἰκοδομήσει, ἢ ἄλλό τι μέγα καὶ θαυμαστὸν διὰ τῆς ἴσης δαπάνης ἐργάσεται· καὶ τὸ μὲν τοῦ μεγαλοπρεποῦς ἔργον κυρίως ἔργον ἔσται, τὸ δὲ τοῦ ἐλευθερίου, κτῆμα μᾶλλον ἢ ἔργον. Οὐ γὰρ ἡ αὐτὴ ἀρετὴ κτήματος καὶ ἔργου· ἀλλὰ κτήματος μὲν τὸ πλείστου ἄξιον εἶναι καὶ τιμιώτατον· οἷος ὁ χρυσός, καὶ οἱ τίμιοι λίθοι·

ratione. Omnia enim ad calculum revocare, indecoræ parſimoniæ eſt. Magnificus vero, de ipſo quidem deliberabit opere, ut quam optime fiat nimirum ac quam maxime decore: nam hoc potiſſimum conſiderat. De ſumptu vero qui requiritur in opere, aut ne quid plus impendat quam conveniat, ſed ut fiat quam minimo, exigua illi cura eſt. Nam & hoc indecoræ eſt parſimoniæ. Eſt autem neceſſe, quod ſupra dicebamus, liberalem quoque eſſe eum qui ſit magnificus, licet qui liberalis eſt non ſit magnificus. Sumptus enim facit, quos, & quemadmodum, & cum oportet magnificus: quod commune habet cum eo liberalis. Sed & magnos & in magnis, quod proprium eſt magnifici. Iiſdem enim ſæpe ſumptibus non idem opus magnificus facit quod liberalis, ſed magis magnificum. Ut, exempli gratia, ſi de cultu divino eſt cogitandum, vas aliquod aureum pretioſiſſimis undique lapillis illuſum adornabit liberalis: templum contra pulchrum ædificabit & eximium, aut ſtatuas eriget, aut pontes fabricabit, aut aliud denique admirabile & eximium iiſdem ſumptibus efficiet magnificus. Ita quod magnificus faciet, opus proprie, quod vero liberalis, poſſeſſio magis erit quam opus: nec enim eadem eſt poſſeſſionis virtus & operis. Poſſeſſionis enim, ut plurimi æſtimetur, & ſit quam precioſiſſima, ſicut aurum & pretioſi lapilli: operis vero, ut magnum ſit, pul-

Ariſtot. l.4. c. 2.

Ariſtot. l.4. c.2.

pulchrum, & admirabile; quod maxime convenit magnifico. Eſt enim virtus operis magnificentia, quæ in magnitudine conſiſtit.

Ἐστι δὲ τῶν δαπανημάτων, οἷα λέγομεν τὰ τίμια, &c.

Opera autem magnifica ſunt & precioſa, ut exempli gratia, dona quæ Diis dedicantur, victimarum apparatus & templorum: item quæ honeſtæ laudis ſtudio in Rempublicam conferuntur: ut ſi quis in ludis ſumptum facere, aut triremium præfecturam de ſuo adminiſtrare velit, aut epulum præbere civitati, cum res poſtulat. Non tantum autem opera magnifica, ſumptuſq; congruos eſſe oportet & magnificos, ſed etiam ei convenire, qui facit. Maximeq; quod ad facultates. Nunquam enim pauper erit magnificus. Aut ſi magna conabitur, ſtolidus erit: quod præ quam res patitur aut fieri debeat, aggrediatur talia. Sed & magis iis convenire videtur, qui ſæpe talia fecerint, aut quorum magnifici majores fuerunt. Ex operibus autem, maxime quæ in rempublicam aut in Deos immortales conferantur, ſunt talia, hæc enim ſunt magnifica. Sunt tamen & privata quædam, ut quæ ſemel fiunt tantum, ſicut nuptiæ, ædes, & ſimilia. Maxime enim convenit magnifico, ut in Rempublicam Deoſq; quamplurimos, in ſe vero ſumptus faciat quam minimos. Nam & quæ diuturna ſunt, magnifica ſunt opera. Talia enim & admirãda ſunt & pulchra.

Καὶ ἐν ἑκάστοις τὸ πρέπον, &c.

Sed & alio modo ſpectandum in operibus decorum eſt, cum quæ quibus conveniant ſpectamus. Nec enim eadem Deo

ἔργου δὲ ἀρετή, τὸ μέγα εἶναι καὶ καλὸν καὶ θαυμαστόν, ὃ τῷ μεγαλοπρεπεῖ μάλιστα προσήκει· ἔστι γὰρ ἔργου ἀρετὴ μεγαλοπρέπεια ἐν μεγέθει.

Ἔργα δὲ μεγαλοπρεπῆ καὶ τίμια, οἷον τὰ περὶ τὸ θεῖον ἀναθήματα, κατασκευαὶ θυσιῶν καὶ ναῶν, φιλοτιμίαι πρὸς τὸ κοινόν, χορηγίαι ἢ τριηραρχίαι, ἢ καὶ τὸ ἑστιᾶν τὴν πόλιν δέῃσαι. Οὐ μόνον δὲ τὰ ἔργα δεῖ εἶναι μεγαλοπρεπῆ, καὶ τὰς δαπάνας προσηκούσας, καὶ μεγαλοπρεπεῖς, ἀλλὰ καὶ τῷ ποιοῦντι πρεπούσας, μάλιστα μὲν διὰ τὴν οὐσίαν· πένης γὰρ οὐκ ἂν εἴη μεγαλοπρεπής· εἰ δ' ἐπιχειροίη μεγάλοις ἔργοις, ἠλίθιος ἔσται, παρὰ τὴν ἀξίαν, καὶ τὸ δέον, ἐπιχειρῶν. Ἔπειτα πρέπειν δοκεῖ καὶ τοῖς πολλάκις τοιοῦτα πεποιηκόσιν, ἢ ὧν οἱ πρόγονοι μεγαλοπρεπεῖς ἦσαν. Τῶν δὲ ἔργων τὰ πλεῖα μὲν εἰς τὸ κοινὸν καὶ εἰς τὸ θεῖον· ταῦτα γὰρ μεγαλοπρεπῆ, τινὰ δὲ καὶ ἴδια, ὅσα εἰσάπαξ γίνονται, οἷον γάμοι, καὶ οἰκίαι, καὶ ἄλλο τοιοῦτον. Τῷ γὰρ μεγαλοπρεπεῖ μάλιστα προσήκει τὸ δαπανᾶν εἰς τὸ κοινόν, ἢ εἰς τὸ θεῖον, ἐλάχιστα δὲ εἰς ἑαυτόν. Ἔσται δὲ μεγαλοπρεπὲς ἔργον, καὶ τὸ πολυχρόνιον· τὰ γὰρ τοιαῦτα ἔργα θαυμαστά εἰσι καὶ καλά.

Δεῖ δὲ καὶ ἐν τοῖς ἔργοις καὶ ἕτερον τρόπον τὸ πρέπον ζητεῖν, καὶ σκοπεῖν τίνα ἔργα, τίσιν ἁρμόζει· οὐ γὰρ τὰ αὐτὰ πρέπει τῷ θείῳ, καὶ τῷ κοινῷ·

κοινῷ· οὐδὲ ταὐτὰ προσήκει ἱερῷ καὶ τάφῳ· ὥστε εἶναι τὰ ἔργα τοῦ μεγαλοπρεποῦς μεγάλα καὶ θαυμαστὰ, πρὸς τὰ ὁμογενῆ συγκρινόμενα. Τάφων μὲν οἰκοδομήματα πρὸς τάφους, ναῶν δὲ πρὸς ναοὺς, καὶ γεφύρας πρὸς γεφύρας· καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. Ὁ γὰρ μεγαλοπρεπὴς, οὐ μόνον σκοπεῖ τὸ μέγεθος, ὃ προσήκει τῷ γένει τοῦ ἔργου· οὐ γὰρ ταὐτὸν μέγα εἶναι ἁπλῶς διὰ τὴν δαπάνην, καὶ μέγα εἶναι πρὸς τὰ ὁμογενῆ συγκρινόμενον, ἀλλὰ διαφέρει. Καὶ γὰρ ἡ σφαῖρα, καὶ ἡ λήκυθος ἡ καλλίστη μικρὰ μέν εἰσι διὰ τὴν δαπάνην· εἰσὶ δὲ μεγαλοπρεπῆ δῶρα τῶν παίδων, καὶ εἰσὶ μεγάλα πρὸς τὰ παιδικὰ συγκρινόμενα δῶρα· ἐπεὶ τοίνυν διαφέρει τὸ ἐν γένει μέγεθος τοῦ ἐν ταῖς δαπάναις, ἀνάγκη σκοπεῖν ἀμφότερα τὸν μεγαλοπρεπῆ, καὶ ποιεῖν μεγαλοπρεπῶς, κατὰ τὴν προσήκουσαν ἑκάστῳ γένει μεγαλοπρέπειαν. Οὕτω γὰρ γινόμενον τὸ ἔργον μέγα ἔσται, καὶ θαυμαστὸν, καὶ καλὸν, καὶ οὐδὲ εὐχερῶς ὑπὸ ὁμογενοῦς ὑπερβληθήσεται. Τοιοῦτος μὲν οὖν ὁ μεγαλοπρεπής.

Ὁ δὲ ὑπερβάλλων, καὶ βάναυσος παρὰ τὸ δέον ἀναλίσκει, καὶ ὥσπερ οὐ δεῖ, καὶ ἐφ' οἷς οὐ δεῖ· καὶ διὰ τοῦτο ὑπερβάλλειν λέγεται τὸν μεγαλοπρεπῆ. Καὶ γὰρ φαύλων ἕνεκα ἔργων, ὧν ἡ δαπάνη μετρία, πολλὰ δαπανᾷ καὶ μεγάλα, καὶ μεγαλοπρεπὴς βούλεται δοκεῖν, παρὰ τὸ εἰκὸς

conveniunt & Reipublicæ, ſicut nec idem templo convenit & tumulo. Ita ut magnifici opera magna ſint & admiranda, cum iis quæ ejuſdem ſunt generis collata. Ut exempli gratia, tumulorum fabricæ ad tumulos, templorum ad templa, pontium ad pontes collatæ: & ita in reliquis. Nec enim magnitudinem modo, quam ipſum hoc operis genus requirit, ſpectat magnificus: quia non idem eſt magnum eſſe ſimpliciter, quod ad ſumptus, & magnum eſſe reſpectu eorum quæ ejuſdem ſunt generis: ſed differunt. Sic enim pila aut ampulla aliqua pulcherrima, quæ minima quidem ſunt, ſi ſumptum videas, magnifica tamen puerorum dona ſunt: & ſi ad reliqua, quæ donare illi ſolent reſpicias, jam magna erunt. Cum ergo magnitudo, quæ in genere, ab ea quæ in ſumptibus conſideratur, ſoleat differre, utrumque reſpiciendum eſt magnifico, ut quæ unicuique convenit generi, exerceat magnificentiam. Ita demum & eximium, & admirabile opus futurum eſt, & pulchrum: neque facile ab aliis ejuſdem generis ſuperabitur. Talis ergo eſt magnificus. Ariſtot. l. 4. c. 2.

Qui autem excedit & inepte eſt magnificus, præterquam neceſſe eſt; neq; ut oportet, nec in quibus oportet, ſumptus facit, atq; ideo excedere dicitur magnificum. In vili quippe opere aliquo, quod ſumptus modo exiguos requirit, multos facit magnoſque. Atq; ita contra quam fert magnificentia aut patitur, Ὁ δὲ ὑπερβάλλων, καὶ βάναυσος, &c.

magni-

Ariſtot. l. 4. c. 2.

magnificus vult videri. Talis eſt, exempli gratia, qui nuptiali apparatu eos excipit, qui ſymbolam in cœnam contulerunt: aut qui comicis ad ſe venientibus omnia præbet, ſi choragum agit: nec aliter in ludos pecunias impendit, quam ſi cum reipublicæ eas utilitate conferret. Aut in actione comœdiæ, pro iis quibus ſcena veſtiri ſolet pellibus, purpuras mavult cum Megarenſibus. Idque non tam honeſtatis cauſa, quam ut dives videatur. Ex hoc enim admirationi ſe futurum judicat. In quibus denique magno opus ſumptu eſt, parvum, in quibus parvo, magnum impendit. Talis ergo eſt qui magnificum excedit, quem inepte magnificum vocant.

Ὁ δὲ μικροπρεπὴς ἀεὶ πάντα ἐλλείψει, &c.

Qui vero deficit, quem indecore parcum dicunt, deficit in omnibus. Cum enim honeſtatis cauſa ſumptus nullos faciat, tantum conſiderat, quomodo quam minimum impendat. Quin ſæpenumero cum maximam ſumptuum jam partem toleraverit, & ad finem ſuum opus ſpectet, dum nimis ſtricte omnia ad calculum revocat, ſumptus exigui cauſa imperfectum relinquit. Sed & omnia quæ agit, cunctabundus agit, & accurate examinat, ſemperque pluſquam oportet impendiſſe ſe exiſtimat: ideoque ſumptus ſuos deplorat, magnoſque queritur feciſſe.

Εἰσὶ μὲν οὖν αἱ ἕξεις αὗται κακίαι &c.

Hi ergo habitus, ſordida nimirum parſimonia & inepta magnificentia, vitia ſunt quidem, non tamen afferunt opprobria: quia neque nocent aliis, neque

καὶ τὸ προσῆκον τῇ μεγαλοπρεπείᾳ· οἷον ἐρανιστὰς ἑστιῶν πολυτελέστατα, ὥσπερ εἰ γάμους ἑστίει, καὶ τοῖς κωμῳδοῖς χορηγῶν παρεοῦσι, καὶ χρήματα φιλοτίμως ἀναλίσκων ἐν αὐτοῖς, ὥσπερ εἰς κοινὸν ὄφελος, ἢ ἐν ταῖς κωμῳδίαις, ἀντὶ κωδίων, ἃ περιπετάσματα ἦν ἐπὶ τῆς σκηνῆς, πορφυρίδας ἔχειν, καθάπερ οἱ Μεγαρεῖς. Καὶ ταῦτα ποιεῖ οὐ τοῦ καλοῦ ἕνεκα, ἀλλ' ἵνα μόνον ἐπιδείξηται, τὸν πλοῦτον. Οἴεται γὰρ ἀπὸ τούτου θαυμαστός τις εἶναι δόξαι. Καὶ ἐν οἷς μὲν πολλῆς χρεία δαπάνης, ὀλίγα ἀναλίσκει, ἐν οἷς δὲ ὀλίγης, πολλά. Τοιοῦτος μὲν οὖν ὁ ὑπερβάλλων τὸν μεγαλοπρεπῆ, ὃς καὶ βάναυσος καλεῖται.

Ὁ δὲ ἐλλείπων, ὃς καὶ μικροπρεπὴς καλεῖται, περὶ πάντα ἐλλειπής ἐστιν· ἀναλίσκων γὰρ οὐδὲν τοῦ καλοῦ ἕνεκα, ἐπὶ πάντα σκοπεῖ, πῶς ἄν, ὅσον ἐνδέχεται, τὰ ἐλάχιστα ἀναλώσαι· καὶ πολλάκις τὰ πλεῖστα τῆς δαπάνης ἀναλώσας, καὶ πρὸς τὴν τελείωσιν ἤδη βλέποντος τοῦ ἔργου, ὑπ' ἀκριβολογίας ἀτέλεστον ἀφίησι διὰ μικρὰν δαπάνην. Καὶ πάντα δὲ, ὅσα ποιεῖ, ἀεὶ μέλλων καὶ σκοπῶν ποιεῖ, καὶ οἰόμενος καὶ πλείω τοῦ δέοντος ἀναλίσκειν, καὶ ὀδυρόμενος ὅτι πολλὰ ἀνάλωσεν.

Αὗται μὲν οὖν αἱ ἕξεις, ἥ τε μικροπρέπεια, καὶ βαναυσία, κακίαι εἰσὶν, ὀνείδη δὲ οὐκ ἐπιφέρουσι· διότι οὔτε βλαβεραί εἰσι τῶν πέλας,

οὔτε

οὔτε λίαν αἰσχραί, καὶ ἀσχήμονες.

turpes admodum ſunt, aut cum dedecore nimio conjunctæ. Ariſtot. l. 4. c. 3.

ΚΕΦ. Δ'.

Περὶ μεγαλοψυχίας.

Λέγωμεν δὲ ἤδη καὶ περὶ μεγαλοψυχίας. Ἔστι τοίνυν ἡ μεγαλοψυχία περὶ μεγάλα, ὡς καὶ τὸ ὄνομα δίδωσιν εἰκάζειν. Περὶ ποῖα δὲ μεγάλα, σκοπῶμεν. Φανερὸν δὲ ὅτι ταυτόν ἐστι τὸ περὶ μεγαλοψυχίας καὶ τὸ περὶ μεγαλοψύχου σκοπεῖν. Οὐδὲν γὰρ διαφέρει τὴν ἕξιν εἰδέναι, ἢ τὸν ἔχοντα τὴν ἕξιν.

Ἔστι τοίνυν μεγαλόψυχος περὶ μεγάλων· μεγάλα δὲ τὰ αὐτῷ προσήκοντα· ὅταν μεγάλων ἄξιος ὤν, καὶ αὐτὸς κρίνει ἑαυτὸν μεγάλων ἄξιον εἶναι. Ὁ γὰρ μικρῶν ἄξιος ὤν, καὶ μικρῶν ἑαυτὸν ἀξιῶν, οὐ λέγεται μεγαλόψυχος, ἀλλὰ σώφρων· ἡ γὰρ μεγαλοψυχία ἐν μεγέθει ἐστί. Τοιοῦτον γὰρ λόγον ἔχει πρὸς τὸν σώφρονα ὁ μεγαλόψυχος, οἷον ὁ καλὸς πρὸς τὸν ἀστεῖον· ὁ μὲν γὰρ καλὸς μετὰ μεγέθους ἔχει τὸ κάλλος, ὁ δὲ ἀστεῖος μετὰ σμικρότητος, ὃς καὶ σύμμετρος καλεῖται, καλὸς δὲ οὐδαμῶς. Ὁ μὲν οὖν μεγαλόψυχος, τοιοῦτος· τῶν δὲ παρ' ἑκάτερα, ὁ μὲν ὑπερβάλλων, χαῦνος· χαῦνος γάρ ἐστιν ὁ μεγάλων ἑαυτὸν ἀξιῶν, οὐκ ἄξιος ὤν· ὁ δὲ ἄξιος μὲν ὢν πολλῶν, πλειόνων δὲ ἀξιῶν ἑαυτόν, οὐ

CAP. IV.

De magnanimitate.

SEd & de magnanimitate jam agamus. Verſatur autem in magnis magnanimitas, quemadmodum & nomen ejus indicat. Quæ autem ſint illa magna & qualia, videamus. Dubium autem non eſt, quin eodem recidat ſive de magnanimitate dicamus ſive de magnanimo. Neque enim intereſt, ſive habitum, ſive eum qui habitu præditus eſt, aliquis cognoſcat. Cap. 3. Ἡ δὲ μεγαλοψυχία περὶ μεγάλα &c.

In magnis ergo verſatur magnanimus: idque iis, quæ digna ſunt ipſo. Quoties nimirum dignus eſt magnis, dignumque ſe eſſe judicat. Neque enim qui dignus eſt parvis, dignumq; ſe parvis judicat, magnanimus dicitur, ſed temperans. In magnitudine quippe eſt magnanimitas. Porro eodem modo ad temperantem ſe habet magnanimus, quo formoſus ad venuſtum. Qui enim formoſus eſt, cum magnitudine, qui venuſtus, cum puſillanimitate formam habet: quem & concinnum dicimus, formoſum vero minime. Talis ergo eſt magnanimus. Eorum autem qui utrinque ſunt, is qui excedit, elatus dicitur. Elatus enim eſt, qui magnis ſe dignum judicat, cum dignus ſit neutiquam: qui vero cum dignus ſit plurimis, dignum ſe tamen arbitratur pluribus, non Δοκεῖ δὲ μεγαλόψυχος, &c.

omninq

Ariſtot. l. 4. c. 3. omnino elatus eſt. Qui vero deficit, puſillanimus. Eſt enim is, qui cum magnis dignus ſit, minoribus ſe dignum judicat: aut qui cum parvis dignus ſit, adhuc tamen minoribus ſe dignum judicat. Ex his autem maxime eſt puſillanimus, qui cum magnis dignus ſit, dignitatem ipſe ſuam non percipit. Quomodo enim ſe gereret, ſi aut parvis dignus eſſet, aut mediocribus? Quare eorum qui utrinque ſunt, alter excedit, alter deficit.

Ἐστι δὲ ὁ μεγαλόψυχος, &c. At vero magnanimus, quatenus in magnis verſatur, ſummus videtur: quatenus vero in officio manet ſemper, neque in exceſſu ejus peccat aut defectu, eatenus medius eſt.

πάντῃ χαῦνος. Ἐλλείπων δὲ ὁ μικρόψυχος· ἔστι γὰρ μικρόψυχος ὁ πολλῶν μὲν ἄξιος, ἐλαττόνων δὲ κείνων ἑαυτὸν ἄξιον· ἢ ὁ ὀλίγων ἄξιος, ἔτι δὲ ἐλαττόνων ἀξιῶν ἑαυτόν. Τούτων δὲ μᾶλλόν ἐστι μικρόψυχος, ὁ πολλῶν ἄξιος ὤν, εἶτα τῆς οἰκείας ἀξίας μὴ ἐπαισθανόμενος· ποταπὸς γὰρ ἂν ἦν εἰ ὀλίγων καὶ μετρίων ἄξιος ἦν; εἰσὶ μὲν οὖν οἱ παρ' ἑκάτερα, ὁ μὲν ὑπερβάλλων, ὁ δὲ ἐλλείπων.

Ὁ δὲ μεγαλόψυχος, καθόσον μὲν περὶ μεγάλα ἐστίν, ἄκρος δοκεῖ· καθόσον δὲ ἐπὶ τοῦ δέοντος ἕστηκεν ἀεί, καὶ οὔτε ὑπὲρ τὸ δέον ζητεῖ, οὔτε παρὰ τὸ δέον, διὰ τοῦτο μέσος ἐστίν.

CAP. V.

De magnanimitate: tum in quibus verſetur magnanimus, & quæ ejus ſint propria.

Εἰ δὲ μεγάλων ἑαυτὸν ἀξιοῖ, &c. Cum in externis ergo bonis verſetur magnanimus, quibus prout meretur, dignus judicatur ab aliis, neceſſe omnino eſt, ut vel in pecuniis, vel voluptate verſetur, vel honore. Cum in iis autem, quæ maxima habentur inter homines, verſetur bonis (ſiquidem qui maximis ſe dignum judicat honoribus, cum ſit dignus, magnanimus vocatur) ſequitur ut in honore occupetur. Qui in humanis quidem, iiſque quæ externa dicimus, reliquis excellere bonis videtur. Ideoque divino

ΚΕΦ. ε.

Περὶ μεγαλοψυχίας· καὶ περὶ τίνα ὁ μεγαλόψυχος, καὶ τίνα ἴδιά ἐστιν αὐτοῦ.

Ἐπεὶ δὲ περὶ τὰ ἔξω ἀγαθὰ ὁ μεγαλόψυχός ἐστιν, ὧν παρὰ τῶν ἄλλων ἀξιοῦται κατὰ τὸ προσῆκον αὐτῷ, εἴη ἂν πάντως ἢ περὶ χρήματα, ἢ περὶ ἡδονήν, ἢ περὶ τιμήν. Ἐπεὶ δὲ περὶ τὰ μέγιστα τῶν ἐν ἀνθρώποις ἀγαθῶν ἐστὶν (ἔστι γὰρ μεγαλόψυχος ὁ τῶν μεγίστων ἑαυτὸν ἀξιῶν ἄξιος ὤν) εἴη ἂν περὶ τὴν τιμήν· ἥ τις δοκεῖ μέγιστον εἶναι τῶν ἀνθρωπίνων καὶ τῶν ἔξωθεν ἀγαθῶν. Καὶ διὰ τοῦτο τὴν θείῳ ταύτην μάλιστα ἀπονέμομεν·

νέμομεν· ὥστε περὶ τιμὰς καὶ ἀτιμίας ὁ μεγαλόψυχός ἐστιν, ὡς δεῖ· καὶ χωρὶς δὲ τούτων, ἀπὸ τῆς ἐπαγωγῆς φανερόν ἐστι· ὁρῶμεν γὰρ πάντας τοὺς μεγαλοψύχους τιμῆς μάλιστα ἐφιεμένους τῆς ἀξίας ἑαυτῶν· ὁ δὲ μικρόψυχος ἐλλείπει καὶ πρὸς ἑαυτόν· ἐλάττω γὰρ τῆς ἀξίας φρονεῖ τῆς ἑαυτοῦ· ἐλλείπει καὶ πρὸς τὸ τοῦ μεγαλοψύχου ἀξίωμα. Ὁ δὲ χαῦνος πρὸς ἑαυτὸν μὲν ὑπερβάλλει· μείζω γὰρ φρονεῖ τῆς ἀξίας τῆς ἑαυτοῦ· τὸν δὲ μεγαλόψυχον οὐκ ὑπερβάλλει τῷ φρονήματι. Ὁ γὰρ μεγαλόψυχος τῶν μεγίστων ἑαυτὸν ἀξιοῖ, τῶν μεγίστων ἄξιος ὤν. Ὥστε ἀνάγκη τὸν μεγαλόψυχον ἄριστον εἶναι, καὶ σφόδρα ἀγαθὸν τοὺς τρόπους, καὶ ἀνδρεῖον καὶ δίκαιον, καὶ τὴν ἄλλην ἀρετὴν ἄκρον. Ὁ δὲ μικρὰ ἡγούμενος πάντα, καὶ οὐδαμῶς ἄξια ἑαυτοῦ, καὶ οὐ ψευδόμενος, ἀλλὰ ἀληθεύων ἐν τῇ τοιαύτῃ ψήφῳ, τίνος ἕνεκα αἰσχρόν τι ποιήσει καὶ ἄτιμον; ἢ πῶς δυνατόν; ἐναντίον γάρ ἐστι τῷ λόγῳ τοῦ μεγαλοψύχου τὸ τοιοῦτον. Πῶς γὰρ ἂν εἴη τιμῆς ἄξιος ὁ φαῦλος; εἰ δὲ τιμῆς ἑαυτὸν ἀξιοῖ φαῦλος ὤν, καὶ τοῖς αἰσχροῖς ἁλισκόμενος, γελοῖος ἂν δόξειεν εἶναι· ἡ γὰρ τιμὴ τῆς ἀρετῆς ἐστιν ἆθλον, καὶ τοῖς ἀγαθοῖς ἀπονέμεται μόνοις δικαίως. Ὥστε ὁ μεγαλόψυχος πάσας συλλαβὼν ἔχει τὰς ἀρετάς· καὶ ἔστιν ἡ μεγαλοψυχία οἷον κόσμος

eum maxime tribuimus numini. Quare in honore & ignominia, quemadmodum oportet, magnanimus verſatur. Quod & abſque his ex inductione facile probari poteſt. Omnes enim magnanimos, honorem eum appetere videmus, qui ſe dignus ſit, puſillanimis vero & ſui reſpectu deficit (minus enim quam meretur de ſe magnifice judicat) & reſpectu dignitatis magnanimi. Blatus vero, reſpectu quidem ſui excedit (magis enim magnifice quam pro dignitate ſua de ſe exiſtimat) magnanimum vero opinione de ſe magnifica non ſuperat. Etenim magnanimus cum dignus ſit maximis, maximis quoq; ſe dignum eſſe exiſtimat. Unde ſequitur, optimum quoq; eſſe eum, moribuſque præditum integerrimis: ſed & fortem & juſtum, reliquiſque eodem modo excellere virtutibus. Nam qui parva judicat omnia, nec ullo modo ſe digna, neque in hoc fallitur judicio, ſed verum ſentit, cujus tandem rei cauſa turpe quicquam committeret, aut indignum? Aut quomodo hoc fieri poſſet? Quia cum ratione magnanimi pugnat hoc ipſum. Quomodo enim honore dignus eſſe poteſt improbus? Nam ſi dignum ſe eſſe exiſtimat, cum ſit improbus, & in hac improbitate ab omnibus deprehenditur, jam ridiculus videbitur. Siquidem virtutis præmium honor eſt, ſoliſq; bonis merito tribuitur viris. Quare omnes ſimul virtutes in ſe complectitur magnanimus: eſtque velut omnium virtutum ornatus quidam

Ariſtot. l. 4. c. 3.

Ariſtot. l. 4. c. 3.

dam magnanimitas. Ideoque ſicut ſine iis non eſt, ita majores eas & præſtantiores facit, quia dignas eas quibus ſunt eſſe judicat. Ac propterea admodum difficile eſt, eſſe magnanimum, quia ſine omnibus nemo magnanimus eſſe poteſt virtutibus. Omnes vero habere & in iis excellere, admodum difficile eſt. In honore ergo & ignominia, quemadmodum diximus, ſpectatur magnanimus. Ideoque magnis, & qui à magnis offeruntur delectari ſolet, ut qui propria, & quibus dignus eſt, conſequatur bona, aut minora etiam, quam quæ meretur. Quia nullum ſumma virtute dignum ab hominibus perſolvi poſſit præmium. Aut enim vero ſi gaudeat, hac de cauſa gaudet, quia quem poſſunt maximum, aut quo majorem non habent, offerri ſibi videt honorem. Quem vero plebei, ſimpliciter contemnit: eoque magis ſi ob res parvas, offertur. Ut ſi quis Achillem honore affeciſſet, quod dextre citharam pulſaret. Eodemque modo de ignominia, prout illi convenit. In honore igitur & ignominia, quemadmodum dictum eſt, cernitur magnanimus: conſequenter vero in divitiis quoque, ac potentia, omnique ſecunda fortuna & adverſa. Nam & in his modice ſe habebit, & quemadmodum oportet. Neque indignum ſe in mutatione hac quicquam committet, ſicut neq; nimium gaudebit, ſi res ſint ſecundæ, nec dolebit, ſi adverſæ. Qui quidem nè honorem quidem rerum omnium maximam

τις τῶν ἀρετῶν. Καὶ οὐ γίνεται μὲν ἄνευ ἐκείνων, μείζους δὲ καὶ καλλίους αὐτὰς ποιεῖ. Κρίνει γὰρ αὐτὰς ἀξίας εἶναι ὧν εἰσὶν ἄξιαι. Διὰ τοῦτο σφόδρα χαλεπὸν μεγαλόψυχόν τινα γενέσθαι. Οὐ γὰρ δυνατὸν μεγαλόψυχον εἶναι ἄνευ πασῶν τῶν ἀρετῶν. Τὸ δὲ πάσας κτήσασθαι, καὶ ταύτας εἰς ἄκρον, σφόδρα χαλεπόν. Ἔστι μὲν οὖν ὁ μεγαλόψυχος περὶ τιμὰς καὶ ἀτιμίας, καθὼς εἴρηται. Καὶ ἐπὶ μὲν ταῖς μεγάλαις, καὶ ὑπὸ μεγάλων ἥδεται, ὡς τῶν οἰκείων τυγχάνων, καὶ ὧν ἄξιος, ἢ καὶ ἐλαττόνων τῆς ἀξίας. Τῆς γὰρ τελείας ἀρετῆς οὐκ ἂν ποτε γένοιτο παρὰ τῶν ἀνθρώπων ἀξία τιμή. Οὐ μὴν ἀλλ' εἰ καὶ ἥδεται, διὰ τοῦτο ἥδεται, ὅτι τὴν δυνατὴν προσάγουσιν αὐτῷ τιμὴν, καὶ ἧς οὐκ ἔχουσιν μείζω. Τῆς δὲ παρὰ τῶν τυχόντων τιμῆς καθάπαξ ὀλιγωρήσει· καὶ μάλιστα ὅταν ἐπὶ μικροῖς αὐτὸν τιμῶσιν· οἷον εἴ τις ἐτίμα τὸν Ἀχιλλέα, ὅτι καλῶς ᾔδει κιθαρίζειν. Ὁμοίως δὲ καὶ περὶ τὰς ἀτιμίας κατὰ τὸ προσῆκον αὐτῷ. Ἔστι τοίνυν ὁ μεγαλόψυχος, μάλιστα μὲν περὶ τιμὰς καὶ ἀτιμίας, καθὼς εἴρηται· ἔτι δὲ ἑπομένως καὶ περὶ πλοῦτον καὶ δυναστείαν, καὶ πᾶσαν εὐτυχίαν καὶ ἀτυχίαν· καὶ περὶ ταύτας γὰρ μετρίως ἕξει καὶ ὡς προσῆκεν· καὶ οὐδὲν αἰσχρὸν πείσεται περὶ τὴν ἐν τούτοις μεταβολήν. Καὶ οὔτε εὐτυχῶν περιχαρὴς ἔσται, οὔτε ἀτυχῶν περίλυπος· οὐ γὰρ μέγιστον ἡγήσεται τὴν τιμήν. καὶ οὕτω περὶ αὐτὴν

αὐτὴν ἕξει ὡς μέγιστον ὄν. Οὕτω δὲ ἔχων περὶ τὴν τιμὴν, πολλῷ μᾶλλον περὶ τὸν πλοῦτον ὀλιγώρως ἕξει, καὶ τὰς δυναστείας· αἱρετώτερον γὰρ ἡ τιμὴ δυναστείας καὶ πλούτου. Διὰ γὰρ τὴν τιμὴν ἀγαπητά εἰσιν ὁ πλοῦτος καὶ ἡ δυναστεία· καὶ γὰρ οἱ ἔχοντες αὐτὰ, τιμᾶσθαι δι' αὐτῶν βούλονται· ὁ δὲ τὴν τιμὴν μικρὸν ἡγούμενος πολλῷ μᾶλλον τὰ ἄλλα. Διὰ τοῦτο καὶ οἱ μεγαλόψυχοι ὑπερόπται δοκοῦσιν εἶναι, ὅτι οὐδὲν τῶν ἀνθρωπίνων σφόδρα τιμῶσιν· ἐπεὶ δὲ καὶ τὰ εὐτυχήματα τιμῆς ἄξια δοκοῦσιν εἶναι, καὶ ταῦτα συντελοῖεν ἂν πρὸς τὴν μεγαλοψυχίαν. Τὸ γὰρ ὑπερέχειν ἐν ἀγαθοῖς ἐντιμότερον· ὑπερέχει δὲ ἐν ἀγαθοῖς ὁ εὐτυχής. Διὸ καὶ τὰ τοιαῦτα τὴν μεγαλοψυχίαν συνίστησιν· ὁ γὰρ εὐτυχὴς ἄξιον ἑαυτὸν μεγάλης τιμῆς ἡγεῖται, διὰ τὴν ἀγαθὴν τύχην· τιμᾶται γὰρ παρ' ἐνίων. Κατ' ἀλήθειαν δὲ μόνος ὁ ἀγαθὸς τοὺς τρόπους ἄξιός ἐστι τιμῆς. Ὧ δὲ ἄμφω πάρεστι, καὶ ἡ ἀρετὴ καὶ τὰ ἔξωθεν ἀγαθὰ, μᾶλλον ἀξιοῦται τιμῆς τοῦ τὴν ἀρετὴν μόνον ἔχοντος· ὃς δὲ μόνον εὐτυχής ἐστι, καὶ τοῖς ἔξωθεν ἀγαθοῖς εὐθηνεῖ, πρὸς δὲ τὴν ἀρετὴν οὐδὲν κοινὸν ἔχει, ὁ τοιοῦτος οὔτε δικαίως τιμᾶται, οὔτε αὐτὸς δικαίως ἑαυτὸν μεγάλης ἀξιοῖ τιμῆς, οὔτε κατὰ τὸν ὀρθὸν λόγον, μεγαλόψυχος λέγεται. Ἄνευ γὰρ ἀρετῆς τελείας, ἀδύνατόν τινα μεγα-

putabit, neque in eo tanquam re maxima ſe geret. Porro cum hoc modo in honore ſe habeat, multo magis divitias contemnet, & potentiam: quippe cum utrique præferendus ſit honor. Honoris namque cauſa & divitiæ amantur & potentia. Qui namque eas habent, affici honore volunt propterea. Qui vero honorem parvi facit, multo magis alia. Ideoque magnanimi quoque contemptores eſſe videntur: quia nihil in rebus humanis admodum magni faciunt. Cum vero honore digni videantur eſſe ſucceſſus quoque proſperi, etiam illi ad magnanimitatem aliquid conferre videbuntur. Quod enim excellit in bonis, majori honore dignum eſt. In bonis autem excellit, qui fortunatus eſt. Quare & hæc hujuſmodi magnanimitatem quoque conſtituunt. Fortunatus enim magno ſe honore dignum exiſtimat, quia fortuna fruitur ſecunda: à nonnullis enim afficitur honore. Cum revera ſolus ille, qui probus eſt moribus, ſit honore dignus. Cui vero utrumque, virtus nimirum & externa adſunt bona, honore dignus judicatur magis, quam qui ſola eſt præditus virtute. At qui tantum fortunatus eſt, & cui externa proſpere ſuccedunt, nihil autem cum virtute habet commune, talis neq; merito honore ab alio afficitur, neq; ipſe ſe magno dignum honore judicat, neque ex recta ratione magnanimus vocatur. Sine perfecta enim quemadmodum jam diximus virtute magnanimus

Ariſtot. l. 4. c. 3.

Ariſtot. l. 4. c. 3. eſſe poteſt nemo. Ideoque qui ſecunda utuntur fortuna, contemptores fere aliorum & contumelioſi evadunt. Sine virtute enim non facile eſt concinne res ſecundas ferre ac mediocriter. Cum autem ut oportet ferre eas non poſſint, majores ſe aliis exiſtimant, ideoque omnes contemnunt. Ipſi vero ſine judicio omnia faciunt, & ut in mentem venit. Cumq; omnino ſint diſſimiles magnanimo, omnibus tamen in rebus imitari eum conantur. Multa enim contemnit magnanimus, ſed merito (vere enim, & ut oportet, de ſe judicat) ſed & magna aggreditur, magnaq; deſpicit pericula: verum honeſtatis cauſa, nec niſi magnis intentus. Qui vero externis tantum præditi ſunt bonis, virtutem ipſam non honorant, neque in ea poſtulant excellere, ſed & reliqua contemnunt: cæteraſq; actiones ſuas, quantum in ſe eſt, cum actionibus magnanimi ſtudent conferre. Quod tamen non poſſunt, cum virtutem non habeant.

Ουκ ἔςι δ' μικροκίνδυνος, &c. Sed neque frequens eſt in periculis: neque enim ſæpe iis ſe objicit, quia non curat vulgaria, nec minimis de rebus in diſcrimen venit. Sed contra cum magnis congreditur, quotieſque eximia ſibi bona videt propoſita, ne vitæ quidem parcit ſuæ.

Καὶ οἷος εὖ ποιεῖν, &c. Sed & beneficia in alium cum confert, delectatur: cum ab alio afficitur, pudore ſuffunditur. Beneficia enim conferre ejus eſt qui ſuperat, affici vero ejus qui

λόψυχον εἶναι, καθὼς εἴρηται. Διὰ τοῦτο οἱ ἐν εὐτυχίᾳ ὄντες, ὡς ἐπὶ τὸ πλεῖστον, ὑπερόπται καὶ ὑβρισταὶ γίνονται· χωρὶς γὰρ ἀρετῆς οὐ ῥᾴδιον φέρειν τὰ εὐτυχήματα ἐμμελῶς καὶ μετρίως. Οὐ δυνάμενοι δὲ φέρειν τὴν εὐτυχίαν καλῶς, οἴονται μὲν τῶν ἄλλων ὑπερέχειν, καὶ πάντων καταφρονοῦσιν· αὐτοὶ δὲ ἀσυλλογίστως πάντα ποιοῦσιν, ὡς ἔτυχε. Βούλονται γὰρ μιμεῖσθαι τὸν μεγαλόψυχον, καίτοι παντελῶς ἀνόμοιοι ὄντες· ὁ γὰρ μεγαλόψυχος καταφρονεῖ μὲν, ἀλλὰ δικαίως· τὰ ἀληθῆ γὰρ περὶ ἑαυτοῦ οἴεται· καὶ μεγάλοις μὲν ἐπιχειρεῖ, καὶ μεγάλων κινδύνων κατατολμᾷ· ἀλλὰ τοῦ ἀγαθοῦ ἕνεκα, καὶ πρὸς μεγάλα τινὰ ἀφορῶν. Οἱ δὲ τὰ ἔξω μόνον ἀγαθοὶ τὴν μὲν ἀρετὴν οὐ τιμῶσιν, οὔτε βούλονται κατορθοῦν, τῶν δὲ ἄλλων καταφρονοῦσι, καὶ τὰς ἄλλας πράξεις αὐτῶν βούλονται ἀφομοιοῦν πρὸς τὰς τοῦ μεγαλοψύχου πράξεις, ὅση δύναμις· οὐκ ἀφομοιοῦσι δὲ, διὰ τὸ μὴ ἔχειν τὴν ἀρετήν.

Ἔστι δὲ ὁ μεγαλόψυχος οὐ πυκνοκίνδυνος μὲν· οὐ γὰρ συνεχῶς εἰς κινδύνους ἑαυτὸν ἐκβάλλει, διὰ τὸ μὴ τιμᾶν τὰ τυχόντα, καὶ μικρῶν τινῶν καὶ ὀλίγων προκινδυνεύειν· μεγαλοκίνδυνος δὲ· ὅταν γὰρ μεγάλων τινῶν ἀγαθῶν προκινδυνεύῃ, οὐδὲ τῆς οἰκείας φείδεται ζωῆς.

Καὶ εὐεργετῶν μὲν χαίρει, εὐεργετούμενος δὲ αἰσχύνεται. Τὸ μὲν γὰρ εὐεργετεῖν ὑπερέχοντος, τὸ δὲ εὐεργετεῖσθαι

γίνεσθαι ὑπερεχομένου. Ὁ δὲ μεγάλα περὶ ἑαυτοῦ φρονῶν, ἄχθεται τῇ ἐλάττονι μοίρᾳ. Εἰ δὲ εὐεργετηθεὶς, ἀντευεργετεῖν ἐθελήσει, πλείονα δίδωσιν, ἵνα ὀφειλέτην ἑαυτοῦ ποιήσῃ τὸν ὑπάρξαντα τῆς εὐεργεσίας. Δοκεῖ δὲ ὁ μεγαλόψυχος τῶν μὲν εὖ ὑπ' αὐτοῦ παθόντων ἐθέλειν ἀεὶ μεμνῆσθαι· παρ' ὧν δὲ αὐτὸς εὖ πέπονθεν, ἐπιλελῆσθαι· οὐκ ἀγνωμοσύνῃ τινί· πῶς γὰρ, ὃς μείζω δίδωσιν, ἢ λαμβάνει; ἀλλ' ὅτι οἰκειότερον αὐτῷ, καὶ μᾶλλον προσῆκον, τὸ εὖ ποιεῖν, ἢ τὸ εὖ πάσχειν. Καὶ διὰ τοῦτο τὸ μὲν εὐεργετεῖν, ὅτι ἄριστον καὶ τοιῷδε πρέπον, λόγου καὶ μνήμης ἀξιοῦται· τὸ δὲ εὖ πάσχειν, οὐδαμῶς· βούλεται γὰρ ἀεὶ ὑπερέχειν. Καὶ ἄλλου δὲ διηγουμένου, τὸ μὲν ἡδέως ἀκούει, τὸ δὲ ἀηδῶς. Διὰ τοῦτο καὶ ἡ Θέτις παρ' Ὁμήρῳ οὐ λέγει τὰς εὐεργεσίας τῷ Διΐ, οὐδὲ μέμνηται πρὸς αὐτὸν ὧν εὖ ἐποίησεν αὐτὸν, ἀλλ' ὧν εὖ πέπονθε παρ' αὐτοῦ. Ὁμοίως δὲ καὶ οἱ Λάκωνες βουλόμενοι χαρίζεσθαι τοῖς Ἀθηναίοις, τὰς εἰς αὐτοὺς τῶν Ἀθηναίων εὐεργεσίας εἰς μέσον ἄγουσι. Καὶ τοῦτο δὲ ἴδιον μεγαλοψύχου, τὸ μηδενὸς δεῖσθαι ἢ μόλις, αὐτὸν δὲ τοῖς ἄλλοις ἃ βούλονται ὑπηρετεῖν πρόθυμον εἶναι.

Καὶ πρὸς μὲν τοὺς ἐν ἀξιώματι μέγαν εἶναι, διὰ τὸ μηδὲν ἡγεῖσθαι σεμνὸν τῶν τοιούτων ἀγαθῶν, ἐξ ὧν ἀξιοῦσιν οἱ ἐν ἐξουσίαις φοβεροί τινες εἶναι· πρὸς δὲ τοὺς μέσους, μέτριον. Διὰ

ſuperatur. Qui vero magnifice de ſe ſentit, minori parte non offendi non poteſt. Quod ſi prior affectus beneficiis, beneficium reponat, majora reddit: ut alterum, qui in beneficio prior fuit, obſtrictum ſibi habeat. Sed & hoc proprium videtur magnanimi, ut eorum quibus bene fecit, ſemper meminerit; à quibus beneficio affectus eſt, obliviſcatur. Non quod ingratus ſit (quomodo enim ſit ingratus, qui majora reddit, quam accepit?) Sed quia hoc magis ei proprium eſt, magiſque convenit, beneficio ut afficiat, quam ut afficiatur. Ideoque beneficia quæ confert, quia præſtantiſſimum illoq; dignum hoc eſt, cura quoque ac memoria proſequitur: non item vero quæ accipit. Semper enim vult excellere. Ac propterea illud quidem commemorari quoque ab alio libenter audit, hoc vero non item. Quare neque Thetis apud Homerum beneficia ſua Jovi commemorat, neq; quæ in eum beneficia contulerit, ſed quibus ab eo ſit affecta recenſet. Eodem modo Lacedæmonii, cum gratificari volunt Athenienſibus, beneficia ab iis in ſe collata in medium producunt. Atque hoc quidem proprium eſt magnanimi, nulla ut re egeat, aut quam paucis, ipſe vero aliis quibus opus habent, libenter ſubminiſtret.

Sed & illud, ut apud eos qui in dignitate ſunt, magnifice ſe gerat: idque quia nihil ex bonis illis ſplendidum exiſtimat, quibus qui dignitate aliqua funguntur, metui ab aliis ſe poſtulant. Apud medios

Ariſtot. l.4. c. 3.

Καὶ πρὸς μὲν τοὺς ἐν ἀξιώμασι καὶ εὐτυχίαις, &c.

Ariſtot. l.4. c.3.

rurſus mediocriter: quia magis moderati plerumque & mediocri indole ſunt ejuſmodi. Præterea, ſuperare eos qui in dignitate ſunt, & difficile eſt & ſplendidum: ideoque convenit magnanimo: medios contra facile eſt, neque magnum in eo quicquam. Nec in illis quidem ſe efferre, non ignobile eſt; in abjectiſſimis vero, ineptum. Non ſecus ac ſi quis inter infirmos, morbove aut ſenio confectos, robur oſtentaret corporis. Sed neque curioſe honorem ſectabitur aut quæret ſapiens (nam & hoc parvum eſt) nec unquam venturus eſt, ubi primum locum occupant alii: ne ſecundum occupet, cum primo dignus ſit. Sed neque admodum promptus in agendo paratuſque eſt, ſed ceſſator ac cunctator potius. Semper enim magnis actionibus intentus eſt, & magnorum cauſa, vel unde magnus honor expectatur. Hæ autem raro incidunt. Ideoque pauca quidem agit, magna tamen & illuſtria. Quos vero vel amicos ſibi vel inimicos putat, palam aut diligit aut ódit. Certo enim novit, recte à ſe fieri utrumque: ideoque nec male audire metuit in plebe. Quia magis veritatem reſpicit & rectum, quam opinionem. Ideoque in aperto vel odit vel amat. Sed & quicquid aut dicit aut agit, palam aut dicit aut agit, quia opinionem negligit vulgarem, ut dictum eſt. Ac propterea libertatem in dicendo amat, ſemperque verum dicit. Niſi forte cum diſſimulatione

τὸ σωφρονεστέρους καὶ ἐπιεικεστέρους τοὺς τοιούτους εἶναι· ἄλλως τε τῶν μὲν τῶν ἐν ἀξιώματι ὑπερέχειν καὶ ἐργῶδές ἐστι, καὶ σεμνόν, καὶ διὰ τοῦτο τῷ μεγαλοψύχῳ προσήκει· τὸ δὲ τῶν μέσων, καὶ ῥᾴδιον καὶ οὐδὲν μέγα· καὶ ἐν ἐκείνοις μὲν σεμνύνεσθαι οὐκ ἀγεννές, ἐν δὲ τοῖς ταπεινοῖς, φορτικόν. Ὥσπερ εἴ τις ἐπιδείκνυτο τὴν τοῦ σώματος ῥώμην ἐν τοῖς ἀσθενέσι καὶ ὑπὸ νόσου ἢ γήρως διεφθαρμένοις· ἔτι δὲ ὁ μεγαλόψυχος οὐδὲ προσελεύσεται ζητῶν ἐκ τοῦ τιμηθήσεσθαι· μικρὸν γὰρ καὶ τοῦτο· οὐδὲ ἐθελήσει ποτὲ παραγενέσθαι ὅπου πρωτεύουσιν ἄλλοι, ἵνα μὴ τύχῃ τῶν δευτερείων, τῶν πρωτείων ἄξιος ὤν. Ἔτι δὲ οὐδὲ ἕτοιμος εἰς τὰς πράξεις, ἀλλὰ ἀργός τις καὶ μελλητής· ζητεῖ γὰρ ἀεὶ πράττειν μεγάλα, καὶ μεγάλων ἕνεκα, καὶ ὅθεν μεγάλη γίνεται τιμή. Ταῦτα δὲ σπανίως συμπίπτει· καὶ διὰ τοῦτο ὀλίγα μὲν πράττει, μεγάλα δὲ καὶ ὀνομαστά. Οὓς δὲ ἢ φίλους ἡγεῖται ἢ ἐχθρούς, φανερῶς καὶ μισεῖ καὶ φιλεῖ· γινώσκει γὰρ ἀσφαλῶς ὅτι κατὰ τὸ δέον ἀμφότερα ποιεῖ, καὶ οὐ δέδοικε τὴν παρὰ τῶν πολλῶν ἀδοξίαν. Μᾶλλον γὰρ φροντίζει τῆς ἀληθείας καὶ τοῦ δέοντος, ἢ τῆς δόξης. Καὶ διὰ τοῦτο φανερομισός ἐστι καὶ φανερόφιλος· καὶ πάντα δέ, ἃ λέγει καὶ πράττει, φανερῶς καὶ λέγει καὶ πράττει, διὰ τὸ καταφρονεῖν, ὡς εἴρηται, τῆς τῶν πολλῶν δόξης. Διὰ τοῦτο καὶ παρρησιαστικός ἐστι, καὶ ἀεὶ ἀληθεύει· εἰ μή που εἰρωνευόμενος

το

τὸ πρὸς τοὺς πολλοὺς, καὶ τὰ μικρὰ λέγει περὶ ἑαυτοῦ, διὰ τὸ μὴ βούλεσθαι παρὰ φαύλων ἀνθρώπων τιμᾶσθαι. Συζῇ δὲ καὶ συνδιάγει οὐ τῷ τυχόντι, ἀλλὰ τῷ φίλῳ. Τὸ γὰρ τῷ μὴ φίλῳ συνεῖναι, καὶ τραπέζης καὶ στέγης κοινωνεῖν, οὐ μεγαλόψυχον, ἀλλὰ δουλικὸν καὶ κολακικόν. Ταπεινοὶ γὰρ οἱ κόλακες, καὶ τὸ ἀνάπαλιν οἱ ταπεινοὶ πάντες κόλακές εἰσιν· ἔτι δὲ οὐδὲ θαυμαστικός τις ὁ μεγαλόψυχός ἐστι, τὰ τυχόντα ὑπερθαυμάζων· οὐδὲν γὰρ αὐτὸς νομίζει μέγα· ἀλλ' οὐδὲ μνησίκακος· μικρὰν γὰρ καὶ τὴν παρὰ τῶν ἐχθρῶν βλάβην ἡγεῖται, καὶ μηδὲν αὐτῷ δυναμένην λυμήνασθαι, διὰ τὸ μέγεθος τῆς ἀρετῆς. Ἄλλως τε καὶ τὸ ὑπομνημονεύειν, καὶ τῶν παρεληλυθότων ποιεῖσθαι λόγον, καὶ ταῦτα [illegible] κακῶν, μικροψύχου τινός ἐστι· τὸ δὲ παρορᾶν, μεγαλοψύχου. Ὃς γὰρ ὧν εὖ πέπονθεν οὐδαμῶς ἀξιοῖ μεμνῆσθαι, ὡς ἐν τοῖς ἀνωτέρω λέλεκται, διὰ τὸ μὴ μέγα εἶναι καὶ ἄξιον αὐτοῦ τὸ εὖ πάσχειν, πολλῷ μᾶλλον ὧν κακῶς πέπονθε παρά τινων οὐ μνησθήσεται. Ἔτι δὲ οὐδὲ πράξεις τινὰς ἢ ἄλλων ἀνθρώπων ἀνέχεται καταλέγειν, ἢ ἑαυτοῦ. Οὔτε γὰρ τῶν ἐπαίνων αὐτῷ μέλει τῶν ἑαυτοῦ, οὔτε τῶν ἄλλων· οὐδὲ πάλιν σπουδὴν ἔχει, ἵνα οἱ ἄλλοι ψέγωνται. Οὐ πίνυν οὔτε ἐπαινετικός ἐστιν, οὔτε κακολόγος· οὐδὲ τοὺς ἐχθροὺς διασύρει, εἰ μή που παρόντας· τὸ γὰρ ἀπόντας λοιδορεῖσθαι,

inter plebeios utitur homines, parumque ſibi tribuit, quia infimorum ſcilicet honorem negligit. Neque cum quovis vivit aut verſatur, ſed cum amico tantum. Nam cum eo qui amicus non ſit, vivere menſaque velle eadem & tecto frui, non magnanimum eſt, ſed ſervile, aut adulatoris proprium. Humiles quippe ſunt adulatores, & vice verſa, omnes qui humiles ſunt, adulatores ſunt. Sed neq; facile admiratur magnanimus, neq; obſtupeſcit quælibet. Nihil enim magnum arbitratur. Neq; injuriarum memor eſt. Quia etiamſi aliquod ab inimicis damnum patitur, parvi id æſtimat, minuſque quam ut nocere poſſit ſibi. Idque vel ob virtutis magnitudinem: vel quod præteritorum meminiſſe, ac præcipue malorum, parvo ſit animo præditi: ſicut negligere magnanimi. Nam qui nè beneficia quidem, quibus affectus eſt, meminiſſe ullo dignatur modo, ſicut ſupra diximus, quia exiguum neque ſe dignum eſſe, affici beneficiis arbitratur; multo magis malorum, quibus affectus ab aliquo fuerit, memoriam deponet. Præterea nec aliorum actiones hominum recenſebit, nec ſuas. Quia nec alienas curat laudes, nec ſuas. Sicut neque operam dat, ut alii vituperentur. Quare nec in laudes propendet, nec in calumnias. Sed nec inimicos ſugillat, niſi præſentes: quia abſentibus obtrectare, non eſt

Ariſtot. l.4. c.3.

Ariſtot. l.4.c.3.

magnanimi. Ac res neceſſarias aut parvas, ſi qua earum opus habet, ut conſequatur, non lubenter ſupplicat, aut queribundus aliquem compellit. Quomodo enim qui nihil æſtimat, aut in rebus humanis magnopere expetendum judicat, tam demiſſi eſſe poſſet animi? Sed & honeſta ita omni lucro antepomit, ut meliora ſine ullo etiam emolumento ea exiſtimet, quam quæ cum emolumento conjuncta ſunt & proſunt, nec honeſta ſunt tamen. Eodemque modo, in iis quæ poſſidet; ut exempli gratia, arboribus aut ſervis. Eos enim ſervos, non qui quæſtum adferre poſſunt plurimum, ſed qui honeſti ſunt & boni, poſſidebit. Sed & motus hominis magnanimi tardus videtur eſſe, & vox gravis, & dictio ſedata. Neque enim fieri poteſt ut admodum feſtinet, qui pauca curat: (nam quæ vulgus admiratur, ille exigua judicat.) Neque ut admodum contendat, qui nihil magnum exiſtimat. Feſtinant enim & volubiliter loquuntur, qui vehementer admirantur aliquid, aut eximie curant. Talis ergo eſt magnanimus.

Ὁ δ' ἐλλείπων, μικρόψυχος, &c.

Qui vero deficit, puſillanimis, qui excedit, vanus. Quamvis nec illi mali ſunt. Non enim ſunt malefici, ſed tantum errant, quatenus videlicet ab officio decedunt & à medio.

Ὁ μὲν γὰρ μικρόψυχος ἄξιος ὢν ἀγαθῶν, &c.

Cum enim bonis dignus ſit puſillanimis, non novit ſe ipſe, ac propterea quibus dignus eſt, privat ſe ipſe. Atque hoc reſpectu, malus ſibi ipſe eſt, quia bene ſibi ipſe non facit, quod

οὐ μεγαλοψύχου. Περὶ δὲ ἀναγκαίων, ἢ μικρῶν, οὐ σφόδρα ἱκετεύει, ἢ ὀλοφύρεται, ἐάν τινος δεηθῇ. Ὁ γὰρ μηδὲν μέγα ἡγούμενος, μηδὲ σπουδάζων περὶ οὐδὲν τῶν ἀνθρωπίνων, πῶς δύναται οὕτως ἀγεννῶς ἔχειν; ἀεὶ δὲ τὸ καλὸν τοῦ κέρδους προτιμῶν, βελτίω νομίζει τὰ καλὰ καὶ ἄκαρπα τῶν καρπίμων καὶ ὠφελίμων, ἂν μὴ καλὰ ὦσιν. Ὁμοίως ἐπί τε κτημάτων, καὶ δένδρων, καὶ οἰκετῶν. Οὐ γὰρ χρηματιστὰς, ἀλλὰ τοὺς καλοὺς καὶ ἀγαθοὺς κτήσεται τῶν οἰκετῶν. Καὶ κίνησις δὲ τοῦ μεγαλοψύχου βραδεῖα δοκεῖ εἶναι, καὶ ἡ φωνὴ βαρεῖα, καὶ λέξις στάσιμος· οὐ γὰρ δυνατὸν σπεύδειν τὸν περὶ ὀλίγων φροντίζοντα· ὀλίγα γὰρ αὐτῷ ἃ θαυμάζουσιν οἱ πολλοί. Οὐδὲ σύντονον εἶναι τὸν οὐδὲν μέγα οἰόμενον· σπεύδουσι γὰρ καὶ ὀξυφωνοῦσιν οἱ περί τι σφόδρα ἐπτοημένοι, καὶ πολλὴν αὐτοῦ ποιούμενοι φροντίδα. Ὁ μὲν οὖν μεγαλόψυχος τοιοῦτος.

Ὁ δὲ ἐλλείπων, μικρόψυχος, ὁ δὲ ὑπερβάλλων, χαῦνος· οὐκ εἰσὶ δὲ οὐδὲ οὗτοι κακοί· οὐ γὰρ κακοποιοί εἰσιν, ἀλλὰ μόνον ἡμαρτημένοι· καθ' ὅσον τοῦ δέοντος ἐκπίπτουσι καὶ τοῦ μέσου.

Ὁ μὲν γὰρ μικρόψυχος, ἄξιος ὢν ἀγαθῶν, ἀγνοεῖ ἑαυτὸν, καὶ ἀποστερεῖ ἑαυτὸν ὧν ἐστὶν ἄξιος. Καὶ τοῦτο τὸ μέρος κακός ἐστιν ἑαυτῷ, μὴ εὖ ποιῶν ἑαυτὸν, διὰ τὸ ἀγνοεῖν

τὰ

τὰ αὐτῷ προσήκοντα· εἰ γὰρ ᾔδει, ὠρέγετο ἂν, ἀγαθῶν ὄντων. Ὁ τοιοῦτος δὲ ἠλίθιος μὲν οὐκ ἂν λέγοιτο, ἀλλὰ μᾶλλον νωθρός. Οὐ μόνον δὲ τοῦτο τὸ μέρος ὁ μικρόψυχος ἑαυτὸν βλάπτει, ἀλλὰ καὶ ἕτερον τρόπον. Καὶ γὰρ διὰ τὸ ἀγνοεῖν ἑαυτὸν, καὶ χείρων γίνεται τοὺς τρόπους. Τῶν γὰρ ἀγαθῶν καὶ γενναίων πράξεων καὶ τῶν καλῶν ἐπιτηδευμάτων ἀφίσταται, ὡς ἀνάξιος ὢν αὐτῶν· ὁμοίως δὲ καὶ τῶν ἐκτὸς ἀγαθῶν ἀπέχεται, νομίζων ὑπὲρ τὴν ἀξίαν αὐτοῦ ταῦτα εἶναι.

Ὁ δὲ χαῦνος, καὶ ἠλίθιος, καὶ ἑαυτὸν ἀγνοῶν, τοῖς ὑπὲρ τὴν ἀξίαν ἐπιχειρεῖ· ἀρετῇ μὲν οὐκ ἔχων κοσμεῖσθαι, κοσμούμενος δὲ ἐσθῆτι καὶ σχήματι, καὶ τοῖς ἄλλοις τοῖς τοιούτοις· καὶ σεμνός τις εἶναι διὰ τούτων νομίζων, εὐτυχής τις θέλει δοκεῖν· καὶ πειρᾶται φανερὰ ποιεῖν ἀεὶ τὰ εὐτυχήματα ἑαυτοῦ, καὶ περὶ αὐτῶν ἀεὶ λέγει, ὡς διὰ τούτων τιμηθησόμενος.

Ἀμφοτέρων δὲ ἀντικειμένων τῇ μεγαλοψυχίᾳ, τῆς τε μικροψυχίας, καὶ τῆς χαυνότητος, ἡ μικροψυχία μᾶλλον ἀντίκειται, ὅτι μᾶλλον γίνεται, καὶ χεῖρόν ἐστι κακόν· τοῦ γὰρ ἔχοντος τὸ ἦθος χεῖρον ποιεῖ καὶ τὴν ἀρετὴν ἐλαττοῖ, καθὼς εἴρηται. Ἡ δὲ χαυνότης φαῦλον μέν ἐστι δι' ἑαυτήν, τὸν δὲ ἔχοντα οὐ ποιεῖ κατὰ τὰ ἄλλα φαυλότερον. Οὐδὲν γὰρ ἀγαθὸν, ὧν ἔχει, ὁ χαῦνος ἀπόλλυσι διὰ τὴν χαυνότητα, ἀλλὰ μᾶλλον ἐνίοτε διὰ τοῦτο τοῖς καλοῖς καὶ ἀγαθοῖς ἔργοις

ignoret, quæ ſibi debeantur. Si noviſſet enim, expeteret quoque, cum bona ſint. Neq; tamen ſtolidus recte dicetur eiuſmodi, ſed potius ignavus. Quamvis nec hoc tantum modo nocet ſibi puſillanimis, ſed & alio. Nam & quia ignorat ſe ipſe, moribus quoque evadit corruptior. A bonis enim & præclaris actionibus abſtinet atque inſtitutis, tanquam indignus ſit illis. Quemadmodum & ab externis abſtinet bonis: quia ſupra dignitatem ea exiſtimat ſuam.

Ariſtot. l. 4. c. 3.

At vero vanus, & ſtolidus, & qui ſe ignorat ipſe, ea aggreditur, quæ dignitatem excedunt ſuam. Et cum virtute ornari non poſſit, veſte contra & habitu aliiſque ſe exornat talibus. Ac quia ſplendidus ſibi ex eo videtur, proſpera uti fortuna vult videri: ſuaſque res ſecundas ſemper vult cognoſci ab omnibus, ac de iis ipſe loquitur ſemper tanquam honorem ex his conſecuturus.

Οἱ δὲ χαῦνοι ἠλίθιοι καὶ ἑαυτοὺς ἀγνοοῦντες, &c.

Cum autem utrumq; magnanimitati & puſillanimitas opponatur & vanitas; magis puſillanimitas opponitur quam vanitas: tum quia eſt crebrior, tum quia majus eſt malum. Ejus enim quē poſſidet, & mores corrumpit, & virtutem, ut dictum eſt, minuit. Vanitas autem per ſe quidem mala eſt, eum vero quem poſſidet, deteriorem in reliquis non efficit. Nullum enim bonum, quo præditus eſt vanus, vanitate corrumpitur: ſed contra præclara interdum atque honeſta propterea aggreditur opera,

Ἀντίκειται δὲ τῇ μεγαλοψυχίᾳ, &c.

Ariſtot. l.4. c.4.

quibus ſe dignum exiſtimat. Sed neque ſemper creſcit vanitas. Experientia enim ad cognitionem ſui pervenit vanus. Cum enim plerumque non conſequitur quem appetit honorem, modeſtiam addiſcit neceſſario. Ideoque facile deponitur vanitas, neque poteſt permanere. Contra vero ſemper puſillanimitas procedit. Nam cum ſemper in deterius eat indoles illius, etiam ejus de ſe decreſcit opinio. Cum opinione autem, mores. Ac rurſus propterea, eadem opinio. Atque ita ſemper puſillanimitas procedit. Sed nec ab experientia emendatur puſillanimis. Nam cum ea quæ aggreditur facile perficiat (exiguæ enim ſunt viribuſque minora) virtutem ſuam ignorat quaſi. Sed & honorem cum petat quam dignus eſt minorem, nemini moleſtus eſt, ideoque nec ſpe fruſtratus corrigitur, quemadmodum vanus. Et ob has quidem cauſas majus quam vanitas malum eſt puſillanimitas, minuſque facile expugnari poteſt. Unde etiam magis cum magnanimitate pugnat.

ἐπιχειρεῖ, ἄξιον ἑαυτὸν ἡγούμενος τῶν τοιούτων. Ἔτι δὲ ἡ μὲν χαυνότης οὐκ ἀεὶ αὔξει· ὑπὸ γὰρ τῆς πείρας ὁ χαῦνος ἐπιγνώμων ἑαυτοῦ γίνεται· ἣν γὰρ ζητεῖ τιμὴν οὐ λαμβάνων ὡς ἐπὶ τὸ πλεῖστον, ἀναγκάζεται σωφρονεῖν. Καὶ διὰ τοῦτο ἡ χαυνότης εὐαπαλλακτόν ἐστι, καὶ οὐ δύναται παραμένειν· ἡ δὲ μικροψυχία ἀεὶ προχωρεῖ. Τοῦ γὰρ ἤθους, ὥσπερ εἴρηται, χεῖρον διατεθέντος, καὶ τὸ φρόνημα ἐλαττοῦται· τοῦ φρονήματος δὲ ἐλαττωθέντος, καὶ ὁ τρόπος γίνεται χείρων, καὶ τὸ φρόνημα διὰ τοῦτον. Καὶ οὕτως ἡ μικροψυχία ἀεὶ προχωρεῖ. Καὶ ἀπὸ τῆς πείρας δὲ ὁ μικρόψυχος οὐ γίνεται βελτίων· οἷς γὰρ ἔργοις ἐπιχειρεῖ, ῥᾳδίως ταῦτα περαίνων (μικρὰ γὰρ καὶ τῆς δυνάμεως ἐλάττω) τὴν ἰδίαν ἀρετὴν ὥσπερ ἀγνοεῖ. Καὶ τιμὴν δὲ ζητῶν ἐλάττω τῆς ἀξίας, οὐδένα λυπεῖ. Καὶ διὰ τοῦτο οὐδὲ ἐξελεγχόμενος θεραπεύεται, καθάπερ ὁ χαῦνος· διὰ ταῦτα τοίνυν ἡ μικροψυχία χεῖρόν ἐστι κακὸν τῆς χαυνότητος, καὶ δυσαπαλλακτότερον· ὅθεν μᾶλλον ἀντίκειται τῇ μεγαλοψυχίᾳ.

CAP. VI.

De mediocritate quæ in honorum cupiditate conſiſtit.

Cap.4. Ἔοικε δὲ καὶ περὶ ταύτην εἶναι ἀρετή τις, &c.

IN magno ergo honore, ſicut dictum eſt, ſpectatur magnanimitas. Sed & alia virtus in honore verſatur, quæ eodem modo ad magnanimitatem ſe

ΚΕΦ. ϛʹ.

Περὶ τῆς ἐν φιλοτιμίᾳ μεσότητος.

Ἡ Μὲν οὖν μεγαλοψυχία περὶ τιμὴν μεγάλην ἐστὶ, καθὼς εἴρηται· ἔστι δὲ καὶ ἄλλη τις ἀρετὴ περὶ τὴν τιμὴν, ἥ τις λόγον ἔχει πρὸς τὴν μεγαλοψυχίαν,

ψυχίαν, ὃν ἡ ἐλευθεριότης πρὸς τὴν μεγαλοπρέπειαν· ὡς γὰρ ἡ μεγαλοπρέπεια διαφέρει τῆς ἐλευθεριότητος τῷ μεγάλῳ, περὶ τὰ χρήματα καὶ αὐτῆς οὔσης, οὕτως ἡ μεγαλοψυχία τῆς τοιαύτης ἀρετῆς διαφέρει, τῷ περὶ μεγάλας εἶναι τιμὰς, αὐτῆς περὶ τὰς μικρὰς οὔσης.

Ὥσπερ γὰρ ἐν λήψει καὶ δόσει χρημάτων μεσότης ἐστὶ, καὶ ὑπερβολὴ, καὶ ἔλλειψις, οὕτω καὶ ἐν τῇ ὀρέξει τῆς τιμῆς ἔνι λαβεῖν μεσότητα, καὶ ὑπερβολὴν, καὶ ἔλλειψιν. Ἔστι γὰρ δυνατὸν ἐφίεσθαι τιμῆς πλέον ἢ δεῖ, καὶ ἔλαττον τοῦ δέοντος, καὶ πάλιν κατὰ τὸ δέον, καὶ ὡς ὁ ὀρθὸς ἀπαιτεῖ λόγος· ψέγομεν γὰρ καὶ ἐπαινοῦμεν πολλοὺς ἐν τῆς τιμῆς ὀρέξει. Ὅθεν δῆλον, ὅτι οἱ μὲν, ὡς δεῖ, ταύτης ἐφίενται, οἱ δὲ οὐχ ὡς δεῖ. Τούτων δὲ οἱ μὲν ὑπερβάλλουσι τὸ δέον, οἱ δὲ ἐλλείπουσι.

Καὶ γὰρ ψέγομεν τὸν φιλότιμον, ὡς πλέον, ἢ δεῖ, τιμῆς ἐφιέμενον· ψέγομεν δὲ καὶ τὸν ἀφιλότιμον, ὡς μηδὲ ἐπὶ τοῖς καλοῖς ἐθέλοντα τιμᾶσθαι.

Ἐνίοτε δὲ καὶ τὸν φιλότιμον ἐπαινοῦμεν, ὡς ἀνδρώδη καὶ φιλόκαλον, τὸν δὲ ἀφιλότιμον, ὡς μέτριον καὶ σώφρονα, ὡς καὶ ἐν τοῖς πρώτοις εἴπομεν. Γίνεται γὰρ τοῦτο διὰ τὸ ἐοικέναι τὰ ἄκρα τῇ μεσότητι, καὶ διὰ τὸ τὴν μεσότητα ἀνώνυμον εἶναι, καὶ διὰ τοῦτο ὀνομάζεσθαι ἀπὸ τῶν ἄκρων. Καὶ οὐδὲν κωλύει τὴν μεσότητα φιλοτιμίαν ὀνομά-

habet, quemadmodum ad magnificentiam liberalitas. Sicut enim magnitudine à liberalitate differt magnificentia, cum in pecuniis & ipſa verſetur, ſic ab illa virtute differt magnanimitas, quod in magnis verſetur honoribus, cum illa tantum in parvis. Ariſtot. l. 4. c. 4.

Sicut enim in dandis accipiendiſque pecuniis, & mediocritas & exceſſus eſt, & defectus: ſic & in honoris cupiditate, mediocritatem quoque poſſumus, & exceſſum invenire, & defectum. Nam & magis quam oportet, minuſque, & quemadmodum oportet, ac recta poſtulat ratio, honorem poſſumus appetere. Ab honorum enim cupiditate & laudamus multos & reprehendimus. Unde apparet, quoſdam ut oportet, quoſdam non ut oportet, eum appetere. Quorum alii excedunt medium, alii deficiunt. Ὥσπερ δ' ἐν λήψει καὶ δόσει χρημάτων, &c.

Ambitioſum enim vituperamus, ut qui magis quam oportet honorem appetat: vituperamus & honoris contemptorem, ut qui ne in honeſtis quidem velit affici honore. Τόν τε γὰρ φιλότιμον ψέγομεν, &c.

Interdum & ambitioſum laudamus, ut virum fortem & honeſti ſtudioſum. Honoris vero contemptorem, ut modeſtum ac temperantem: ſicut & ſupra diximus, hoc autem fit idcirco, quia ſimile aliquid exceſſus habent cum medio, & quia ſine nomine eſt medium, ideoque ab extremis nomen deſumit. Neque quicquam vetat, quo minus vel ambitio, vel honoris contemptus dicatur Ἔστι δ' ὅτε τὸν φιλότιμον ἐπαινοῦμεν, &c.

tur

tur medium. Multis enim modis dici poteſt, honorem aliquis appetere aut pecuniam: ſicut multis modis aliquid dicimur appetere. Nam & plus minuſque quam oportet, & quemadmodum oportet, aliquid poſſumus appetere. Quare & nomen ejus qui appetit aliquid, ita ſe habet: meritoque ejus aut ejus eſſe ſtudioſus dicitur, tam qui ut oportet, quam qui non, ut oportet appetit. Quoties ergo aliquem quem laudatum cupimus, ambitioſum dicimus, non plus quam oportet, ſed plus quam vulgus honorem appetere eum putamus. Cũ vero hunc ipſum vituperamus, eum qui plus quam oportet, honorem appetit, hoc nomine v[illegible] Eodemque modo & in honoris contemptore ſe res habet.

Quare in mediocri ſtudio honoris, licet nullum ejus nomen ſit, conſiſtit medium. In quibus enim & exceſſus & defectus eſt, neceſſe quoque eſt eſſe medium. Itaq; cum vel plus quam oportet aliquis honorem appetat vel minus, neceſſe eſt mediam quoque aliquam cupiditatem eſſe, quæ eſt ut oportet: quam laudamus.

Eſtque ea virtus ſine nomine. Videtur autem, ſi cum ambitione conferatur, hoc eſt cum extremo, honoris contemptus, ſi cum honoris contemptu, ambitio: ſicut cum utraque ſi conferatur, utrumque, quatenus utriuſque eſt particeps. Quod in aliis etiam fit virtutibus. Semper enim cum ad extremitates accedit mediũ, nominibus quoq;

ζεσθαι, ἢ ἀφιλοτιμίαν· ὁ γὰρ φιλότιμος, καὶ ὁ φιλοχρήματος πολλαχῶς δύναται λέγεσθαι· ἐπεὶ καὶ τὸ φιλεῖν κατὰ πολλοὺς τρόπους δύναται εἶναι· ἔστι γὰρ καὶ ὑπὲρ τὸ δέον φιλεῖν τι, καὶ παρὰ τὸ δέον, καὶ ὡς δεῖ. Ὥστε καὶ τὸ ὄνομα οὕτως ἂν ἔχειν, καὶ λέγοιτο ἂν φιλοτοιοῦτος [illegible]κότως καὶ ὁ ὡς δεῖ, καὶ ὁ μὴ ὡς δεῖ, φιλῶν. Ὥστε ὅταν τινὰ φιλότιμον ὀνομάζοντες ἐπαινῶμεν, νομίζομεν ὑπερβάλλειν μὲν ἐν τῇ τῆς τιμῆς ὀρέξει, ἀλλ' οὐ τὸ δέον, ἀλλὰ τοὺς πολλούς. Ὅταν δὲ ψέγωμεν τὸν φιλότιμον, τὸν ὑπερβάλλοντα τὸ δέον φιλότιμον ὀνομάζομεν. Ὁμοίως δὲ καὶ ἐπὶ τοῦ ἀφιλοτίμου ἔχει.

Ἔστι τοίνυν μεσότης ἐν τῇ τῆς μετρίας τιμῆς ὀρέξει, εἰ καὶ ἀνώνυμός ἐστιν· ἐν οἷς γὰρ ἐστὶν ὑπερβολὴ καὶ ἔλλειψις, ἀνάγκη καὶ τὸ μέσον εἶναι· ὥστε ἐπεὶ ὀρέγονται τιμῆς καὶ πλέον τοῦ δέοντος καὶ ἔλαττον, ἀνάγκη καὶ τὴν μέσην ὄρεξιν εἶναι τὴν κατὰ τὸ δέον γινομένην, ἥτις ἐπαινεῖται.

Καὶ ἔστιν ἀρετὴ ἀνώνυμος· φαίνεται δὲ πρὸς μὲν τὴν φιλοτιμίαν τὴν ἀκρότητα συγκρινομένη, ἀφιλοτιμία, πρὸς δὲ τὴν ἀφιλοτιμίαν, φιλοτιμία· πρὸς ἀμφοτέρας δέ, τὴν φιλοτιμίαν, καὶ τὴν ἀφιλοτιμίαν συγκρινομένη, ἀμφότερα δοκεῖ, καθόσον ἀμφοτέρων μετέχει· ὅπερ καὶ ἐπὶ τῶν ἄλλων ἀρετῶν γίνεται. Ἀεὶ γὰρ ἡ μεσότης τῶν ἄκρων μετέχουσα τοῖς ὀνόμασιν αὐτῶν

Ariſtot. l. 4. c. 4.

Ἀνωνύμου δ' οὔσης τῆς μεσότητος, &c.

Ἐπαινεῖται γοῦν ἡ ἕξις αὐτή, &c.

τῶν ὀνομάζεται. Καθόσον καὶ φεύγει τὸ ἕτερον, πρὸς τὸ ἕτερον ἀποκλίνειν δοκεῖ· ἐπὶ ταύτης δὲ μᾶλλον, διότι ἀνώνυμός ἐστι.

Διὰ τοῦτο δὲ οὐδὲ ἀντικεῖσθαι δοκοῦσι τὰ ἄκρα μέσῳ τινὶ, ἀλλὰ μᾶλλον ἀλλήλοις· ἡ γὰρ ἀφιλοτιμία τῇ φιλοτιμίᾳ φαίνεται ἀντικεῖσθαι.

Κεφ. ζ'.

Περὶ πρᾳότητος.

Ἡ δὲ πρᾳότης περὶ τὰς ὀργάς ἐστι μεσότης. Ἧς ἡ μὲν ὑπερβάλλουσα ἕξις, ὀργιλότης καλεῖται· ἡ δὲ ἐλλείπουσα, ἀνώνυμος. Τὸ μὲν οὖν πάθος, περὶ ὃ ἡ πρᾳότης, ὀργή ἐστι· τὰ δὲ κινοῦντα τὴν ὀργὴν, πολλὰ καὶ διαφέροντα.

Ὁ μὲν οὖν, ὡς δεῖ, καὶ ὅτε δεῖ, καὶ ἐφ' οἷς δεῖ ὀργιζόμενος, ἐπαινεῖται· ὃς δὴ ὁ πρᾷος ἐστι. Δοκεῖ γὰρ πρᾷος εἶναι, ὁ ἀτάραχος καὶ μὴ ἀγόμενος ὑπὸ τοῦ πάθους, ἀλλ' αὐτὸς ἄγων τὸ πάθος, καθὼς ὁ ὀρθὸς προστάττει λόγος. Δοκεῖ δὲ μᾶλλον πρὸς τὴν ἔλλειψιν ἀποκλίνειν, καθόσον οὐ τιμωρητικός ἐστιν, ἀλλὰ μᾶλλον συγγνωμονικός.

Ἡ δὲ ἔλλειψις ψέγεται, εἴτε ἀοργησία καλεῖται, εἴτε ὅ, τι δήποτε. Τὸ γὰρ ἐν οἷς δέον μὴ ὀργίζεσθαι καὶ περιορᾶν προπηλακιζόμενον, καὶ ἑαυτὸν, καὶ τοὺς οἰκείους, ἠλίθιον καὶ ἀνδραποδῶδες.

Ἡ δὲ ὑπερβολὴ κατὰ πάντα μὲν γίνεται· καὶ γὰρ ὅτε παρὰ τὸ δέον, καὶ τοῦ τρόπου, καὶ

eorum appellatur. Quatenus enim recedit ab altero, eatenus inclinare videtur ad alterum. In hac vero magis, quia caret nomine. Ariſtot. l.4. c.5.

Ideoque nec medio alicui opponi extremitates videntur, ſed ſibi magis. Honoris enim contemptus, cum ambitione videtur pugnare. Ἀντικεῖσθαι δ' ἐνταῦθα, &c.

CAP. VII.

De lenitate.

Lenitas autem, mediocritas in ira eſt: cujus exceſſus iracundia dicitur, defectus caret nomine. Affectus ergo, in quo verſatur lenitas, eſt ira: quæ autem eam movent, multa ſunt & varia. Cap. 5. Πρᾳότης δ' ἐστὶ μὲν, &c.

Qui ergo, quemadmodum, & cum, & in quibus oportet iraſcitur, laudatur: quem lenem dicimus. Videtur enim lenis eſſe, qui perturbationibus vacat, neque ab affectu ducitur, ſed ipſe eum ducit, prout recta præſcribit ratio. Videtur autem ad defectum magis propendere, quatenus ad ulciſcendum non tam proclivis eſt, quam ad veniam. Ὁ μὲν οὖν ἐφ' οἷς δεῖ καὶ οἷς δεῖ ὀργιζόμενος, &c.

Defectus autem, ſive lentitudo, aut quocunque appellatur nomine, vituperatur. Ubi enim oportet non iraſci, neque ullis vel ſuis vel amicorum commoveri contumeliis, ſtolidum eſt ac ſervile. Ἡ δ' ἔλλειψις, εἴτ' ἀοργησία, &c.

Exceſſus vero fit in omnibus. Quoties enim præter decorum Ἡ δ' ὑπερβολὴ κατὰ πάντα, &c.

vel

Ariſtot. l.4. c.5.

vel loci, vel temporis, vel rei, vel perſonæ, aut alterius alicujus circumſtantiæ, aliquis iraſcitur, excedit. Nec tamen ſemper qui excedit, ubique excedit: quod & fieri vix poteſt. Neque enim malum, niſi aliqua ex parte bonum ſit, poteſt conſiſtere, ſed à ſe corrumpitur. Et ſi ſolidum ſit, intolerabile efficitur.

Οἱ μὲν οὖν ὀργίλοι, &c.

Ac iracundi quidem cito, & quibus non oportet, iraſcuntur: cito vero ceſſant iterum: quod in iis eſt optimum. Idque ideo, quia cohibere iram non poſſunt aut abſcondere, ſed efferuntur, & quo poſſunt ſeſe ulciſcuntur modo. Quod cum fecerunt, ſtatim, quæ eorum vehementia eſt, iraſci deſinunt. Vehementes autem ſunt ſupra modum quos ἀκρόχολους dicimus, & ad omnia iracundi, & in omnibus. Unde & nomen ab extremitate poſſident deductum. Quos vero amaros dicunt, & reconciliari difficulter, & iraſci diu ſolent. Neque enim ſtatim promunt iram, ſed diſſimulant & premunt. Quam tum demum ponunt, cum malum iis reddiderint, à quibus acceperunt. Voluptatem enim iis affert, ideoque & dolorem illum adimit vindicta. Id autem quamdiu non fit, onus ſuum bajulant, ac circumferunt quaſi iram. Cum enim nemini indicare eam ſoleant, neque ſolando eos juvare quiſquam nec monendo poteſt. Quo fit ut tam diu apud eos reſideat, donec diſſolvi ſua ſponte poſſit, aut concoqui.

τοῦ χρόνου, καὶ τοῦ πράγματος, καὶ τοῦ προσώπου, καὶ τῶν ἄλλων περιστάσεων ὀργίζεταί τις, ὑπερβάλλει· οὐ μὴν ἀεὶ ὁ ὑπερβάλλων καὶ πάντῃ ὑπερβάλλει. Σχεδὸν δὲ καὶ ἀδύνατον τοῦτο· τὸ γὰρ κακὸν, εἰ κατὰ μηδένα τρόπον ἀγαθὸν εἴη, οὐ δύναται συστῆναι, ἀλλὰ καὶ ἑαυτὸ ἀπόλλυσι· κἂν ὁλόκληρον ᾖ, ἀφόρητον γίνεται.

Οἱ μὲν οὖν ὀργίλοι ταχέως μὲν ὀργίζονται, καὶ οἷς οὐ δεῖ· παύονται δὲ ταχέως, ὃ καὶ βέλτιστον ἔχουσι· τοῦτο δὲ πάσχουσιν, ὅτι οὐ κατέχουσι τὴν ὀργὴν, οὐδὲ κρύπτουσιν, ἀλλὰ ἐξάγονται, καὶ ἀμύνονται εὐθὺς δι' ὧν ἔξεστιν· ἀμυνάμενοι δὲ ταχέως διὰ τὴν ὀξύτητα παύονται εὐθὺς τῆς ὀργῆς· καθ' ὑπερβολὴν δέ εἰσιν ὀξεῖς οἱ ἀκρόχολοι, καὶ πρὸς πᾶν ὀργίλοι, καὶ ἐπὶ παντί· ὅθεν καὶ τὸ ὄνομα ἔχουσιν ἀπὸ τοῦ ἄκρου παρηγμένον. Οἱ δὲ πικροὶ καὶ δυσδιάλυτοι, καὶ πολὺν ὀργίζονται· οὐ γὰρ εὐθὺς φανεροῦσι τὸν θυμὸν, ἀλλὰ κατέχοντες κρύπτουσι. Παύονται δὲ τοῦ θυμοῦ, ἐπειδὰν ἀνταποδώσωσι κακὰ τοῖς λελυπηκόσιν· ἡ γὰρ τιμωρία ἡδονὴν αὐτοῖς ἐμποιεῖ, καὶ διὰ τοῦτο τῆς λύπης ἀφίστησι. Τούτου δὲ μὴ γινομένου, τὸ βάρος ἔχουσι, καὶ περιφέρουσι τὴν ὀργήν. Διὰ γὰρ τὸ μὴ φανεροῦν τὴν ὀργὴν, οὐδὲ παραμυθίας παρὰ τῶν ἀνθρώπων τυγχάνουσιν, οὐδὲ παρακαλεῖ τις αὐτούς. Ὅθεν καὶ κατέχουσιν αὐτὴν, μέχρις ἂν αὐτὴ ὑφ' ἑαυτῆς διαλυθῇ καὶ

πεφθῇ.

προφθῇ· τοῦτο δὲ διὰ χρόνου γίνεται. Οἱ τοιοῦτοι δὲ καὶ ἑαυτοῖς εἰσὶν ὀχληροὶ, καὶ τοῖς μάλιστα φίλοις. Οὗτοι δὴ καὶ χαλεποὶ καλοῦνται, οἵ τινες χαλεπαίνουσιν ἐφ' οἷς οὐ δεῖ, καὶ ὅτε μὴ δεῖ, καὶ ὅσον οὐ δεῖ, καὶ πλεῖστον ὀργίζονται χρόνον, καὶ οὐ διαλλάττονται, εἰ μὴ ἀντιλυπήσουσιν τοὺς λελυπηκότας. Οὗτοι δὲ καὶ συνοικῆσαι χαλεποὶ, καὶ βαρεῖς τοῖς ὁμοδιαίτοις. Ἡ μὲν οὖν μεσότης ἡ πρᾳότης ἐστὶν, ὑπερβολὴ δὲ ἡ ὀργιλότης. Ἔλλειψις δὲ ἀναισθησία τις ἂν καλοῖτο, καὶ ἠλιθιότης, ἢ ἀοργησία.

Ἀμφοτέρων δὲ ἀντικειμένων τῇ μεσότητι, μᾶλλον ἀντίκειται ἡ ὀργιλότης, ἢ ἡ ἀοργησία· χεῖρον γὰρ κακόν ἐστιν ἡ ὀργιλότης τῆς ἀοργησίας, ὅτι μᾶλλον γίνεται· ἐλάχιστοι γὰρ οἱ ἀόργητοι· καὶ ὅτι συνοικῆσαι ὁ μὲν ἀόργητος ἡδύς· ὁ δὲ ὀργίλος χαλεπός. Καὶ διὰ τοῦτο χεῖρον τὸ κακὸν· τὸ γὰρ ἥμερον τῶν ἀνθρώπων καὶ φιλάλληλον ἀναιρεῖ. Ὅτι μὲν οὖν μεσότης τις τὸ ἀγαθὸν, καὶ ἡ ἀρετὴ, τὰ δὲ παρ' ἑκάτερα ὑπερβολαὶ, καὶ ἐλλείψεις κακὰ, δῆλον· καὶ εἴρηται ὅτι τὸ ὡς δεῖ ὀργισθῆναι καὶ ἐφ' οἷς δεῖ, καὶ ὅτε, τοῦτό ἐστιν καὶ μεσότης. Μέχρι δὲ τίνος ὀργιζόμενοι, καὶ ἐπὶ πίσιν τὰ δέοντα ποιήσομεν, καί τις ὁ δέων τῆς ὀργῆς καιρὸς, καὶ ὁ τόπος, καὶ τὸ πρόσωπον, καὶ τὰ τοιαῦτα, οὐ δυνατόν ἐστι διορίσασθαι. Τὰ γὰρ κατὰ μέρος, καὶ τὰ καθ' ἕκαστα ἀόριστα, καθὼς καὶ περὶ τὰς ἀρχὰς εἴρηται· καὶ ἄλλοτε ἄλλα εἰσὶ τὰ προσήκοντα· καὶ οὐδὲν

Hoc vero non fit niſi tempore. Hi autem & ſibi ſunt moleſti, & præcipuis amicis. Sed & hos qui ubi non oportet, & cum non oportet, & quantum non oportet moroſe ſe gerunt, diuque iraſcuntur, neque ante vindictam placari poſſunt, difficiles vocamus. Cum his vero vivere, aut eodem uti contubernio, eſt moleſtum. Quare medium lenitas, exceſſus iracundia, defectus vero ſtupor quidam, aut ſtoliditas poſſit vocari, aut lentitudo. Ariſtor. l. 4. c. 5.

Cum autem utrumque opponatur medio, magis quam lentitudo tamen iracundia: pejus enim quam lentitudo malum eſt iracundia: quia eſt frequentior. Rariſſimi ſunt quippe quos lentos dicimus præterea quia cum lento vivere jucundum eſt, cum illo moleſtum; atque ideo pejus eſt malum. Quidquid enim in homine manſueti eſt aut amoris mutui, tollit iracundia. Jam vero bonum, eſſe mediocritatem quandam & virtutem, quæ vero utrinque ſunt, exceſſum dico ac defectum, mala eſſe manifeſtum eſt, & jam ſupra diximus. Quia, quemadmodum, & in quibus, & cum oportet iraſci, hoc ipſum eſt medium. Quamdiu vero, & in quibus ex officio iraſcendum ſit; quæ item juſta ſit iræ occaſio, & locus, & perſona, & ſimilia, definiri non poteſt. Quæ enim ſingula reſpiciunt, aut partes, ſicut & in principio diximus, definiri non queunt. Alia enim alias conveniunt, neque quicquam horum fixum eſt

τῇ πρᾳότητι δὲ μᾶλλον τὴν ὑπερβολὴν ἀντιτίθεμεν, &c.

aut

Ariſtot. l. 4. c. 6.

aut ſtabile. Hoc tantum dicere poſſumus, medium in quocunque affectu laudari habitum, exceſſum contra in omnibus vituperari ac defectum. Et illi quidem qui parum abeunt à medio, non admodum ſunt conſpicui, ideoque *neque admodum vituperantur, qui vero plurimum, plurimum etiam apparent, & vituperantur plurimum. Unde apparet medium eſſe habitum, cui adhærere oportet.

τούτων ἐπὶ τοῦ αὐτοῦ ἕστηκε. Τοῦτο δὲ μόνον δυνατὸν εἰπεῖν, ὅτι ἡ μὲν μέση ἕξις ἐπαινετὴ, αἱ δὲ ὑπερβολαὶ καὶ ἐλλείψεις ἐπὶ παντὸς πάθους κακίζονται· καὶ αἱ μὲν μικρὸν ἀφιστάμεναι τοῦ μέσου, οὐ πάνυ γίνονται φανεραὶ, καὶ διὰ τοῦτο οὐδὲ πάνυ ψέγονται· αἱ δὲ πλεῖστα, καὶ πλεῖστα δοκοῦσι καὶ σφόδρα κακίζονται. Ὅθεν δῆλον, ὅτι τῆς μέσης ἕξεως ἀνθεκτέον.

CAP. VIII.

ΚΕΦ. η.

De amicitia, vitiiſque quæ cingunt eam, moroſitate nimirum & adulatione.

Περὶ φιλίας, καὶ τῶν παρ' ἑκάτερα κακιῶν δυσκολίας, καὶ κολακείας.

Cap. 9. Ἐν δὲ ταῖς ὁμιλίαις καὶ τῷ συζῆν, &c.

Ac eos quidem qui in ira conſiderantur habitus, jam diximus. Sunt vero in hominum congreſſibus mutuaque ſocietate alii, qui in ſermonibus cernuntur & rebus. In his ergo aut laudamus aut vituperamus aliquem. Cum autem laudari mediocritas, exceſſus vero ac defectus vituperari debeant; manifeſtum eſt, in hac etiam ſocietate, exceſſum quoque & defectum eſſe aliquem, & medium. Alii enim nulla omnino in re moleſti eſſe iis volunt cum quibus vivunt: quo fit ut laudent omnia, velintque omni in re placere omnibus, neque uſquam ab iis diſſentire.

Οἱ δ' ἐξεναντίας τούτοις, &c.

Alii directe cum his pugnant: qui moleſti ſunt omnibus, omnia vituperant, neque quicquam eorum quæ fiunt approbare poſſunt: ſed de re

Αἱ μὲν οὖν περὶ τὴν ὀργὴν ἕξεις εἴρηνται· εἰσὶ δὲ καὶ ἄλλαι ἕξεις ἐν ταῖς τῶν ἀνθρώπων κοινωνίαις ταῖς πρὸς ἀλλήλους· αἵ τινες ἐν λόγοις καὶ τοῖς πράγμασι γίνονται. Περὶ ταύτας τοίνυν τὰς κοινωνίας δυνατὸν ἐπαινεῖσθαί τινα καὶ ψέγεσθαι· ἐπεὶ δὲ ἡ μὲν μεσότης ἐπαινετὸν, ψεκτὸν δὲ αἱ ὑπερβολαὶ καὶ ἐλλείψεις· φανερὸν ὅτι ἐν ταῖς κοινωνίαις ταύταις ὑπερβολὴ, καὶ ἔλλειψίς ἐστι, καὶ μεσότης· οἱ μὲν γὰρ ἄλυποι παντὶ πᾶσι βούλονται εἶναι τοῖς ἐντυγχάνουσι, καὶ πάντα ἐπαινοῦσι, καὶ πᾶσιν ἀρέσκεσθαι βούλονται δοκεῖν, καὶ οὐδενὶ περὶ οὐδενὸς ἀντιλέγουσιν.

Οἱ δὲ ἐκ διαμέτρου τούτοις ἔχουσι, καὶ πάντας λυποῦσι, καὶ πάντα ψέγουσι, καὶ οὐδὲν αὐτοῖς τῶν γινομένων ἀρέσκει·

καὶ

καὶ πᾶσι περὶ παντὸς ἀντιλέγουσιν.

Οὗτοι δὴ ἄμφω κακίζονται· ἐπαινεῖται δὲ ὁ κατὰ τὸ δέον ταῦτα ποιῶν· καὶ ἃ μὲν δεῖ ψέγων, ἃ δὲ δεῖ, ἐπαινῶν, καὶ ἀρεσκόμενος οἷς ἀρέσκεσθαι δεῖ. Καλεῖται τοίνυν ὁ μὲν πάντα ἐπαινῶν, ἄρεσκός τις καὶ κόλαξ· ὁ δὲ πᾶσιν ἐπιτιμῶν, δύσκολος· ὁ δὲ τὸ γινόμενον σώζων περὶ ἄμφω, φίλος ἂν καλοῖτο· ἔοικε γὰρ τὸ κατ᾽ αὐτὸν φιλία· ὄνομα γὰρ ἴδιον τῆς τοιαύτης μεσότητος οὐκ ἔστιν, ἀλλὰ ἀπὸ τοῦ ὁμοίου καλεῖται. Ἡ γὰρ τοιαύτη ἕξις τὸ στέργειν προσλαβοῦσα, φιλία ἐστί· διαφέρει γὰρ τῆς φιλίας, ὅτι ἄνευ τῆς στοργῆς γίνεται. Οὐ γὰρ διὰ τὸ στέργειν, ἢ ἐχθαίρειν; ἀποδέχεται τὰ λεγόμενα καὶ πραττόμενα, ἢ ψέγει· ἀλλ᾽ ἁπλῶς τοῦ ἀγαθοῦ ἕνεκα, καὶ ὅτι τοιαύτην ἔλαβεν ἕξιν. Ὁμοίως γὰρ διάκειται πρός τε τοὺς γνωρίμους καὶ τοὺς ἀγνῶτας, καὶ πρὸς τοὺς συνήθεις καὶ ἀσυνήθεις κατὰ ταύτην τὴν ἕξιν. Ἐπαινεῖ γὰρ ἀεὶ καὶ ψέγει ἃ δεῖ, καὶ ὅσον δεῖ· πλὴν οὐχ ὁμοίως παντάπασιν· ὧν οἷς γὰρ δεῖ λυπεῖν οὐχ ὁμοίως λυπήσει τοὺς γνωρίμους, καὶ τοὺς ἀγνῶτας, καὶ τοὺς συνήθεις, καὶ ἀσυνήθεις. Ὁμοίως δὲ καὶ ἐπὶ τῆς ἡδονῆς· οὐ γὰρ τὰ αὐτὰ ἁρμόζει· καὶ διὰ τοῦτο πρὸς τὸ ἀγαθὸν ἀποβλέπων ἀεὶ καὶ τὸ συμφέρον ὁ σπουδαῖος καὶ λύπην ποιήσει καὶ ἡδονὴν τοῖς ἐντυγχάνουσιν.

qualibet cum omnibus contendunt.

Ariſtot. l.4.c.6. Ὅτι μὲν οὖν αἱ εἰρημέναι ἕξεις, &c.

Vituperatur autem horum uterque. Sicut is laudatur, qui ut oportet hæc facit. Hoc eſt, qui vituperat quæ debet, laudat quæ oportet, placere iis quibus æquum eſt conatur. Ac is quidem qui omnia laudat, blandus ac adulator dicitur: qui vero in omnes invehitur, moroſus: qui vero rei quæ geritur ſe accommodat in utroque, amicus. Videtur autem virtus ipſius amicitia eſſe. Nomen enim hujus mediocritatis non eſt proprium, ſed à vicino deſumitur. Habitus quippe hujuſmodi, ſi amandi aſſumpſerit affectum, fit amicitia. Differt enim ab amicitia, quod ſine hoc fit affectu. Neque enim quia aut amat aut odit, ea quæ dicuntur vel fiunt, grata habet aut odit: ſed honeſti ſimpliciter cauſa, & quia habitum hunc ſibi comparavit. Eodem quippe modo erga notos ſe habet & ignotos; cum quibus conſuevit, & quorum nunquam uſus eſt conſuetudine, quod ad hunc habitum. Semper enim quæ oportet, & quantum, laudat ac vituperat: niſi quod non eodem modo ſemper. Neque enim ubi fieri hoc neceſſe erit, moleſtia æque notos afficiet ac ignotos; cum quibus conſuevit, aut nulla neceſſitudine eſt conjunctus. Eodemq; modo in voluptate. Neque enim eadem conveniunt. Ideoq; honeſti ſemper & utilitatis ratione habita, vel delectabit eos cum quibus vivit vir bonus, vel moleſtia afficiet.

Aristot. l. 4. c. 6. Καθόλου μὲν οὖν εἴρηται ὅτι ὡς δεῖ ὁμιλήσει, &c.

Etenim in voluptatibus quas ſocietas admittit humana & moleſtiis verſatur hic habitus. Quare quæcunque voluptates non reſpiciunt honeſtum, iis non oblectabit ſe apud eos cum quibus vivit, ſed potius iis qui delectantur ſuccenſebit: multoque magis moleſtus optabit videri honeſtatis cauſa, quam jucundus. Idque potiſſimum, ſi dedecus voluptas ea aut noxam facienti adferat ingentem. Tunc enim præoptabit parva aliquem moleſtia afficere aut pudore, ut à moleſtia eum majori aut dedecore immunem habeat, quam ſimul gaudendo ad tempus eum delectare, majori mox afficiendum moleſtia. Non eodem autem modo cum iis qui in dignitate ſunt & cum plebeiis ſe geret, ſed ſingulis quod ſuum eſt tribuet, & prout diverſa ſingulorum poſcet ratio, diverſo quoque modo conſuetudinem inſtituet ſuam. Sed & quemadmodum, & in quibus, & cum oportet laudabit ac reprehendet ſingulos. Ita quidem ut delectare eos maxime & per ſe malit, moleſtia vero afficere non niſi minime aut mediocriter, neque per ſe, ſed utilitatis cauſa. Quare & cum moleſtia aliquem afficiet, magnæ alicujus voluptatis cauſa modice id faciet: ſemperque metuet nè odioſus poſſit haberi. Talis ergo eſt qui in voluptatibes humanæ ſocietatis ſpectatur & moleſtiis. Qui quidem proprio non appellatur nomine, ſed propter eam quam cum amicitia habet ſimilitudinem,

Ἔστι γὰρ τοιαύτη ἕξις περὶ ἡδονὰς καὶ λύπας τὰς ἐν ταῖς ὁμιλίαις γινομένας, καὶ ὅσαι μὲν ἡδοναὶ οὐ πρὸς τὸ ἀγαθὸν ἀποβλέπουσιν, ταύτας οὐ συνηδήσεται τοῖς ἐντυγχάνουσιν, ἀλλὰ μᾶλλον ἡδομένοις δυσχερανεῖ· καὶ προαιρήσεται λυπηρὸς ὀφθῆναι μᾶλλον, ἢ ἡδὺς τοῦ ἀγαθοῦ ἕνεκα· μάλιστα ἂν ἡ ἡδονὴ αἰσχύνην φέρῃ καὶ βλάβην τῷ ποιοῦντι μεγάλην· τότε γὰρ αἱρήσεται μᾶλλον λυπῆσαι, καὶ αἰσχῦναι μικρὸν, καὶ τῆς μείζονος ἀπαλλάξαι λύπης καὶ αἰσχύνης, ἢ μικρὸν συνευφράναντα διὰ τοῦ συνησθῆναι, τῇ μείζονι λύπῃ περιβαλεῖν· οὐχ ὁμοίως δὲ ὁμιλήσει τοῖς ἐν ἀξιώμασι καὶ τοῖς τυχοῦσιν, ἀλλ᾽ ἑκάστῳ ἀποδώσει τὸ πρέπον καὶ κατὰ τὰς ἄλλας δὲ διαφορὰς τῶν ἐντυγχανόντων καὶ αὐτὸς διαφέρουσαν τὴν ὁμιλίαν ποιήσεται, καὶ ἐπαινέσει ὡς δεῖ ἕκαστον, καὶ ἐπιτιμήσει ὁμοίως ἐφ᾽ οἷς δεῖ, καὶ ὅτε δεῖ, τὸ μὲν συνηδύνειν μάλιστα ζητῶν, καὶ τοῦτο καὶ καθ᾽ ἑαυτὸ αἱρούμενος, τὸ δὲ λυπεῖν ἐλάχιστα καὶ μετρίως, καὶ οὐ δι᾽ ἑαυτὸ, ἀλλὰ τοῦ συμφέροντος ἕνεκα. Καὶ γὰρ καὶ ὅτε λυπεῖ ἕνεκά τινος μεγάλης ἡδονῆς, μετρίως λυπεῖ, τὸ φορτικὸν ἀεὶ εὐλαβούμενος. Ὁ μὲν οὖν περὶ τὰς ἐν ταῖς ὁμιλίαις ἡδονὰς καὶ λύπας μέσος, τοιοῦτος. Οὐκ ὠνόμασται δὲ ἰδίῳ ὀνόματι, ἀλλὰ φίλος καλεῖται διὰ τὴν πρὸς τὴν φιλίαν

ὁμοιότητα, καθὼς εἴρηται.

Τῶν δὲ παρ' ἑκάτερα, ὁ μὲν ὑπερβάλλων, εἰ μὲν οὐδενὸς ἕνεκα πάντα ἐπαινῶν καὶ πᾶσιν ἀρεσκόμενος τὸ ἡδὺς εἶναι μόνον ζητεῖ, ἄρεσκος καλεῖται· εἰ δὲ ὅπως ὠφέλειά τις αὐτῷ γένηται εἰς χρήματα, ἢ ὅσα διὰ χρημάτων, κόλαξ.

Ὁ δὲ ἐλλείπων, δύσκολος καὶ δύσερις, ὃς πᾶσι δυσχεραίνει, καὶ πᾶσιν ἐπιτιμᾷ.

Ὅτι δὲ καὶ ἐνταῦθα ἡ μεσότης ἣν εἴρηται τρόπον ἀνώνυμός ἐστιν, οὐ δοκεῖ μέσῳ τινὶ ἀντικεῖσθαι τὰ ἄκρα, ἀλλὰ ἀλλήλοις.

ut dictum eſt, amicus vocatur.

Eorum vero qui utrinque ſunt, is quidem qui excedit, ſi abſque cauſa laudet omnia, & omnia approbet, nec aliud quàm ut jucundum ſe præbeat reſpicit, blandus vocatur: ſin ut aliquid vel pecuniæ, vel quæ pecunia parantur, lucri accedat ſibi, adulator. Ariſtot. l. 4 c. 7. Τῷ δὲ συνηδύνοντι, &c.

Qui vero deficit, moroſus ac litigioſus dicitur: qui omnibus offenditur, ac reprehendit omnia. Ὁ δὲ πάντα δυσχεραίνων, &c.

Quia vero & hic, quemadmodum dictum eſt, nomen non habet medium, non videntur medio extremitates ſed inter ſe opponi. Ἀντικεῖσθαι δὲ φαίνεται, &c.

ΚΕΦ. θ'.

Περὶ ἀληθείας καὶ τῶν παρ' ἑκάτερα κακιῶν.

Περὶ ταύτας δὲ τὰς πρὸς ἀνθρώπους ὁμιλίας καὶ ἕτεραι γίνονται ἕξεις. Ἡ γὰρ πρὸς ἀλλήλους τῶν ἀνθρώπων ὁμιλία, διπλῆ ἐστιν. Ἡ γὰρ περὶ τῶν λόγων ἢ τῶν ἔργων τοῦ συντυγχάνοντος γίνεται, ἢ ἑκάστου περὶ τῶν ἑαυτοῦ. Καὶ περὶ μὲν τὴν πρώτην αἱ εἰρημέναι γίνονται ἕξεις· περὶ δὲ τὴν δευτέραν ἄλλαι. Ἡ γὰρ ψεύδεταί τις περὶ ἑαυτοῦ λέγων καὶ τῶν ἰδίων ἔργων, ἢ ἀληθεύει· καὶ εἰ ψεύδεται, ἢ ἐλάττω λέγει τῶν ὄντων, ἢ μείζω. Εἰ μὲν οὖν ἀληθεύῃ, καὶ οὔτε μείζω λέγει τῶν ὄντων, οὔτε ἐλάττω, ἡ τοιαύτη ἕξις ἀλήθεια καλεῖται, καὶ ὁ ἔχων ἀληθευτικός.

CAP. IX.

De veritate, & quæ utrinq; eam tingunt vitiis.

IN hac autem cum hominibus ſocietate, etiam alii verſantur habitus. Duplex enim homini cum homine ſocietatis eſt ratio. Altera quæ ad dicta ſpectat factaque ejus cum quo verſamur: altera quæ ad noſtra ipſius. Atque ad priorem quidem duo præcedentes ſpectant habitus: ad ſecundam alii. Aut enim mentitur aliquis, qui de ſe ſuiſque actionibus loquitur, aut verum dicit. Quod ſi mentitur, aut minora re ipſa dicit aut majora. Si ergo vera, hoc eſt, nec majora re ipſa nec minora dicit, talis habitus veritas vocatur, & qui eo præditus eſt, verax dicitur. Cap. 7. Περὶ τὰ αὐτὰ δὲ σχεδόν ἐστι καὶ ἡ τῆς ἀλαζονείας μεσότης, &c.

Ariſtot. l.4.c.7. Δοκεῖ δ' ὁ μὲν ἀλαζὼν, &c.

Jam vero diſſimulatio & arrogantia, & ſi quæ tales ſunt præterea, alterius alicujus cauſa ſuſcipiuntur interdum à nonnullis: gloriæ nimirum aut opum, & ſi quæ ſunt ſimilia, apud alios vero nulla prorſus de cauſa eas invenias. Alii ergo minora quam merentur de ſe prædicant, alii majora. Non quod ita velint videri, ſed quod ſe ignorent ipſi, quod rariſſime accidit. Plerumque n. qualis quiſque eſt, ſi nullius rei gratia dicat aliquid aut faciat, talia quoque aut loquitur aut agit, atque ita vivit. Cum ergo reprehenſione per ſe dignum ſit mendacium, laudem mereatur veritas, ideo hic quoq; id quod laude dignum eſt mediocritas: ea autem eſt veritas: ſicut exceſſus contra defectuſque id quod vituperio; mendacia nimirum. E quibus arrogantia quidem excedit, deficit autem diſſimulatio. Ac nos quidem de utroque accuratius agemus. Et primo de medio.

Οὐ γὰρ περὶ τοῦ ἐν ταῖς ὁμολογίαις ἀληθεύοντος λέγομεν, &c.

Veracem ergo dicimus, non qui in pactis aut conventibus, aliiſque id genus, quæ ad juſtitiam aut injuſtitiam referuntur, verum dicit, hoc enim alterius virtutis eſt; ſed qui ſine ulla neceſſitate, ſine lege ulla aut jure, aliove vinculo civili, veritatem in ſermone amplectitur & vita: idque ſolummodo, quia hujuſmodi virtutis præditus eſt habitu, & honeſtatis cauſa. Sed & talia de ſe prædicat, taliſque videri vult aliis, qualis eſt revera. Quo fit ut æquitatis quoque laudem mereatur idem.

Εἰρωνεία δὲ καὶ ἀλαζονεία, καὶ τῶν ἄλλων τῶν τοιούτων ἕκαστα, ἐπιτηδεύονται μὲν παρ' ἐνίων καὶ τινὸς ἕνεκα, οἷον δόξης ἢ πλούτου, ἢ ἄλλου τινὸς τῶν τοιούτων· εὑρίσκονται δὲ παρά τισι καὶ οὐδενὸς ἕνεκα. Καί τινες ἐλάττω περὶ ἑαυτῶν λέγουσιν ὧν εἰσὶν ἄξιοι, καὶ αὖθις ἕτεροι μείζω· οὐχ ὅτι βούλονται οὕτω δοκεῖν, ἀλλ' ὅτι ἑαυτοὺς ἀγνοοῦσι. Τοῦτο δὲ ἐλάχιστα συμβαίνει. Ὡς γὰρ ἐπὶ τὸ πολὺ, ἐάν τις οὐδενὸς ἕνεκα λέγῃ ἢ πράττῃ, οἷός ἐστι, τοιαῦτα καὶ λέγει καὶ πράττει καὶ οὕτω ζῇ. Ἐπεὶ τοίνυν τὸ μὲν ψεῦδος ψεκτόν ἐστι καθ' ἑαυτὸ, ἡ δὲ ἀλήθεια ἐπαινετὸν, διὰ τοῦτο μεσότης μὲν κἀνταῦθα τὸ ἐπαινετὸν, ἡ ἀλήθεια· ὑπερβολὴ δὲ, καὶ ἔλλειψις τὰ ψεκτὰ, τὰ ψεύδη δηλονότι. Ὧν ἡ μὲν ἀλαζονεία ὑπερβάλλει, ἡ δὲ εἰρωνεία ἐλλείπει. Ἐροῦμεν δὲ περὶ ἑκατέρου ἀκριβέστερον· πρότερον δὲ περὶ τοῦ μέσου ἐροῦμεν.

Ἔστι τοίνυν ἀληθευτικὸς, οὐχ ὁ ἀληθεύων ἐν ταῖς συμφωνίαις, καὶ ἐν ἄλλοις τοιούτοις, ὅσα εἰς δικαιοσύνην ἢ ἀδικίαν συντείνει· τοῦτο γὰρ ἄλλης ἐστὶν ἀρετῆς· ἀλλ' ὅστις ἄνευ ἀνάγκης, ἢ νόμου, ἢ δικαίου, ἢ ἄλλου τινὸς πολιτικοῦ ἀγαθοῦ, καὶ ἐν λόγῳ καὶ ἐν βίῳ ἀληθεύει, διὰ μόνον τὸ ἔχειν ἕξιν τῆς τοιαύτης ἀρετῆς, καὶ τοῦ ἀγαθοῦ ἕνεκα· καὶ τοιαῦτα περὶ ἑαυτοῦ λέγει καὶ τοιοῦτος τοῖς ἄλλοις ἐθέλει δοκεῖν, οἷος κατὰ ἀλήθειαν ἐστίν. Οὗτος δὲ καὶ ἐπιεικὴς ἂν εἴη;

εἶναι· οἱ γὰρ φιλαλήθεις καὶ ἐν οἷς οὐκ ἔστιν ἀνάγκη, πολλῷ μᾶλλον ἐν οἷς ἀληθεύειν ἀνάγκη διὰ τὸ πολιτικὸν ἀγαθόν· ὃς γὰρ εὐλαβεῖται τὸ ψεῦδος καθ' ἑαυτὸ, διότι κακὸν, ὅταν καὶ αἰσχρὸν τὸ αὐτὸ γίνηται, καὶ οὐ μόνον ᾖ κακὸν, ἀλλὰ καὶ τοῖς ἄλλοις δοκῇ τοιοῦτον, πῶς οὐ φεύξεται πάσῃ δυνάμει; ὁ μὲν οὖν ἀληθευτικὸς τοιοῦτος, καὶ ἔστιν ἐπαινετὸς, τὸ κακὸν καὶ αἰσχρὸν εὐλαβούμενος· ὃς εἰ δεήσει παρεκκλῖναι τοῦ μέσου, πρὸς τὴν ἔλλειψιν, οὐ πρὸς τὴν ὑπερβολὴν, νεύσει· τοῦτο γὰρ ἐμμελέστερον δοκεῖ θατέρου, διὰ τὸ τὰς ὑπερβολὰς ἐπαχθεῖς εἶναι.

Ὁ δὲ ἀλαζὼν, μείζω τῶν ὑπαρχόντων προσποιούμενος καὶ λόγοις καὶ ἔργοις. Οὗτος δὴ, εἰ μὲν οὐδενὸς ἕνεκα προσποιεῖται, φαῦλος μὲν ἔοικεν εἶναι· οὐ γὰρ ἂν ἔχαιρε τῷ ψεύδει· μάταιος δὲ φαίνεται μᾶλλον ἢ κακός. Εἰ δέ τινος ἕνεκα προσποιεῖται, εἰ μὲν δόξης ἢ τιμῆς, οὐ λίαν ψεκτὸς ὁ ἀλαζών· ὁ δὲ ἕνεκα ἀργυρίου, ἢ ὅσα εἰς ἀργύριον ἔρχεται, ἀσχημονέστερος.

Οὐ γάρ ἐστιν ἐν τῇ δυνάμει τοῦ ἀλαζόνος ἡ ἀλαζονεία· εἰ γὰρ οὕτως εἶχεν, οὐκ ἂν ἦν ψεκτόν. Οὐ γὰρ ἂν ἦν τῶν ἑκουσίων καὶ ἐφ' ἡμῖν· ἀλλ' ἐν τῇ προαιρέσει ἐστί. Καὶ διὰ τοῦτο καὶ αἰσχρόν ἐστι, καὶ ψέγεται· ἕξις γάρ τίς ἐστιν ἡ ἀλαζονεία. Καὶ κατά τινα ἕξιν ὁ ἀλαζὼν γίνεται, ὥσπερ καὶ ὁ ψεύστης, ὃς οὐ δόξης ἕνεκα, ἢ χρημάτων προσποιεῖται, ἀλλ' αὐτοῦ τοῦ ψεύδους ἕνεκα μόνον.

Nam qui ubi nihil neceſſe eſt veritatem amant, multo magis ubi bonum civile hoc poſtulat tales ſunt futuri. Qui enim per ſe à mendacio, quia vitium eſt, abhorret, quomodo ſi accedat dedecus, neque tantum ſit tale, ſed & aliis quoque videatur, non omni ratione hoc vitabit? Ac talis quidem eſt verax: qui cum vitium fugiat & dedecus, merito laudatur. Et ita quidem, ut ſi recedendum fuerit à medio, ad defectum potius quam ad exceſſum abiturus ſit: hoc enim concinnius videtur altero: quia exceſſus eſt moleſtiſſimus. Ariſtot. l.4.c.7.

Arrogans vero, qui majora reipſa ſimulare verbis & actionibus ſolet. Atque hic quidem, ſi nullius rei id cauſa faciat, improbus videtur: nec enim aliter mendacio gauderet. Et tamen vanus potius videtur, quam malus. Quod ſi rei alicujus cauſa arrogans ſimulet, ſi id vel gloriæ vel honoris cauſa faciat, non admodum reprehenſione dignus eſt: ſin pecuniam vel aliquid quod ad pecuniam refertur proponat ſibi, turpior habetur. Ὁ δὲ μείζω τῶν ὑπαρχόντων προσποιούμενος, &c.

Nec enim in facultate arrogantis arrogantia eſt: nam ſi ita ſe haberet, vituperanda non eſſet: neque enim in iis eſſet quæ ſponte eſſe dicimus, & quæ in poteſtate ſunt noſtra. Sed in prælectione eſt, ideoque fœde eſt & vituperatur. Eſt enim habitus quidam arrogantia: & ſecundum habitum quendam arrogantes evadimus, non ſecus quam mendax, qui nec gloriæ nec pecuniarum cauſa ſimulat, ſed ut mentiatur tantum. Οὐκ ἐν τῇ δυνάμει δ' ἐστὶν ὁ ἀλαζὼν, &c.

Aristot. l. 4. c. 7. Οἱ μὲν οὖν δόξης χάριν ἀλαζονευόμενοι, &c.

Qui gloriæ ergo cauſa arrogantiam adhibent, tali ſimulatione utuntur, unde laudari aut felices poſſint judicari: qui vero lucri cauſa, tali qua prodeſſe etiam poſſint proximis. Sicut medicinam, aut divinandi artem. Medicos enim ſe aut hariolos ſimulant peritos: ut dum iis qui opera eorum uti velint profuturi videantur, injuſta ratione opes eorum ad ſe transferant. Talis ergo eſt arrogans.

Οἱ δὲ εἴρωνες ἐπὶ τὸ ἔλαττον, &c.

Diſſimulator vero is eſt, qui re ipſa ſimulat minora: qui venuſtior videtur, quam ſit arrogans. Nec n. lucri cauſa ſimulat: ſed quia omne quod elatum magnumque videtur eſſe, ſtudet vitare. Qui ergo ea quæ honori eſſe poſſunt diſſimulando negat, quemadmodum Socrates ſolebat, elegans videtur ac venuſtus: qui vero non magna tantum, & quæ gloriam merentur, ſed minima quæque, & quæ præſtare omnium judicio poteſt, fieri à ſe non poſſe ſimulat, verſute delicatus vocatur, ac contemptum meretur. Fit tamen etiam ut arrogantes ex hoc ipſo dicantur. Sicut in veſtitu olim Lacones faciebant. Etenim & exceſſus & defectus ſi ſit nimius, arrogantiæ ſignum eſt. Qui vero modice diſſimulationem adhibent, venuſti videntur, tales autem ſunt, qui non in rebus minimis, nimiumque manifeſtis, ea utuntur. Atque hoc quidem modo cum & diſſimulator veraci opponatur & arrogans, magis tamen quam diſſimulator opponitur arrogans. Ma-

Οἱ μὲν οὖν δόξης ἕνεκα ἀλαζονευόμενοι, τοιαῦτα προσποιοῦνται, ὅθεν ἔπαινος ἀκολουθεῖ, ἢ εὐδαιμονισμός· οἱ δὲ κέρδους ἕνεκα ἀλαζονευόμενοι, ἐκεῖνα προσποιοῦνται, ὅσα τοὺς πέλας ὠφελοῦσιν· οἷον ἰατρικὴν, ἢ μαντείαν. Προσποιοῦνται γὰρ ἰατροί τινες εἶναι, ἢ μάντεις σοφοὶ, ἵνα δόξαντες ὠφέλιμοι εἶναι τοῖς κεχρημένοις περικερδαίνωσι τὰ ἐκείνων. Τοιοῦτος μὲν οὖν ὁ ἀλαζών.

Εἴρων δέ ἐστιν, ὁ τὰ ἐλάττω τῶν ὄντων προσποιούμενος. Οὗτος δὴ χαριέστερος τοῦ ἀλαζόνος δοκεῖ· οὐ γὰρ κέρδους ἕνεκα προσποιεῖται, ἀλλὰ φεύγων τὸ ὀγκηρὸν, καὶ τὸ μέγα εἶναι δοκοῦν. Ὃς μὲν οὖν εἰρωνευόμενος τὰ ἔνδοξα ἀπαρνεῖται, ὥσπερ καὶ Σωκράτης ἐποίει, χαρίεις τις εἶναι δοκεῖ· ὃς δὲ οὐ μόνον τὰ μεγάλα καὶ ἔνδοξα, ἀλλὰ καὶ τὰ μικρὰ ἀπαρνεῖται, καὶ ἄδηλός ἐστι δυνάμενος, ταῦτα προσποιεῖται μὴ δύνασθαι, ὁ τοιοῦτος βαυκοπανοῦργος λέγεται, καὶ εὐκαταφρόνητός ἐστιν. Ἐνίοτε δὲ καὶ ἀλαζὼν διὰ ταῦτα καλεῖται· οἷα ἐποίουν ἐν τοῖς ἱματίοις οἱ Λάκωνες· καὶ γὰρ καὶ ἡ ὑπερβολὴ καὶ ἡ λίαν ἔλλειψις, ἀλαζονικόν. Οἱ δὲ μετρίως χρώμενοι τῇ εἰρωνείᾳ, χαρίεντες φαίνονται· οἵ τινες οὐ περὶ τὰ λίαν εὐτελῆ, καὶ σφόδρα φανερὰ εἰρωνεύονται. Οὕτω δὲ τῷ ἀληθευτικῷ τοῦ τε εἴρωνος καὶ τοῦ ἀλαζόνος ἀντικειμένου, μᾶλλον ἀντίκειται ὁ ἀλαζὼν ἢ ὁ εἴρων. Χεῖρον

γὰρ

γὰρ κακὸν ἡ ἀλαζονεία, ὡς φανερὸν ἐστὶν ἐκ τῶν εἰρημένων.

jus enim malum, ut apparet ex iis quæ diximus, eſt arrogantia. Ariſtot. l. 4. c. 7.

ΚΕΦ. Ι.

CAP. X.

Περὶ εὐτραπελίας καὶ τῶν παρ' ἑκάτερα κακιῶν.

De urbanitate, & quæ utrinque eam cingunt vitiis.

Ἐπεὶ δὲ ἐστὶν ἄνεσίς τις καὶ ἀνάπαυσις ἐν τῷ βίῳ, καὶ ἐν ταύτῃ τῇ ἀνέσει ἐστί τις διαγωγὴ μετὰ παιδιᾶς, δοκεῖ καὶ ἐνταῦθα εἶναί τις ὁμιλία ἀγαθὴ καὶ ἐμμελής, καὶ λέγειν, οἷα δεῖ, καὶ ὡς δεῖ τὸν ἀναπαύσεως δεόμενον· ὁμοίως δὲ καὶ οἷα δεῖ ἀκούειν, καὶ ὡς δεῖ, καὶ ὅτε δεῖ. Διαφέρει γὰρ τὸ τοιαῦτα λέγειν τοῦ τοιούτων ἀκούειν· ὅθεν δῆλον, ὅτι ἔστι καὶ ἐν ταύτῃ τῇ ὁμιλίᾳ καὶ ὑπερβολή, καὶ ἔλλειψις, καὶ μεσότης.

CUm autem remiſſio quædam ſit in vita ac quies, & in hac ipſa remiſſione aliquid cum ludo ac joco temporis ponatur; videtur etiam hic eſſe honeſta quædam & concinna cum aliis vivendi ratio; ut & quæ oportet dicat, & quemadmodum, qui hac remiſſione opus habet; eodemque modo quæ, & quemadmodum, & cum oportet audiat. Differunt enim hæc aut illa dicere, & audire. Unde apparet in hac quoque cum aliis vivendi ratione, & exceſſum, & defectum eſſe, & medium.

Οὔσης δ' καὶ ἀναπαύσεως ἐν τῷ βίῳ, &c.

Ἡ μὲν οὖν ὑπερβολὴ βωμολοχία καλεῖται, καὶ οἱ ἔχοντες, βωμολόχοι, καὶ φορτικοί, οἱ τῷ γελοίῳ ὑπερβάλλουσι, καὶ μᾶλλον ζητοῦσι τὸ γέλωτα ποιῆσαι, ἢ τὸ λέγειν εὐσχήμονα, καὶ μὴ λυπεῖν τὸν σκωπτόμενον.

Et exceſſus quidem ſcurrilitas vocatur; quique in eo peccant, ſcurræ atque importuni videntur. Qui in ridiculis excedunt, quibuſque magis curæ eſt, ut riſum moveant, quam ut decori rationem in ſermone habeant: aut nè moleſti ſint illi quem cavillantur.

Οἱ μὲν ἐν τῷ γελοίῳ ὑπερβάλλοντες, &c.

Ἔλλειψις δέ, σκληρότης, καὶ ἀγροικότης· καὶ οἱ ἔχοντες, ἄγροικοι καὶ σκληροί. Οἱ τινὲς οὔτε αὐτοὶ γελοῖον οὐδὲν λέγουσι, καὶ τοὺς λέγοντας δυσχεραίνουσι καὶ μισοῦσιν.

Defectus vero aſperitas ac ruſticitas vocatur: quiq; in eo peccant, aſperi ac ruſtici dicuntur. Qui neq; ipſi quicquam riſu dignum afferunt, eoſq; qui hoc faciunt averſantur ac oderunt.

Οἱ δὲ μήτ' αὐτοὶ ἂν εἰπόντες, &c.

Ἡ δὲ μεσότης, εὐτραπελία, καὶ οἱ ἔχοντες, εὐτράπελοι, οἷον εὔτροποι· καὶ γὰρ τοῦ ἤθους εἶναι δοκοῦσιν τοιαῦ-

Medium vero εὐτραπελία, hoc eſt, urbanitas, quiq; in eo excellunt εὐτράπελοι, quaſi εὔτροποι, hoc eſt, urbani dicuntur. Etenim potiſſimũ à moribus vi-

Οἱ δ' ἐμμελῶς παίζοντες εὐτράπελοι, &c.

Ariſtot. l. 4. c. 7. dentur eſſe hi motus. Hi autem ſunt qui concinne, & quemadmodum & cum oportet, jocantur. Sicut n. corpora diſtinguunt ſui motus: ut exempli gratia, ignem, & quicquid leve eſt, motus qui in altum fertur, grave contra motus qui ad medium, eodemque modo in aliis, ita ex exterioribus & quæ in oculos incurrunt hominum motibus, habitus quoque apparent animæ & mores. Cum vero rariſſimi ſint illi, quos aſperos diximus, plurimi contra quos joci delectant & feſtivitas, cumq; hic habitus melior videatur quam auſteritas: hinc fit ut ſcurræ quoque, urbani dicantur, quia feſtivi quoque videntur & jucundi. Differre tamen ſcurras ab urbanis, & quidem non mediocriter, vel ex ſuperioribus conſtat.

Τῇ μέσῃ δ' ἕξει οἰκεῖον καὶ ἡ ἐπιδεξιότης, &c. Sunt autem dexteri ejuſmodi urbani, meritoque dexteritas poſſet vocari urbanitas. Proprium enim dexteri eſt hominis, ea & dicere & audire, quæ probo ingenuoque digna ſunt homine. Quædam enim in jocandi ratione ſunt, quæ & dici à tali homine & audiri debeant. Differt enim ingenui hominis jocus & illiberalis, quemadmodum & docti differt ab indocti. Quod vel ex comœdiis apparet, tum antiquis tum novis. In iis enim qui plebeias repræſentant perſonas & illiberales, ridicula putant & jucunda quæ obſcœna ſunt: qui contra ingenuos dexteroſque homines & probos, quæ ſuſpicionem movent tantum. Quæ quidem non parum diſte-

ται κινήσεις. Οὗτοι δέ εἰσιν οἱ παίζοντες ἐμμελῶς, καὶ ὡς δεῖ, καὶ ὅτε. ὥσπερ γὰρ αἱ κινήσεις τὰ σώματα χαρακτηρίζουσιν, οἷον πῦρ μὲν ἡ εἰς τὸ ἄνω κίνησις, καὶ πᾶν κοῦφον· βαρὺ δὲ ἡ εἰς τὸ μέσον, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως, οὕτω καὶ ἀπὸ τῶν ἔξω καὶ φαινομένων τοῦ ἀνθρώπου κινήσεων, αἱ ἕξεις τῆς ψυχῆς φαίνονται καὶ τὰ ἤθη. Ἐπεὶ δὲ οἱ μὲν σκληροὶ ἐλάχιστα γίνονται, πλεῖστοι δέ εἰσιν οἱ χαίροντες παιδιᾷ καὶ σκώμμασι, καὶ τὸ γελοῖον ἀγαθὸν δοκεῖ μᾶλλον, ἢ τὸ σκυθρωπόν· διὰ τοῦτο οἱ βωμολόχοι, εὐτράπελοι λέγονται, ὡς χαρίεντες καὶ ἡδεῖς· ὅτι δὲ οἱ βωμολόχοι τῶν εὐτραπέλων οὐ μικρῷ διαφέρουσι, καὶ ἐκ τῶν εἰρημένων δῆλον.

Οὗτοι δὲ οἱ εὐτράπελοι καὶ ἐπιδέξιοί εἰσι, καὶ εὐτραπελία ἐπιδεξιότης ἂν εἰκότως καλοῖτο· τοῦ ἐπιδεξίου γάρ ἐστιν ἐκεῖνα καὶ λέγειν καὶ ἀκούειν, οἷα τῷ ἐπιεικεῖ καὶ ἐλευθερίῳ ἁρμόττει. Ἔστι γάρ τινα πρέποντα τῷ τοιούτῳ λέγειν ἐν παιδιᾶς μέρει καὶ ἀκούειν· ἡ γὰρ τοῦ ἐλευθερίου παιδιὰ διαφέρει τῆς τοῦ ἀνδραποδώδους, καὶ ἡ τοῦ πεπαιδευμένου τῆς τοῦ ἀπαιδεύτου. Τοῦτο δὲ ἀπὸ τῶν κωμῳδιῶν γίνεται δῆλον, τῶν τε παλαιῶν καὶ τῶν νέων· ἐν γὰρ ταῖς κωμῳδίαις οἱ μὲν φαύλους τινὰς καὶ ἀνδραποδώδεις ὑποκρινόμενοι, γελοῖα καὶ ἡδέα ἡγοῦνται τὰ αἰσχρά. Οἱ δὲ ἐλευθερίους τινὰς, καὶ ἐπιδεξίους, καὶ ἐπιεικεῖς ὑποκρινόμενοι, τὰ μεθ' ὑπονοίας. Ταῦτα δὲ οὐ

μικρῷ

μικρῷ τινὶ διαφέρει ἀλλήλων πρὸς εὐσχημοσύνην. πῆ γὰρ οὖν ἐροῦμεν εἶναι τὸν μέσον ἐν ταῖς παιδιαῖς; τὸν εὖ σκώπτοντα, καὶ ὡς δεῖ ἄνθρωπον ἐλεύθερον, ἢ τὸν μὴ λυπηρὸν τοῖς ἀκούουσιν, ἢ καὶ χαρίεντα καὶ ἡδύν. Καὶ οὗτος ὁρισμὸς ἔσται τοῦ ἐν ταῖς παιδιαῖς μέσου. Ἀλλὰ ἀόριστός τις οὗτος ὁ ὁρισμὸς εἶναι δοκεῖ· οὐ γὰρ τὰ αὐτὰ πάντες μισοῦσιν, οὐδὲ τοῖς αὐτοῖς χαίρουσιν· ἀλλὰ ἄλλοις ἄλλα δοκεῖ ἡδέα καὶ λυπηρά. Καὶ οἷς ἕκαστος χαίρει, τοιαῦτα καὶ λέγει καὶ ποιεῖ ἐν ταῖς πρὸς ἄλλους ὁμιλίαις· καὶ ἃ σκώμματα ἀκούων ἀνέχεται, ταῦτα καὶ λέγει· οὐ γὰρ πάντα ἐρεῖ. Καὶ γὰρ καὶ οἱ νομοθέται ἔνια λοιδορεῖν κωλύουσι. Λοιδόρημα δέ τι ἐστι καὶ τὸ σκῶμμα. Ὅτι τοίνυν ἀόριστά εἰσιν, ἃ μισοῦμεν, καὶ οἷς χαίρομεν, διὰ τοῦτο χαλεπόν ἐστιν ἀκριβῶς ὁρίσασθαι τὸν ἐν ταῖς παιδιαῖς μέσον· ἀλλ' αὐτὸς ἐλευθέριος καὶ χαρίεις οὕτως ἕξει, οἷον νόμος ὢν ἑαυτῷ. Τοιοῦτος μὲν οὖν ὁ μέσος, εἴτε εὐτράπελος, εἴτε ἐπιδέξιος λέγοιτο.

Ὁ δὲ βωμολόχος σφόδρα ἐρῶν τοῦ γελοίου, οὐδενὸς φείδεται τῶν γέλωτα ποιούντων οὔτε ἔργων οὔτε ῥημάτων, καὶ οὔτε ἑαυτοῦ, οὔτε τῶν ἀκουόντων ἀπέχεται. Ἀλλ' ἵνα μόνον κινήσῃ γέλωτα, καὶ ἑαυτὸν αἰσχύνει καὶ τοὺς ἀκούοντας, ἐκεῖνα λέγων καὶ πράττων, ὧν οὐδὲν οὔτε εἴποι ἂν οὔτε ποιήσειεν ὁ χαρίεις· ἔνια δὲ

runt ad venuſtatem. Quem igitur dicemus medium ſervare in jocis? Utrum nè qui recte & ut homine ingenuo dignum eſt cavillari ſolet: an qui moleſtus non eſt audientibus, ſed venuſtus potius jucunduſque: atque hæc vera erit ejus qui medium ſervat in jocando, definitio. Atqui nihil definitum habere videtur hæc definitio. Neque enim eadem aut amant aut oderunt omnes: ſed alia aliis jucunda videntur aut moleſta. Quibus vero delectantur ſinguli, ea in congreſſibus quoque mutuis aut dicunt aut faciunt. Et quas libenter cavillationes aliquis admittit cum audit, iis utetur quoque. Nec enim dicet omnia. Quibuſdam enim à legiſlatoribus quoque interdictum eſt conviciis. Nam & aliquod cavillum eſt convitium. Quia ergo indefinita ſunt quæ amamus aut odimus, propterea quoque eum qui jocando medium ſervat, definire eſt difficile. Quare ingenuus homo ac venuſtus ita ſe geret, ut lex ſit ſibi ipſe. Talis ergo eſt medius, ſive is urbanus ſit dicendus, ſive dexter.

Ariſtot. l. 4. c. 7.

At vero ſcurra, cum vehementer quæ ridicula ſunt amet: nullo neque verbo abſtinet neq; actione quæ modo riſum moveat: quare neque ſibi ſolet parcere nec reliquis. Sed dum modo riſum moveat, ſive id cum ſuo fiat ſive aliorum qui audiant opprobrio, nihil penſi habet. Planeque ea & loquitur & facit, quorum nè minimum quidẽ aut faceret venuſtus homo aut diceret: & quorum nonnulla

Ὁ δὲ βωμολόχος ἥττων ἐστὶ τοῦ γελοίου, &c.

forțaſſe nec audire quidẽ poſſet.

Ariſtot. l. 4. c. 9. Ὁ δ' ἄγριος, &c.

In hac autem cum aliis vivendi ratione, prorſus inutilis eſt ruſticus. Nec enim aut ipſe jucundus eſſe, aut alios tales poteſt ferre. Talis ergo reprehenditur: quia res in humana vita ſunt neceſſariæ, & quies & jocus.

Τρεῖς οὖν αἱ εἰρημέναι ἐν τῷ βίῳ μεσότητες, &c.

Tres enim ſunt in humana vita, quæ ad hunc hominum inter ſe mutuo congreſſum referuntur, mediocritates. Una quidem in veritate, quæ utrinque arrogantiam & diſſimulationem habet, duæ vero in jucundo. Quarum altera eſt, quam amicitiam dicimus: quæ adulationem utrinque & moroſitatem habet. Altera urbanitas dexteritaſque, quam utrinque ſcurrilitas aſperitaſque cingit, ac ruſticitas. Uterque enim voluptatem aliquam ad vitam conferunt, & amicus & urbanus.

οὐδὲ ἀνάσχοιτο ἂν ἀκοῦσαι.

Ὁ δ' ἄγριος εἰς τὰς τοιαύτας ὁμιλίας ἀχρεῖος· οὔτε γὰρ αὐτὸς ἡδύς ἐστιν, καὶ τοὺς ἄλλους οὕτως ἔχοντας δυσχεραίνει· καὶ οὗτος δὲ χαλίζεται διὰ τὸ ἀναγκαῖον εἶναι πρὸς τὸν ἀνθρώπινον βίον καὶ τὴν ἀνάπαυσιν καὶ τὴν παιδιάν.

Τρεῖς γὰρ εἰσι μεσότητες ἐν τῷ βίῳ περὶ τὰς πρὸς ἀλλήλους τῶν ἀνθρώπων ὁμιλίας. Μία μὲν περὶ τὴν ἀλήθειαν, ἥτις παρ' ἑκάτερα τήν τε ἀλαζονείαν καὶ τὴν εἰρωνείαν ἔχει, δύο δὲ περὶ τὸ ἡδύ· ὧν ἡ μέν ἐστιν ἡ λεγομένη φιλία, ἥ τις παρ' ἑκάτερα τήν τε κολακείαν καὶ τὴν δυσκολίαν ἔχει· ἑτέρα δὲ ἡ εὐτραπελία καὶ ἐπιδεξιότης, ἧς παρ' ἑκάτερα ἡ βωμολοχία, καὶ ἡ σκληρότης, καὶ ἡ ἀγροιότης ἐστίν· ἄμφω γὰρ ἡδονήν τινα ποιοῦσι τῷ βίῳ, ὅ, τε φίλος, καὶ ὁ εὐτράπελος.

CAP. XI.

Verecundiam virtutem non eſſe.

Cap. 9. Περὶ δὲ αἰδοῦς ὡς τινὸς ἀρετῆς οὐ πρέπει λέγειν, &c.

VErecundia autem non eſt virtus: nec enim habitus eſt, ſed potius affectus, quod vel ex definitione patet. Definitur enim, metus infamiæ. Fere idem enim accidit verecundo, quod ei qui terribile aliquid metuit. Erubeſcit enim ille ſicut palleſcit qui mortem timet. Quare utrumque corporis videtur eſſe, tum verecundia, tum periculorum metus. Talia autem, affectus ma-

ΚΕΦ. ιά.

Περὶ αἰδοῦς, ὅτι οὐκ ἔστιν ἀρετή.

ΗΔὲ αἰδὼς οὐκ ἔστιν ἀρετή· οὐ γάρ ἐστιν ἕξις, ἀλλὰ μᾶλλον πάθος· ὃ δῆλον ἀπὸ τοῦ ὁρισμοῦ. Ὁρίζεται γὰρ φόβος ἀδοξίας. Συμβαίνει γὰρ τοῖς αἰδουμένοις παραπλήσιον τοῖς περὶ τὰ δεινὰ φοβουμένοις. Ἐρυθραίνονται γὰρ, ὥσπερ ὠχριᾷ ὁ φοβούμενος τὸν θάνατον. Ἄμφω δὲ σωματικά πως φαίνονται εἶναι, ἥτε αἰσχύνη, καὶ ὁ φόβος τῶν δεινῶν· τὰ τοιαῦτα δὲ, πάθη μᾶλλον δοκοῦσιν,

δοκοῦσιν, οὐχ ἕξεις λέγονται. Τοῦτο δὲ τὸ πάθος οὐ πάσῃ ἡλικίᾳ ἁρμόζει, ἀλλὰ τῇ νέᾳ μόνον. Δεῖ γὰρ τοὺς νέους αἰδήμονας εἶναι διὰ τὸ πολλὰ ἁμαρτάνειν· πολλὰ γὰρ ἁμαρτάνουσιν οἱ νέοι, διὰ τὸ πάθει μᾶλλον ἄγεσθαι ἢ λόγῳ. Συστελλόμενοι γὰρ ὑπὸ τῆς αἰδοῦς, ἀμείνους γίνονται. Διὰ τοῦτο τῶν μὲν νέων ὅσοι αἰδήμονες, ἐπαινετοί, πρεσβύτερον δ' οὐδεὶς ἂν ἐπαινέσειεν, ὅτι αἰσχυντηλός· οὐ δεῖ γὰρ τὸν πρεσβύτερον ἐκεῖνα πράττειν ἐφ' οἷς αἰσχύνη ἐστίν. Οὐ γὰρ ἐστιν ἡ αἰσχύνη τοῦ ἐπιεικοῦς, εἴπερ ἐστὶν ἐπὶ τοῖς φαύλοις.

Ἐπεὶ γὰρ τὰ μέν εἰσι κατ' ἀλήθειαν αἰσχρά, τὰ δὲ οὐκ εἰσὶ μέν, δοκοῦσι δέ, δέον ἐστὶ φεύγειν ἀμφότερα τὸν ἐπιεικῆ· φεύγων δὲ τὰ αἰσχρά, οὐδέποτε αἰχυνθήσεται.

Τὸ γὰρ οἴεσθαι αὐτὸ τοῦτο ἐπιεικοῦς εἶναι τὸ αἰσχύνεσθαι, εἰ πράξειέ τι τῶν αἰσχρῶν, καὶ τὸν οὕτως ἔχοντα ἐπιεικῆ νομίζειν, ἄτοπον. Ἡ γὰρ αἰδὼς ἐπὶ τῶν ἑκουσίων αἰσχρῶν γίνεται· ὁ δὲ ἐπιεικὴς οὐδὲν αἰσχρὸν οὐδέποτε πράξειεν ἂν ἑκουσίως.

Φαίνεται δὴ μὴ εἶναι τὴν αἰδῶ ἀρετήν τινα, ἀλλὰ μᾶλλον πάθος· οὐ γὰρ ἀεὶ ἐπαινετόν ἐστιν, οὐδὲ ἁπλῶς, καὶ καθ' ἑαυτὸ, ἐπιεικὲς ἂν λέγοιτο, ἀλλ' ἐξ ὑποθέσεως. Οἷον, εἰ γένοιτο ἁμαρτεῖν τινα ἐπιεικές ἐστιν αἰδεῖσθαι. Οὐχ οὕτω δὲ ἔχουσιν αἱ ἀρεταί· ἕξις γάρ εἰσι, διὰ παντὸς ἐγκείμεναι τῇ ψυχῇ.

gis videntur eſſe quem habitus. Et hic affectus quidem non omni ætati, ſed juvenili tantum convenit. Juvenes enim pudibundos eſſe oportet, quia ſæpe peccant. Sæpe autem peccant juvenes, quia affectum magis ſequuntur, quam rationem. Quare quoties à verecundia reprimuntur, meliores evadunt. Atque hæc cauſa eſt, cur verecundos laudemus adoleſcentulos: cum nemo eo nomine ſenem commendet, quod pudibundus ſit. Neque enim fieri à ſene ea debent, quæ pudore ſunt digna. Neque viri probi pudor eſt, cum improba ſequatur. Ariſtot. l. 4. c. 9.

Cum autem alia revera ſint turpia, alia non ſint, ſed videantur tantum, utraque viro probo fugienda ſunt. Fugiendo autem turpia, nunquam pudore ſuffundetur. Ἔστι δὲ τὰ μὲν κατ' ἀλήθειαν αἰσχρά, &c.

Etenim exiſtimare hoc ipſum viri probi eſſe, ut pudore afficiatur, ſi quid turpe commiſerit, eumque qui ita ſe habeat, judicare probum eſſe, res eſt abſurdiſſima. Ea enim turpia, quæ ſponte fiunt, ſequitur verecundia: vir autem probus nihil unquam quod ſit turpe ſponte committet. Τὸ δὲ οὕτως ἔχειν, &c.

Unde apparet non virtutem ſed affectum potius eſſe verecundiam. Nec enim ſemper eſt laudanda: nec ſimpliciter aut per ſe res proba dicenda eſt, ſed ex ſuppoſitione tantum. Ut ſi contingat aliquem peccare, bonum eſt, ſi verecundia ſequatur. Atqui non ita ſe virtutes habent: eæ namque habitus ſunt, qui ſemper animo inhærent. Εἴη δ' ἂν ἡ αἰδὼς, &c.

Quam-

'Ariſtot. l.4. c.9. Εἰ δὲ ἀναισχυντία φαῦλον, &c.

Quamvis autem aliqua videatur eſſe, & ſit revera, inter conſternationem atque impudentiam mediocritas, laudeturque verecundus, ſicut contra qui impudentes ſunt in rebus turpibus, & qui nimium verecundi ſunt, quos conſternatos dicunt, reprehendi ſolent; nihilo magis tamen propterea virtus eſt verecundia. Virtus enim eſt mediocritas, mediocritas vero non omnis, eſt virtus. Neque enim hæc reciprocantur.

Οὐκ ἔστι δ' οὐδ' ἡ ἐγκράτεια, &c.

Sic nec continentia virtus eſt, ſed aliquid ex ea admixtum habet, de qua poſterius agemus. Nunc vero de juſtitia dicamus.

Εἰ δὲ καὶ μεσότης τις εἶναι δοκεῖ καὶ ἔστι μεταξὺ τῆς τε καταπλήξεως, καὶ τῆς ἀναισχυντίας, καὶ ἐπαινεῖται μὲν ὁ αἰδήμων, κακίζονται δὲ οἵ τε ἀναίσχυντοι περὶ τὰ αἰσχρὰ καὶ οἱ πλέον τοῦ δέοντος αἰδήμονες, οἱ λεγόμενοι καταπλῆγες, οὐδὲν μᾶλλον διὰ τοῦτο ἀρετή ἐστιν ἡ αἰδώς. Ἡ μὲν γὰρ ἀρετὴ, μεσότης· ἡ δὲ μεσότης οὐ πᾶσα ἀρετή· οὐ γὰρ ἀντιστρέφει.

Οὐκ ἔστι δὲ οὐδὲ ἡ ἐγκράτεια ἀρετὴ, ἀλλά τις μικτή· δειχθήσεται δὲ περὶ αὐτῆς ἐν τοῖς ὕστερον· νῦν δὲ περὶ δικαιοσύνης εἴπωμεν.

ARISTO-

ARISTOTELIS ETHICORUM

LIBER V.

ΚΕΦ. α'. | CAP. I. — Aristot. l. 5. c. 1.

Περὶ δικαιοσύνης. | De juſtitia.

ΗΔη δὲ σκεπτέον περὶ δικαιοσύνης καὶ ἀδικίας, περὶ ποίας πράξεις εὑρίσκονται, καὶ ποία μεσότης ἐστὶν ἡ δικαιοσύνη, καὶ τὸ δίκαιον τινῶν μέσον, καὶ τίνα τὰ παρ' ἑκάτερα τοῦ δικαίου.

Σκεψώμεθα δὲ κατὰ τὴν αὐτὴν μέθοδον, μεθ' ἧς καὶ περὶ τῶν ἄλλων ἀρετῶν ἐσκεψάμεθα.

Ὁρῶμεν δὴ πάντας δικαιοσύνην ὀνομάζοντας, ἕξιν τινά, ἣν ἔχοντες πρακτικοὶ τῶν δικαίων ἐσμέν, καὶ δικαιοπραγοῦμεν, καὶ βουλόμεθα τὰ δίκαια. Τὸν δὲ αὐτὸν τρόπον καὶ περὶ τῆς ἀδικίας· ἀδικίαν γὰρ ὀνομάζουσι, καθ' ἣν ἀδικοῦμεν, καὶ τὰ ἄδικα

JAm vero de juſtitia & injuſtitia videndum eſt: tum in cujuſmodi inveniatur actionibus: tum cujuſmodi mediocritas ſit juſtitia: ſed & jus quarum rerum ſit medium: tum etiam quæ utrinque illud cingant. — Cap. 1. Περὶ δὲ δικαιοσύνης καὶ ἀδικίας, &c.

In his autem rebus exquirendis, eandem viam rationemque teneamus, quam, cum de reliquis virtutibus egimus, ſecuti ſumus. — Ἡ δὲ σκέψις ἡμῖν ἔστω, &c.

Videmus igitur, omnes juſtitiam ejuſmodi quendam habitum vocare, quo cum præditi ſumus, ad agenda ea quæ juſta ſunt propendemus: quoque ea & agimus & volumus. Eodemque modo de injuſtitia; ita enim dicunt, qua injuſtas — Ὁρῶμεν δὲ πάντας, &c.

Ariſtot. l.5.c.1.

juſtas res & agimus & volumus. Quare communes has de utraque opiniones quaſi ſupponamus. Sitque juſtitia atque injuſtitia, prima quaſi delineatione, ejuſmodi habitus, quo juſta volumus atque injuſta. Semper enim moralibus virtutibus addenda eſt vox volumus: neque aliter definiri poſſunt. Quia enim temperans vult eſſe aliquis, juſteque agere, ideo temperans quoque eſt & juſtus. In ſcientiis quippe & facultatibus, poſſe eſt neceſſe, velle autem non item. Nam ſi quis poſſit ſanare, ſatis eſt: nec enim medicinæ habitum impedit, quod nolit. Eodemque modo in reliquis. In moralibus vero virtutibus, contra ſe res habet. Etenim juſte poſſe agere, ſæpe injuſto quoque adeſt: velle autem ſolius eſt juſti. Unde is etiam, qui juſte vult agere, habitumque habet juſtitiæ, licet non poſſit, juſtus tamen eſt. Similiterque & injuſtus ſe habet. Adde, quod omnis facultas ac ſcientia contrariorum eſt. Una namque ſcientia noſſe poteſt contraria. Sicut una ſcientia ſanitatis & morbi, medicina eſt: eademq; facultate fiunt contraria. Unus vero habitus non efficit contraria. Sicut per juſtitiam juſta non agimus & injuſta, neque motus ægri corporis, iidem ſunt cum bene conſtitutis. Ex contrariis ergo contrarii cognoſcuntur habitus. Ut exempli gratia, ſi quis norit bonam corporis habitudinem, ſoliditatem

βουλόμεθα. Ταύτας δὲ τὰς κοινὰς περὶ δικαιοσύνης καὶ ἀδικίας δόξας ὑποθώμεθα· καὶ ἔστω δικαιοσύνη καὶ ἀδικία ὡς ἐν τύπῳ, ἕξις, ἀφ᾽ ἧς βουλόμεθα τὰ δίκαια, καὶ ἕξις, ἀφ᾽ ἧς οὐ βουλόμεθα. Δεῖ γὰρ προσκεῖσθαι ἀεὶ ταῖς ἀρεταῖς ταῖς ἠθικαῖς τὸ βούλεσθαι· καὶ ἀδύνατον ἄλλως αὐτὰς ὁρισθῆναι. Διὰ τὸ βούλεσθαι γὰρ σωφρονεῖν καὶ δικαιοπραγεῖν, ὁ δίκαιος καὶ ὁ σώφρων γίνεται. Ἐπὶ μὲν γὰρ τῶν ἐπιστημῶν καὶ δυνάμεων, τὸ δύνασθαι μὲν ἀναγκαῖον, τὸ βούλεσθαι δὲ, οὐκ ἀναγκαῖον· εἰ γάρ τις δύναιτο ὑγιάζειν * * * * τὴν γὰρ ἕξιν τῆς ἰατρικῆς οὐδὲν κωλύει τὸ μὴ βούλεσθαι· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. Ἐπὶ δὲ τῶν ἠθικῶν ἀρετῶν ἀνάπαλιν ἔχει. Τὸ μὲν γὰρ δύνασθαι δίκαια πράττειν, δυνατόν ἐστι καὶ τῷ ἀδίκῳ πολλάκις· τὸ δὲ βούλεσθαι μόνον ἐστὶ τοῦ δικαίου. Ὅθεν δίκαιός ἐστι καὶ ὁ μὴ δυνάμενος μὲν πράττειν τὰ δίκαια, βουλόμενος δὲ, καὶ ἕξιν ἔχων δικαιοσύνης. Τὸν αὐτὸν δὲ τρόπον καὶ ὁ ἄδικος ἔχει. Ἔτι δὲ πᾶσα δύναμις καὶ ἐπιστήμη τῶν ἐναντίων ἐστί· μιᾷ γὰρ ἐπιστήμῃ δυνατὸν τὰ ἐναντία εἰδέναι· μία γὰρ γνῶσίς ἐστι τοῦ ὑγιεινοῦ καὶ νοσώδους ἡ ἰατρική, καὶ μιᾷ δυνάμει τὰ ἐναντία γίνονται, μία δὲ ἕξις οὐκ ἔστι τῶν ἐναντίων πρακτική· οὐ γὰρ ἀπὸ τῆς δικαιοσύνης τὰ ἄδικα πράττομεν καὶ δίκαια. Ὥσπερ οὐδὲ αἱ νοσώδεις κινήσεις ταῖς ὑγιειναῖς αἱ αὐταί· γινώσκονται μέντοι αἱ ἐναντίαι. Ἕξις ἀπὸ τῶν ἐναντίων· εἰ γάρ τις γνώσῃ τὴν εὐεξίαν τὸ

πυκνὸ

πυκνότητα σαρκὸς, εἴσεται τὴν καχεξίαν εἶναι μανότητα σαρκός. Γινώσκονται δὲ αἱ ἕξεις καὶ ἀπὸ τῶν ἐκτῶν· ἕξεις μὲν γὰρ φέρε εἰπεῖν ἡ ὑγίεια· ἐκτὸν δὲ τὸ ὑγιεινὸν, ὃ πρὸς ὑγίειαν φέρει. Εἰ γὰρ γινώσκομεν ὑγιεινὸν εἶναι τὸ ποιητικὸν πυκνότητος ἐν σαρκὶ, γινώσκομεν εὐεξίαν εἶναι τὴν ἐν σαρκὶ πυκνότητα. Ἀκολουθεῖ δὲ κἀκεῖνο ταῖς ἕξεσιν ὡς ἐπὶ τὸ πλεῖστον· καὶ γὰρ ἐὰν πλεοναχῶς λέγηται ἡ ἑτέρα τῶν ἐναντίων ἕξεων, καὶ ἡ ἑτέρα πλεοναχῶς λέγεται. Οἷον, εἰ ἡ σωφροσύνη πολυσήμαντόν ἐστι, καὶ ἡ ἀκολασία πολυσήμαντόν ἔσται. Καὶ εἰ ἡ δικαιοσύνη ὁμώνυμός ἐστι καὶ ἐπὶ πλειόνων λέγεται, καὶ ἡ ἀδικία τοῦτον ἕξει τὸν τρόπον. Ὡς ἐπὶ τὸ πλεῖστον δὲ εἴρηται, ὅτι καὶ ἔστιν ἐν αἷς τῶν ἕξεων τὸ τοιοῦτον οὐ συμβαίνει. Οἷον, τὸ φιλεῖν τῷ μισεῖν ἐναντίον ἐστίν. Ἀλλὰ τὸ μὲν φιλεῖν οὐχ ἁπλοῦν ἐστι· σημαίνει γὰρ τό, τε ἀγαπᾶν, καὶ τὸ τοῖς χείλεσιν ἀσπάζεσθαι· τὸ δὲ μισεῖν ἓν μόνον σημαίνει, τὴν ἔχθραν. Τοιοῦτο δὲ ἐλάχιστα συμβαίνει· μάλιστα δὲ καὶ ὡς ἐπὶ τὸ πολὺ, τὸ πλεοναχῶς λέγεσθαι τὴν ἕξιν, τῆς ἐναντίας πλεοναχῶς λεγομένης. Ἐπεὶ τοίνυν καὶ ἡ δικαιοσύνη πλεοναχῶς λεγομένη ἐστὶ, καὶ ἡ ἀδικία τῶν πλεοναχῶς λεγομένων ἂν εἴη. Δοκεῖ δὲ ἕν τι σημαίνειν τὴν δικαιοσύνην καὶ τὴν ἀδικίαν, διὰ τὸ τὰ σημαινόμενα μὴ σφόδρα διαφέρειν ἀλλήλων· τότε γὰρ ἡ ὁμωνυμία καὶ τὸ πολυσήμαντον

carnis eſſe, ſciet contrariam, carnis eſſe raritatem. Cognoſcuntur quoque è ſubjectis habitus. Ut, exempli gratia, habitus eſt ſanitas: Subjectum, id quod ſalubre eſt, & ad ſanitatem tendit. Si enim noverimus ſalubre eſſe, id quod ſoliditatem efficit in carne, id quoque ſcimus, bonam eſſe habitudinem, ſoliditatem in carne. Sequitur autem & hoc plerumque habitus: nam ſi pluribus modis alter contrariorum dicatur habituum, etiam pluribus modis alter dicitur. Ut ſi temperantia multa ſignificat, etiam intemperantia multa ſignificabit. Et ſi juſtitia eadem voce alia ſignificat, ac de multis uſurpatur, eodem modo & injuſtitia ſe habebit. Plerumque autem diximus: quia nonnulli ſunt in quibus hoc non fit habitus. Ut exempli gratia, φιλεῖν & μισεῖν, inter ſe ſunt contraria: atqui φιλεῖν non eſt ſimplex, duo enim ſignificat: eſt enim & amare, & commiſſis aliquem labiis amplecti. At vero μισεῖν unicum deſignat tantum, odium nimirum. Hoc autem quam rariſſime evenit: ſæpius vero ac plerumque contra, ut cum multis modis habitus alter, multis quoque modis uſurpetur oppoſitus. Quare cum multis modis juſtitia, multis quoque modis ſequetur uſurpari injuſtitiam. Et tamen unum idemque videtur deſignare utrumque: quod non multum inter ſe differant ſignificata. Quia tum demum homonymiæ & diverſæ apparent ſignificationes, cum mul-

Ariſtot. l. 5. c. 1.

Ariſtot. l. 5. c. 1.

tum inter ſe res ſignificatæ differunt. Sic, exempli gratia, κλεῖς dicitur, & quæ ſub collo eſt animalium, & qua fores claudimus. Hic enim quia multum inter ſe res differunt, manifeſta eſt homonymia, & ſignificationis diverſitas. Cum ergo pluribus tum juſtitia tum injuſtitia dicatur modis, ſumamus primo ac ponamus, quot modis dicatur injuſtus. Hinc enim etiam ſignificationes deſumemus juſtitiæ.

Δοκεῖ δὲ ὅ, τε παράνομος ἄδικος εἶναι, &c.

Injuſtus ergo dicitur, & is qui legi non paret, & is qui plus ſibi ſumit quam par eſt, & is qui æqualitatem non ſervat: unde conſtat juſtum quoque fore, tum qui legi paret, tum qui æqualitatem conſervat. Quare juſtum quoque erit, tum id quod lege præſcribitur, tum id quod eſt æquale. Injuſtum contra tum id quod cum lege pugnat, tum quod inæquale eſt.

Ἐπεὶ δὲ καὶ πλεονέκτης ὁ ἄδικος, &c.

Quandoquidem igitur & plus quam oportet ſibi vindicat injuſtus, hæc autem injuſta vindicatio in bono aliquo ſpectatur, ſequetur ipſum quoque in bono aliquo plus ſibi vindicare. Ille autem bonum ſpectat, non quod ſibi bonum eſt, aut quo ipſe melior poſſit evadere (nec enim hoc agit ut temperantior evadat reliquis, aut medicina medicos, liberalitate vincat liberales, aut ex cæteris denique quæ & ſimpliciter & per ſe bona ſunt, bonumque eum poſſunt efficere, ullum conſequatur.) Verum iis reliquos conatur anteire bonis, quæ ſimpliciter quidem & per ſe bona ſunt, non modo autem non meliorem efficiunt,

γίνεται δῆλα, ὅτε τὰ σημαινόμενα πράγματα πολλὴν ἔχουσι πρὸς ἄλληλα τὴν διαφοράν· οἷον κλεῖς λέγεται ἥτε ὑπὸ τὸν αὐχένα τῶν ζώων, καὶ ᾗ τὰς θύρας κλείομεν. Ἐνταῦθα γὰρ διὰ τὸ πολλὴν εἶναι τὴν πραγμάτων διαφοράν, φανερά ἐστιν ἡ ὁμωνυμία καὶ τὸ πολυσήμαντον. Ἐπεὶ τοίνυν πολλαχῶς ἡ δικαιοσύνη λέγεται καὶ ἡ ἀδικία, εἰλήφθω ποσαχῶς λέγεται ὁ ἄδικος· ἐντεῦθεν γὰρ ληψόμεθα καὶ τὰ σημαινόμενα τῆς δικαιοσύνης.

Λέγεται τοίνυν ἄδικος, ὅ, τε παράνομος, καὶ ὁ πλεονέκτης, καὶ ὁ ἄνισος· ὥστε καὶ δίκαιος ἂν εἴη, ὅ, τε νόμιμος καὶ ὁ ἴσος. Καὶ δίκαιον μὲν, τὸ νόμιμον, καὶ τὸ ἴσον· ἄδικον δὲ, τὸ παράνομον, καὶ τὸ ἄνισον.

Ἐπεὶ δὲ καὶ πλεονέκτης ἐστὶν ὁ ἄδικος, ἡ δὲ πλεονεξία περὶ τι ἐστὶν ἀγαθὸν, εἴη ἂν καὶ αὐτὸς περὶ τι πλεονεκτῶν ἀγαθόν. Ἀγαθὸν δὲ ζητεῖ οὐ τὸ αὐτῷ ἀγαθὸν, καὶ ὅπερ ἂν αὐτὸν ἀμείνω ποιήσειεν· οὐ γὰρ ζητεῖ τῶν ἄλλων σωφρονέστερος εἶναι, οὐδὲ τῶν ἰατρῶν ἰατρικώτερος, οὐδὲ τῶν ἐλευθερίων ἐλευθεριώτερος, οὐδὲ ἄλλο οὐδὲν τῶν ἀγαθῶν, ὅσα αὐτά τε ἁπλῶς καὶ καθ' ἑαυτά εἰσιν ἀγαθὰ, καὶ αὐτὸν ἀγαθὸν ποιεῖ· ἀλλὰ περὶ ἐκεῖνα τῶν ἀγαθῶν ζητεῖ τοὺς ἄλλους ὑπερνικᾶν, ὅσα ἁπλῶς καὶ καθ' αὑτά εἰσιν ἀγαθὰ, αὐτὸν δὲ οὐ ποιεῖ ἑαυτοῦ βελτίονα, ἀλλὰ

ἀλλὰ καὶ χείρω πολλάκις. Οἷον χρήματα, καὶ δυναστείαν, καὶ σώματος εὐεξίαν· ταῦτα γὰρ ὕλη κακίας τῷ φαύλῳ γίνεται χείρονος· καὶ τὰ ἄλλα, ὅσα περὶ εὐτυχίαν ἢ ἀτυχίαν ἐστὶν, ἅπερ οἱ πλεῖστοι τῶν ἀνθρώπων ἑαυτοῖς εὔχονται καὶ διώκουσι. Δεῖ δὲ οὐχ οὕτω ποιεῖν, ἀλλ᾽ εὔχεσθαι μὲν ταῦτα τὰ ἁπλῶς ἀγαθὰ, καὶ αὐτοὺς ἀγαθῦναι καὶ ὠφελῆσαι, καὶ μὴ χείρους ποιῆσαι. Αἱρέσεως δὲ προσκειμένης, προκρίνειν οὐ τὰ ἁπλῶς ἀγαθὰ, ἀλλὰ τὰ αὐτοῖς ἀγαθὰ, καὶ ὅσα αὐτοὺς δυνήσεται βελτίους ποιεῖν. Ὁ δὲ ἄδικος εὔχεται μὲν αὐτῷ τὰ περὶ εὐτυχίαν ἀγαθὰ, καὶ ἐν τούτοις ἀεὶ ζητεῖ τὸ πλέον ἔχειν· αἱρεῖται δὲ καὶ τὰ ἐλάττονα τῶν περὶ δυστυχίαν κακῶν· νομίζει γὰρ τὸ ἔλαττον κακὸν ἀγαθὸν εἶναι. Καὶ διότι ὁ πλεονέκτης ἀεὶ καὶ ἡ πλεονεξία περὶ τὸ ἀγαθόν ἐστι, διὰ τοῦτο δοκεῖ πλεονέκτης εἶναι. Ἔστι δὲ ὁ ἄδικος ἄνισος· τοῦτο γὰρ περιεκτικὸν ὄνομα καὶ κοινόν ἐστι πᾶσι τοῖς εἴδεσι τῆς ἀδικίας, ἡ ἀνισότης. Καὶ γὰρ καὶ ὁ παράνομος, ἄνισός τίς ἐστι, καὶ ὁ πλεονέκτης.

Ἐπεὶ δὲ ὁ παράνομος ἄδικός τίς ἐστι, καὶ ὁ νόμιμος δίκαιος, φανερὸν ὅτι πάντα τὰ νόμιμα δίκαιά πως ἐστί· τά γὰρ ὡρισμένα ὑπὸ τῆς νομοθετικῆς, νόμιμά τέ ἐστι, καὶ δίκαια λέγονται· ἕκαστον γὰρ τῶν νομίμων καὶ δίκαιον appellantur: eorum enim

ſed & ſæpiſſime deteriorem. Quales ſunt pecuniæ, ac potentia, bonaque corporis habitudo. Hæc enim homini improbo majoris ſunt fomenta nequitiæ. Ut & alia quæ ſecundæ aut adverſæ fortunæ tribuuntur, cujuſmodi ſunt quæ plerique ſibi optant homines, ac perſequuntur. Quod non oportet, cum potius optandum ſit, ut quæ ſimpliciter bona ſunt, ſibi quoque bona eveniant ac proſint, aut ſaltem non deteriores efficiant. Et cum eligendum eſt, ea præferenda, non quæ ſimpliciter, ſed quæ ipſi bona ſunt, & quæ meliorem ipſum poſſunt efficere. Jam vero injuſtus, ſicut ſecundæ quidem fortunæ optat bona, in iiſque maximam ſibi partem ſemper vindicare nititur: ita minima in adverſa ſibi eligit mala. Minus enim malum, bonum eſſe judicat. Præterea, quia is qui plus quam oportet ſibi vindicat, & injuſta hæc pluris cupiditas, in bono ſpectatur, ideo tum quoque pluris cupidus videtur eſſe. Sed & æqualitatem negligit injuſtus: unde etiam generale ac commune omnibus injuſtitiæ ſpeciebus nomen eſt inæqualitas. Nam & qui in leges peccat, & qui plus ſibi quam oportet vindicat, æqualitatem negligit.

Quando autem is qui in leges peccat, injuſtus eſt, qui vero eis obtemperat, juſtus: perſpicuum eſt, omnia quæ ex legum præſcripto fiunt, juſta quodammodo eſſe. Nam & ea, quæ ab illa quæ leges ſolet ferre definita ſunt ſcientia, legitima ſunt ac juſtæ quæ legitima ſunt unumquodque,

Ariſtot. l. 5. c. 1.

Ἐπεὶ δὲ παράνομος ἄδικος ὤν, &c.

Ariſtot. l. 5. c. 1.

que, juſtum quoq; eſſe dicimus, ut in quibuſcunque leges, in iiſdem quoque juſtitia verſetur.

Οἱ δὲ νόμοι ἀγορεύουσι, &c.

At vero de omnibus loquuntur leges, ſpectantque partim id quod omnibus conducit rebuſpublicis, ſive popularem, ſive optimatum, ſive quamcunque denique aliam inſtituant formam: partim etiam quaſlibet quæ cum qualibet virtute fiunt actiones imperant: ut exempli gratia, temperantes, juſtas, ac fortes.

Προστάττει δὲ νόμος, &c.

Imperant enim, exempli gratia, nè quis ordinem relinquat aut fugiat, quod fortis viri eſt: nè quis adulterium committat, aut alienæ illudat pudicitiæ, quod temperantis opus eſt, nè quis percutiat aliquem aut male excipiat, quod eſt manſuetudinis. Similiterque quæ ad reliquas aut virtutes ſpectant aut vitia, vel jubent vel vetant. Et ea quidem quæ recte accurateq; lex poſita eſt, ſicut recta atque accurata poſtulat ratio, quæ vero temere inconſiderateque, minus accurate, nec ut oportet, ſed deterius & jubet & prohibet. Quæ bona ſunt nihilominus ac mala, jubet ac prohibet. Omnium enim legum finis hic eſt.

Αὕτη μὲν οὖν ἡ δικαιοσύνη, &c.

Si igitur quæcunque ſunt legitima, etiam ſunt juſta, & in quibus lex, in iiſdem juſtitia verſatur, omnem virtutem complectitur juſtitia: & quia omnem continet, ipſaque tota virtus eſt, perfecta quoque eſt virtus. Hoc enim ſolo, ab univerſali virtute differt juſtitia, quod altera habitus ſit reſpectu ſui tantum, juſtitia vero perfe-

εἶναί φαμεν. Ὥστε περὶ ὅσα εἰσὶν οἱ νόμοι, περὶ ταῦτα καὶ τὴν δικαιοσύνην εἶναι συμβαίνει.

Ἀλλ᾽ οἱ νόμοι περὶ ἁπάντων ἀγορεύουσι, στοχαζόμενοι τοῦ συμφέροντος ταῖς πολιτείαις ἁπάσαις, εἴτε δημοκρατίαν, εἴτε ἀριστοκρατίαν, εἴτε ἄλλην τινὰ τάττουσι πολιτείαν, προστάττοντες δὲ πάντα τὰ κατὰ πᾶσαν ἀρετὴν ἔργα, οἷον σώφρονα, καὶ δίκαια, καὶ ἀνδρεῖα.

Προστάττουσι γὰρ μὴ λείπειν τὴν τάξιν, μηδὲ φεύγειν, ὅπερ ἐστὶ τοῦ ἀνδρείου, καὶ μὴ μοιχεύειν, μηδὲ ὑβρίζειν, ὅπερ ἐστὶ τοῦ σώφρονος ἔργον, καὶ μὴ τύπτειν, μηδὲ κακηγορεῖν, ὃ πρᾳότητός ἐστιν. Ὁμοίως δὲ καὶ τὰ τῶν ἄλλων ἀρετῶν καὶ κακιῶν, τὰ μὲν κελεύει, τὰ δὲ ἀπαγορεύει. Καὶ ὁ μὲν ἀκριβὴς νόμος καὶ ὀρθὸς κατὰ τὸν ὀρθὸν καὶ ἀκριβῆ λόγον, ὁ δὲ αὐτοσχεδίως καὶ ἀβασανίστως τεθεὶς οὐ πάνυ ἀκριβῶς καὶ ὡς προσῆκεν, ἀλλὰ χεῖρον καὶ κελεύει καὶ ἀποτρέπει· κελεύει δ᾽ οὖν ὅμως καὶ ἀποτρέπει τὰ ἀγαθὰ καὶ τὰ φαῦλα. Παντὸς γὰρ νόμου τόδε σκοπός ἐστιν.

Εἰ τοίνυν ὅσα νόμιμα τοσαῦτα καὶ δίκαια, καὶ περὶ ἃ ὁ νόμος, περὶ ταῦτα καὶ τὴν δικαιοσύνην εἶναι συμβαίνει, πᾶσαν ἀρετὴν ἡ δικαιοσύνη περιέχει, καὶ ἐστί τις ἀρετὴ τελεία διὰ τὸ πάσας τὰς ἀρετὰς περιέχειν, καὶ αὐτὴν εἶναι τὴν ὅλην ἀρετήν· τούτῳ γὰρ μόνῳ τῆς καθόλου ἀρετῆς ἡ δικαιοσύνη διαφέρει, ὅτι ἡ μὲν ἕξις ἐστὶ καθ᾽ ἑαυτὴν μόνον, ἡ δὲ δικαιοσύνη

σύνη τελεία ἐστὶν ἕξις, οὐχ ἁπλῶς, ἀλλὰ πρὸς ἕτερον ἀναφερομένη. Τὸ γὰρ χρῆσθαι πάσαις ἀρεταῖς πρὸς τὸ συμφέρον τῶν πέλας, τοῦτό ἐστιν ἡ δικαιοσύνη.

ctus ſit habitus, non tamen ſimpliciter, ſed ad alium relatus. Quoties enim aliquis omnes ad alterius commodum refert virtutes, hoc eſt quod juſtitia appellatur.

Ariſtot. l.5.c.1.

Καὶ διὰ τοῦτο κρατίστη δοκεῖ πασῶν ἀρετῶν, καὶ οὔθ' ἑσπέριος, οὔθ' ἑῷος ἀστὴρ οὕτω λαμπρός ἐστι καὶ θαυμαστὸς, ὥσπερ ἡ δικαιοσύνη. Καὶ παροιμιαζόμενοί φαμεν,

Ideoque omnium videtur eſſe præſtantiſſima virtutum: imo neque Heſperus neque Lucifer ita clarus eſt atque admirabilis, ut eſt juſtitia. Unde vulgo etiam dicimus:

Καὶ διὰ τοῦτο πολλάκις κρατίστη αἰ.

Ἐν δὲ δικαιοσύνῃ συλλήβδην πᾶσ' ἀρετή 'στι.

Juſtitia in ſeſe virtutem amplectitur omnem.

καὶ τελεία μάλιστα ἀρετὴ, ὅτι τῆς τελείας ἀρετῆς χρῆσίς ἐστιν. Ὁ γὰρ ἔχων αὐτὴν, καὶ πρὸς ἕτερον δύναται τῇ ἀρετῇ χρῆσθαι, ἀλλὰ οὐ μόνον καθ' αὑτόν. Πολλοὶ γὰρ ἑαυτοὺς μὲν ταῖς ἀρεταῖς ὠφελοῦσιν, ἄλλοις δὲ δι' αὐτῶν οὐ δύνανται βοηθεῖν· καὶ διὰ τοῦτο καλῶς ὁ τοῦ Βίαντος ἔχει λόγος, ἀρχὰ δείξει ἄνδρα· οὐδὲν γὰρ ἄλλό ἐστιν ἡ ἀρχὴ, ἢ ἡ πρὸς ἄλλους τῶν ἀρετῶν κοινωνία. Καὶ διὰ τοῦτο καὶ ἀλλότριον ἀγαθὸν εἶναι δοκεῖ ἡ δικαιοσύνη μόνη τῶν ἄλλων ἀρετῶν, ὅτι οὐχ ἑαυτῷ τὸ συμφέρον, ἀλλὰ τοῖς ἄλλοις ζητεῖ, ἢ τῷ κοινῷ, ἢ τῷ ἄρχοντι. Ὁ μὲν οὖν ἑαυτόν τε βλάπτων τῇ μοχθηρείᾳ, καὶ τοὺς φίλους, κάκιστος· ὁ δὲ ταῖς ἀρεταῖς οὐ πρὸς τὸ οἰκεῖον κεχρημένος συμφέρον, ἀλλὰ πρὸς τοὺς ἄλλους, ἄριστός ἐστι, τοῦτο γὰρ ἔργον χαλεπόν.

eoque ipſo maxime perfecta virtus eſt, quia perfectæ virtutis uſus eſt, ſiquidem qui ea præditus eſt, etiam in alium virtute uti poteſt, non tantum ipſe ſecum. Multi enim ſibi virtutibus proſunt ſuis, ad aliorum vero eas ſubſidium conferre non poſſunt: ideoque præclarum illud Biantis dictum eſt: Magiſtratus virum patefaciet: nihil enim aliud eſt magiſtratus, quam virtutum cum aliis communicatio. Atque ob eam ipſam cauſam ſola ex virtutibus alienum eſſe bonum videtur juſtitia: quia non quod ſibi, ſed quod aliis conducit, ut puta publico, vel principi, ſpectare ſolet. Ut ergo qui ſibi amicisque ſuis improbitate nocet, perverſiſſimus eſt: ſic qui virtutes non ad ſuum tantum, ſed & aliorum refert commodum, eſt optimus. Hoc enim difficile eſt opus.

Αὕτη μὲν οὖν ἡ δικαιοσύνη οὐ μέρος ἀρετῆς, ἀλλ' ὅλη ἐστὶν ἡ ἀρετή. Καὶ ἀδικία ὁμοίως οὐ μέρος ἐστὶ κακίας, ἀλλ' ὅλη κακία.

Ipſa igitur juſtitia non pars virtutis, ſed tota eſt virtus: neque injuſtitia ſimiliter pars eſt improbitatis, ſed tota improbitas.

Αὕτη μὲν οὖν δικαιοσύνη, &c.

Ariſtot. l.5.c.2. Τί δὲ δι-αφέρει, &c.

Quomodo ergo à juſtitia hæc univerſalis differat virtus, jam dictum eſt.

CAP. II.

De particulari juſtitia.

Cap. 2. Ζητοῦμεν δὲ. &c.

EST & alia juſtitia, quæ particularis eſt virtus: ſicut & injuſtitia, quæ particulare vitium.

Σημεῖον δὲ ὅτι ἐστι,

Porro & juſtitiam particularem eſſe & injuſtitiam, argumento fuerit vel illud: quod qui agit aliquid eorum quæ ad cætera pertinent vitia, injuſtus quidem poſſit dici, nullo tamen modo pluris cupidus, ut, exempli gratia, qui clypeum per ignaviam abjicit, aut qui maledicit alteri, vel aſperitate quadam impulſus, vel quod iræ nequeat moderari ſuæ. Aut qui opem alii pecunia non fert, quia eſt illiberalis. Hi enim omnes ſunt injuſti nec tamen plus quam oportet ſibi vindicant. Quare qui plus quam oportet ſibi vindicat, alia improbitate cenſetur: quia neq; in uno aliquo eorum peccat, neq; in omnibus. Et tamen ut injuſtus ſolet reprehendi. Unde apparet aliam quandam eſſe injuſtitiam particularem, tanquam injuſtitiæ totius partem, ſicut aliud injuſtum particulare eſt, tanquam totius injuſti pars quædam, quo quicquid fit contra leges continetur. Præterea ſi è duobus unus quidem lucri cauſa cum aliena uxore rem haberet, & mercedis inſuper aliquid acciperet: alter voluptatis cauſa, cum ſumptu id faceret ac detrimento, hic quidem intemperans

Τίνι δὲ διαφέρει ἡ καθόλου ἀρετὴ τῆς δικαιοσύνης ταύτης, εἴρηται.

ΚΕΦ. β'.

Περὶ τῆς μερικῆς δικαιοσύνης.

ΕΣτι δὲ ἄλλη τις δικαιοσύνη, ἥ τίς ἐστι μερικὴ ἀρετή· ὥσπερ καὶ ἀδικία, ἥ τίς ἐστι μερικὴ κακία.

Σημεῖον δὲ τοῦ καὶ μερικὴν εἶναι δικαιοσύνην καὶ ἀδικίαν, ἐκεῖνο ἂν εἴη· ὁ γὰρ ἐνεργῶν κατὰ τὰς ἄλλας μοχθηρίας, ἄδικος μὲν λέγοιτο ἄν, πλεονέκτης δὲ οὐδαμῶς· οἷός ἐστιν ὁ ῥίψας τὴν ἀσπίδα διὰ δειλίαν, ἢ ὁ λοιδορησάμενος τὸν πέλας διὰ χαλεπότητα, καὶ τὸ μὴ δύνασθαι θυμοῦ κρατεῖν καὶ ὀργῆς, ἢ ὁ μὴ βοηθήσας χρήμασι δι' ἀνελευθεριότητα· οὗτοι γὰρ πάντες ἄδικοι μέν εἰσι· πλεονέκται δὲ οὐδαμῶς. Ὥστε ὁ πλεονέκτης περὶ ἄλλην τινά ἐστι πονηρίαν, ὅτι μήτε περὶ μίαν τούτων ἐστίν, οὔτε περὶ πάσας· ψέγεται δὲ ὡς ἄδικος. Ἔστιν ἄρα ἄλλη τις ἀδικία μερική, ὡς μέρος οὖσα τῆς ὅλης ἀδικίας· καὶ ἀδικόν τι μερικόν, μέρος τοῦ ὅλου ἀδίκου τοῦ παρὰ τὸν νόμον. Ἔτι, εἰ ὁ μὲν κέρδους ἕνεκα μοιχεύει καὶ προσλαμβάνει, ὁ δὲ ἡδονῆς ἕνεκα, καὶ διὰ τοῦτο ζημιοῦται καὶ ἀναλίσκει τὰ ὄντα· ὁ μὲν ἀκόλαστος ἂν λέγοιτο καὶ οὐ

πλεο-

πλεονέκτης, ὁ δὲ πλεονέκτης καὶ ἄδικος, ἀκόλαστος δὲ οὐδαμῶς. Ὥστε ἀδικία τίς ἐστι μὴ περιέχουσα τὴν ἀκολασίαν· καὶ διὰ τοῦτο οὐκ ἔστιν ἡ αὐτὴ τῇ καθόλου ἀδικίᾳ, ἀλλὰ μερική· ἔτι, πᾶσα μὲν πονηρὰ πρᾶξις ἐπί τινα κακίαν ἀναφέρεται· οἷον, τὸ μὲν μοιχεύειν εἰς ἀκολασίαν ἀνάγεται. Τὸ δὲ φυγεῖν καὶ ῥίψαι τὴν ἀσπίδα, ἐπὶ δειλίαν, τὸ δὲ λοιδορήσασθαι καὶ πατάξαι, ἐπὶ ὀργήν, τὸ δὲ κερδᾶναι τὰ ἑτέρων, καὶ οὐδαμόθεν ἑαυτῷ προσήκοντα, εἰς οὐδὲν ἕτερον ἀναφέρεται, ἢ ἐπὶ τὴν ἀδικίαν.

potius, quam pluris cupidus, ille autem pluris cupidus ac injuſtus, intemperans vero neutiquam diceretur. Quare eſt quædam injuſtitia, quæ non continet intemperantiam: ideoque nec eadem cum univerſali injuſtitia eſt, ſed particularis. Præterea, alia omnis injuſta actio ad vitium aliquod refertur, ut, ſi quis adulterium fecit, ad intemperantiam: ſi in bello fugit, & clypeum abjecit, ad timiditatem: ſi verberavit, aut convitiatus eſt ad iram. At vero ſi lucrum aliquis injuſtum fecit, & quæ alterius ſunt, minimeque ad ſe pertinent, hoc modo ſibi vindicavit, ad nullum jam hoc vitium præterquam ad injuſtitiam refertur. Ariſtot. l. 5. c. 2.

Ὥστε φανερὸν, ὅτι ἔστι τις ἀδικία ἄλλη μερικὴ συνώνυμος τῇ καθόλου· καὶ γὰρ ὁ ὁρισμὸς ἑκατέρας ἐν τῷ αὐτῷ ἐστὶ γένει· ἄμφω γὰρ ἐν τῷ πρὸς ἕτερον χρῆσθαι τῷ ἀγαθῷ τὸ εἶναι ἔχουσι· διαφέρει δὲ ἡ μερικὴ τῆς καθόλου, ὅτι ἡ μὲν μερικὴ περὶ χρήματα ἢ σωτηρίαν, ἢ περὶ ἡδονὴν τὴν ἀπὸ τοῦ κέρδους, ἢ εἴ τι ἐστὶν ὄνομα κοινὸν τούτων ἁπάντων· ἡ δὲ καθόλου, περὶ ἅπαντα ἐστὶ, περὶ ὅσα ὁ σπουδαῖος καταγίνεται.

Unde apparet, præter univerſalem illam injuſtitiam, aliam eſſe particularem quandam, uno eodemque appellatam nomine: quia utriuſque in eodem genere eſt definitio: utraque enim in eo, ut ad alium aliquem boni uſum transferant conſiſtit. Ab univerſali rurſus differt particularis, quod hæc quidem in pecuniis, aut ſalute, aut lucri cupiditate, aut ſi quo uno hæc omnia poſſint comprehendi nomine, ſpectatur: univerſalis vero in omnibus in quibus verſatur vir bonus. Ὥστε φανερὸν ὅτι ἐστί τις ἀδικία, &c.

Ὅτι μὲν οὖν πολλαχῶς ἡ δικαιοσύνη λέγεται, καὶ ὅτι ἐστί τις ἄλλη μερικὴ δικαιοσύνη παρὰ τὴν καθόλου ἀρετὴν, δῆλον ἀπὸ τῶν εἰρημένων· τίς δέ ἐστιν αὕτη ἡ μερικὴ δικαιοσύνη, τοῦτο ἤδη λεκτέον. Διωρισάμεθα μὲν οὖν, ὅτι τὸ ἄνισον καὶ τὸ παράνομόν ἐστι τὸ ἄδικον. Δικαι-

Multis igitur modis juſtitiæ uſurpari nomen, tum præter univerſalem illam virtutem eſſe particularem quandam juſtitiam, patet ex iis quæ diximus. Quæ autem ſit particularis hæc, porro dicendum eſt. Duobus modis injuſtum dici oſtendimus, tum quod cum æqualitate pu- Ὅτι μὲν οὖν πολλαχῶς δικαιοσύνη, &c.

Ariſtot. l.5.c.2.

gnat, tum quod fit contra legem: ſicut juſtum, & quod æquale eſt, & quod fit è lege. Jam vero in eo quod fit è lege, univerſalis cernitur juſtitia: in eo quod fit contra legem & inæquale eſt, univerſalis cernitur injuſtitia.

Ἐπεὶ δὲ τὸ ἄνισον καὶ τὸ πλέον, &c.

Cum autem non idem ſit plus & inæquale, ſed inæquale & totum, plus autem ut pars ſe habeat (quicquid enim plus eſt, etiam inæquale eſt, non quicquid tamen inæquale eſt, etiam plus eſt) alia quoque, quæ inæqualitatem reſpicit, eſt injuſtitia. Quæ quidem duæ eædem eſſe non poſſunt. Quin quæ plus reſpicit, particularis, quæ inæquale, univerſalis injuſtitia eſt. Quare injuſtitia particularis, quæ ad integram injuſtitiam ſicut pars ſe habet ad totum, plus reſpicit. Et hæc eſt quæ injuſta pluris cupiditas dicitur. Atque ex his quidem quid ſit particularis juſtitia prima quaſi delineatione agnoſcitur: accuratius tamen de iis erit dicendum.

ὂν δέ ἐστι τὸ νόμιμον, καὶ τὸ ἴσον· ἡ μὲν οὖν καθόλου δικαιοσύνη ἐστὶ περὶ τὸ νόμιμον, καὶ ἡ καθόλου ἀδικία περὶ τὸ παράνομον καὶ τὸ ἄνισον.

Ἐπεὶ δὲ τὸ πλέον οὐ ταυτόν ἐστι τῷ ἀνίσῳ, ἀλλ' ἔστι τὸ μὲν ἄνισον ὥσπερ ὅλον, τὸ δὲ πλέον ὡς μέρος· τὸ γὰρ πλέον καὶ ἄνισον, οὐ πᾶν δὲ τὸ ἄνισον πλέον· ἔστι τις ἀδικία καὶ περὶ τὸ ἄνισον ἄλλη· αἳ οὐκ ἂν εἶεν αἱ αὐταὶ ἀδικίαι· ἀλλ' ἡ μὲν περὶ τὸ πλέον μερικὴ ἔσται ἀδικία, ἡ δὲ περὶ τὸ ἄνισον ἀδικία, καθόλου. Ἡ ἄρα μερικὴ ἀδικία, ἥ τις ἔχει πρὸς τὴν τελείαν ἀδικίαν ὡς μέρος πρὸς ὅλον, περὶ τὸ πλέον ἐστί· καὶ αὐτή ἐστιν ἡ λεγομένη πλεονεξία. Ἀπὸ τούτων δὲ γινώσκεται καὶ ἡ μερικὴ δικαιοσύνη τί ἐστιν, ὡς ἐν τύπῳ· λεκτέον δὲ ἔτι περὶ αὐτῶν ἀκριβέστερον.

CAP. III.

ΚΕΦ. γʹ.

De ſpeciebus juſtitiæ particularis.

Περὶ τῶν εἰδῶν τῆς μερικῆς δικαιοσύνης.

Ἡ μὲν οὖν κατὰ τὴν ὅλην ἀρετὴν, &c.

Univerſalis ergo, ut dictum eſt, juſtitia, perfecta virtus, totiuſque virtutis uſus eſt: ſicut & injuſtitia, integra eſt improbitas. Ex præſcripto enim legis agit. Lex autem non tantum omnium virtutum actiones, ut ſupra oſtendimus, injungit, ſed & & cives viros bonos eſſe docet, totiuſque virtutis ſibi

Ἡ μὲν οὖν καθόλου δικαιοσύνη, καθὼς εἴρηται, τελεία ἐστὶν ἀρετὴ καὶ χρῆσις τῆς ὅλης ἀρετῆς. Ὥσπερ καὶ ἡ ἀδικία παντελὴς κακία ἐστί· καὶ γὰρ νόμιμος ἐστιν. Ὁ δὲ νόμος οὐ μόνον τὰς πράξεις ἁπάσης ἀρετῆς κελεύει ποιεῖν, ὡς ἐν τοῖς εἰρημένοις ἐδείχθη, ἀλλὰ καὶ παιδεύει σπουδαίους τοὺς πολίτας

γενέσθαι,

γίνεσθαι, καὶ εἰς ἕξιν τῆς ὅλης ἐλθεῖν ἀρετῆς. Οὐ γὰρ ταυτὸν πράξεις ποιεῖν ἀρετῆς, καὶ ἀρετῆς ἕξιν ἔχειν· καὶ διὰ τοῦτο ἄλλό ἐστι τὸ πολίτην εἶναί τινα ἀγαθὸν, καὶ ἕτερον τὸ ἄνδρα εἶναι ἀγαθόν. Ἀνὴρ μὲν γὰρ ἀγαθός ἐστιν ὁ ἕξιν ἀρετῆς ἔχων· πολίτης δὲ ἀγαθὸς ὁ πράττων ἀρετῆς ἔργα, δι' ὧν τοὺς ἑαυτοῦ πολίτας ὠφελήσει κοινῇ, καὶ ὅλως ὁ πρὸς τοὺς πολίτας ὢν ἀγαθός.

Ὅθεν ἀπορήσειεν ἄν τις, πῶς τῆς πολιτικῆς ἐστὶν ἡ παιδεία, καθ' ἣν γίνεταί τις ἀνὴρ ἀγαθὸς, περὶ οὗ ὕστερον ἐροῦμεν. Ἡ μὲν οὖν καθόλου δικαιοσύνη καὶ ἀδικία τοιαύτη. Τῆς δὲ κατὰ μέρος δικαιοσύνης καὶ τοῦ κατ' αὐτὴν δικαίου, ἓν μέν ἐστιν εἶδος τὸ ἐν ταῖς διανομαῖς, ὅταν διανέμειν δεήσῃ χρήματα, ἢ τιμὴν, ἢ ἄλλό τι τῶν, ὅσα μερίζονται πρὸς τοὺς ἐν ταῖς πολιτείαις. Ἐν τούτοις γάρ ἐστι καὶ τὸ ἴσον καὶ τὸ ἄνισον, καὶ τὸ ἔλαττον καὶ τὸ μεῖζον. Καὶ διὰ τοῦτο τὸ ὡς δεῖ μερίζειν καὶ διανέμειν, δικαιοσύνης εἶδός ἐστιν. Ἕτερον δὲ τὸ ἐν τοῖς συναλλάγμασι διορθωτικόν. Τούτου δὲ μέρη δύο, διὰ τὸ καὶ τὰ συναλλάγματα εἰς δύο μέρη διαιρεῖσθαι. Τῶν γὰρ συναλλαγμάτων τὰ μέν εἰσιν ἑκούσια, τὰ δὲ ἀκούσια. Ἑκούσια μὲν, πρᾶσις, ὠνὴ, δανεισμὸς, ἐγγύη, χρῆσις, ὅταν τις ἐπὶ μισθῷ τὴν ἰδίαν οἰκίαν, ἢ τὸ ζῶον, δώσῃ τινὶ χρήσασθαι, παρακαταθήκη, μίσθωσις ἢ δούλου ἢ τεχνίτου. Ἑκούσια δὲ λέγεται ταῦτα, ὅτι λαβὼν μέν τις ἢ χρησάμενος καὶ ἑκουσίως ἀποδώσει· κατ' ἀρχὰς μέν τοι

comparare habitum. Ideoque aliud eſt civem bonum, aliud virum bonum eſſe. Qui enim habitu virtutis eſt præditus, vir bonus eſt, qui vero virtutis actiones agit, quibus prodeſſe publice civibus poteſt, quique ut ſemel dicam, quemadmodum bono dignum eſt viro, cum civibus ſe gerit, civis bonus eſt. Ariſtot. l. 5. c. 2.

Unde quærere poſſit aliquis, quomodo ad civilem pertinere ſcientiam ea diſciplina poſſit, qua vir bonus efficitur: de quo poſtea dicemus. Talis ergo & juſtitia univerſalis & injuſtitia eſt. Porro juſtitiæ particularis, juriſque in quo verſatur illa, una quidem in diſtributione cernitur ſpecies: quoties nimirum vel pecunias, vel honores, vel aliud denique aliquid quod dividi inter cives ſolet, diſtribuere volumus: in his enim æquale & inæquale, majus eſt & minus. Ideoque, diſtribuere, ut oportet aliquid, & dividere, juſtitiæ ſpecies eſt. Altera, qua negotia, quæ inter ſe contrahunt homines, diriguntur. Hujus rurſus partes duæ ſunt, ſicut & negotia in duas partes dividuntur. Alia enim ſponte fiunt, alia invito. Quæ ſponte, ut emptio, venditio, mutuum, fidejuſſio, locatio (ut cum aliquis domum ſuam, aut animal aliquod mercede locat) depoſitum, famuli denique alicujus aut operarii conductio. Et ſponte quidem fieri hæc dicuntur, tum quia qui accepit ea, uſuſque iis fuit, ſponte reddit iterum, initio enim à volente

Περὶ δὲ τῆς καθ' ἕκαστον παιδείας, &c.

Ariſtot. l. 5. c. 3.

eo qui dedit, volens accepit. Atque hæc quidem cauſa eſt cur ita dicantur. Invita vero quæ ſunt, partim clandeſtina dicuntur, partim violenta. Et clandeſtina quidem, ut furtum, adulterium, veneficium, lenocinium, ſervi alieni circumventio, per inſidias allata nex, falſum teſtimonium. Violenta, ut verbera, vincula, mors, rapina, debilitatio, maledicentia, contumelia. Violenta autem hæc dicuntur, quia qui injuſtitiam in his exercet, furtim aut per vim, ſeu pecunias ſeu voluptatem aliquam ſibi vindicat: pro quo poſtea mulctam in judicio, aut mortem, aut tormenta ſubit aut infamiam. Duæ ergo juſtitiæ ſunt ſpecies: tum quæ in diſtributione, tum quæ in negotiis cernitur. Sicut rurſus quæ in negotiis, vel in iis quæ ſponte fiunt verſatur, vel in invitis. De ſingulis autem accuratius dicemus.

ἑκουσίως ἔλαβε καὶ παρ' ἑκόντος καὶ βουλομένου τοῦ δίδοντος· καὶ διὰ τοῦτο ἑκούσια λέγονται. Ἀκούσια δὲ τὰ μὲν λαθραῖα λέγονται, τὰ δὲ βίαια· λαθραῖα μὲν, οἷον κλοπὴ, μοιχεία, φαρμακεία, προαγωγία, τὸ δοῦλον ἀπατῆσαι τινὸς, δολοφονία, ψευδομαρτυρία· βίαια δὲ, οἷον πληγαὶ, δεσμὸς, θάνατος, ἁρπαγὴ, πήρωσις, κακηγορία, προπηλακισμός. Συναλλάγματα δὲ τὰ τοιαῦτα βίαια λέγονται, ὅτι ὁ περὶ ταῦτα ἀδικῶν, λαμβάνει μὲν λάθρα καὶ βιαίως, ἢ χρήματα, ἢ ἡδονήν· ἀποδίδωσι δὲ ἐν τῷ δικαστηρίῳ, ἢ διὰ ζημίαν, ἢ θάνατον, ἢ τὸ αἰκισθῆναι, ἢ τὸ ἀτιμασθῆναι. Εἰσὶ τοίνυν δικαιοσύνης εἴδη δύο, τό, τε περὶ τὴν διανομὴν, καὶ τὸ περὶ τὰ συναλλάγματα. Τοῦ δὲ περὶ τὰ συναλλάγματα, τὸ μὲν περὶ τὰ ἑκούσιά ἐστι συναλλάγματα, τὸ δὲ περὶ τὰ ἀκούσια· ἐροῦμεν δὲ ἀκριβέστερον περὶ ἑκάστου.

CAP. IV.

De æqualitate juſtitiæ & proportione: tum de ea juris ſpecie, quæ in diſtribuendo cernitur.

ΚΕΦ. δʹ.

Περὶ τῆς ἐν δικαιοσύνῃ ἰσότητος καὶ ἀναλογίας, καὶ περὶ τοῦ διανεμητικοῦ εἴδους τοῦ δικαίου.

Cap. 3. Ἐπεὶ δ' ὅ τε ἄδικος ἄνισος καὶ τὸ ἄδικον ἄνισον,

EST ergo juſtum & medium, & æquale, & proportione diſtinctum: & mediocritatis, æqualitatis ac proportionis effectrix juſtitia. Ac medium quidem eſt, juſtum, quia inter id quod plus eſt & quod minus, item quod ſupra decorum & quod infra eſt, conſiſtit: quem-

ΕΣτι τοίνυν τὸ δίκαιον, καὶ μέσον, καὶ ἴσον, καὶ ἀνάλογον, καὶ ἡ δικαιοσύνη, μεσότητος, καὶ ἰσότητος, καὶ ἀναλογίας ποιητική. Καὶ μέσον μὲν ἐστὶ τὸ δίκαιον, ὅτι μεταξύ ἐστι τοῦ τε πλείονος καὶ ἐλάττονος, καὶ τοῦ ὑπὲρ τὸ δέον καὶ παρὰ τὸ δέον, ὥσπερ

καὶ πᾶσαι αἱ ἀρεταί. Καὶ τοῦτο κοινόν ἐστι τῇ δικαιοσύνῃ πρὸς τὰς ἄλλας ἀρετάς· τὸ δὲ ἴσον ἴδιόν ἐστι τῆς δικαιοσύνης, ὅτι ἑκάστῳ τὸ ἁρμόζον καὶ τὸ προσῆκον ἀποδίδωσι· καὶ ὃ δίδωσι τῷ λαμβάνοντι ἴσον ἐστί· τὰ γὰρ ἐφαρμόζοντα ἴσα. Τὸ δὲ προσῆκον τρόπον τινὰ ἐφαρμόζει. Ἄλλως τε ἐπεὶ ἡ ἀδικία ἀνισότης ἐστί, καὶ τὸ ἄδικον ἄνισον, εἰκὸς ἂν εἴη τὴν δικαιοσύνην ἰσότητα εἶναι, καὶ τὸ δίκαιον ἴσον, μέσον γάρ ἐστι τοῦ πλείονος καὶ τοῦ ἐλάττονος. Ἐν ὁποίᾳ γὰρ πράξει τὸ πλέον ἐστὶ καὶ τὸ ἔλαττον, ἀνάγκη καὶ τὸ ἴσον εἶναι· καὶ χωρὶς δὲ λόγου τινὸς οὕτω πᾶσι δοκεῖ τὸ δίκαιον ἴσον εἶναι.

Ἀνάλογον δέ ἐστιν, ὅτι κατὰ τὴν διανομὴν ἀνάλογα τίθησι τὰ διανεμόμενα τοῖς λαμβάνουσι. Καὶ τοῦτον τὸν λόγον ἔχει τὰ διδόμενα πρὸς ἄλληλα, ὃν οἱ λαμβάνοντες πρὸς ἀλλήλους. Εἰ γὰρ ὁ Ἀχιλλεὺς τοῦ Αἴαντος διπλασίων, φέρε εἰπεῖν, κατὰ τὴν ἀρετήν, ἡ πρὸς τὸν Ἀχιλλέα τιμὴ τῆς πρὸς τὸν Αἴαντα διπλασίων δοθήσεται παρὰ τοῦ δικαίου. Καὶ καθόσον μὲν ἐστι μέσον, πολλῶν ἐστί· τὰ γὰρ ἔξω τοῦ μέσου, ἐγγὺς ὄντα καὶ πόῤῥω μᾶλλον καὶ ἧττον, πολλά.

Καθόσον δὲ ἴσον, δύο τινῶν ἐστί, τοῦ τε λαμβάνοντος καὶ τοῦ δώρου. Τὸ γὰρ ἴσον τῶν πρός τι ὂν ἀεὶ δύο τινῶν ἐστι. Καθόσον δὲ ἀνάλογόν ἐστι τὸ δίκαιον, τὸ ἐλάχιστον τεττάρων ἐστίν· ἡ γὰρ ἀναλογία

admodum omnes virtutes. Et hoc quidem commune cum reliquis virtutibus habet juſtitia: proprium vero ejus eſt æquale, quia ſingulis quod convenit ac debetur perſolvit. Et quod accipienti tradit alicui, æquale eſt. Quæ autem debentur, aliquo modo conveniunt. Præterea cum injuſtitia ſit inæqualitas, & id quod eſt injuſtum ſit inæquale, veriſimile quoque eſt, juſtitiam æqualitatem, id quod juſtum eſt eſſe æquale. Quia medium eſt ejus, quod plus eſt, & quod minus. In quacunque enim actione plus eſt & minus, neceſſe quoq; eſt eſſe mediũ. Sed & ſine ulla ratiõe hoc omnibus videtur: æquale nimirum eſſe id quod eſt juſtũ.

Ariſtot. l. 5. c. 3.

Proportione autem diſtinctum eſt, quia in diſtributione proportione æquat ea quæ diſtribuuntur accipientibus: eandemq; quæ dantur inter ſe rationem habent, quam inter ſe habent, qui accipiunt. Si enim, exempli gratia, Achilles, duplo virtute major eſt, quam Ajax, duplo quoque majus præmium Achilli quam Ajaci perſolvet vir juſtus. Quatenus autem medium eſt, multorum eſt, quæ enim extra medium ſunt, cum alia propius abſint ab eo, alia magis longe, alia minus, multa quoque ſunt.

Ἔστι δὲ τὸ ἴσον ἐν ἐλαχίστοις δυσίν, uſque ad §. 10.

Quatenus vero æquale, duorum eſt. Ejus nempe qui accipit, & ejus quod datur. Cum enim eorum quæ alterius reſpectũ dicuntur ſit æquale, oportet ſẽper duorum eſſe. Quatenus vero proportionem habet id quod eſt juſtum, quatuor ad minimum, Sem-

Ariſtot. l.5. c.3. per enim quatuor reſpicit proportio. Nam duarum rationum æqualitas eſt proportio: in duobus vero terminis eſt ratio. Unde ſequitur proportionem eſſe in quatuor. Ut, exempli gratia, ratio eſt dupli aut tripli: hic duplex eſt relatio, tum ipſius duplicis, tum ejus quod dimidium eſt, ſicut viginti ad decem. Ut neceſſe ſit duos eſſe in una ratione terminos. Quod ſi eandem rationem in aliis duobus ſumamus terminis, ut, exempli gratia, in duodecim, & ſex, proportionem efficiemus: eritque ſicut viginti ad decem, ita duodecim ad ſex. Atq; ita ſemper in quatuor ad minimum erit proportio, nam & poteſt eſſe in pluribus.

Quin & tres interdum ſumimus, ut proportionem efficiamus, terminos, ut cum dico: ſicut viginti ad decem, ſic ſe habet decem ad quinque: ſed tamen quia bis ſumimus illud decem, rurſus fiunt quatuor. Vocaturque continens ejuſmodi proportio, ſicut ea quæ terminis fit quatuor, disjuncta. Utramque vero Geometricam proportionem dicunt mathematici; ad diſtinctionem alterius, quæ Arithmetica proportio vocatur.

Erit autem Arithmetica: ut ſi A ſuperet B, quantum B D. Jus vero diſtributivum proportione conſtat Geometrica; cujus rei cauſam dabimus. Sit enim id quod diſtribuitur, honor, quibus diſtribuitur, Achilles & Ajax: hic eandem rationem ad honorem habere honor debet,

ἀεὶ τεσσάρων· ἡ γὰρ ἀναλογία δύο λόγων. Ἐστὶν ἰσότης· ὁ δὲ λόγος ἐν δυσὶν ἐστὶν ὅροις. Ὥστε ἀνάγκην εἶναι τὴν ἀναλογίαν τεσσάρων εἶναι. Οἷον λόγος ἐστὶν ὁ διπλάσιος, φέρε εἰπεῖν, ἢ ὁ τριπλάσιος· δύο τινῶν ἐστι σχέσις· τοῦ μὲν ὄντος διπλασίου, τοῦ δὲ ἡμίσεως, ὥσπερ ὁ εἴκοσι τοῦ δέκα· ὥστε δύο ἀνάγκη ὅρους τῷ ἑνὶ εἶναι λόγῳ. Εἰ δὲ λάβοιμεν καὶ τὸν αὐτὸν λόγον ἐν ἄλλοις δυσὶν ὅροις· οἷον τῷ ιβʹ καὶ ϛʹ, ἀναλογίαν ποιήσομεν, καὶ ἔσται ὡς ὁ κʹ πρὸς ιʹ, ὁ ιβʹ πρὸς ϛʹ· καὶ οὕτως ἀεὶ ἔσται ἡ ἀναλογία, ἐν τέσσαρσι τὸ ἐλάχιστον. Δυνατὸν γὰρ καὶ ἐν πλείοσιν εἶναι.

Ει δὲ τρεῖς συμβαίνει πολλάκις ὅρους λαβεῖν καὶ ἀναλογίαν ποιῆσαι. Ὥσπερ γὰρ ὁ κʹ πρὸς ιʹ, ὁ δέκα πρὸς εʹ· ἀλλ᾽ ὅτι τὸν δέκα δὶς λαμβάνομεν, τέσσαρες γίνονται πάλιν. Καλεῖται δὲ ἡ μὲν τοιαύτη ἀναλογία συνεχὴς, ἡ δὲ διὰ τεσσάρων ὅρων, διῃρημένη. Ἑκατέραν δὲ γεωμετρικὴν ἀναλογίαν οἱ μαθηματικοὶ καλοῦσι, διὰ τὸ καὶ ἄλλην ἀναλογίαν εἶναι, ἥτις ἀριθμητικὴ ἀναλογία καλεῖται.

Ἔστι δὲ ἀριθμητικὴ ἀναλογία, ὅταν τὸ αʹ ὑπερέχῃ τοῦ βʹ τοσοῦτον, ὅσον τὸ γʹ ὑπερέχει τοῦ δʹ. Τὸ δὲ διανεμητικὸν δίκαιον ἀνάλογόν ἐστι κατὰ τὴν γεωμετρικὴν ἀναλογίαν· τὸ δὲ αἴτιον ἐροῦμεν. Ὑποκείσθω δὴ τὸ μὲν διανεμόμενον τιμὴ, πρὸς οὓς διανέμεται, ὁ Ἀχιλλεὺς καὶ ὁ Αἴας. Δεῖ δὴ λόγον ἔχειν τὴν τιμὴν πρὸς τὴν τιμὴν,

ὃν

ὃν ὁ Ἀχιλλεὺς πρὸς τὸν Αἴαντα· καὶ ἐναλλάξ, ὃν ἡ τιμὴ τοῦ Ἀχιλλέως πρὸς τὸν Ἀχιλλέα, ἡ τιμὴ τοῦ Αἴαντος πρὸς τὸν Αἴαντα. Καὶ συνθέντι, ὃν ἔχει λόγον ὁ τετιμημένος Ἀχιλλεὺς πρὸς τὸν Ἀχιλλέα, τοῦτον ὁ τετιμημένος Αἴας πρὸς τὸν Αἴαντα· καὶ ἐναλλάξ, ὃν λόγον ἔχει ὁ τετιμημένος Ἀχιλλεὺς πρὸς τὸν τετιμημένον Αἴαντα, τοῦτον ἔχει τὸν λόγον ὁ Ἀχιλλεὺς πρὸς τὸν Αἴαντα. Αὕτη δὴ πᾶσα ἡ ἀναλογία τῷ διανεμητικῷ δικαίῳ προσήκει, ἥτις εὑρεθῆναι οὐ δύναται ἐν τῇ ἀριθμητικῇ ἀναλογίᾳ, ἀλλ᾽ ἐν τῇ γεωμετρικῇ μόνον. Καὶ ὅτι μὲν ἐν τῇ γεωμετρικῇ ἀναλογίᾳ ταῦτα τὰ εἴδη πάντα τῶν ἀναλογιῶν εὑρίσκονται, δείκνυσιν ὁ γεωμέτρης. Ὅτι δὲ ἐν τῇ ἀριθμητικῇ οὐ δύναται εὑρεθῆναι, δῆλον ἐκεῖθεν. Ἔστωσαν γὰρ ἀριθμοὶ τέσσαρες ἐν ἀριθμητικῇ ἀναλογίᾳ, ὁ δ´ καὶ ὁ γ´, καὶ ὁ ς´ καὶ ὁ ε´. Ὑπερέχει δὴ ὁ δ´ τοῦ γ´, ὅσον ὑπερέχει ὁ ς´ τοῦ ε´. Ἀλλὰ συνθέντι οὐκ ἔσται ἀνάλογον ἀριθμητικῶς. Συντεθέντα γὰρ ὁ ς´ καὶ ὁ ε´ ὑπερέξει τοῦ ε´ τῷ ς´· ὁ δὲ δ´ καὶ γ´ συντεθέντα ὑπερέξει τοῦ γ´ τῷ δ´. Καὶ οὕτω διῃρημένα μὲν ἀνάλογον ἔχει ἀριθμητικῶς. Ἡ αὐτὴ γὰρ ὑπεροχὴ τοῦ δ´ πρὸς γ´, ἥτις ἐστὶ τοῦ ς´ πρὸς ε´· συντεθέντα δὲ οὐκ ἔτι ἀνάλογόν ἐστι. Μᾶλλον γὰρ ὑπερέχει ὁ ια´ τοῦ ε´, ἢ ὁ ζ´ τοῦ γ´.

Διὰ ταῦτα δὴ τὸ διανεμητικὸν δίκαιον ἀνάλογόν ἐστι κατὰ τὴν γεωμετρικὴν ἀναλογίαν, καὶ οὐ κατὰ τὴν συνημμένην ἀλλὰ κατὰ τὴν διῃρημένην· τέσσαρας γὰρ εἶναι δεῖ τοὺς ὅρους τῷ ἀριθ-

quam ad Ajacem Achilles: & viciſſim, quam honor Achillis ad Achillem, eandem honor Ajacis ad Ajacem. Aut ſi malis conjungere, quam rationem habet Achilles honore affectus ad Achillem, eandem honore affectus Ajax ad Ajacem. Et viciſſim, quam rationem habet honore affectus Achilles, ad honore affectum Ajacem, eandem habet Achilles ad Ajacem. Quæ quidem omnis proportio diſtributivæ convenit juſtitiæ quam in Arithmetica non invenies, ſed in Geometrica tantum. Nam in Geometrica has omnes reperiri ſpecies oſtendunt Geometræ. In Arithmetica autem non haberi, vel illinc palam eſt: Ponamus enim in Arithmetica proportione numeros eſſe quatuor, 4. 3. 6. 5. Hic 4. ſuperat 3. quantum 6. ſuperat 5. Quod ſi conjungas, non tamen proportio erit Arithmetice. Si enim conjungas 6. & 5. ſuperabit 5. illis 6. ſive 4. conjungas & 3. ſuperabit 3. illis 4. Itaque disjuncta quidem proportionem habent Arithmeticam (eodem enim modo 4. ſuperat 3, ſicut 6. ſuperat 5.) ſi vero conjungas non manebit proportio. Magis enim ſuperat 11. 5. quam 7. 3.

Ariſtot. l. 5. c. 3.

Ideoque diſtributivum jus proportionem habet Geometricam: & quidem non continentem, ſed disjunctam. Quatuor enim oportet eſſe terminos in numero. Neque enim

quod

Ariſtot. l. 5. c. 3.

quod datur & qui accipit, unum idemque poteſt eſſe numero. Habetque proportionem jus illud, quatenus in diſtributionibus verſatur, cum ſinguli vel honorem vel pecunias, vel aliud aliquid eorum quæ dividuntur, pro dignitate ſua accipit. Unde pax ac concordia in rebuſpub. naſcitur. E contrariis enim, ſeditiones diſcordiæque naſcuntur ac querelæ, quoties aut qui æquales ſunt non æqualia, aut qui non æquales ſunt, accipiunt æqualia. Porro proportionem ab eo ſpectari, qui ex juſtitiæ præſcripto diſtributionem inſtituit, vel hinc planum eſt. Quod enim è dignitate ſingulorum eſt, juſtum eſſe omnes arbitrantur. Dignitatem vero illam, cui honos debetur, non eandem eſſe omnes exiſtimant. Qui enim in populari republ. libertatem, qui in paucorum poteſtate, opes, qui in optimatum, virtutem. Cum ergo diverſæ ſint dignitates, ſi quis juſte velit pro dignitate honores diſtribuere ſingulis, non æqualitatem in diſtribuendo reſpicit, ſed proportionem.

Τὸ δὲ ἄδικον τὸ παρὰ τὸ ἀνάλογον, &c.

Juſtum ergo eſt, quod proportionem habet, ut dictum eſt: injuſtum vero, quod ſine proportione eſt. Cum nimirum plus minuſve quam requirit dignitas, in diſtributione datur, quod etiam in aliis injuſtitiæ actionibus contingit. Qui enim infert injuriam, plus boni habere ſtudet quam cui infertur, ſicut cui infertur minus habet. Quemadmodum contra in malo. Nam qui injuriam facit, minus

μέν· οὐ γὰρ δυνατὸν τὸ διδόμενον καὶ τὸν λαμβάνοντα ἓν εἶναι τῷ ἀριθμῷ. Καὶ τὸ δίκαιον ἐκεῖνο ἀνάλογόν ἐστι, ὅσον ἐστὶν ἐν ταῖς διανομαῖς, ὅταν ἕκαστος λάβῃ τὸ κατ᾽ ἀξίαν, ἢ τιμὴν, ἢ χρήματα, ἢ ἄλλο τι τῶν μεριζομένων, ὅθεν εἰρήνη γίνεται καὶ τάξις πολιτείας. Ἀπὸ γὰρ τῶν ἐναντίων αἱ στάσεις, καὶ αἱ μάχαι, καὶ τὰ ἐγκλήματα, ὅταν ἢ οἱ ἴσοι μὴ ἴσα λάβωσιν, ἢ μὴ ἴσοι, ἴσα. Ὅτι δὲ ἀναλογίαν ζητεῖ ὁ μετὰ δικαιοσύνης ποιούμενος τὴν διανομὴν, καὶ ἀπὸ τούτου δῆλον. Τὸ γὰρ κατ᾽ ἀξίαν ἑκάστου τοῦτο πάντες νομίζουσι δίκαιον. Τὴν ἀξίαν δὲ, δι᾽ ἣν τις τιμᾶται, οὐ τὴν αὐτὴν πάντες λέγουσιν· ἀλλ᾽ οἱ μὲν δημοκρατικοὶ τὴν ἐλευθερίαν λέγουσιν, οἱ δὲ ὀλιγαρχικοὶ τὸν πλοῦτον, οἱ δ᾽ ἀριστοκρατικοὶ ἀρετήν. Ἐπεὶ τοίνυν διάφοροί εἰσιν αἱ ἀξίαι, εἴ τις μετὰ δικαιοσύνης βουληθείη τιμὴν διανείμαι κατὰ τὴν ἀξίαν ἑκάστῳ, οὐκ ἴσην ποιήσεται τὴν διανομὴν, ἀλλὰ ἀνάλογον.

Τὸ μὲν οὖν δίκαιον τὸ ἀνάλογον, καθὼς εἴρηται· τὸ ἄδικον δὲ τὸ ἔξω τοῦ ἀναλόγου. Ὅταν ἡ διανομὴ κατὰ τὸ πλεῖον τῆς ἀξίας καὶ τὸ ἔλαττον γίνεται, ὅπερ καὶ ἐπὶ τῶν ἔργων τῶν ἄλλων τῆς ἀδικίας συμβαίνει. Καὶ γὰρ ὁ ἀδικῶν τοῦ ἀδικουμένου πλεῖον ἀγαθὸν ἔχειν ζητεῖ, ὁ δὲ ἀδικούμενος ἔλαττον ἔχει. Καὶ ἐπὶ τοῦ κακοῦ δὲ τὸ ἀνάπαλιν, ὁ μὲν ἀδικῶν ἔλαττοι

κακὸν

κακὸν ἔχει, ὁ δὲ ἀδικούμενος μεῖζον· διότι τὸ ἔλαττον κακὸν μᾶλλον αἱρετὸν τοῦ μείζονος, καὶ ὡς μεῖζον ἀγαθὸν τὸ ἔλαττον κακὸν ζητεῖται. Τὸ μὲν οὖν διανεμητικὸν εἶδος τοῦ δικαίου τοῦτό ἐστι· λέγωμεν δὲ ἤδη περὶ θατέρου.

habet mali, cui infertur plus habet. Minus enim malum præfertur majori: quia tanquam majus bonum, minus quæritur malum. Talis ergo eſt diſtributiva juſti ſpecies. Quare jam de altero dicamus. Ariſtot. l. 5. c. 4.

ΚΕΦ. ς.

Περὶ τοῦ διορθωτικοῦ τῆς δικαιοσύνης, καὶ περὶ τῆς κατ' αὐτὸ ἀναλογίας.

Τὸ δὲ δεύτερον εἶδος τοῦ δικαίου τὸ διορθωτικόν, ἢ περὶ τὰ συναλλάγματά ἐστι, τά τε ἑκούσια, καὶ τὰ ἀκούσια, καὶ τὰ λαθραῖα, καὶ τὰ βίαια. Ἔστι μὲν καὶ αὐτὸ κατὰ ἀναλογίαν τινά, ἀλλ' οὐ κατὰ τὴν γεωμετρικήν, καθ' ἣν ὑπῆρχε τὸ πρῶτον εἶδος τὸ διανεμητικόν, ἀλλὰ κατὰ ἀριθμητικήν. Τὸ μὲν γὰρ διανεμητικὸν δίκαιον ἀπὸ τῶν κοινῶν εἰς τοὺς πολίτας ποιούμενον τὴν διανομήν, ἀναλόγως ἑκάστῳ δίδωσι κατὰ τὴν ἀξίαν ἑκάστου, καὶ τὴν εἰσφοράν, ἣν εἰς τὸ κοινὸν συνετέλεσεν· ἐπεὶ οὐ πάντες ὅμοιοι, οὐδὲ πάντες ὁμοίως εἰσφέρουσιν. Ὅθεν οὐ τὰ ἴσα, ἀλλὰ τὰ ἀνάλογα δέχονται. Τὸ δὲ διορθωτικὸν τῶν συναλλαγμάτων δίκαιον, ὅρους μὲν ἔχει τὸν ἠδικηκότα καὶ τὸν ἠδικημένον. Δίδωσι δὲ ἑκάστῳ οὐ τὸ ἀνάλογον, ἀλλὰ τὸ ἴσον· τὴν γὰρ ἰσότητα, ἣν ὁ ἀδικῶν διαφθείρει ἀφαιρούμενος ἀγαθόν τι τοῦ ἠδικημένου καὶ προστιθεὶς ἑαυτῷ, ταύτην ὁ δίκαιος ἀ-

CAP. V.

De correctiva juſtitiæ ſpecie, deq; ejus proportione.

SEcunda vero juſti ſpecies, ea eſt quæ in corrigendo conſiſtit: aut quæ in negotiis, tam voluntariis & invitis, quam furtivis, violentiſque verſatur. Quæ quidem etiam in proportione aliqua conſiſtit, non Geometrica tamen, in qua prius illud quod diſtributivum dicebamus, ſed in Arithmetica. Cum enim diſtributivum jus aliquid ex publicis diſtribuat in cives, ſervata proportione pro dignitate ſingulis diſtribuit, & prout quiſque aliquid contulit in publicum, quia neque ſimiles ſunt omnes, nec ſimiliter conferunt, unde fit, ut neque accipiant æqualia, ſed pro proportione tantum. Correctivum vero jus quod in negotiis verſatur, terminos habet, eum qui infert injuriam, & cui infertur. Neque proportionem in dando ſingulis, ſed æqualitatem reſpicit. Æqualitatem enim quam confundit ille qui injuriam infert, dum boni quid aufert ab eo cui infert, quod ad ſe transfert, eam reſtituit vir juſtus, dum tan-

Cap. 4. Τὸ δὲ λοιπὸν ἓν τὸ διορθωτικόν, &c.

tam

tam ab eo mulctam exigit, quantam intulit injuriam. Atque ita æquum dat utrique. Sic cum quatuor ſint termini, tum ejus cui infertur, & qui infert injuriam, tum quod accipit cui illata eſt ab eo qui infert, tum quod ille qui intulit à judice, arithmetica efficitur proportio. Quo enim ſuperabat qui intulerat, eum cui illata erat, hoc ſuperare judex facit eum cui illata eſt, eum qui intulit. Atque ita efficitur, ut proportionis hujus quaſi imago quædam ſit jus correctivũ. Licet enim vir bonus ſit qui aufert, improbus vero cui aufertur, nihil ad hanc refert proportionem, neque, licet qui adulterium commiſit ſit improbus, cui injuria infertur probus: ſemper enim à corrigente ſpectanda eſt æqualitas. Nam uterque tantum, quatenus huic quidem infertur, ille vero infert injuriam, ſpectatur. Quantumque qui intulit injuriam aut voluptatis ab eo cui illata eſt, aut pecuniarum eſt lucratus, aut honoris, ideoque eum excedit, tantum ei cui illata eſt, reſtituit judex; vel mulcta, vel infamia, vel tormentis vel morte animadvertendo in eum qui intulit. Sed & alio modo in hac juſtitia videre eandem poſſumus proportionem: ſi nimirum conjungamus terminos. Sicut enim ſe habet qui intulit ad eum cui illata eſt, ita judex ad eum qui intulit. Qualia enim fecit ei cui intulit qui intulit; talia à judice recipit, qui intulit.

Cum ergo majus minuſque,

Ariſtot. l.5. c.4.

* Deeſſe vi[detur] συμβαίνει, vel aliud ejuſm.

* Ὥστε τοῦ μὲν πλείονος καὶ τοῦ ἐλάττονος τὸ ἴσον, &c.

νακαλεῖται ζημιῶν τὸν ἀδικήσαντα τοσοῦτον, ὅσον ἠδίκησε· καὶ οὕτως ἑκατέρῳ τὸ ἴσον δίδωσιν. Οὕτω δὲ τεσσάρων γινομένων τῶν ὅρων, τοῦ τε ἀδικηθέντος, καὶ τοῦ ἠδικηκότος, καὶ ὃ πέπονθεν ὁ ἀδικηθεὶς παρὰ τοῦ ἀδικήσαντος, καὶ ὃ πέπονθεν ὁ ἀδικήσας παρὰ τοῦ δικαστοῦ,* ἀναλογίαν εἶναι ἀριθμητικήν· ᾧ γὰρ ὑπερέχει ὁ ἀδικήσας τοῦ ἠδικημένου, τούτῳ ὑπερέχειν ποιεῖ ὁ δικαστὴς τοῦ ἀδικήσαντος τὸν ἠδικημένον. Καὶ οὕτω συμβαίνει εἰκόνα τινὰ τῆς τοιαύτης ἀναλογίας τὸ διορθωτικὸν δίκαιον εἶναι. Καὶ γὰρ εἰ καὶ ἐπιεικὴς μὲν ὁ ἀποστερῶν, φαῦλος δὲ ὁ ἀποστερηθείς, οὐδὲν πρὸς τὸ τοιοῦτον δίκαιον διαφέρει. Οὐδὲ εἰ ὁ μὲν μοιχεύσας φαῦλος, ὁ δὲ ἀδικηθεὶς ἐπιεικής, ἀλλ᾽ ἀεὶ τὴν ἰσότητα ζητητέον τῷ διορθωτῇ· ὡς ἀδικηθεὶς γὰρ μόνον, καὶ ὡς ἀδικούμενος, ἑκάτερος λαμβάνεται, καὶ ὃ ἐκέρδανεν ὁ ἀδικήσας ἢ ἡδονῆς, ἢ χρημάτων, ἢ δόξης παρὰ τοῦ ἠδικημένου, καὶ διὰ τοῦτο ὑπερέχειν αὐτοῦ, τοῦτο ἀποδίδωσιν ὁ δικαστὴς τῷ ἠδικημένῳ, ἢ ζημιώσας τὸν ἠδικηκότα, ἢ ἀτιμάσας, ἢ αἰκισάμενος, ἢ ἀποκτείνας. Δυνατὸν δὲ καὶ ἕτερον τρόπον τὴν ἀναλογίαν ταύτην ἐν ταύτῃ τῇ δικαιοσύνῃ κατιδεῖν, συνεχεῖς ποιησαμένους τοὺς ὅρους· ἔστι γὰρ ὡς ὁ ἀδικήσας πρὸς τὸν ἠδικημένον, οὕτως ὁ δικαστὴς πρὸς τὸν ἀδικήσαντα· ὃ γὰρ ἐποίησε πρὸς τὸν ἠδικημένον ὁ ἀδικήσας, τὰ ἴσα πάσχει παρὰ τοῦ δικαστοῦ.

Ἐπεὶ τοίνυν ἡ μὲν ἀδικία

τὸ μεῖζον καὶ τὸ ἔλαττον εἰσάγει καὶ ἐν τοῖς ἀγαθοῖς καὶ ἐν τοῖς κακοῖς, ἐναντίως μέντοι· ὃς γὰρ τὸ μεῖζον ἀγαθὸν ζητεῖ, τὸ ἔλαττον κακὸν αἱρεῖται), ἡ δὲ δικαιοσύνη τὴν ἰσότητα, ἡ δὲ ἰσότης μέσον ἐστὶ τοῦ μείζονος καὶ τοῦ ἐλάττονος· φανερὸν, ὅτι ἡ τοιαύτη δικαιοσύνη μεσότης ἐστὶ μεταξὺ ζημίας καὶ κέρδους. Καλείσθω γὰρ ζημία μὲν πᾶν τὸ ἀδικεῖσθαι, κέρδος δὲ πᾶν τὸ ἀδικεῖν καὶ πλεονεκτεῖν, ἄντε εἰς χρήματα ἄντε εἰς δόξαν, ἄντε εἰς ἄλλο τι ἀδικεῖν τις ἐθέλῃ· ἔστι τοίνυν τὸ ἐπανορθωτικὸν δίκαιον μέσον ζημίας καὶ κέρδους· διὰ τοῦτο καὶ ὅταν ἀμφισβητῶσιν, ἐπὶ τὸν δικαστὴν καταφεύγουσιν, οἰόμενοι τοῦτον τὸν τρόπον μηδέτερον τούτων ζημιωθῆναι, ὅθεν ἐξ ἀνάγκης μηδὲν κερδῆναι, ἀλλά τι μέσον λαβεῖν· καὶ γὰρ αὐτὸν εἶναι νομίζειν οἷον ἔμψυχον δίκαιον διορθωτικόν· καὶ καλοῦσι δὲ αὐτὸν μέσον, ὡς διὰ τοῦτο τοῦ μέσου τευξόμενοι. Ἔνιοι δὲ οὐχ ἕνα μόνον, ἀλλὰ καὶ δύο καὶ τρεῖς μεσιδίους καλοῦσιν ἐν ταῖς ἀμφισβητήσεσιν· ὅθεν φαίνονται ὅτι τὸ μέσον ζητοῦσιν, ὡς ταυτὸν ὂν τὸ μέσον ζητεῖν καὶ τὸ δίκαιον· μέσον ἄρα τὸ δίκαιον. Ἐπεὶ καὶ ὁ δικαστὴς μέσος, τὴν μεσότητα καὶ τὸ δίκαιον εἰσάγων, καὶ ἐπανισῶν τὴν ἀπὸ τῆς ἀδικίας ἀνισότητα. Καὶ ὥσπερ τὴν αβ' γραμμὴν εἰς ἄνισα τμηθεῖσαν κατὰ τὸ δ', εἴ τις ἐθέλοι εἰς ἴσα διελεῖν, ἀφελὼν ἀπὸ τῆς μείζονος τῆς

tam in bonis quam in malis contrario modo inducat injuſtitia (qui n. majus quærit bonum, minus eligit malum: æqualitatem vero ſpectat juſtitia, medium autem inter majus minuſque eſt æqualitas) apparet medium quid inter damnum lucrumque eſſe hanc juſtitiam. Jam vero, damnum dicamus, omnem quam quis patitur, ſicut lucrum omnem quam quis infert, aut qua plus quis ſibi vindicat, injuriam: ſive in pecunias alicujus ſive in exiſtimationem ſive aliud quodcunque injurius quis velit eſſe. Medium ergo inter damnum & lucrum eſt jus correctivum. Quare cum contendunt, ad judicem confugiunt: quod exiſtiment hoc modo neutri poſſe damnum inferri. Sicut nè lucrari quidem eſt neceſſe: cum nimirum mediam inſiſtat viam. Etenim quaſi jus correctivum anima præditum, eum putamus. Quare & medium eum vocant, quod illius opera ad medium ſint perventuri. Nonnulli etiam non unum tantum, ſed duos aut tres *μεσιδίυς* vocant in controverſiis: unde quoque apparet, quod medium quærant. Quaſi unum ſit idemque, medium quærere & juſtum. Medium ergo eſt juſtum. Sicut medius quoque eſt judex, qui mediocritatem inducit & juſtum, eamque quæ ab injuſtitia eſt inæqualitatem tollit. Et ſicut ſi quis lineam AB, inæqualiter diviſam circa D, velit æqualiter dividere, tollendo à majori BD;

Ariſtot. l. 5. c. 4.

ex

Ariſtot. l. 5. c. 4.

exſuperantiam qua minorem ſuperat DA, nimirum CD, addenſque ad DA, AC, æqualem eam facit ipſi CB, atque ita invenit, quo pacto in duo poſſit dividere AB: eodem modo in injuſtitiæ quoque inæqualitate ſolet fieri, correctivum quippe jus ſi ablatum ſit à lucro illius qui injuriam fecit, quod in eo tanquam quædam eſt exſuperantia, reſpectu ejus cui facta eſt injuria, additumq; eidem qui injuria affectus eſt, æqualitatem inducit ac medium. Ideoq; etiam *δίκαιον* à Græcis vocatur, quia *δίχα*, id eſt, ſeorſim diviſum eſt, quaſi *δίχαιον* dicatur: ſicut & *δικαστὴς* quaſi *διχαστὴς* vocatur.

Καὶ ὥσπερ τῆς γραμμῆς εἰς ἄνισα τετμημένης, &c.

Et quemadmodum in linea habet, cum dupliciter diviſa eſt, quia altera rectarum æqualium arithmeticæ proportionis ratione majoris minoriſque eſt media: eodem modo juſtum quoque medium lucri eſt & damni: majoris videlicet aut minoris boni vel mali minus videlicet majore, majus minore. Ita autem ſe habere in linea, quemadmodum diximus, planum eſt. BD, enim ſuperat CA, ipſa CD. CA autem ſuperat AD eadem CD. Itaque BD, CA, AD, proportione conveniunt Arithmetica nimirum, media autem eſt CA, quæ æqualis CB, quæ minor eſt quam BD, major autem quam AD, ipſa CD, qua & ſuperat ac ſuperatur. Sed & hinc manifeſtum eſt, id quod juſtum eſt & æquale, proportione medium eſſe lucri ac damni, idque arithmetica quidem. Sint tres rectæ inter ſe æqua-

βδ' τὴν ὑπεροχὴν, ἣν ὑπερέχει τῆς ἐλάττονος τῆς δά, τὴν γδ', καὶ προσθεὶς τῇ δά, τὴν αγ', ἴσην ἐποίησε τῇ γβ', καὶ εὗρε τὴν διχοτομίαν τῆς αβ'. οὕτω καὶ ἐπὶ τῆς ἀνισότητος τῆς ἀδικίας συμβαίνει. Τὸ γὰρ διορθωτικὸν δίκαιον, ἀφελόμενον ἀπὸ τοῦ κέρδους τοῦ ἠδικηκότος, ὅπερ ὡς ὑπεροχή ἐστιν αὐτοῦ πρὸς τὸν ἠδικημένον, καὶ προσθὲν τῷ ἠδικημένῳ, ἰσότητα καὶ μεσότητα ἐποίησε. Καὶ διὰ τοῦτο καὶ δίκαιον καλεῖται, ὅτι δίχα ἐστὶν, ὥσπερ ἂν εἴ τις εἴποι δίχαιον· καὶ ὁ δικαστὴς διχαστής.

Καὶ ὥσπερ ἐπὶ τῆς γραμμῆς ἔχει, ὅταν δίχα διαιρεθῇ, ὅτι ἡ ἑτέρα τῶν ἴσων εὐθειῶν μέση ἀνάλογόν ἐστι κατὰ τὴν ἀριθμητικὴν ἀναλογίαν τοῦ μείζονος καὶ τοῦ ἐλάττονος, οὕτω καὶ τὸ δίκαιον μέσον ἐστὶ τοῦ κέρδους καὶ τῆς ζημίας, τοῦ μείζονος ἢ ἀγαθοῦ ἢ κακοῦ, καὶ τοῦ ἐλάττονος. Ἔλαττον μὲν τοῦ μείζονος, μεῖζον δὲ τοῦ ἐλάττονος. Ὅτι δὲ ἐπὶ τῆς γραμμῆς οὕτως ἔχει, καθὼς εἴρηται, φανερόν. Ἡ γὰρ βδ' ὑπερέχει τῆς γα τῇ γδ'· ἡ δὲ γα ὑπερέχει τῆς αδ' τῇ αὐτῇ τῇ γδ'· ὥστε αἱ μὲν βδ', γά, αδ' ἀνάλογον ἔχουσι κατὰ ἀριθμητικὴν ἀναλογίαν. Μέση δὲ ἐστιν ἡ γά, ἡ ἴση τῇ γβ', ἥτις ἐλάττων μέν ἐστι τῆς βδ', μείζων δὲ τῆς αδ', τῇ αὐτῇ τῇ γδ' ἐλαττουμένη καὶ ὑπερέχουσα. Ἔτι δὲ καὶ ἐκεῖθεν δῆλον, τὸ δίκαιον καὶ τὸ ἴσον μέσον ἀνάλογον εἶναι τῆς ζημίας καὶ τοῦ κέρδους, κατὰ τὴν ἀριθμητικὴν ἀναλογίαν. Ἔστωσαν τρεῖς εὐθεῖαι ἴσαι

ἴσαι ἀλλήλαις αἱ, αα, ββ, γγ΄.
Τετμήσθω δὲ ἡ αα δίχα κατὰ
τὸ ε, ἥτε γγ΄ κατὰ τὸ ζ΄· καὶ
ἀφῃρήσθω ἀπὸ τῆς αα ἡ αε·
φανερὸν δὲ, ὅτι ἡ γγ΄ μείζων
ἔσται τῆς εα, τῇ γζ΄. Προσκεί-
σθω δὲ ἡ ἀφαιρεθεῖσα τῆς
αα τῇ γγ, καὶ ἔστω ἡ δγ΄·
φανερὸν δὴ, ὅτι ἡ δγ΄ μεί-
ζων ἐστὶ τῆς εα, τῇ τε δγ΄ καὶ
τῇ γζ. Εἰ τοίνυν δεήσειε τῶν
ἄκρων εὐθειῶν τὴν ἰσότητα
ἐπαναγαγεῖν, διὰ τῆς ββ΄
τοῦτο ποιήσομεν. Ὥσπερ γὰρ
κανόνα τῇ γδ΄ ἐφαρμόσαντες
τὴν ὑπεροχὴν ἀφελοῦμεν·
ἐφαρμόσαντες δὲ τῇ αα΄
τὸ ἐλλεῖπον προσθήσομεν·
καὶ οὕτως ἔσονται πάλιν αἱ
ἄκραι ἴσαι ἀλλήλαις· αὕτη
δὴ ἡ τὴν ἰσότητα ἐπανά-
γουσα ββ΄, μέση ἀνάλογόν
ἐστιν κατὰ ἀριθμητικὴν τῆς
δγ΄ καὶ εα. Ἡ μὲν γὰρ δγ΄,
τῆς ββ΄ ὑπερέχει τῇ δγ΄. Ἡ
δὲ ββ΄ τῆς εα ὑπερέχει τῇ
αὐτῇ δγ΄· ὅτι δὲ καὶ ἐπὶ τοῦ διορ-
θωτικοῦ δικαίου τὸ αὐτὸ συμβαί-
νει, φανερὸν ἐκ τῶν εἰρημένων·
τοῦτο δὲ καὶ ἐπὶ τῶν τεχνῶν συμ-
βαίνει· τότε γὰρ εὖ ἔχουσι καὶ
συνίστανται, ὅταν ἐν χρείᾳ τού-
των γινώμεθα, καὶ τοσοῦτον τε-
χνιτῶν δεώμεθα, ὅσον αὐτοὶ
περὶ τὴν τέχνην πονοῦσι καὶ ζη-
μιοῦνται. Οὕτω γὰρ δυνατὸν συ-
νιστάναι τοὺς τεχνίτας, τὴν ἔν-
δειαν παρὰ τῶν δεομένων ἀνα-
πληροῦντας. Εἰ δὲ οἱ μὲν πονοῦσι
καὶ ποιοῦσι τὰς τέχνας, οἱ πά-
σχοντες δὲ αὐτὰς, οἱ δεόμενοι
αὐτῶν δηλονότι, οὐχ οὕτω πά-
σχουσιν ὡς ἐκεῖνοι ποιοῦσιν, ἀλλὰ
πολλῷ ἔλαττον, οὐδὲν κωλύει
πάσας ἀπολέσθαι. Διὰ τοῦτο καὶ ἀ-

les, AA, BB, CC. Secetur Ariſtot. l. 5. c. 4.
autem AA in duo circa E, &
CC circa F: deinde tollatur ab
AA, AE: manifeſtum eſt, CC
majorem futuram quam EA,
ipſa CF. Addatur deinde quæ
tollitur ab AA ad CC, & ſit
DC: apparet DC majorem fu-
turam quam EA, ipſa DC &
CF. Quod ſi ergo extremas
rectæ æquales reddere volueri-
mus, per BB illud fiet. Tanquam
enim canonem CD adaptando,
exſuperantiam tollemus: quam
ad AA, apponendo, illud quod
deeſt, addemus. Atque ita rur-
ſus æqualia inter ſe erunt ex-
trema. Ipſa vero quæ æquali-
tatem hanc inducit BB, media
erit arithmetica proportione ip-
ſius DC & EA. DC enim BB
ipſa DC ſuperat: BB. autem
EA eadem DC. Idem autem
in correctivo quoque locum
habere jure, ex præcedentibus
apparet. Sicut & in artibus
quoque idem fieri videmus.
Tunc enim bene ſe habent &
ut oportet, quoties iis opus ha-
bemus: quoties dico in tantum
artificibus egemus, quantum
ipſi artifices vel laboris in arti-
bus ſuis ſubeunt vel damni. Ita
enim conſiſtere poterunt artifi-
ces, ſi egeſtati ſuæ per eos qui
artibus ipſorum egent, videant
conſultum. Si enim hi qui-
dem artes exercent ſuas, & in
iis laborant, qui vero iis utun-
tur, qui dico egent iis, non ita
hoc faciunt; neque pro merito
laboris eorum vel damni, ſed
minus multo, nihil obſtabit
quo minus pereant omnes,
Ideoque & hic quoque neceſ-

ſario

ſario mediũ requiritur & æquale: quod in medio dãni eſt ac lucri.

Ariſtot. l. 5. c. 5. Ἐλήλυθε δὲ τὰ ὀνόματα ταῦτα &c.

Hæc autem nomina, damnum ac lucrum, licet proprie quidem de iis quæ ſponte fieri dicuntur uſurpentur negotiis, nihilominus tamen & ad invita transferuntur. Dicitur enim ſimpliciter lucrari, qui plus quam ante poſſidet: ſicut & damno affici, qui minus quam ante jam poſſidet. Quæ vero prius habueras poſſidere, neq; damnum dicitur nec lucrum, ſed medium aliquid. Quare inter lucrum ac damnum medium jus eſt. In invitis ſcilicet negotiis, quoties tam multa aliquis accipit, quot antequam injuria vel affectus eſſet vel alteri faceret, habere eum conſtabat, hoc eſt, antequam aut damnum conſequeretur aut lucrum. Quod enim in iis quæ ſponte fieri dicuntur negotiis lucrum vocatur, neq; eſt injuſtum, neque corrigitur: quia nimirum lex hoc permiſit.

*Videtur deeſſe τὸ ἄδικον ἔτε.

ταῦθα τὸ μέσον καὶ τὸ ἴσον ἀναγκαῖον ἐστιν, ὃ ἐστι μεταξὺ ζημίας καὶ κέρδους.

Ταῦτα δὲ τὰ ὀνόματα, ἡ ζημία, καὶ τὸ κέρδος, λέγεται μὲν κυρίως ἐπὶ τῶν ἑκουσίων συναλλαγμάτων, ἐλήφθη δὲ καὶ ἐπὶ τῶν ἀκουσίων· λέγεται γὰρ ἁπλῶς κερδαίνειν, τὸ κλήσασθαι πλείονα ὧν τις κέκτηται. Ὁμοίως καὶ ζημιοῦσθαι, τὸ κτήσασθαι ἐλάττονα ὧν εἶχεν ἐξ ἀρχῆς. Τὸ δὲ τὰ ὄντα ἔχειν, οὔτε ζημία, οὔτε κέρδος ὀνομάζεται, ἀλλὰ τι μέσον· ὥστε κέρδους τινὸς καὶ ζημίας μέσον τὸ δίκαιόν ἐστι. Λέγω δὲ τῶν ἐν τοῖς ἀκουσίοις συναλλάγμασιν, ὅταν τις τοσαῦτα λάβῃ, ὅσα εἶχε πρὶν ἀδικηθῆναι ἢ ἀδικῆσαι, τουτέστι κερδᾶναι ἢ ζημιωθῆναι. Τὸ γὰρ ἐν τοῖς ἑκουσίοις συναλλάγμασι κέρδος οὔτε * εὐθύνεται. Τούτων γὰρ ἄδειαν ἔδωκεν ὁ νόμος.

CAP. VI. — ΚΕΦ. ϛ

Jus talionis non eſſe ſpeciem juſtitiæ, niſi ſecundum proportionem reciproca illa inſtituatur perpeſſio.

Ὅτι τὸ ἀντιπεπονθὸς οὐκ ἔστιν εἶδος δικαιοσύνης, εἰ μὴ κατὰ ἀναλογίαν ἡ ἀντιπεπόνθησις γένοιτο.

Cap. 5. Δοκεῖ δέ τισι δὲ τὸ ἀντιπεπονθὸς εἶναι &c.

Reciprocam autem perpeſſionem jus eſſe dicebant Pythagorici: ita autem vocabant, cum idem aliquis patitur quod fecit. Atque huc ſpectare illud Rhadamanthi carmen,

Tum fuerit lex juſta, ferat ſi quiſque quod egit.

Hæc vero reciproca perpeſſio, nulli juſtitiæ ſpeciei accom-

Οἱ δὲ Πυθαγόρειοι ἔλεγον δίκαιον εἶναι τὸ ἀντιπεπονθὸς, τὸ τὰ αὐτὰ πάσχειν, ἃ ποιεῖ τις· καὶ περὶ τοῦτο φέρειν καὶ τὸ Ῥαδαμάνθυος ἔπος·

Εἴκε πάθοι τά κ' ἔρεξε δίκη κ' ἰθεῖα γένοιτο.

Τοῦτο δὲ τὸ ἀντιπεπονθὸς οὐκ ἐφαρμόττει οὐδενὶ εἴδει τῷ

τοῦ δικαίου. Οὔτε γὰρ τὸ διανεμητικὸν δίκαιον τοιοῦτόν ἐστιν, οὔτε τὸ διορθωτικόν. Ἐπὶ μὲν γὰρ τῆς διανομῆς οὐ δυνατὸν ἀεὶ τὸν πολίτην ἐκεῖνα πάσχειν αὖ ἀπὸ τοῦ κοινοῦ, ἅπερ ἐποίησεν. Εἰ γὰρ τύραννον ἀπέκτεινε, πῶς τὸ αὐτὸ πείσεται; ἐπὶ δὲ τοῦ διορθωτικοῦ δικαίου πολλαχοῦ διαφωνεῖ. Εἰ γάρ τις ἄρχοντα ἐπάταξεν, οὐ δίκαιον πληγῆναι μόνον, ἀλλὰ καὶ κολασθῆναι· καὶ εἴ τις ἄρχων ὢν τινὰ τῶν ἀρχομένων ἐπάταξεν, οὐ δίκαιον τὰ ἴσα παθεῖν. Εἰ δέ τις καὶ ἀκουσίως καὶ ἀγνοῶν ἔβλαψε τὸν πέλας, οὐ δίκαιόν ἐστιν ὁμοίως ἀντιβλαβῆναι.

Δυνατὸν δὲ τὴν τοιαύτην ἀντιπάθειαν δικαίαν εἶναι ἐν ταῖς ἀλλακτικαῖς κοινωνίαις· οἷον ἐν τῷ εὖ ποιεῖν ἀλλήλους καὶ κακῶς ποιεῖν, καὶ ἐν τοῖς τῶν τεχνῶν πρὸς ἀλλήλους συναλλάγμασι· πλὴν τὴν ἀντιπάθειαν οὐ κατὰ τὸ ἴσον ἐκλαβεῖν δεῖ, ἀλλὰ κατὰ τὸ ἀνάλογον· ὁ γὰρ τὸν ἄρχοντα τυπτήσας, τὴν τάξιν τῆς πολιτείας ἀνεῖλε, καὶ οὐ τυπτήσεται, ἀλλὰ ἀποκτανθήσεται. Καὶ ὁ τὸν γάμον τοῦ πέλας διαφθείρας, πείσεται μὲν καὶ αὐτὸς κακῶς, οὐ τὰ αὐτὰ δὲ, ἀλλὰ κατὰ τὸ ἀνάλογον· εἴτε γὰρ μὴ πείσεται κακῶς ὁ δράσας κακῶς, δουλεία τις ἔσται καὶ τυραννὶς ἡ πολιτεία· εἴτε τὰ αὐτὰ πείσεται ἅπερ ἔδρασεν, ἄτοπόν τι καὶ αἰσχρόν· ὁμοίως δὲ ἔχει καὶ ἐπὶ τῶν χαρίτων, καὶ τοῦ εὖ ποιεῖν καὶ εὖ πα-

nodari poteſt. Neque enim diſtributivum jus eſt tale, neq; correctivum. Fieri enim non poteſt, ut in diſtributione ſemper eadem beneficia è publico accipiat civis, quæ prior contulit. Nam ſi quis, exempli gratia, tyrannum interfecerit, quomodo dignum conſequetur præmium? In correctivo autem jure ſæpe abſcedit. Si quis enim aliquem à magiſtratu percuſſit, non percuti tantum meretur, ſed gravius puniri. Et ſi quis contra è magiſtratu aliquem è ſubditis percuſſit, ne hoc quidem ipſum meretur. Quod ſi quis & invitus & ignarus aliquem læſit, non æquum eſt ut eodem modo noceatur illi. Ariſtot. l. 5. c. 5.

Poteſt tamen in communionibus rerum ultro citraque permutandarum juſta eſſe reciproce ejuſmodi perpeſſio, ut cum alter alteri vel bene viciſſim facit vel male: item in mutuis artium inter ſe commerciis. Niſi quod ibi non ex æqualitate, ſed ex proportione inſtitui debet hæc perpeſſio. Qui enim aliquem à magiſtratu percuſſit, ordinem Reip. turbavit: quare non verberibus, ſed morte mulctabitur. Et qui alicujus violavit connubium, viciſſim quoque punietur, non eodem tamen modo, ſed ut poſtulat proportio. Sive enim impune ſit illi qui malefecit, ſervitus revera & tyrannis erit Reſpublica: ſive eadem ferat quæ intulit, abſurdum ac turpe. Eodemque modo in muneribus, dandiſque atque accipiendis beneficiis. Ut enim Ἀλλ' ἐν μὲν ταῖς κοινωνίαις, &c.

Ariſtot. l. 5. c. 5.

enim Reipublicæ conſervetur æqualitas, neceſſe eſt eum qui beneficium accipit, beneficium reponere: partimque hoc ipſum reddere, partim alia prius conferre. Quod niſi fiat, peribit communicatio: quæ u[illegible]m concordiamque in ea ſuſtinet. Ideoque Gratiarum quoque templum in ſingulis extructum eſt urbibus, ut perſolutione beneficiorum mutua colantur Gratiæ. Non poteſt autem gratia quæ datur, eadem eſſe cum ea quæ redditur: ſed proportione tantum reſpondere. Dat enim aliquis alicui quo opus habet, qui accipit: viciſſimque accipit ab eo quo ipſe opus habet. Atque ita gaudet, & gaudere facit. Quod ſi eadem accipiat quæ dedit, quænam erit gratia? Quare beneficium conferre & accipere, non in eodē, ſed in proportione conſiſtit.

Πῶς εἶ δὲ τὴν ἀντίδοσιν τὴν κατ' ἀναλογίαν, &c.

Quod etiam ex eo quod dicturi ſumus, magis apparebit. Conferre beneficium in aliquem, viciſſimque reddere, communicatio quædam eſt: communicatio autem eorum, quibus opus habere poſſumus. Earum namque rerum communicationem aliquis requirit, quibus opus habet. Opus porro habemus iis, quæ ſunt diſſimilia. Neque enim quiſquam ſe ipſo, aut rebus ſuis, iiſve quæ efficere ipſe poteſt, opus habet: ſed quæ nec habet ipſe, nec efficere ipſe poteſt, eorū particeps fieri ab alio deſiderat. Non enim ſutor ſutore, nec medicus opus habet medico, ſed ſutor medico, medicus ſutore. Unde apparet, diſſimilia eſſe beneficia. Quare nec collatio beneficii nec

χειν· πρὸς μὲν γὰρ τὴν ἰσότητα τῆς πολιτείας ἀναγκαῖόν ἐστι τὸν εὖ παθόντα καὶ εὖ ποιῆσαι, καὶ τὴν χάριν ἀμείψασθαι, καὶ ἔτι δ' ἁτέρων ἄρξαι χαρίτων· εἰ γὰρ μὴ τοῦτο εἴη, ἀπολεῖται ἡ μετάδοσις, ἣ συνέχει τὴν πολιτείαν καὶ τὴν ὁμόνοιαν. Διὰ τοῦτο καὶ χαρίτων ἱερὸν ἐν ἑκάστῃ τῶν πόλεων ἵδρυται· ἵνα αἱ χάριτες τιμῶνται διὰ τῆς ἀντιχάριτος. Οὐ δυνατὸν δὲ τὴν χάριν τὴν αὐτὴν εἶναι τῇ ἀντιχάριτι, ἀλλὰ ἀνάλογον· δίδωσι γάρ τις τινὶ οὗ δεῖται ὁ λαμβάνων, καὶ λαμβάνει παρ' ἐκείνου, οὗπερ αὐτὸς ἐν χρείᾳ καθέστηκε· καὶ οὕτω χαίρει καὶ χαίρειν ποιεῖ. Εἰ δὲ τὰ αὐτὰ λήψεται ἃ δέδωκε, τίς ἡ χάρις; ὥστε καὶ τὸ εὖ ποιεῖν καὶ εὖ πάσχειν, οὐ κατὰ τὸ αὐτὸ, ἀλλὰ κατὰ τὸ ἀνάλογον γίνεται.

Τοῦτο δὲ καὶ ἐκεῖθεν φανερώτερον γένοιτ' ἄν· αἱ μεταδόσεις καὶ ἀντιδόσεις κοινωνίαι τινές εἰσιν· αἱ δὲ κοινωνίαι, τῶν ἐν χρείᾳ· ἐκείνου γάρ τις ζητεῖ κοινωνεῖν, οὗ χρείαν ἔχει· τὸ δὲ ἐν χρείᾳ εἶναι τῶν ἀνομοίων ἐστίν· οὐ γὰρ δεῖταί τις ἑαυτοῦ ἢ τῶν ἑαυτοῦ, ἢ ὧν αὐτὸς δύναται ποιεῖν, ἀλλ' ὧν οὐκ ἔχει, οὐδὲ δύναται ποιεῖν, ἐκείνων ζητεῖ τῷ πλησίον κοινωνεῖν· ὁ γὰρ σκυτοτόμος οὐ δεῖται τοῦ σκυτοτόμου, οὐδὲ ὁ ἰατρὸς τοῦ ἰατροῦ· ἀλλ' ὁ σκυτοτόμος ἰατροῦ, καὶ ὁ ἰατρὸς σκυτοτόμου. Ὥστε φανερὸν, ὅτι αἱ χάριτες τῶν ἀνομοίων εἰσίν· αἱ ἄρα μεταδόσεις, καὶ αἱ ἀντιδόσεις οὐχ αὐταὶ ἔσονται,

σονται, ἀλλ' ἵνα καὶ κατὰ τὸ δίκαιον γίνωνται, κατὰ τὸ ἀνάλογον τὴν ἰσότητα ἐκληπτέον· ὁ γὰρ σκυτοτόμος τῷ οἰκοδόμῳ ὑπόδημα δώσει, λήψεται δὲ ὅσα εἰς οἰκίαν φέρει ἀναλόγως τῇ χάριτι. Καὶ ὁ ἰατρὸς τῷ γεωργῷ ἄλλα μὲν δώσει, ἄλλα δὲ παρ' αὐτοῦ λήψεται κατὰ ἀναλογίαν. Ἐνδέχεται γὰρ τὸ ἑτέρου ἔργον τιμιώτερον εἶναι θατέρου· οὐ γὰρ ἀντὶ οἰκίας ὑποδήματα δώσει ὁ σκυτοτόμος τῷ οἰκοδόμῳ, ἀλλὰ τοσοῦτον δεῖ εἰσενεγκεῖν τὸν σκυτοτόμον εἰς τὴν ἀντίδοσιν, ὅσον ἐκεῖνος εἰς τὴν οἰκίαν ἐζημιώθη. Εἰ δὲ μή, ἄνισα ἔσται τὰ ἀλλάγματα, καὶ αἱ χάριτες ἀνώμαλοι. Δεῖ τοίνυν ἐν ταῖς χάρισι τηρεῖν τὴν ἰσότητα, πλὴν κατὰ τὴν ἀναλογίαν, ἣν ποιεῖ ἡ κατὰ διάμετρον σύζευξις, διάμετρος μὲν γάρ ἐστιν, ἡ ἀπὸ τῆς γωνίας τοῦ παραλληλογράμμου ἐπὶ τὴν ἀπεναντίον γωνίαν ἐπιζευγνυμένη εὐθεῖα. Ἔστω δὲ ὥσπερ τετράγωνον οἱ τέσσαρες ὅροι· ὁ οἰκοδόμος, ὁ σκυτοτόμος, τὸ ὑπόδημα, ἡ οἰκία. Ὁ οἰκοδόμος μὲν ἐφ' οὗ τὸ α, σκυτοτόμος δὲ, ἐφ' οὗ τὸ γ', οἰκία, ἐφ' οὗ τὸ β', ὑπόδημα, ἐφ' οὗ τὸ δ'· ἐπεὶ τοίνυν ὑπὸ τὸν σκυτοτόμον τὸ ὑπόδημα τίθεται, ὥσπερ τὸ δ' ὑπὸ τὸ γ', καὶ ὑπὸ τὸν οἰκοδόμον ἡ οἰκία, ὥσπερ τὸ β' ὑπὸ τὸ α, ἐν τῇ πρὸς ἀλλήλους κοινωνίαις συναφθήσεται μὲν ὁ οἰκοδόμος τοῖς ὑποδήμασιν, ὥσπερ συνάπτεται τὸ α' τῷ δ', ὁ δὲ σκυτοτόμος τῇ οἰκίᾳ, ὥσπερ τὸ γ' τῷ β'· καὶ [οὕ]τως ἔσονται αἱ κοινωνίαι κατὰ διάμετρον· οὐ κατὰ τὰ

Ariſtot. l. 5. c. 5.

mutua redditio eadem erit: ſed ut juſte fiant, ex proportionis ratione inſtituenda eſt æqualitas. Sutor enim architecto dabit calceum: viciſſimque architectus accipiet, quanti eſt ædificium, proportione ejus quod confert. Ita & medicus alia dabit agricolæ, alia pro proportione accipiet ab eo. Opus .n. alterius, majoris precii eſt quam alterius. Nec .n. pro ædificio calceos architecto ſutor dabit, ſed tantum neceſſe eſt à ſutore viciſſim in illud quod redditurus eſt impendi, quanti eſt quo privatur is qui ædificium confert. Sin minus, inæqualis erit mutatio, & quæ conferētur minime paria. Eſt autē in iis quæ conferuntur ſervanda æqualitas; verū ex proportione, quam diametralis efficit conjunctio. Diametralis autem eſt, quæ ab angulo adverſo in oppoſitum recta tranſcurrit linea. Sint ergo nobis inſtar quadrati quatuor termini. Architectus, dico, ſutor, calceus, ædificium. Architectus ubi A, ſutor ubi C, ædificium ubi B, calceus ubi D. Quoniam igitur ſub ſutore ponitur calceus, ſicut D ponitur ſub C, & ſub architecto ædificium, ſicut B ſub A ponitur, in communicatione mutua conjungetur architectus cum calceis, ſicut A conjungitur cum D. Sutor vero cum ædificio, ſicut C cum B. Atque ita è diametro fiet communicatio. Non quidem in

 eodem,


Ariſtot. l.5.c.5 eodem, ſed prout requirit proportio.

αὐτά, ἀλλὰ κατὰ τὰ ἀνάλογα.

οἰκοδόμος σκυτοτόμος

architectus ſutor

α A γ C



β B δ D

οἰκία ὑπόδημα

ædificium calceus

Ideoque debent ea quæ mutantur, rationem aliquam inter ſe habere & convenientiam. Sunt enim quædam, quæ nè permutari quidem poſſunt fortaſſe: quia nulla ex parte congruunt. Sicut tibicinis opus & architecti. Ideoque nummos aſſumpſimus, qui cum qualibet mutari re poſſunt, pretiumque metiuntur cujuſlibet. Hinc enim diſcimus, quot calceos valeat ædifi-

Διὸ πάντα συμβλητὰ δεῖ πως εἶναι, &c.

Διὸ τοῦτο δεῖ τὰ ἀλλαττόμενα λόγον ἔχειν καὶ συμμετρίαν πρὸς ἄλληλα. εἰσὶ γὰρ ἔνια, ἃ οὐδὲ δύναται σχεδὸν ἀλλαγῆναι, διὰ τὸ ἀσύμμετρα εἶναι· οἷον τὸ τοῦ αὐλητοῦ ἔργον, καὶ τὸ τοῦ οἰκοδόμου. Διὰ τοῦτο παρελήφθη τὰ νομίσματα, ἅτινα πρὸς πᾶν ἔργον δύνανται ἀλλαγῆναι, καὶ παντὸς ἔργου τὴν ἀξίαν μετροῦσιν. ἀπὸ τούτων γὰρ γινώσκομεν πό-

σων

σων ὑποδημάτων ἡ οἰκία ἀξία ἐστίν, ἢ πόσης τροφῆς, ἢ ἄλλων ἔργων· εἰ γὰρ μὴ ἡ ἀξία ἑκάστου γινώσκοιτο, οὐ δύναται συστῆναι ἡ ἀλλαγὴ καὶ ἡ κοινωνία. Τὸ γὰρ μὴ διδόναι καὶ λαμβάνειν ἀξίωμα, οὐκ ἔστιν ἀλλαγή, οὐδὲ κοινωνία.

Διὰ τοῦτο ἀνάγκη εἶναί τι ἓν μέτρον κοινὸν ἁπάντων, ᾧ πάντα δυνάμεθα μετρεῖν, καὶ δι᾽ οὗ τὴν ἀξίαν ἑκάστου γινώσκομεν. Ἔστι δὲ φύσει μὲν καὶ ἀληθείᾳ ἡ χρεία μέτρον ἁπάντων· καθόσον γὰρ τις δεῖται τινός, κατὰ τοσοῦτον βούλεται αὐτῷ κοινωνεῖν· εἰ γὰρ μὴ δέοιτο τῶν ἑτέρου, ἢ μὴ ὥσπερ ἄλλος τῶν ἐκείνου, ἀλλὰ ἔλαττον, οὐκ ἔσται ποτὲ ἀλλαγή· δεόμενος, δὲ τὰ ἑαυτοῦ δίδωσι, καὶ λαμβάνει τὰ τῶν ἄλλων· ἡ μὲν οὖν χρεία φύσει καὶ ἀληθείᾳ μέτρον ἐστὶ τῶν πραγμάτων· αὕτη γὰρ πάντας εἰς ἓν συνάγει· νόμῳ δὲ καὶ κατὰ συνθήκην τὸ νόμισμα· καὶ διὰ τοῦτο καὶ νόμισμα καλεῖται, ὅτι οὐκ ἔστι φύσει, ἀλλὰ παρ᾽ ἡμῶν ἐτέθη, καὶ ἐφ᾽ ἡμῖν ἐστὶ μεταβαλεῖν αὐτὸ καὶ ποιῆσαι ἄχρηστον. Ἔστι τοίνυν καὶ τὸ νόμισμα μέτρον, ὡς εἴρηται, τῆς τῶν πραγμάτων ἀξίας, καὶ αὐτοῦ μὲν οὐκ ἔστι χρεία δι᾽ ἑαυτῆς, ἔστι δὲ ὥσπερ ὑπάλλαγμα τῆς χρείας. Διὰ τούτων τοίνυν τῶν μέτρων γνωσθείσης ἑκάστου τῆς ἀξίας τῶν ἔργων, ἡ ἀλλαγὴ ἰσόρροπος ἔσται, καὶ κατὰ τὸ ἀνάλογον.

Ἡ δὲ ἀναλογία ἔσται ἀντιπεπονθότως. Οὕτω γὰρ δυνατὸν ἰσασθῆναι τὴν ἀλλαγήν. Ἀντιπεπονθότα δὲ λέ-

cium, quantum item cibi, aut alterius cujuſque rei. Niſi enim de cujuſque rei conſtaret precio, non poſſet mutatio inſtitui aut communicatio. Plus enim minuſve dare aut accipere quam precium, non eſt mutatio, aut communicatio. Ariſtot. l. 5. c. 5.

Oportet igitur communem aliquam omnium menſuram eſſe, qua metiri cuncta poſſimus, rerumq; omnium cognoſcere precia. Hæc autem proprie quidem & revera eſt indigentia. Quantum enim quis aliquo opus habet, tantum ejus particeps vult fieri. Niſi enim iis quæ alterius ſunt, opus quis habeat, aut minus quam alius quæ ſunt ipſius, nulla erit commutatio. Cum vero opus habeat, dat ſua, accipitque aliena. Proprie ergo ac revera, rerum omnium menſura eſt indigentia: hæc enim in unum cogit omnes. Ex lege vero & inſtituto eſt nummus: ideoque etiam *νόμισμα* vocatur. Quia nempe per ſe non eſt tale, ſed ex conſtitutione noſtra: ideoq; in poteſtate quoque noſtra eſt, mutare eum & inutilem efficere. Eſt ergo nummus quoque, quemadmodum dictum eſt, precii cujuſque rei menſura. Quo tamen nemo per ſe opus habet: ſed quaſi in locum indigentiæ ſucceſſit. Cum hac ergo quaſi menſura ſingula rerum inveſtigemus precia, æqualis, & ut poſtulat proportio, fiet commutatio. Δεῖ ἄρα ἑνί τινι πάντα μετρεῖσθαι, &c.

Porro reciproca & quaſi è lege talionis erit hæc proportio. Ita namque æquari poterit commutatio. Reciproca porro hoc Ἔσται δὴ ἀντιπεπονθός, ὅταν ἰσασθῇ, &c.

Ariſtot. l. 5. c. 5.



modo dicuntur à mathematicis, cum ſicut A ad B, ita ſe habet C ad D: & ut A ad C, ita D ad B. Si hoc ergo modo proportione reſpondent quæ commutantur & qui commutant, juſta erit commutatio. Sit enim ſutor ubi C, agricola ubi A, calcei ubi D, frumentum ubi B. Ponamus ergo rationem dupli ad ſutorem habere agricolam, & frumentum rationem dupli habebit ad calceum. Si ergo ſicut ad ſutorem agricola, ita calcei ſe habebunt ad cibum aut frumentum, neceſſe erit duplo frumentum excedant calcei, atque ita precium æquabunt frumenti. Quod niſi ita inſtituatur commutatio, in proportionis figuram reducenda non erunt, quia æquari non poſſunt. Si enim quemadmodum ad ſutorem agricola, ita & opus agricolæ quod accipit ſutor, ſe habet ad opus ſutoris quod accipit agricola, non erit æqualitas, ſed cum reciproca hæc accedit viciſſitudo, tum demum jure mutatio fit & communicatio.

Ὅτι δ' χρεία συνέχει, &c.

Indigentia autem contineri Reſpublicas, eamque eſſe quæ communionem inducit & unitatem, tanquam unum quid, manifeſtum eſt. Si enim alter altero opus non habeat, non commutant inter ſe nec communicant. Aut ſi alter quidem altero, altero autem opus non habet alter, ne ſic quidem ſimiliter communicant. Quod contra tum demum procedit, cum quod alter habet, eo eget alter, alter

γονται περὶ τοῖς μαθηματικοῖς, ὅταν ᾖ ὡς τὸ α' πρὸς τὸ β', τὸ γ' πρὸς τὸ δ'. καὶ ὡς τὸ α' πρὸς τὸ γ', τὸ δ' πρὸς τὸ β'. Εἰ τοῦτον τοίνυν τὸν τρόπον ἀνάλογον ἔσται τὰ ἀλλαττόμενα, καὶ οἱ ἀλλάσσοντες, δικαία ἔσται ἡ ἀλλαγή. Ἔστω γὰρ σκυτοτόμος, ἐφ' οὗ γ', γεωργός, ἐφ' οὗ α', ὑποδήματα, ἐφ' οὗ δ', σῖτος, ἐφ' οὗ β'. κείσθω δὴ τὸν γεωργὸν πρὸς τὸν σκυτέα διπλάσιον λόγον ἔχειν· ἔσται δὴ καὶ ὁ σῖτος διπλάσιος τῇ ἀξίᾳ τῶν ὑποδημάτων. εἰ τοίνυν ἔσται ὡς γεωργὸς πρὸς τὸν σκυτέα, τὰ ὑποδήματα πρὸς τὴν τροφὴν ἢ τὸν σῖτον, διπλασίονα ἔσται τὰ ὑποδήματα τοῦ σίτου· καὶ οὕτως ἔσονται ἄξια τοῦ σίτου· εἰ δὲ μὴ οὕτως ἡ ἀλλαγὴ γένοιτο, οὐ δεῖ εἰς σχῆμα ἀναλογίας ἄγειν αὐτά· οὐ γὰρ δυνατὸν ἰσασθῆναι. Εἰ γὰρ ἔσται, ὡς ὁ γεωργὸς πρὸς τὸν σκυτέα, τὸ ἔργον τοῦ γεωργοῦ, ὃ λαμβάνει ὁ σκυτεύς, πρὸς τὸ ἔργον τοῦ σκυτέως, ὃ λαμβάνει ὁ γεωργός, οὐκ ἔσται ἰσότης· ἀλλ' ὅταν ἀντιπεπονθότως ἔχωσι, τότε ἀλλαγὴ κυρίως καὶ κοινωνία γίνεται.

Ὅτι δὲ ἡ χρεία συνέχει τὰς πολιτείας, καὶ αὕτη τὰς κοινωνίας ποιεῖ καὶ τὰς ἑνώσεις, καθάπερ ἕν τι ὄν, δῆλον· καὶ γὰρ ὅταν μὴ χρείαν ἔχωσιν ἀλλήλων, οὐκ ἀλλάττονται, οὐδὲ κοινωνοῦσιν ἀλλήλοις· ἢ ὅταν ὁ μὲν δέηται θατέρου, ἅτερος δὲ θατέρου χρείαν οὐκ ἔχῃ, καὶ τότε γὰρ ὁμοίως ἀκοινώνητοί εἰσιν· ὥσπερ τοὐναντίον, ὅταν οὗ μὴ ἔχει αὐτὸς δέηταί τις, αὐτὸς

αὐτὸς δὲ χρήζει ὧν ἐκεῖνος δοῦναι δυνατός.

Ἐπεὶ δὲ πολλάκις ὁ μὲν γεωργὸς δεῖται τοῦ ἔργου τοῦ τέκτονος, ὁ δὲ τέκτων οὐ δεῖται τοῦ γεωργικοῦ, ἵνα τὰ ἀλλάγματα καὶ αἱ κοινωνίαι μηδὲ τότε κωλύωνται, παρελέφθη τὸ νόμισμα. Καὶ τοῦτο διδοὺς ὁ γεωργὸς τῷ τέκτονι, λαμβάνει παρ' ἐκείνου τὸ ἐκείνου ἔργον· ὃ δὴ τὸ νόμισμα καθάπερ ἐγγυητής ἐστι πρὸς τὸν τέκτονα, ὅτι ἐπειδὰν τῶν τοῦ γεωργικοῦ δεηθῇ, δι' αὐτοῦ λήψεται παρὰ τοῦ γεωργοῦ ὧν ἐν χρείᾳ κατέστη. καὶ οὕτω κἀνταῦθα διὰ τὴν μέλλουσαν τοῦ τέκτονος χρείαν ἡ ἀλλαγὴ καὶ ἡ κοινωνία γίνεται. Καὶ τὸ νόμισμα δυνάμει ἐστὶ πάντα σχεδὸν, ὧν δεῖται ἕκαστος ἑκάστου· καὶ ἡ τούτου χρεία μάλιστα μένει· εἰ καὶ μὴ ἀεὶ ὁμοίως. Καὶ γὰρ ἐν μὲν ταῖς εὐθηνίαις πολλή τις ἐστὶν ἡ χρεία τοῦ νομίσματος· ἐν δὲ ταῖς σιτοδείαις οὐκ ἔτι. Οὐ γὰρ ἄν τις ἕλοιτο ὀλίγον προέσθαι σῖτον πολλῶν νομισμάτων. Ὅμως δὲ διὰ ἃ εἴρηται μᾶλλον μένει ἡ τούτου χρεία, ἢ ἡ τῶν ἄλλων· διὸ δεῖ πάντα τιμᾶσθαι. Οὕτω γὰρ δυνατὸν εἶναι ἀεὶ ἀλλαγὴν καὶ κοινωνίαν. Ἀπὸ γὰρ τοῦ πάντα μετρεῖσθαι καὶ τιμᾶσθαι νομίσματι, ἡ ἰσότης γίνεται. Ἀπὸ δὲ τῆς ἰσότητος ἀλλαγὴν γίνεσθαι δυνατόν· ἰσότητα δὲ οὐκ ἀεὶ δυνατὸν γίνεσθαι ἄνευ νομίσματος. Τινὰ γὰρ ἔργα τεχνῶν οὕτως ἀλλήλων διαφέρει, ὥστε παντελῶς ἀσύμμετρα εἶναι, καὶ μηδένα

autem rurſus eget, quod dare poteſt alter.

Aristot. l. 5. c. 5. Ὑπὲρ δὲ τῆς μελλούσης ἀλλαγῆς, &c.

Cum vero ſæpenumero opere fabri, opus habeat agricola, opere vero agricolæ non opus habeat faber, nè vel ſic commutatio impediatur aut communio, adhiberi nummus cepit. Quum cum fabro tradit agricola, viciſſim opus illius ab eo accipit. Qui quidem nummus quaſi ſponſor intercedit apud fabrum, futurum ut cum viciſſim aliquid agricolæ requirat, hoc ipſo ab agricola accepturum illud eſſe, quo opus habet. Atque ita quia aliquando quoque indigere poterit eodem faber, commutatio hic inſtituitur & communicatio. Eſtque ipſa potentia nummus, omne illud, quo alterius indigere poſſet alter. Manetque illius ſemper indigentia: licet non eodem ſemper modo. In annonæ enim vilitate, magna nummi indigentia eſt: in caritate contra, non item. Quia non facile tum reperiri poſſit, qui vel minimum frumenti multis nummis vellet tranſcribere. Nihilominus tamen propter ea quæ dicta ſunt, magis hujus quam reliquorum manet indigentia. Ideoq; omnia oportet æſtimari. Quia ita demum ſemper mutatio procedet & communicatio. Ex eo enim quod nummo metiri omnia & æſtimari ſolemus, æqualitas procedit. Ex æqualitate autem commutatio: ſine nummo autem non ſemper introduci poteſt æqualitas. Nonnulla enim opera & artes tantum inter ſe differunt, ut omnino nulla inter

Ariſtot. l. 5. c. 5.

eas convenientia ſit aut ratio. Quare nè reperiri quidem in iis poteſt æqualitas. Quia vero duo cum contrahunt, uterque utroq; opus habet, hujus indigentiæ cauſa communem aliquam menſuram, quæ omnia metiri poſſet, adjunximus, nummum dico. Cui proprie quidem & revera non metitur (neque enim inter ea eſt quæ metiri ſolemus) ſed tantum ex lege quadam noſtra & conſtitutione. Ideoque cum in medio ſit eorum quæ nullo modo inter ſe congruunt, ad congruentiam ea reducit, & inter ſe adæquat. Quod ex hac delineatione fiet manifeſtius. Sit A ædificium, B minæ decem, C lectica. Sitque rurſus ædificium quinque minarum, lectica unius. Itaque decem minæ B, decuplum ſunt lecticæ, ædificii vero duplum. Ædificium ergo decem minarum eſt dimidium. Cum dimidium ergo ſit ædificium, decimum vero illius ſit lectica, dimidium vero decimi ſit quintuplum, ſequitur ædificium lecticæ eſſe quintuplum. Ita cum lectica congruere ædificium interceſſione nummi incipit, qui velut communis eſt menſura. Quod ſi congruit, etiam æquari poteſt. Si enim quinquies augeas, ædificium æquabit. Quid ergo ſit injuſtum & juſtum, tam in diſtribuendo quam corrigendo, hoc eſt in diſtributivo jure & correctivo, jam diximus.

λόγον ἔχειν πρὸς ἄλληλα· ὅθεν οὐ δυνατὸν ἰσότητα εὑρεῖν ἐν αὐτοῖς· ὅτι δὲ ἑκάτερος ἑκατέρου δεῖται, διὰ ταύτην τὴν χρείαν παρελήφθη ἕν τι κοινὸν μέτρον ὃ πάντα μετρεῖ, τὸ νόμισμα· ὃ φύσει μὲν καὶ ἀληθείᾳ οὐ μετρεῖ· οὐ γάρ ἐστι μέρος τῶν μετρουμένων, νόμῳ δέ τινι ἡμετέρῳ καὶ συνθήκῃ· καὶ οὕτως ἐν μέσῳ γινόμενον τῶν ἀσυμμέτρων, σύμμετρα ποιεῖ καὶ ἰσάζει. Τοῦτο δὲ ἔσται καὶ ἀπὸ τοῦ διαγράμματος σαφέστερον. Ἔστω δὲ τὸ α΄ οἰκία, τὸ δὲ β΄ μναῖ δέκα, τὸ δὲ γ΄ κλίνη. Ἔστω δὲ ἡ οἰκία πέντε μνῶν, ἡ κλίνη μιᾶς. Ὥστε αἱ δέκα μναῖ τὸ β΄, τῆς μὲν κλίνης δεκαπλάσιον ἐστι, τῆς δὲ οἰκίας διπλάσιον. Ἡ ἄρα οἰκία ἡμίσειά ἐστι τῶν δέκα μνῶν. Ἐπεὶ τοίνυν ἡ μὲν οἰκία ἥμισυ, ἡ δὲ κλίνη δέκατον τοῦ αὐτοῦ, τὸ δὲ ἥμισυ τοῦ δεκάτου πενταπλάσιον, ἡ ἄρα οἰκία τῆς κλίνης πενταπλάσιος· σύμμετρος ἄρα ἡ οἰκία γέγονε τῇ κλίνῃ διὰ μέσου τοῦ νομίσματος, ὃ κοινὸν ἐγένετο μέτρον· εἰ δὲ σύμμετρος, καὶ ἴση γενέσθαι δυνατόν. Εἰ γὰρ πενταπλασιασθῇ, ἴση ἔσται τῇ οἰκίᾳ. Τί μὲν οὖν τὸ ἄδικον, καὶ τί τὸ δίκαιόν ἐστιν, εἴρηται, κατά τε διανομὴν [illegible] διόρθωσιν, ἤτοι τὸ δι[illegible]όν καὶ διορθωτικόν.

ΚΕΦ. ζ'.

Ὅτι ἡ δικαιοσύνη μεσότης ἐστὶ τοῦ ἀδικεῖν καὶ ἀδικεῖσθαι.

Τούτων δὲ οὕτω διωρισμένων, φανερόν ἐστιν, ὅτι ἡ δικαιοπραγία μεσότης ἐστὶ τοῦ ἀδικεῖν καὶ ἀδικεῖσθαι. Τὸ μὲν γὰρ πλέον ἐστὶ, τὸ δὲ ἔλαττον. Τὸ μὲν γὰρ ἀδικεῖν οὐδὲν ἄλλό ἐστιν ἢ τὸ πλέον ἔχειν, ὅπου τὸ ἴσον ἔδει· τὸ δὲ ἀδικεῖσθαι, τὸ ἔλαττον ἔχειν. Καὶ ἡ δικαιοσύνη μεσότης ἐστὶν, οὐ τὸν αὐτὸν τρόπον ταῖς προτέραις ἀρεταῖς· τῶν μὲν γὰρ ἄλλων ἀρετῶν ἑκάστη μέση ἐστὶ δύο κακιῶν, τῆς μὲν ὑπερβαλλούσης τῆς δὲ ἐλλειπούσης· ἡ μὲν γὰρ σωφροσύνη μεταξὺ τῆς ἠλιθιότητος καὶ τῆς ἀκολασίας ἐστίν· ἡ δὲ ἀνδρεία μεταξὺ τῆς δειλίας καὶ τῆς θρασύτητος, καὶ αἱ ἄλλαι ὁμοίως· ἡ δὲ δικαιοσύνη οὐκ ἔχει παρ' ἑκάτερα δύο κακίας, αἷς ἀντίκειται, ἀλλὰ μόνη τῇ ἀδικίᾳ ἀντίκειται· μέση δέ ἐστιν, ὅτι τῆς ἀδικίας τὴν ἀνισότητα εἰσαγούσης, τὸ ἴσον αὐτὴ ζητεῖ, καὶ τούτου ἐστὶ ποιητική. Ὃ δὴ ἴσον μέσον ἐστὶ τοῦ μείζονος καὶ τοῦ ἐλάττονος, καὶ διὰ τοῦτο αὐτὴ μὲν μεσότης ἐστίν. Ἡ δὲ ἀδικία ἀκρότης, ὅτι τῶν ἄκρων ἐστί· καὶ ἡ μὲν δικαιοσύνη ἐστὶν ἕξις, καθ' ἣν ὁ δίκαιος κατὰ προαίρεσιν πρακτικός ἐστι τοῦ δικαίου, καὶ διανεμητικός. Ὥστε καὶ ἑαυτῷ νομοθετεῖν προσηκόντως διανέμειν πρὸς ἄλλους, καὶ πρὸς ἑαυτὸν, εἰ δέῃ-

CAP. VII.

Ariſtot. l. 5. c. 5.

Juſtitiam faciendæ accipiendæq; injuriæ eſſe medium.

Quæ cum ita definita ſint, apparet juſtam actionem faciendæ accipiendæque injuriæ eſſe medium. Alterum enim plus, alterum minus eſt. Injuriam enim facere, nihil aliud eſt quam plus habere, ubi æquale habendum erat. Sicut injuria affici, habere minus. Eſtque mediocritas juſtitia, non quemadmodum reliquæ ſunt virtutes (quarum ſingulæ duorum vitiorum ſunt in medio. Ita ut alterum excedat, altero deficiat. Sic inter ſtoliditatem & intemperantiam eſt temperantia: inter timiditatem & audaciam fortitudo: & ita in reliquis.) At vero juſtitia non habet utrinque duo cum quibus pugnet, vitia, ſed ſoli injuſtitiæ opponitur. Media autem eſt, quia cum inæqualitatem inducat injuſtitia, æqualitatem quærit ipſa: atque hanc efficit. Atque hæc ipſa medium majoris & minoris eſt æqualitas, ideoque mediocritas quædam ipſa eſt. Injuſtitia aut eſt extremitas, quia eſt extremorum. Et juſtitia quidem eſt habitus, ex quo propenſus ſit aliquis ad agendum cum prælectione id quod eſt juſtum, eodemque modo ad diſtribuendum: ita ut tum ſibi legem diſtribuendi ponat, ut oportet, ſive ad alios ſive etiam ad ſe, ſi neceſſe ſit; ea ſpectet

Διωρισμένων δὲ τούτων, δῆλον ὅτι ἡ δικαιοπραγία μέσον, &c

Ariſt. t. L. 5. c. 5.

diſtributio ; tum etiam aliis certam in diſtribuendo poſſit præfigere regulam. Ut non plus quam oportet è bono ſibi dum diſtribuit, minus vero alii, aut è malo minus ſibi, plus vero alii attribuat. Sed id quod æquale eſt, ſecundum proportionem. Eodemque modo aliis quoque præcipiat, æquitatem in diſtribuendo ut conſervent. Et talis quidem eſt juſtitia.

σει, καὶ τοῖς ἄλλοις παρέχειν κανόνα διανομῆς, οὐχ ἑαυτῷ μὲν πλέον τοῦ ἀγαθοῦ παρέχων ἐν τῇ διανομῇ, ἔλαττον δὲ τῷ πλησίον, ἢ τοῦ βλαβεροῦ ἑαυτῷ μὲν ἔλαττον, πλέον δὲ τῷ πλησίον, ἀλλὰ τὸ ἴσον τοῦ κατ' ἀναλογίαν. Ὁμοίως δὲ καὶ ἄλλῳ νομοθετεῖν τὰ ἴσα ποιεῖν ἐν ταῖς διανομαῖς. Τοιαύτη μὲν ἡ δικαιοσύνη.

Ἡ δ' ἀδικία τοὐναντίον τοῦ ἀδίκου, &c.

Plane vero contraria eſt injuſtitia. Exceſſus enim defectuſque eſt ejus quod prodeſt aut nocet, neglecta proportione. In diſtributione enim injuſtus ita ſe habet, ut in iis quæ proſunt ſuperare velit proximum, in iis vero quæ nocent, ab eo ſuperari. Inter alios autem cum diſtribuit, etiam tum proportionem negligit. Niſi quod non eoſdem iiſdem aut ſuperiores aut inferiores faciat, ſed modo hos modo illos. Ita ut exſuperantia & defectus in injuriis ſit majus minuſque. Et majus quidem eſt injuria afficere, minus vero affici. Quorum medium eſt æquale, hoc eſt juſtum.

Ἡ δ' ἀδικία, πᾶν τοὐναντίον. Ὑπερβολὴ γὰρ καὶ ἔλλειψις ἐστι τοῦ ὠφελίμου καὶ βλαβεροῦ παρὰ τὸ ἀνάλογον· ὁ γὰρ ἄδικος ἐν ταῖς διανομαῖς ὑπερβάλλει μὲν τὸν πλησίον ἐν τοῖς ὠφελίμοις, ἐλλείπει δὲ αὐτοῦ ἐν τοῖς βλαβεροῖς. Ὅταν δὲ πρὸς ἄλλους τὴν διανομὴν ποιῆται, καὶ τότε μὲν παρὰ τὸ ἀνάλογον, πλὴν οὐ τοὺς αὐτοὺς ποιεῖ τῶν αὐτῶν ὑπερβάλλειν ἢ ἐλλείπειν, ἀλλ' ὡς ἔτυχεν· ὥστε εἶναι καὶ ὑπερβολὴν καὶ ἔλλειψιν ἐν τοῖς ἀδικήμασιν, τὸ μεῖζον καὶ τὸ ἔλαττον· καὶ μεῖζον μὲν ἐστι τὸ ἄδικον, ἔλαττον δὲ τὸ ἀδικεῖσθαι. Ὧν μέσον ἐστὶ τὸ ἴσον, ἤτοι τὸ δίκαιον.

CAP. VIII.

ΚΕΦ. η'.

Quomodo fieri poſſit ut injuſte faciat aliquis, nec tamen ſit injuſtus.

Πῶς ἐστιν ἀδικεῖν, καὶ μὴ ἄδικον εἶναι.

Ἐπεὶ δ' ἐστιν ἀδικοῦντα μήπω ἄδικον εἶναι, &c.

ET de juſtitia quidem injuſtitiaque, tum quæ natura ſit ambarum, tum de juſto atque injuſto, univerſaliter egimus. Illud vero jam quærendum eſt ; cum ſint injuſtæ quædam actio-

ΠΕρὶ μὲν οὖν δικαιοσύνης καὶ ἀδικίας, καὶ τίς ἑκατέρας ἡ φύσις, καὶ περὶ δικαίου καὶ ἀδίκου, καθόλου εἴρηται. Ἐκεῖνο δὲ νῦν ζητητέον· ἐπεὶ εἰσί τινα ἀδι

κήματα

κήματα, ἃ ποιῶν τις ἀδικεῖ μὲν, ἄδικος δὲ οὐκ ἔστι, τίνα ταῦτα. Πρῶτον δὲ ἐκεῖνα δείξομεν, ὅτι δυνατὸν ἀδικεῖν τινὰ, καὶ μὴ ἄδικον εἶναι· οἷον κλέπτειν, καὶ μὴ κλέπτην εἶναι, καὶ μοιχεύειν, καὶ μὴ μοιχὸν εἶναι. Ὁ γὰρ κλέψας τὴν μάχαιραν τοῦ μαινομένου, ἵνα μὴ ἑαυτὸν ὁ μαινόμενος ἀποσφάζῃ, ἔκλεψε μὲν, κλέπτης δὲ οὐκ ἔστι· καὶ ὁ μοιχεύων, ἵνα δυνηθῇ πλουτεῖν, μοιχεύει μὲν, μοιχὸς δὲ οὐκ ἔστιν, ἀλλὰ φιλοχρήματος. Καὶ εἴ τις ἰατρὸς ἀπατῴη τὸν νοσοῦντα ἐφ' ᾧ σώσει, ἀπατᾷ μὲν, ἀπατεὼν δὲ οὐκ ἔστι. Ὅτι οὖν ἔστι δυνατὸν τινὰ ἀδικεῖν, καὶ μὴ ἄδικον εἶναι κατ' ἐκείνην τὴν ἀδικίαν, ἧς τὸ ἔργον ποιεῖ, δῆλον· τίνα δὲ ἐστι ταῦτα τὰ ἀδικήματα, ἑνὶ καθολικῷ λόγῳ ῥητέον. Ὅσα ἀδικεῖ τις, οὐχ ἕνεκα τοῦ τέλους, ὃ πρόσεστι τῇ ἀδικίᾳ ἐκείνῃ, ἧς τὴν πρᾶξιν ποιεῖ, ἀλλὰ ἄλλου τέλους ἕνεκα ἢ ἀγαθοῦ ἢ φαύλου, κατ' ἐκεῖνα ἀδικεῖ μὲν, ἄδικος δὲ οὐκ ἔστιν. Ἀπατᾷ μὲν γὰρ ὁ ἰατρὸς, ἀπατεὼν δὲ οὐκ ἔστιν· οὐ γὰρ τέλος ἔχει τὴν ἀπάτην τοῦ νοσοῦντος, ἀλλὰ τὴν σωτηρίαν. Ὁμοίως καὶ ὁ κλέψας τὸ ξίφος τοῦ μαινομένου, οὐ ζητεῖ τὸ πλέον λαβεῖν ἑαυτῷ καὶ λάθρα παρακερδαίναι τοῦ πλησίον, ὥσπερ ὁ κλέπτης, ἀλλὰ τέλος ἔχει τὴν τοῦ μαινομένου σωτηρίαν. Πᾶσα δὲ πρᾶξις ἀπὸ τοῦ τέλους τὸ εἶδος λαμβάνει, καὶ τὸν ὁρισμὸν, καὶ

nes, quas qui agit, injuſte facit quidem, non tamen injuſtus eſt, quænam ſint illæ. Ac primo illud oſtendimus, fieri poſſe, ut injuſte faciat aliquis, nec tamen ſit injuſtus. Ut furetur videlicet, nec tamen fur ſit, adulterium committat, nec ſit adulter. Qui enim, exempli gratia, enſem furatur inſani hominis, nè inſanus ille manus ſibi inferat, furatur quidem, fur tamen non eſt. Et qui adulterium committit ut diteſcat, adulterium quidem committit, non tamen adulter, ſed pecuniarum eſt avidus. Et ſi quis medicus ægrum decipiat, ut ſanare poſſit, decipit quidem, ſed deceptor non eſt. Poſſe igitur fieri ut injuſte quis agat, nec tamen injuſtus ſit, reſpectu illius in qua peccat injuſtitiæ, apparet. Quæ autem ſint ejuſmodi injuſtæ actiones, ſemel in genere dicendum eſt. Sunt ergo, quæ injuſte ab aliquo aguntur, non finis cauſa, qui illius injuſtitiæ proprius eſt cujus actionem agit, ſed alterius, ſeu boni ſeu mali. In iis ergo agit quidem injuſte, non tamen eſt injuſtus. Decipit enim medicus, non tamen eſt deceptor: nec enim finis illi eſt ut decipiat ægrum, ſed ut conſervet. Ita & qui furatus eſt inſani gladium, non hoc quærit ut plus aliquid ſibi accedat, aut ut furtim lucri aliquid conſequatur à proximo, ſicut fur ſolet, ſed finis illi eſt ut conſervet inſanum. Jam vero à fine, formam definitionemq; ſuam, ideoque & nomen conſequitur omnis actio. Contracta enim ac ſuccincta quaſi

Ariſtot. l 5. c. 5.

definitio,

Ariſtot. 1. c. 5.

definitio, eſt nomen. Neque enim ducem qui Helepolides ſæpenumero in obſidionibus fabricat aut propugnacula, architectum dicemus aut fabrum. Nam & is opus fabri efficit, aut architecti, & ædificare dicitur: quia vero non finem architecti reſpicit aut fabri, non architectus, ſed dux & eſt & vocatur. Et qui lectum proximi violat, nec tamen per intemperantiam id ſibi proponit, ſed pecuniæ ſtudium, non adulter erit ſed pecuniæ avidus. Quare fieri poteſt ut injuſte agat aliquis, nec tamen injuſtus in ea injuſtitiæ ſpecie ſit, in qua agit. Sed, ut aut injuſtus animo non ſit, ſicut medicus, aut alterius injuſtitiæ reſpectu, ſicut adulter. Quo autem modo, jam dictum eſt. Poteſt etiam alio fieri modo, ut qui injuſte agat non tamen injuſtus ſit: cum nimirum invitus injuſte agit. Qui enim noctu ignoravit furem, eumque qui fur non eſt interfecit, injuſte quidem fecit, non tamen eſt injuſtus.

διὰ τοῦτο καὶ τὸ ὄνομα· τὸ γὰρ ὄνομα συνεσταλμένος ὁρισμός ἐστιν. Οὐδὲ γὰρ τὸν στρατηγὸν ἑλεπόλεις κατασκευάζοντα πολλάκις καὶ ὁρμητήρια ἐν πολιορκίαις, οἰκοδόμον ἐροῦμεν, ἢ τέκτονα. Τὰ μὲν γὰρ οἰκοδόμου καὶ τοῦ τέκτονος ποιεῖ, καὶ οἰκοδομεῖν λέγεται. Ὅτι δὲ οὐ πρὸς τὸ τέλος ἀποσκοπεῖ τοῦ οἰκοδόμου, ἀλλὰ τὸ τοῦ στρατηγοῦ, οὐκ οἰκοδόμος ἀλλὰ στρατηγός ἐστι καὶ καλεῖται· καὶ ὁ τὸν γάμον μὲν τοῦ πλησίον ἀδικῶν, καὶ μὴ δι᾽ ἀκολασίαν δὲ αὐτὸ τοῦτο προαιρούμενος, ἀλλὰ διὰ φιλοχρηματίαν, οὐκ ἂν εἴη μοιχὸς, ἀλλὰ φιλοχρήματος. Δυνατὸν τοίνυν τινὰ ἀδικεῖν, καὶ μὴ ἄδικον εἶναι κατ᾽ ἐκείνην τὴν ἀδικίαν, ἧς τὴν πρᾶξιν ποιεῖ, ἀλλὰ ἢ οὐδαμῶς ἄδικον, ὥσπερ ὁ ἰατρὸς, ἢ καθ᾽ ἑτέραν ἀδικίαν ἄδικον, ὥσπερ ὁ μοιχός. Κατὰ τίνα δὲ τρόπον, εἴρηται. Δυνατὸν δὲ καὶ ἄλλως ἀδικοῦντα μὴ ἄδικον εἶναι, ὅταν ἀκουσίως τις ἀδικῇ· ὁ γὰρ νυκτὸς ἀγνοήσας τὸν κλέπτην, καὶ τὸν μὴ κλέπτην ἀποκτείνας, ἠδίκησε μὲν, ἄδικος δὲ οὐκ ἔστι.

CAP. IX.

De jure quod proprie jus non eſt.

Δεῖ δὲ μὴ λανθάνειν ὅτι τὸ ζητούμενον, &c.

AC de talionis quidem lege, quo pacto jus fiat, antea dictum eſt. Eſt vero aliud jus quoque, quod proprie quidem non eſt jus, ſicut patrium jus & herile. Hæc namque proprie non ſunt jura, ſed civili

ΚΕΦ. θʹ.

Περὶ δικαίου ὃ κυρίως οὐκ ἔστι δίκαιον.

ΠΕρὶ μὲν οὖν ἀντιπεπονθότος, τίνα τρόπον γινόμενον δίκαιον ἐστὶ πρότερον. ἔστι δὲ καὶ ἄλλο δίκαιον, ὃ οὐκ ἔστι κυρίως δίκαιον. ὥσπερ δὴ τὸ πατρικὸν καὶ δεσποτικόν. Ταῦτα γὰρ οὐκ εἰσὶ κυρίως δίκαια, ἀλλὰ

ὁμοία

ὅμοιά πως τῷ πολιτικῷ δικαίῳ· λέγω δὲ πατρικὸν δίκαιον, ὃ προσήκει πατρὶ πρὸς παῖδα ποιεῖν, καὶ δεσποτικὸν ὃ δεῖ δεσπότην πρὸς δοῦλον· κυρίως τοίνυν καὶ ἀληθῶς δίκαιόν ἐστι τὸ διανεμητικὸν, καὶ τὸ διορθωτικόν· ὅπερ ἐστὶ τὸ πολιτικόν· ὅπερ ἢ κατὰ γεωμετρικὴν ἀναλογίαν γίνεται, καθὼς εἴρηται, ἢ κατὰ ἀριθμητικήν· ἐν ἐκείνοις γάρ ἐστι δίκαιον, ἐν οἷς καὶ νόμος τίθεται· νόμος δὲ τίθεται ἐν ἐκείνοις, οὓς δυνατὸν καὶ ἀδικεῖσθαι καὶ ἀδικεῖν· ὁ γὰρ νόμος καὶ ἡ δίκη, διάκρισίς ἐστι τοῦ δικαίου καὶ τοῦ ἀδίκου. Ταῦτα δὲ ἁρμόζει τοῖς πολίταις. Οὗτοι γὰρ ἀλλήλους δύνανται ἀδικεῖν, τῷ βούλεσθαι ἕκαστον πλέον ἑαυτῷ νέμειν τῶν ἁπλῶς ἀγαθῶν, ἔλαττον δὲ τῷ πλησίον· καὶ τῶν βλαβερῶν τὸ ἀνάπαλιν· διὰ τοῦτο οὐκ ἐῶμεν ἄρχειν ἄνθρωπον πόλεως, δηλονότι αὐτὸν ταῖς ἑαυτοῦ ὁρμαῖς ἑπόμενον, ἀλλὰ τοὺς νόμους ἄρχοντας ποιούμεθα, ἵνα μὴ ἑαυτοῦ ἕνεκα ἄρχῃ, μηδὲ τὸ πλέον ἑαυτῷ παρέχῃ ἐν ταῖς διανομαῖς τῶν ἀγαθῶν, ἀλλὰ τὸ ἀνάλογον· εἰ γὰρ μὴ οὕτως ἔχει, τύραννος ἔσται· ὁ γὰρ ἄρχων οὐδὲν ἄλλο βούλεται, ἢ φυλάττειν τὸ δίκαιον, ἤτοι τὸ ἴσον, καὶ τὸ ἀνάλογον· οὐ γὰρ ἑαυτοῦ ἕνεκα ἄρχει, καθὼς εἴρηται, ἀλλὰ διὰ τὸ συμφέρον τῶν ἄλλων. Διὰ τοῦτο καὶ τὴν δικαιοσύνην ἀλλότριον ἀγαθὸν ὀνομάζουσιν. Ὅθεν καὶ μισθοὶ πολλοὶ κεῖνται τοῖς ἀγαθοῖς ἄρχουσιν. Οἱ δὲ εἰσι τιμαὶ δημόσιαι καὶ γέρα. Ὃς δὲ οὐκ ἀρκεῖται τοῖς τοιούτοις μισθοῖς, τυραννίδι ἐπιχειρεῖ.

juri ex parte ſimilia. Patrium autem jus dico, quo ergo liberos uti pater debet, ſicut herile quo herus cum ſervo. Proprie ergo vereque jus eſt, id quod diſtributivum jus ac correctivum dicitur, quod civile jus eſt, quodque ſecundum Geometricam, ut dictum eſt, vel Arithmeticam fit proportionem. In iis .n. jus eſt, quibus lex præſcribitur. Lex autem iis præſcribitur, qui accipere injuriam poſſunt & facere. Quia lex ac juſtitia, nihil aliud quam juſti ac injuſti eſt ſeparatio. Hæc autem civibus conveniunt. Horum.n. alii aliis injuriam poſſunt facere, dum in iis quæ ſimpliciter bona ſint, plus ſibi, minus aliis dividere volunt ſinguli, contraque in malis. Ideoque non permittimus urbibus præeſſe hominem, qui videlicet affectus ſequatur ſuos, ſed potius legem præficimus: nè ſui rationem in imperio habeat, neque plus in diſtribuendo quam oportet ſibi tribuat: ſed proportionis rationem habeat. Quod niſi faciat, tyrannus eſt futurus. Nihil enim aliud ſtudet qui imperat, quam ut jus conſervet: æqualitatem & proportionis rationem dico. Nec enim ſua, ſed alienæ utilitatis cauſa imperat. Ideoque juſtitiam quoque alienum bonum vocare ſolemus. Ac propterea multa iis qui recte imperant propoſita ſunt præmia. Qualia ſunt, honores publici, ac dona: quæ ſi cui non ſufficiunt, is tyrannidem molitur.

Ariſtot. l. 5. c. 5.

Atque

Ariſtot. l. 5. c. 5 Τὸ δὲ δεσποτικὸν δίκαιον δὲ τὸ πατρικὸν, &c.

Atque hæc cauſa eſt cur jus civile, jus dicatur proprie: patrium vero ac herile non item. Nec .n. fieri poteſt ut quiſquam ſecum, vel cum parte ſui agat injuſte: aut ei quod ipſe poſſidet nocere velit. Sunt autem tanquam partes patris liberi, donec ſub eo vivunt, & ex illius quaſi dependent providentia. Eodemque modo ſervus quaſi utilitas quædam heri eſt, quatenus & quamdiu eſt ſervus. Nemo autem utilitati nocere ſtudet propriæ. In quibus vero locum habere nequit injuria, nè jus quidem proprium, hoc eſt civile, habere locum poteſt, ſed aliud quod illi eſt ſimile. Jus ſiquidem, ut dictum eſt, civile inter eós eſt, inter quos lex eſt. Inter patrem autem filiumque & herum, propter ea quæ diximus non eſt lex, quia neque poteſt eſſe injuria. Sed in iis tantum, quibus imperandi ac parendi eſt æqualitas. Quare magis id quod vir cum uxore eſt, quam quod cum liberis ac ſervis, jus videtur. Id .n. jus eſt œconomicum, magiſque ad civile accedit, quod tamen ipſum quoque aliud eſt à civili.

Τὸ μὲν οὖν πολιτικὸν δίκαιον διὰ τοῦτο κυρίως δίκαιον λέγεται. Τὸ δὲ πατρικὸν καὶ δεσποτικὸν οὐκ ἔτι. Οὐ γὰρ δυνατόν τις πρὸς ἑαυτὸν καὶ τὸ ἴδιον μέρος ἄδικος εἶναι, οὐδὲ τὸ ἴδιον κτῆμα προαιρεῖταί τις βλάπτειν· ἔστι δὲ ὥσπερ μέρος τοῦ πατρὶ τὸ τέκνον, ἕως ἂν αὐτὸν ᾖ, καὶ τῆς αὐτοῦ προνοίας ἐξηρτημένον ἐστίν. Ὁμοίως δὲ καὶ ὁ δοῦλος ὠφέλειά τις τοῦ δεσπότου ἐστί, καθ' ὅσον ἐστὶ δοῦλος, καὶ ἕως ἂν ᾖ. Οὐδεὶς δὲ τῇ ἑαυτοῦ ὠφελείᾳ ἐπιβουλεύει. Ἐν οἷς δὲ οὐ δυνατὸν ἀδικίαν εἶναι, οὐδὲ τὸ κυρίως δίκαιόν ἐστι, ὅ ἐστι τὸ πολιτικὸν, ἀλλὰ ὅμοιον αὐτῷ. Τὸ γὰρ πολιτικὸν, καθὼς εἴρηται, ἐν ἐκείνοις ἐστὶν, ἐν οἷς ἐστὶ νόμος. Ἐν πατρὶ δὲ καὶ υἱῷ καὶ δεσπότῃ καὶ δούλῳ διὰ τὰ εἰρημένα οὐκ ἔστι νόμος, ὅτι μηδὲ ἀδικία· ἀλλὰ ἐν ἐκείνοις ἐστὶν, ἐν οἷς ἰσότης τοῦ ἄρχειν καὶ ἄρχεσθαι· διὸ μᾶλλον δοκεῖ δίκαιον εἶναι τὸ τοῦ ἀνδρὸς πρὸς τὴν γυναῖκα, ἢ πρὸς υἱὸν καὶ κτήματα· τοῦτο γάρ ἐστι τὸ οἰκονομικὸν δίκαιον, καὶ μᾶλλον ἔοικε τῷ πολιτικῷ· ἔστι δὲ ὅμως καὶ αὐτὸ ἄλλο παρὰ τὸ πολιτικόν.

CAP. X. / ΚΕΦ. Ι.

De naturali jure ac legitimo: & quid ſit utrumque.

Περὶ τοῦ φυσικοῦ καὶ τοῦ νομίμου δικαίου, τί ἐστιν ἑκάτερον.

Τοῦ δὲ πολιτικοῦ τὸ μὲν φυσικὸν ἐστι, &c.

Civile autem jus partim naturale, partim legitimum eſt. Diciturque naturale, quod ubique idem valet, omnibuſque juſtum videtur. Ut, exempli

Τοῦ δὲ πολιτικοῦ δικαίου, τὸ μὲν φυσικόν ἐστι, τὸ δὲ νομικόν· καὶ φυσικὸν μὲν λέγεται, ὃ πανταχοῦ τὴν αὐτὴν ἔχει δύναμιν, καὶ πᾶσι δίκαιον δοκεῖ οἷον

οἷον τὸ τὸν δανεισάμενον τὸ δάνειον ἀποδοῦναι. Πᾶσι γὰρ δοκεῖ δίκαιον εἶναι τὸ ἕκαστον ἔχειν τὰ ἑαυτοῦ. Νομικὸν δὲ, ὅπερ πρὶν νομοθῆναι, ἀδιάφορον ἦν, καὶ οὔτε δίκαιον, οὔτε ἄδικον ἐδόκει, μετὰ δὲ τὸ νομοθετηθῆναι, δίκαιόν ἐστιν· ὥσπερ τὸ πιπράσκειν τὸν δοῦλον μνᾶς. Πρὶν μὲν γὰρ τεθῆναι τὸν νόμον, ἀδιάφορος ἦν ἡ πρᾶσις τῶν δούλων, καὶ ὡς ἕκαστος τῶν δεσποτῶν ἐβούλετο. Κατὰ δὲ τὸ τεθῆναι τοῦτον τὸν νόμον, οὐκ ἔτι ἀδιάφορος. Ἀλλὰ τὸ δίκαιόν ἐστι τὸ τοσοῦδε πωλεῖν· τοιαῦτα δέ εἰσι καὶ τὰ ἐπὶ τῶν μερικῶν, οἷα τὰ ψηφίσματα· οἷον, ἔδοξε τῇ βουλῇ καὶ τῷ δήμῳ τὸν Δημοσθένη στεφανῶσαι, ἢ τὸν Θεμιστοκλέα καλεῖν Ὀλύμπιον. Ταῦτα γὰρ πρὶν ψηφισθῆναι, ἀδιάφορα ἦν. Ψηφισθέντα δὲ, δίκαια δοκεῖ.

Τινὲς δὲ νομίζουσι, μηδὲν δίκαιον εἶναι φύσει, ἀλλὰ πάντα νομικά. Πάντα μὲν γὰρ τὰ φυσικὰ, ἀμετάβλητα· τὸ γὰρ πῦρ πανταχοῦ καὶ ἑκάστοτε θερμαίνει, καὶ παρ' ἡμῖν καὶ ἐν Αἰγύπτῳ ὁμοίως· τὰ δὲ δίκαια πάντα, μεταβάλλονται· τὸ γὰρ δανείζεσθαι, καὶ μὴ ἀποδιδόναι, παρά τισι δίκαιον δοκεῖ· καὶ τἄλλα ὁμοίως ἔχει. Καὶ οὐ πᾶσι δίκαια δοκεῖται αὐτά. Ὥστε πάντα τὰ δίκαια νομικὰ εἶναι, καὶ οὐδὲν φυσικόν. Πρὸς δὴ τοιαῦτα ἐκεῖνο λέγομεν, ὅτι οὐ καθάπαξ κινεῖται πᾶν δίκαιον, καὶ μεταπίπτει· εἰ γὰρ καὶ παρ' ἀνθρώποις πάντα ἦν τὰ δίκαια μεταβλητὰ, παρά γε τοῖς

gratia, qui mutuum ſumpſit, reddat quod accepit: ut enim quiſque quod ſuum eſt habeat, omnibus juſtum videtur. *Ariſtor. l. 5. c. 5.* Legitimum autem, quod antequam latum erat, nihil intererat, neque juſtum videbatur aut injuſtum: ubi vero conſtitutum eſt, juſtum eſt: ſicut, exempli gratia, ut mina vendantur ſervi. Antequam enim lex ferretur, promiſcuum erat aut vendi aut non vendi ſervos, & in arbitrio dominorum: poſtquam vero ferri cœpit, non amplius: ſed hoc ipſum jus ſit, ut tanti vendantur. Talia enim ſunt quæ de ſingulis feruntur. Ut puta plebiſcita. Sicut cum ſenatui populoque videtur, ut coronam accipiat Demoſthenes, aut Themiſtocles Olympius dicatur. Hæc enim priuſquam decreta eſſent, erant promiſcua. Poſtquam autem ſunt, juſta videntur.

Quidam vero exiſtimant, nullum natura jus eſſe, ſed legitima omnia. Omnia enim quæ natura ſunt, immutabilia ſunt. *Δοκεῖ δ' ἐνίοις πάντα εἶναι τοιαῦτα, &c.* Ita ignis ubique calefacit & ſemper, tam apud nos quam in Ægypto, jura autem mutantur omnia. Mutuum enim accipere, nec tamen reddere, jus apud quoſdam habetur. Eodemque modo reliqua. Sed neque omnibus eadem videntur juſta, ex quo ſequitur, legitima eſſe jura omnia, neque ullum naturale. Ad hoc reſpondemus: non ſimpliciter moveri jus omne aut mutari. Licet enim apud homines concedamus mutari omnia, apud

Deos

Ariſtot. l.5.c.5.

Deos tamen aliquod neceſſe eſt jus eſſe immutabile. Ex quo ipſo ſequeretur, naturale aliquod jus eſſe. Nunc vero etiam inter homines, qui recte & ut oportet ſapiunt, immobile aliquod jus eſt, quod naturale dicitur. Quod ſi quibuſdam quibus mens laborat, aut perverſa eſt, jus non videatur, nihil refert. Neque enim, qui mel dulce eſſe dicit, mentitur, quia iis quibus mens laborat, non tale videtur. Ita jus naturale, jus quibuſdam, quibuſdam non videtur jus eſſe.

Ποῖον δὲ φύσει τῶν ἐν δικαίοις, &c.

* Ὑγιαῖνον fortè, ſicut μαινομένων.

Sed prioribus hominibus naturalis adeſt ratio, & mens ſana. Poſterioribus natura vitiata, & mens inſana. Quare nihil obſtare, quo minus naturale jus ſit, licet nonnulli homines jus illud non eſſe exiſtiment, conſtat. Cum vero jus utrumque & legitimum & naturale, eo quo diximus modo ſit mobile, quonam modo diſtinguetur, ſi utrumque ſit mobile? Eſt vero manifeſta diſtinctio. Ipſum enim per ſe jus examinabitur. Utrum videlicet omnibus conducat ut immobile maneat, an vero ſi mutetur, damnum inferre poſſit. Nam quod ita ſe habet, jus naturale eſt, quod ſecus, legitimum. Sic fieri videmus, ut omnes ſiniſtra manu juxta utantur ac dextra, & tamen nihilominus dextra melior videtur natura eſſe quam ſiniſtra. Legitima vero quæ ex inſtituto ſervantur jura, menſuris ſunt ſimilia, quæ aliæ ſunt alibi. Neque enim vini menſuræ aut frumenti, æquales ſunt ubique. Sed

θεοῖς ἀνάγκη δίκαιον εἶναι ἀμετάβλητον. Ὥστε εἶναί τι φυσικὸν δίκαιον. Νῦν δὲ ἐν παρ' ἀνθρώποις, τοῖς τε ὀρθῶς καὶ ὑγιῶς ἔχουσιν, ἐστὶ δίκαιον ἀκίνητον, ὃ φυσικὸν λέγεται· εἰ δὲ τοῖς νοσοῦσι τὰς φρένας καὶ διεστραμμένοις οὐ δοκεῖ δίκαιον, οὐδὲν διαφέρει, οὐδὲ γὰρ ὁ λέγων τὸ μέλι γλυκὺ εἶναι ψεύδεται, διότι τοῖς νοσοῦσιν οὐ τοιοῦτον δοκεῖ· τὸ τοίνυν δίκαιον τὸ φυσικὸν δοκεῖ μέν τισι δίκαιον, δοκεῖ δὲ ἄλλοις μὴ δίκαιον εἶναι.

Ἀλλὰ τὸ μὲν πρῶτον φυσικόν ἐστι καὶ * ὑγιαῖνον τῶν ἀνθρώπων. Τὸ δὲ δεύτερον παρὰ φύσιν καὶ μαινομένων ἀνθρώπων· ὅτι μὲν οὖν οὐδὲν κωλύει φυσικὸν εἶναι δίκαιον, ὅτι ἔνιοι δίκαιον οὐ νομίζουσιν αὐτὸ, δῆλον. Ἐπεὶ δὲ καὶ τὸ νομικὸν δίκαιον κινητόν ἐστι καὶ τὸ φυσικὸν ὃν εἴρηται τρόπον, τίνι διακριθήσονται καὶ ἀμφότερα κινούμενα, καὶ ἔστιν ἡ διάκρισις φανερά. Αὐτὸ γὰρ ἐξετασθήσεται τὸ δίκαιον καθ' ἑαυτὸ, εἰ συμφέρει πᾶσιν ἀκίνητον ὂν, καὶ εἰ καταλυθὲν βλάβην ἐπενεγκεῖν δύναται καὶ εἰ οὕτως ἔχει. φυσικὸν δίκαιόν ἐστιν· εἰ δὲ μὴ τοῦτον, νομικόν. Καὶ γὰρ ἐνδέχεται μὲν πάντας τῇ ἀριστερᾷ [illegible] ὡς δεξιᾷ χρήσασθαι, ἡ μὲν [illegible] δεξιὰ φύσει φαίνεται κ[illegible]των εἶναι τῆς ἀριστερᾶς. Τὰ δὲ νομικὰ δίκαια κατὰ συνθήκην τηρούμενα, ὅμοιά ἐστι τοῖς μέτροις, ἅπερ ἄλλα ἀλλαχοῦ γίνονται. Τὰ γὰρ οἰνηρὰ καὶ σιτηρὰ μέτρα, οὐ πανταχοῦ εἰσὶν ἴσα, ἀλλ' οὗ μὲν

μὲν ὠνοῦνται τὸν οἶνον ἢ τὸν σῖτον, μείζω τὰ μέτρα ποιοῦσιν, οὗ δὲ πωλοῦσιν, ἐλάττω. Τὸν αὐτὸν δὴ τρόπον ἔχει καὶ τὰ μὴ φυσικὰ ἀλλὰ ἀνθρώπινα καὶ κατὰ συνθήκην γινόμενα δίκαια. Οὐ γὰρ τὰ αὐτὰ πανταχοῦ· ἐπεὶ οὐδὲ πολιτεία μία πᾶσιν, ἀλλὰ μία πανταχοῦ πολιτεία, ἡ κατὰ φύσιν ἀρίστη· ὥσπερ καὶ τὸ φυσικὸν δίκαιον ἓν πανταχοῦ ἐν ταῖς εὐνομουμέναις πολιτείαις.

Καὶ οὕτως ἔχει πρὸς τὰς ἐν αὐταῖς πράξεις, ὡς τὸ καθόλου πρὸς τὰ καθέκαστα. Τὰ μὲν γὰρ πραττόμενα πολλά, τὸ δὲ δίκαιον, ἢ τὸ νόμιμον, ἕν. Καθόλου γάρ ἐστιν. Οὐ γὰρ τόνδε τὸν ἀριστέα κελεύει τιμᾶσθαι, καὶ τοιάνδε τιμὴν, ἀλλὰ καθόλου πάντα ἀριστέα ἁπλῶς τιμᾶσθαι.

ubi emunt vinum aut frumentũ; majores quoq; faciunt menſuras; ubi vero vendunt, minores. Eodem quoq; modo ſe habent ea, quæ non naturalia, ſed humana & ex pacto hominum inſtituta jura ſunt. Neq; enim eadem ſunt omnibus. Si quidem nec una omnibus reip. ratio eſt: cum una ſit ubique, quæ natura eſt optima. Sicut jus naturale, in omni quæ recte conſtituta eſt Republica, unum quoque eſt. Ariſtot. 5. c. 5.

Eoq; modo ad ea quæ in illa aguntur ſe habet, ſicut univerſalia ſe habent ad ſingularia. Licet enim actiones ſint multæ, unum tamen eſt idemq; id quod juſtum aut legitimum vocamus. Univerſale eſt enim. Neq; enim hunc aut illum qui ſtrenue in bello operam navarit, jubebit honore affici, aut certum aliquem proponet, ſed quemcunq; qui idẽ fecerit ſimpliciter honore proſequi. Τῶν δὲ δικαίων καὶ νομίμων ἕκαστον ὡς τὰ καθόλου, &c.

ΚΕΦ. ιά.

CAP. XI.

Τί ἐστι δικαίωμα, καὶ δικαιοπράγημα, καὶ ἀδικοπράγημα.

Διαφέρει δὲ δικαίωμα τοῦ δικαίου, καὶ τὸ ἀδίκημα τοῦ ἀδίκου· δίκαιον μὲν [illegible], ὅπερ ἁπλῶς θεωρεῖ[illegible], καὶ καθόλου, ἢ νομι[illegible], ἢ φυσικὸν, οἷον τὸ τὸν ἀνδροφόνον ἀποθνήσκειν· ὅταν δὲ τὸ τοιοῦτο δίκαιον ἐν τοῖς καθέκαστα γίνηται, καὶ ὅδε ὁ ἀνδροφόνος τὸν δὲ τὸν τρόπον ἀποθάνῃ, τότε δικαίωμα καλεῖται. Ὁμοίως δὲ καὶ ἐπὶ τοῦ ἀδίκου καὶ ἀδικήματος

Quid ſit juſte factum, quod δικαίωμα vocant: quid item quod δικαιοπράγημα & ἀδικοπράγημα dicitur.

Differt autem juſte factum & juſtum, injuria item & injuſtum: quod juſtum ſit illud quod ſimpliciter conſideratur & in univerſum, ſive lege ſit, ſive natura. Sicut, exempli gratia, ut homicida morte mulctetur. Cum v. juſtum ejuſmodi, in ſingularibus conſiſtit, ſicut exempli gratia, ut talis homicida tali morte mulctetur, tunc juſte factum vocatur. Eodemque modo in injuria ſe habet & inju-

Ariſtot. l.5.c 5.

injuſto. Et *δικαιοπράγημα* quidem in genere omnis juſta vocatur actio, ſive injuriam puniat, ſive præmio proſequatur virtutem: *δικαίωμα* vero proprie injuſtitiæ vindicta eſt. Quot autem tam hujus, quam illius ſint ſpecies, poſthac videbimus.

Ὀύτων δὲ τῶν δικαίων δὲ ἀδίκων τῶν εἰρημένων &c.

Nunc hoc prius dicamus. Cum juſta & injuſta eo quo diximus ſe habeant modo, injuſte juſteque quis agit, cum ea ſponte facit: cum v. invitus, nec injuſte per ſe facit nec juſte, ſed tantum per accidens. Quia per ſe nec juſtæ ſunt actiones, nec injuſtæ. Nondum enim injuſti facti iis competit definitio, quæ in eo quod ſponte eſt conſiſtit. Sunt .n. invitæ. Sed quia vel juſtitiæ æqualitas, vel inæqualitas iis injuſtitiæ accidit, ideo juſtæ aut injuſtæ dicuntur per accidens, & qui agunt eas, injuſte juſteve agere dicuntur. Per ſe enim cum ſponte erit actio, tunc injuria erit & injuſtum factum. Sine eo autem, injuſtum quidem egerit, nondum tamen actio ea futura eſt injuria. Neque enim qui facit eſt injuſtus, licet faciat injuſta. Fieri enim poteſt, quemadmodum in ſuperioribus oſtendimus, ut injuſta aliquis faciat, nec ſit injuſtus tamen. Ita demum namque eſt injuſtus, ſi in poteſtate ejus erit actio, neque à quoquam cogatur, ſed omnes norit circumſtantias, nec in iis fallatur. Ut, exempli gratia, quem feriat, & qua de cauſa. Hæc autem in ſuperioribus quæ de-

ἔχει. Καλεῖται δὲ δικαιοπράγημα μὲν πᾶσα πρᾶξις δικαία, κἄντε ἀδικίας ἔκτισις ᾖ, κἄντε ἀρετῆς ἀντιπόδοσις· δικαίωμα δὲ ἰδίως, ἡ τῆς ἀδικίας τιμωρεία. Ὁποῖα δὲ καὶ πόσα εἴδη δικαιοπραγημάτων καὶ δικαιωμάτων εἰσὶν, ὕστερον ἐπισκεψόμεθα.

Νῦν δὲ ἐκεῖνο λέγωμεν. Οὕτως οὖν ἐχόντων τῶν δικαίων, καὶ τῶν ἀδίκων, ὡς εἴρηται, ἀδικεῖ μὲν ἢ δικαιοπραγεῖ, ὅταν ἑκών τις αὐτὰ πράττῃ, ὅταν δὲ ἄκων, οὔτε ἀδικεῖ οὔτε δικαιοπραγεῖ καθ' αὑτὸ, ἀλλὰ κατὰ συμβεβηκός· αἱ γὰρ πράξεις καθ' ἑαυτὰς οὐκ εἰσὶν ἄδικοι οὔτε δίκαιαι· οὐ γὰρ ἐφαρμόσει αὐταῖς ὁ ὁρισμὸς τοῦ ἀδικοπραγήματος, ὃς συνίσταται ἐν τῷ ἑκουσίῳ· ἀκούσιοι γάρ εἰσιν· ἀλλ' ὅτι συμβέβηκεν αὐταῖς ἡ ἰσότης τῆς δικαιοσύνης, ἢ ἡ ἀνισότης τῆς ἀδικίας, διὰ τοῦτο ἄδικοι λέγονται κατὰ συμβεβηκὸς, καὶ οἱ πράττοντες αὐτὰς ἀδικοπραγεῖν, ἢ δικαιοπραγεῖν· καθ' αὑτὸ δὲ, ὅταν ἑκούσιον ᾖ τὸ ἔργον, τότε καὶ ἀδίκημα ἔσται, καὶ ἀδικοπράγημα· χωρὶς δὲ τοῦ ἑκουσίου ἄδικον μὲν ἔσται πεποιηκώς· ἡ πρᾶξις δὲ οὐκ ἔσται ἀδίκημα· αὐτὸς γὰρ οὐκ ἔστιν ἄδικος, εἰ καὶ ἄδικα ποιεῖ. Ὡς γὰρ ἐν τοῖς προηγουμένοις ἐδείχθη, δυνατόν ἐστι ἄδικα μὲν ποιεῖν, ἄδικον δὲ μὴ εἶναι· τότε γὰρ ἄδικός ἐστιν, ὅταν ἡ πρᾶξις ἐπ' αὐτῷ ᾖ, καὶ μηδεὶς βιάζηται, καὶ εἰδὼς καὶ μὴ ἀγνοῶν τὰ περιστατικὰ πάντα. Οἷον τίνα τύπτει, καὶ τίνος ἕνεκα· ταῦτα δὲ ἐν τοῖς

προ-

περὶ ἑκουσίου καὶ ἀκουσίου διωρισάμεθα. Ὁμοίως δὲ καὶ ἐπὶ τῶν δίκαια ποιούντων ἐστί· τότε γάρ τις δίκαιός ἐστι, καὶ τὸ ἔργον δικαιοπράγημα καθ' αὑτὸ, ὅταν ἑκουσίως γίνεται· ὁ γὰρ τὴν παρακαταθήκην ἀποδοὺς διὰ φόβον, οὔτε δικαιοπραγεῖ, οὔτε δίκαιός ἐστιν, ἀλλὰ κατὰ συμβεβηκὸς λέγεται· ταῦτα δὲ ἔτι διαιρετέον ἀκριβέστερον.

eo quod ſponte erant & inv'to, definivimus. Eodemque modo in iis qui juſta agunt ſe res habet. Tunc enim juſtus eſt aliquis juſtumque hoc factum quod agit, cum ſit ſponte. Qui enim præ metu reddit depoſitum, neque juſte facit, neque eſt juſtus. Sed tantum per accidens ita vocatur. Verum hæc accuratius ſunt diſtinguenda. Ariſtot. l. 5. c. 5.

ΚΕΦ. ιβ'.

Περὶ ἀδικημάτων καὶ ἀτυχημάτων, καὶ συγγνωστῶν καὶ ἀσυγγνώστων.

ΑΙ γὰρ ἐν ταῖς κοινωνίαις βλάβαι, αἱ μὲν ἑκούσιοι εἰσίν, αἱ δὲ ἀκούσιοι· καὶ τῶν ἀκουσίων, αἱ μὲν ἁμαρτήματα λέγονται, αἱ δὲ ἀτυχήματα. Καὶ ἁμάρτημα μέν ἐστιν, ὅταν τις βλάψῃ τινὰ ἀκουσίως μὲν, παρέχων δέ τινα τῆς βλάβης αἰτίαν. Οἷον, εἴ τις ἐν ὁδῷ τοξεύων, ἐν ᾗ ἐνεδέχετο ἄνθρωπον παριέναι, ἐφόνευ[illegible] τινα· οὗτος γὰρ ἄκων μὲν ἀπ[illegible]τεινε τὸν ἄνθρωπον, παρ[illegible]χε δὲ αἰτίαν τοῦ φόνου τὸ ἐν [illegible]τῷ τοξεύειν· ἀτύχημα [illegible] ἐστιν, ὅταν παρὰ πά-[illegible] προσδοκίαν ἡ βλάβη συμβῇ. Οἷον, εἴ τις τοξεύων ἐπ' ἐρημίας οὕτω συμβὰν, παριόντα τινὰ ἀπέκτεινεν. Ἐνταῦθα γὰρ παράλογός τις ἡ βλάβη συνέβη καὶ παράδοξος, καὶ οὐδὲν ἐς αὐτὸ συνετέλεσεν ὁ βλάψας, εἰ μὴ κατὰ

CAP. XII.

De injuriis ac infortuniis: tum de iis quæ veniam merentur, & quæ contra.

EA etenim quæ in ſocietatibus inferuntur damna, aut ſponte ſunt aut invita. Eorum autem quæ invita ſunt, alia errata dicuntur, alia infortunia. Et erratum quidem eſt, cum aliquis alium lædit, invitus quidem, ſed ita ut aliquam lædendi adferat cauſam. Ut exempli gratia, ſi quis in via in qua evenit ut tranſire homo poterat jaculatus fuerit, hominemque tranſeuntem percuſſerit. Hic enim invitus quidem interfecit hominem; neq; propterea tamen cauſam non præbuit, quod nimirum in eo loco ſagittatus fuerit. Contra infortunium eſt, cum præter omnem expectationem damnum infertur. Ut ſi quis in deſerto loco jaculatur, ibiq; forte fortuna hominem tranſeuntem interficit. Hic n. præter rationem atq; opinionem omnium damnum illatum eſt, neq; quicquam, niſi per acci-

Τῶν δὲ ἑκουσίων τὰ μὲν προελόμενοι, &c.

Ariſtot. l. 5. c. 5.

accidens, attulit qui læſit: exteriuſque eſt omnis cauſa cædis.

*Ὅταν δὲ εἰδώς, &c.

Earum autem quæ ſunt ſponte, aliæ ex præelectione, aliæ non ex præelectione dicuntur, injuriæ. Et ex præelectione quidem, quæ inito prius conſilio: quoties aliquis re excuſſa prius & deliberata, damnum infert, idque ob hoc ipſum, ut noceat. Non ex præelectione, quæ per affectum fiunt, ſine ulla deliberatione: ut cum quis per ſubitum iræ impetum lædit aliquem, aut vi paupertatis oppreſſus, furatur: nec tamen hoc ipſum proponit ſibi ut male faciat, ſed ut egeſtati ſuccurrat ſuæ. Hæc ergo ambo, tam quæ non ex præelectione, quam quæ ex præelectione, injuriæ dicuntur.

*Ὅταν δὲ ἐκ προαιρέσεως &c.

Eorum autem qui eas inferunt, is qui conſulto nocet, injuſtus eſt & improbus: qui per affectum autem, ſive is ſit naturalis, ut ira aut dolor, ſive neceſſarius, ut fames metuſque, is nec injuſtus eſt nec improbus.

Διὸ καλῶς τὰ ἐκ θυμοῦ, &c.

Ideoque & à judicibus diſtinguitur, qui propulſat injuriam ab eo qui inchoat. Inchoare autem dicitur non qui impulſu iræ facit aliquid, ſed qui iræ illius cauſa eſt. Qui & accuſatur ut injuſtus. Hic enim damni fuit auctor. Ideoque qui incipit, negat ſe incepiſſe, qui vero propulſat damnum quidem quo afficit eum qui incipit fatetur, ſed aut vindicatam dicit aut relatam à ſe injuriam, quod non ſponte, ſed ab eo qui prius nocuit, iraſci ſit

συμβεβηκὸς, ἀλλ' ἔξωθεν ἡ αἰτία πᾶσα τοῦ φόνου.

Τῶν δὲ ἑκουσίων τὰ μὲν ἐκ προαιρέσεως λέγονται, τὰ δὲ οὐκ ἐκ προαιρέσεως ἀδικήματα· καὶ ἐκ προαιρέσεως μὲν τὰ προβεβουλευμένα, ὅταν τις σκεψάμενος καὶ βουλευσάμενος, τὴν βλάβην ποιήσῃ δι' αὐτὸ τοῦτο, ἵνα βλάψῃ. Οὐκ ἐκ προαιρέσεως δὲ, τὰ ἐκ πάθους τινὸς γινόμενα, καὶ μὴ προβεβουλευμένως, οἷον ὅταν τις βλάψῃ τὸν πέλας ἀθρόον τῷ θυμῷ συσχεθεὶς, ἢ ὑπὸ ἐνδείας τυραννούμενος κλέψῃ, οὐκ αὐτὸ τοῦτο βουλόμενος κακουργεῖν, ἀλλὰ τὴν ἔνδειαν παραμυθήσασθαι. Ταῦτα δὲ ἑκάτερα, τά τε ἐκ προαιρέσεως, καὶ οὐκ ἐκ προαιρέσεως ἀδικήματα λέγονται.

Τῶν δὲ πραττόντων αὐτὰ, ὁ μὲν ἐκ προνοίας βλάπτων, ἄδικός ἐστι καὶ πονηρός. Ὁ δὲ ὑπὸ πάθους κινηθεὶς ἢ φυσικοῦ, οἷον ὀργῆς ἢ λύπης, ἢ ἀναγκαίου, ὥσπερ πείνης ἢ φόβου, ὁ τοιοῦτος οὐκ ἔστιν ἄδικος οὐδὲ πονηρός.

Διὰ τοῦτο καὶ διακρίνεται παρὰ τοῖς δικασταῖς ὁ ἀμυνόμενος τοῦ προκατάρξαντος. Ἄρχει δὲ οὐχ ὁ θυμῷ ποιῶν, ἀλλ' ὁ κινήσας αὐτὸν εἰς ὀργήν· ὃς καὶ ἐγκαλεῖται ὡς ἄδικος· οὗτος γὰρ ἐγένετο τῆς βλάβης αἴτιος· καὶ τοῦτο χάριν ὁ μὲν προκατάρξας ἀπαρνεῖται μὴ προκατάρξαι, ὁ δὲ ἀμυνάμενος, τὴν βλάβην μὲν ὁμολογεῖ, ἣν ἔβλαψε τὸν ἄρξαντα, ἄμυναν δὲ καὶ ἀνταπόδοσιν ὀνομάζει διὰ τὸ μὴ οἴκοθεν, ἀλλὰ παρὰ τοῦ βλαβέντος, εἰς τὴν ὀργὴν

ὀργὴν κινηθῶσι· οὐ γὰρ, ὥσπερ ἐν τοῖς ἑκουσίοις συναλλάγμασιν ἔχει, οὕτω κἀνταῦθα ἡ ἀμφισβήτησις γίνεται· ἐν ἐκείναις μὲν γὰρ ἡ πρᾶξις ἀμφισβητεῖται, οἷον, εἰ ἔλαβε τὴν παρακαταθήκην ἢ τὸ δάνειον, καὶ λαβὼν οὐκ ἀπέδωκε. κἂν τοῦτο δειχθῇ, πονηρὸς εὐθὺς καὶ ἄδικός ἐστιν, εἰ μὴ ἐπιλαθόμενος ἀρνεῖται. Ἐνταῦθα δὲ ἡ μὲν πρᾶξις ὁμολογεῖται καὶ φανερά ἐστιν. Ὃ γάρ τις ὀργῇ ποιεῖ, φανερῶς ποιεῖ· ἀμφισβητεῖται δὲ, εἰ δικαίως ἐπάταξεν, ἢ ἀδίκως. Ὥστε ὁ μὲν προκατάρξας καὶ ἐπιβουλεύσας ἄδικος οἴεται εἶναι, καὶ διὰ τοῦτο οὐχ ὁμολογεῖ προκατάρξαι· ὁ δὲ ἐρεθισθεὶς παρ᾽ ἐκείνου· μὴ ἄδικος εἶναι νομίζει, καὶ διὰ τοῦτο τὴν βλάβην ὁμολογεῖ.

Φαίνεται δὲ καὶ ἀπὸ τούτου, ὅτι ὅσα διὰ θυμὸν, ἢ ἄλλα πάθη, καὶ οὐ διὰ μοχθηρίαν, ἀδικεῖ τις, κατ᾽ ἐκεῖνα οὐκ ἔστιν ἄδικος, ὁ δὲ ἐκ προνοίας, ἄδικός ἐστι καὶ πονηρὸς οὐ μόνον ἐν τῷ διορθωτικῷ δικαίῳ, ἀλλὰ καὶ ἐν τῷ διανεμητικῷ, ἐάν τις μὴ [illegible] τὸ ἴσον καὶ ἀνάλογον δια[illegible]μῃ. Ὁμοίως δὲ καὶ δίκαι[illegible]ν ἐν ἑκατέρῳ τῶν δι[illegible] ὁ μὴ διὰ πάθος, [illegible] τοῦ ἀγαθοῦ ἕνεκα τὸ δί[illegible]ον ποιῶν· ὁ γὰρ ὑπὸ πάθους κινηθεὶς, ἢ λύπης, ἢ ἔρωτος, καὶ δικαιοπραγήσας, δίκαια μὲν ἐποίησε, δίκαιος δὲ οὐκ ἔστιν.

Ἐπεὶ δὲ τῶν ἀκουσίων ἀδικημάτων τὰ μὲν συγγνώμης τυγχάνει, τὰ δ᾽ οὔ,

coactus. Neque enim, quemadmodum in iis quæ ſponte fiunt contractibus, ita hic in controverſiam res venit. Ibi enim factum vocatur in dubium. Ut, exempli-gratia, an depoſitum aliquis acceperit aut mutuum, atq; ita quod accepit non reddiderit. Quod ſi oſtendatur, injuſtus ſtatim eſt ac improbus, niſi per oblivionem negaverit. Hic vero factum conceditur, & manifeſtum eſt. Quod enim per iram facit aliquis, manifeſte facit: tantum quæritur an juſte percuſſerit aut injuſte: Itaque qui incepit & cum conſilio fecit, injuſtus putatur eſſe: ideoque non fatetur ſe incepiſſe. Qui vero ad iram provocatus eſt ab eo, non putat ſe injuſtum eſſe, ideoque damnum fatetur. — Ariſtot. l. 5. c. 5.

Sed & hinc manifeſtum eſt, ex iis quæ vel per iram, vel alium quemcunque affectum, non autem per improbitatem fiunt, injuriis, neminem injuſtum eſſe, qui vero conſulto id facit, injuſtus eſt & improbus, idque non in correctivo tantum, ſed & diſtributivo jure: ſi quis non ex æqualitate diſtribuat aut proportione. Sicut in utroque quoque juſtus eſt jure, qui non ex affectu, ſed honeſti cauſa, quod juſtum eſt facit. Qui enim ab affectu impellitur aliquo, ſive is mœror ſit ſive amor, ut agat, juſtum quidem fecit, non tamen eſt juſtus. — Ἂν δ᾽ ἐκ προαιρέσεως βλάψῃ, &c. — Τῶν δ᾽ ἀκουσίων, τὰ μέν ἐστι συγγνωμονικά, τὰ δ᾽ οὐ συγγνωμονικά, &c.

Cum earum autem quæ invito fiunt injuriarum, aliæ veniam conſequantur, aliæ non

Ariſtot. l. 5. c. 5. conſequantur: dicendum quæ digna ſint venia, quæ non ſint: Quæ ergo non inſciens tantum, ſed etiam per inſcientiam aliquis committit, venia digna ſunt: quæ vero inſciens, non tamen per inſcientiam, ſed per affectum, qui neque naturalis eſt, neque humanus, qualis eſt metus, aut mœror, fameſve aut alia neceſſitas, ſed luxuriem quandam (ut qui vinum odoratum bibere aut perdicem comedere deſiderat) hæc hujuſmodi veniam non merentur. Poteſt autem aliquis per inſcientiam etiam inſciens peccare. Ut cum aliquis qui ignorat malum eſſe patrem exigere, noctu patrem, quoniam non novit, exigit ex ædibus. Qui enim non novit univerſale, inſciens facere dicitur, qui vero ignorat ſingulare, per inſcientiam: qui vero utrumque & inſciens & per inſcientiam dicitur peccare: cui etiam venia datur. Inſciens autem & non per inſcientiam, quoties quis ignorat univerſale, ut exempli gratia, malum eſſe furari, & tamen furatur: non quia ignoret, ſed per improbitatem aut affectum, qui neque neceſſarius eſt, neque naturalis, ut eſt dictum.

ῥητέον τίνα τὰ συγγνωστὰ, καὶ τίνα τὰ ἀσύγγνωστα. Ὅσα μὲν οὖν τις ἁμαρτάνει καὶ ἀγνοῶν καὶ δι' ἄγνοιαν, συγγνωστά· ὅσα δὲ ἀγνοῶν μὲν, οὐ δι' ἄγνοιαν δὲ, ἀλλὰ διὰ πάθος, ὃ μήτε φυσικόν ἐστι μήτε ἀνθρωπικὸν, οἷον φόβον, ἢ λύπην, ἢ πεῖναν, ἢ ἄλλην ἀνάγκην, ἀλλὰ τρυφήν τινα, οἷον διὰ τὸ ὀρέγεσθαι πιεῖν ἀνθοσμίου, καὶ φαγεῖν πέρδικος, τὰ τοιαῦτα ἀσύγγνωστά ἐστι. Ἔστι δὲ τὸ μὲν δι' ἄγνοιαν καὶ ἀγνοοῦντα ἁμαρτάνειν, οἷον ὅταν τις ἀγνοῶν, ὅτι κακὸν τὸ τὸν πατέρα ἀπελαύνειν, νυκτὸς ἀγνοήσας τὸν πατέρα ἀπελαύνῃ τῆς οἰκίας. Ὁ μὲν γὰρ μὴ εἰδὼς τὸ καθόλου, ἀγνοῶν λέγεται ποιεῖν· ὁ δὲ μὴ εἰδὼς τὸ μερικὸν, δι' ἄγνοιαν. Ὁ δὲ ἄμφω μὴ γινώσκων, καὶ ἀγνοῶν καὶ δι' ἄγνοιαν λέγεται ἁμαρτάνειν, ὃς καὶ συγγινώσκεται· ἀγνοῶν δὲ καὶ οὐ δι' ἄγνοιαν, ὅταν τις ἀγνοῇ μὲν καθόλου, ὅτι κακὸν τὸ κλέπτειν, κλέπτει δὲ οὐ διότι ἀγνοεῖ, ἀλλὰ διὰ μοχθηρίαν καὶ πάθος, * ὃ οὔτε ἀναγκαῖόν ἐστιν, οὔτε φυσικὸν, ὡς εἴρηται.

* Τὸ ὅτι, delendum videtur, vel deeſt τὸ ὅ.

CAP. XIII.

Fieri non poſſe ut injuria aliquis afficiatur ſponte.

Ἀπορήσειε δ' ἄν τις, &c. POſſemus fortaſſe tamen non ſatis diſtincte adhuc egiſſe de juſto ac injuſto videri. Cum enim inferre injuriam & accipe-

ΚΕΦ. ιγ'.

Ὅτι οὐ δυνατὸν ἑκόντα ἀδικεῖσθαι.

ΔΟξειε δ' ἂν μὴ ἱκανῶς διωρίσθαι περὶ δικαίου καὶ ἀδίκου· ἐπεὶ γὰρ τὸ ἀδικεῖν τῷ ἀδικεῖσθαι ἀντίκειται, διει-

διειλομένων δὲ τὸ ἀδικεῖν εἴς τε τὸ ἑκούσιον καὶ ἀκούσιον, διαιρετέον ἂν εἴη τὸ ἀδικεῖσθαι εἰς ἑκούσιον καὶ ἀκούσιον, ὃ καὶ Εὐριπίδῃ δοκεῖ. Φησὶ γὰρ εἶναί τι ἀδικεῖσθαι ἑκούσιον, λέγων πως.

Μητέρα κατέκτα τὴν ἐμὴν, βραχὺς λόγος,

Ἑκὼν ἑκοῦσαν, καὶ θέλουσαν οὐχ ἑκών.

Δεῖ γὰρ, ἐπεὶ ἀντίκειται, ἢ ἅπαν τὸ ἀδικεῖν ἑκούσιον εἶναι, καὶ τὸ ἀδικεῖσθαι πᾶν ἀκούσιον· ἢ ἐπεὶ διῄρηται τὸ ἀδικεῖν, καὶ τὸ μὲν ἑκούσιόν ἐστι, τὸ δὲ ἀκούσιον, καὶ τὸ ἀδικεῖσθαι οὕτω διῃρῆσθαι, ἵνα θατέρῳ θάτερον ἀντικέῃ. Τὸν αὐτὸν δὲ τρόπον δοκεῖ καὶ ἐπὶ τοῦ δικαιοῦν καὶ δικαιοῦσθαι· ἀλλὰ τὸ μὲν νομίζειν πᾶν ἀδικεῖσθαι ἢ δικαιοῦσθαι, ἑκούσιον εἶναι, ἄτοπον· καὶ γὰρ καὶ ἄκων πολλάκις τις δικαιοῦται ὅταν ἀδικήσας κολασθῇ· ὁμοίως δὲ καὶ τὸ εἶναί τι ἑκούσιον ἀδικεῖσθαι, οὐδὲ τοῦτο ἐστὶν ἀληθές· ἀεὶ γὰρ ἀκουσίως τις ἀδικεῖται· δικαιοῦται δὲ ποτὲ μὲν ἀ-[illegible]ως, ποτὲ δὲ ἑκου-[illegible]· ὁ μὲν γὰρ ἀδικῶν, [illegible]όμενος ἀκουσίως δι[illegible]αι· ὁ δὲ ἀδικούμενος [illegible]κούμενος, ἑκουσίως δι[illegible]αιοῦται.

Ἀλλὰ περὶ μὲν τοῦ δικαιοῦσθαι, τὰ εἰρημένα ἀρκείτω, περὶ δὲ τοῦ ἀδικεῖσθαι, ὅτι οὐ δυνατὸν ἑκούσιον εἶναι, ῥητέον ἐπ' ἀκριβέστερον.

Καὶ πρῶτον ἐροῦμεν τοὺς λόγους, ὅθεν δοκεῖ συνάγεσθαι

re, ſint contraria, jam vero inferri injuriam, aut ſponte dixerimus aut invito, etiam perpeſſio injuriæ in ſpontaneam erit dividenda & invitā. Quod & Euripidi videtur: qui ſatis oſtēdit ſponte aliquē injuriam accipere poſſe. Ariſtot. l. 5. c. 5.

Matrem ut necarim, ſi lubet, brevi eloquar,

Sponte utriuſque, aut illius, ſed non mea.

Cum enim duo hæc ſint oppoſita, alterum neceſſe erit, aut ſponte inferri, invito autem accipi omnem injuriam, aut ſi diſtinguitur illatio injuriæ, aliaq; ſponte, alia invito infertur, etiam perpeſſionem ita diſtingui, ut alteri opponatur alterum. Eodemq; modo fieri videtur, quoties aut ipſi jus ſuum alteri deferimus, aut ipſi ab alio noſtrum obtinemus. Atqui exiſtimare, ſemper injuriam aut jus accipere, ſponte eſſe, eſt abſurdum; ſæpe enim invitus aliquis jus ſuum conſequitur, cum injuriæ cauſa punitur. Similiterq; ſponte poſſe accipi injuriam, nè hoc quidem verum eſt: ſemper enim invitus quis accipit injuriam, Jus vero vel invitus aliquis conſequitur vel ſponte. Qui enim injuriæ cauſa punitur, invitus jus ſuum conſequitur. Sicut contra qui ab injuria vindicatur, ſponte jus ſuum accipit.

Verum enimvero de conſequendo jure ſuo, hæc ſufficiant. De accipienda autem injuria, ſponte nimirum id fieri non poſſe, accuratius agendum eſt. Ἄτοπον δ' ἂν δόξειε, &c.

Ac primo quidem argumenta proponemus, ex quibus inferri poſſe Ἐπεὶ καὶ τόγε διαπορῆσ[illegible] &c.

Ariſtot. l. 5. c. 5.

poſſe videtur, ſponte aliquem injuriam poſſe accipere. Cum enim ſponte injuriam facere, nihil aliud ſit, quam injuſte aliquem lædere; quoties nec damnum, nec is qui læditur, nec ulla deniq; rei ignoratur circumſtantia, idque proprio inſtinctu fit nec cogente alio: erit viciſſim ſponte injuriam accipere, nihil aliud, quam injuſte damno affici: quoties quis & damnum, & eum qui infert, omneſq; rei novit circumſtantias: & cum poſſit propellere, tolerat tamen. Illud autem fieri, manifeſtum eſt. Incontinens enim & ab alio damno afficitur, & cum ſciat omnia & propulſare poſſit, tolerat nihilominus. Unde ſequitur fieri poſſe, ut ſponte aliquis injuriam accipiat. Præterea ſe quoque ipſe incontinens lædit, & quidem ſponte: ex quo apparet ſponte à ſe ipſo injuriam accipere, eſſe injuriam pati. Sponte autem aliquis injuriam patitur. Sæpe enim, exempli gratia, qui æquiores ſunt reliquis in diſtribuendo, minus quam merentur accipiunt volentes, quod injuſtum quidem eſt, ſed tamen fit ſponte: ſponte ergo afficiuntur injuria. Unde apparet poſſe fieri ut aliquis ſponte accipiat injuriam. Atqui eſt contrarium, fieri non poſſe ut aliquis volens injuriam accipiat. Quia tunc injuriam accipit, cum injuſta præter voluntatem patitur ſuam: nam ut aliquis præter voluntatem patiatur aliquid, pugnat cum definitione ejus quod eſt ſponte: unde ſequitur fieri non poſſe, ut aliquis velit accipere injuriam: ac nè in-

ἑκουσίως τινὰ δύνασθαι ἀδικεῖσθαι. Ἐπεὶ γὰρ ἑκουσίως ἐστὶν ἀδικεῖν, τὸ βλάπτειν ἀδίκως τινὰ, εἰδότα καὶ τὴν βλάβην καὶ τὸν βλαπτόμενον, καὶ μηδὲν ἀγνοοῦντα τῶν περὶ τὸ πρᾶγμα, καὶ ἔτι οἴκοθεν κινούμενον καὶ οὐκ ἔξωθεν βιαζόμενον, εἴη ἂν τὸ ἑκουσίως ἀδικεῖσθαι τὸ βλάπτεσθαι παρὰ τὸ δίκαιον, εἰδότα τὴν βλάβην καὶ τὸν βλάπτοντα, καὶ πάντα τὰ περὶ τὸ πρᾶγμα, καὶ ἀνέχεσθαι, δυνάμενον ἀποσείσασθαι· τοῦτο δὲ ὅτι γίνεται, φανερόν· ὁ γὰρ ἀκρατὴς καὶ ὑφ' ἑτέρου βλάπτεται, καὶ εἰδὼς πάντα, ἀνέχεται, δυνάμενος ἀποσείσασθαι· δυνατὸν ἄρα ἐστὶν ἑκόντα τινὰ ἀδικεῖσθαι· ἔτι δὲ καὶ αὐτὸς ἑαυτὸν ὁ ἀκρατὴς βλάπτει, καὶ ἑκουσίως. Ἑκουσίως ἄρα ἑαυτὸν ἀδικεῖσθαι ἐστὶ, τὸ ἄδικα πάσχειν· πάσχει δέ τις ἄδικα ἑκών· οἱ γὰρ ἐπιεικέστεροι ἐν ταῖς διανομαῖς ἐλάττω τῆς ἀξίας λαμβάνουσι βουλόμενοι. Ὅπερ ἄδικον μὲν ἐστὶν, ἑκούσιον δέ. Ἀδικοῦνται ἄρα ἑκουσίως· ἔστιν ἄρα τι ἀδικεῖ[illegible] ἑκούσιον· ἀλλὰ τοὐναντίο[illegible] ἐστὶν, ἀδύνατον εἶναι ἀ[illegible]θαι τινὰ ἑκουσίως. [illegible] γάρ τις ἀδικεῖται, ὅ[illegible] πάσχει ἄδικον παρ[illegible] αὐτοῦ βούλησιν. Τὸ γὰρ πάσχειν τι παρὰ τὴν ἑαυτοῦ βούλησιν τινὸς, ἐναντίον ἐστὶ τῷ λόγῳ τοῦ ἑκουσίου· ὥστε οὐ δυνατὸν βούλεσθαι τινὰ ἀδικεῖσθαι, οὐδὲ τὸν ἀκρατῆ· καὶ οὗτος

γὰρ

γὰρ ἀγαθὰ βούλεται ἑαυτῷ, καὶ οὐκ ἀνέχεται ἀδικεῖσθαι ἁπλῶς. Ταύτης δὲ τῆς βλάβης ἀνέχεται. Οἴεται γὰρ μὴ βλάπτεσθαι· καὶ οἴεται μὲν δέον εἶναι πράττειν ἃ ὠφελήσει, πράττει δὲ τὰ βλάπτοντα, οἰόμενος μὴ βλάπτοντα εἶναι. Ὥστε οὐ δυνατόν ἐστιν, ἀδικεῖσθαί τινα ἑκόντα. Ἀπὸ τούτου δὲ καὶ τὰ ἐκ τοῦ ἐναντίου ἐπιχειρήματα λύεται. Καὶ γὰρ ἀδικεῖ τις, ὅταν βλάπτῃ τινὰ ἑκὼν παρὰ τὴν τοῦ βλαπτομένου βούλησιν· ὁμοίως δὲ καὶ ἀδικεῖται, ὅταν ἄδικα πάσχῃ παρὰ τὴν ἑαυτοῦ βούλησιν. Τὸ δὲ ἑκόντα ἄδικα πάσχειν, οὐκ ἔστιν ἀδικεῖσθαι· ὥσπερ γὰρ τὸ ἄδικον ποιεῖν, οὐ πάντως ἐστὶν ἀδικεῖν, οὐδὲ ὁ ἄδικα ποιῶν ἄδικος, ὡς ἀνωτέρω δέδεικται, οὕτως οὐδὲ πᾶς ὁ πάσχων ἄδικα, ἀδικεῖται· ἀλλ' ὥσπερ ὁ ἀπατῶν τὸν νοσοῦντα ἰατρὸς, ἢ ὁ κλέπτων τὴν τοῦ μαινομένου μάχαιραν, ἄδικα μὲν ποιεῖ, ἄδικος δὲ οὐκ ἔστι, διότι πρὸς σωτηρίαν ὁρᾷ τοῦ νοσοῦντος, καὶ οὐ ζημιοῦν, ἀλλὰ κερδαίνειν ποιεῖ, οὕτω καὶ ὁ ἐν ...ς διανομαῖς ἐλάττω λαμ-...ων τῆς ἀξίας, οὐκ ἀδι-...αυτὸν, εἰ καὶ ἄδικα πά-... οὐ γὰρ ἵνα βλάψῃ ἑαυ-...ν, ἀνέχεται τῶν ἐλαττόνων ἀξιούμενος, ἀλλ' ἵνα ὠφελήσῃ μᾶλλον, δόξαν μετριότητος καὶ ἐπιεικείας λαβόντα· ἔπειτα εἰ καὶ βλάπτειν ἑαυτὸν ἀνέχεται, οὐκ ἀδικεῖται· οὐ γὰρ παρὰ τὴν αὐτοῦ βούλησιν τὰ ἀδι-

continens quidem. Ille enim ea quæ bona ſunt vult ſibi, neque ut injuria afficiatur ſimpliciter admittit. Hoc vero damnum admittit, quia non putat injuria ſe affici. Et cum exiſtimet quæ è re ſua futura ſunt, agenda eſſe, agit quæ nocent, cum ignoret talia eſſe ut poſſint nocere. Ex quo apparet fieri non poſſe, ut injuria ſponte afficiatur aliquis: unde objectiones etiam ſolvuntur contrariæ. Injuriam enim facit, cum ſponte quis lædit alium, idque præter voluntatem ejus qui damno afficitur. Eodemque modo injuriam accipit, cum injuſta patitur præter voluntatem ſuam. At vero ſponte injuſta pati, non eſt injuriam accipere. Sicut enim injuſta agere, non ſemper eſt agere injuſte, neque qui injuſta agit, injuſtus eſt, ut ſupra oſtendimus: ſic nec quicunque injuſta patitur, afficitur injuria. Sed ſicut qui ægrum decipit medicus, aut qui inſani gladium furatur, injuſta facit quidem, non tamen injuſtus eſt, quia nimirum ſalutem reſpicit ægri, neq; damni illi, ſed potius lucri cauſa eſt: ita qui in diſtribuendo minus quam meretur accipit, non infert ſibi injuriam, licet injuſta patiatur. Non enim ut noceat ſibi ipſe patitur minora quam oportet ſibi aſſignari, ſed ut proſit magis: hoc eſt, ut modeſtiæ, & æquitatis conſequatur laudem. Deinde, licet damnum inferri ſibi à ſe ipſo patiatur, nondum tamen injuriam accipit. Neq; enim præter voluntatem ſuam in-

Ariſtot. l.5.c.5.

juſta

Ariſtot. l.5.c.5

juſta patitur: hoc autem eſt, injuria affici. Qui enim meliora mutavit cum deterioribus, ſicut Glaucum Homerus ait commutaſſe, *Aurea cum æreis: quæque centum æſtimarentur bobus, cum iis quæ novem:* non accipit injuriam. Volens enim dedit. Qui vero injuriam accipit, invitus damno afficitur. Quare fieri non poteſt, ut volens aliquis injuriam accipiat, ut autem damnum accipiat volens, hoc poteſt.

κατὰ πάσχει· τοῦτο γάρ ἐστιν ἀδικεῖσθαι· ὁ γὰρ ἀλλαξάμενος τὰ βελτίω τῶν ἐλαττόνων, ὥσπερ φησὶν Ὅμηρος τὸν Γλαῦκον τῷ Διομήδει δοῦναι,

Χρύσεια χαλκείων ἑκατόμβοι', ἐννεαβοίων,

οὐκ ἀδικεῖται. Βουλόμενος γὰρ ἔδωκεν· ὁ δὲ ἀδικούμενος ἀκουσίως βλάπτεται· οὐκ ἄρα δυνατὸν ἀδικεῖσθαί τινα ἑκόντα, βλάπτεσθαι δὲ ἑκόντα δυνατόν.

CAP. XIV. — ΚΕΦ. ιδ'.

Utrum qui injuſte diſtribuit, an qui injuſte accipit, majorem faciat injuriam.

Περὶ τοῦ πότερον ἀδικεῖ μᾶλλον ὁ διανέμων ἀδίκως, ἢ ὁ λαμβάνων.

Ἐπεὶ δ' ἂν προῃρήμεθα, &c

Jam illud explicandum eſt, utrum injuriam faciat, is qui injuſte diſtribuit, nec ſecundum proportionem, an vero qui plus accipit quam ipſe meretur. Videtur certe facere per ſe injuriam is qui diſtribuit, per accidens vero is qui accipit. Ille enim per ſe injuriam facit qui ſponte illud facit: ſponte vero penes quem actionis cauſa eſt, & faciundi principium. At vero diſtributionis penes eum qui diſtribuit, eſt principium. Qui ergo diſtribuit, majorem per ſe injuriam facit quam is qui accipit. Nec enim penes hunc eſt principium, ut diximus. Neq; qui injuſta facit dicitur injuriam facere, niſi per accidens. Sicut, exempli gratia, manus dicitur occidere, aut gladius, aut lapis: cum penes eos tamen non ſit cædis

Ῥητέον δὲ ἐκεῖνο, πότερον ἀδικεῖ ὁ διανέμων ἀδίκως καὶ μὴ κατὰ ἀνάλογον, ἢ ὁ λαμβάνων τὸ πλέον τῆς ἀξίας τῆς ἑαυτοῦ· φαίνεται δὲ, ὅτι ὁ διανέμων ἀδικεῖ καθ' αὑτὸ, ὁ δὲ λαμβάνων κατὰ συμβεβηκός· ἐκεῖνος γὰρ ἀδικεῖ καθ' αὑτὸ [illegible] ὃς ἑκὼν τοῦτο ποιεῖ. Ἑκὼν δέ [illegible] τις ποιεῖ, ὅταν ᾖ παρ' [illegible] τῆς πράξεως ἡ αἰτία καὶ ἡ [illegible] χὴ τοῦ ποιεῖν. Τῆς δὲ διαν[illegible] ἡ ἀρχὴ παρὰ τῷ διαν[illegible] τι. Ὁ ἄρα διανέμων τὸ [illegible] ἀδικεῖ καθ' αὑτὸ, ἀλλ' οὐχ ὁ δεχόμενος· οὐ γὰρ ἐπ' αὐτῷ ἐστὶν ἡ ἀρχὴ, καθὼς εἴρηται· οὐ γὰρ ὁ ποιῶν τὰ ἄδικα ἀδικεῖν λέγεται, εἰ μὴ κατὰ συμβεβηκὸς, ὥσπερ λέγεται καὶ ἡ χεὶρ φονεύειν, ἢ μάχαιρα, ἢ λίθος, παρ' οἷς οὐκ ἔστιν

ἀρχὴ

ἀρχὴν τοῦ φόνου, οὐδὲ ἀφ' ἑαυτῶν πράττουσιν· ἄδικα μὲν γὰρ ποιοῦσιν, ἀδικοῦσι δὲ οὐδαμῶς. Ὁ δὲ διανέμων ἀδίκως, εἰ μὲν ἀγνοῶν τοὺς νόμους ἔξω τοῦ νομικοῦ δικαίου ἔκρινεν, οὐκ ἀδικεῖ κατὰ τὸν νόμον, οὐδὲ ἄδικος ἡ κρίσις ἐστίν· ἕτερον δὲ τρόπον ἀδικεῖ, λέγω δὲ κατὰ τὸ φυσικὸν δίκαιον. Ἄλλο γὰρ τὸ νομικὸν δίκαιον, καὶ ἄλλο τὸ φυσικόν· οἷον, νόμου ὄντος τὸν ἀριστέα πλείω ἔχειν ἐν ταῖς διανομαῖς, ὁ διανέμων ἀγνοήσας τὸν νόμον, παρ' ἴσων τοῖς ἄλλοις ἠξίωσεν· οὗτος τοίνυν κατὰ μὲν τὸ νομικὸν δίκαιον οὐκ ἠδίκησεν· ἠγνόησε γὰρ τὸν νόμον· ὁ δὲ δι' ἄγνοιαν τὰ ἄδικα πράττων οὐκ ἀδικεῖ. Ἐπεὶ δὲ καὶ φυσικὸς νόμος ἐστὶ τοὺς εὐεργέτας ἀντευποιεῖν, καὶ μὴ ἀγνοῶν, ἅτε φυσικὸν ὄντα, παρέβη, κατὰ τοῦτον ἄδικός ἐστιν· εἰ δὲ καὶ τὸν νόμον γινώσκων καὶ τὸ φυσικὸν δίκαιον, παρέβη καὶ ἀδίκως ἔκρινε, καὶ τὸ πλέον ἔνειμεν ᾧ μὴ προσῆκεν, οὐ μόνον [illegible] λαβόντα πλεονεκτεῖν ἐ[illegible]σεν, ἀλλὰ καὶ αὐτὸς [illegible]νεκτεῖ· καὶ γὰρ, εἴτε διὰ [illegible]ν, ἢ δι' ἔχθραν, ἢ διὰ [illegible] ἠδίκησε, συμμερίζε[illegible] τὸ ἀδίκημα· πλεονεκτεῖ γὰρ καὶ αὐτὸς, ἢ χάριτος πρὸς τὸν φίλον, ἢ τιμωρίας εἰς τὸν ἐχθρὸν, ἢ ἀργυρίου· καὶ διὰ τοῦτο καὶ αὐτὸς κοινωνεῖ τοῦ ἀδικήματος τῷ πλέον λαβόντι· καθάπερ γὰρ εἰ ἀγρόν τις ἀδίκως, ᾧ μὴ προσ-

principium, neq; ex ſe ipſo agant. Injuſta enim faciunt, injuriam vero neutiquam. Qui vero diſtribuit injuſte, ſi leges ignorans præter legitimum jus judicavit, non facit injuriam ſecundum legem, neq; injuſtum eſt judicium. Alia vero ratione injuriam facit, ſecundum naturale. Aliud enim jus legitimum, aliud eſt naturale. Ut, exempli gratia, ponamus legem eſſe, ut qui ſtrenue rem geſſit plus accipiat: eum autem qui diſtribuit, cum legem ignoret, æquam ei cum aliis partem tribuere. Hic ergo ſi legitimum jus cogites, injuſte non fecit, qui ignorabat legem: qui vero per inſcientiam injuſta facit, non facit injuſte. Cum vero lex naturalis jubeat, ut eum qui bene fecerit præmiis viciſſim proſequamur, quam cum ignorare utpote naturalem non potuerit & tamen prætergreſſus ſit, hujus reſpectu injuſtus eſt. Quod ſi præterquam quod legem eſſe non ignoraverit, naturale quoque jus prætergreſſus fuerit, injuſteque judicarit, eique cui minime competebat plus tribuit; non ſolum eum qui accepit plus habere fecit, ſed & ipſe plus habet. Etenim ſive amicitiæ ſive odii aut conſequendi precii cauſa injuſte fecit, dividitur injuria. Plus enim conſequitur ipſe, vel gratiæ reſpectu, ſi amicum videas, vel vindictæ, ſi inimicum, vel pecuniæ denique. Ideoque & cum altero qui plus accepit, injuriæ eſt particeps. Sicut enim, exempli gratia, ſi quis agrum aliquem cui non competebat

Ariſtot. l. 5. c. 5.

pecu-

Ariſtot. l. 5. c. 5.

pecunia tradiderit, is dividere agrum illum dicitur cum eo qui accepit; quamvis non agrum, ſed pecuniam acceperit: ita qui in diſtribuendo fecerit injuſte, ut vel ſibi gratificari vel amico poſſit, in partem lucri venit, injuriæque fit conſors. Et ille quidem qui accipit plus habet, fecitque quod injuſtum eſt: quamvis ne ſic quidem injuſte fecerit, niſi vel muneribus vel alia probabili ratione in partes ſuas eum qui diſtribuit adduxerit. Qui vero diſtribuit & plus ea qua dictum eſt ratione habet, etiam eſt injuſtus.

σήκεν, ἔδωκεν ἀργυρείου, συμμερίσασθαι λέγεται τὸν ἀγρὸν τῷ λαβόντι· καί τοι οὐκ ἀγρὸν ἔλαβεν, ἀλλ' ἀργύριον, οὕτω καὶ ὁ ἐν ταῖς διανομαῖς ἀδικήσας, ἵνα ἢ ἑαυτῷ ἢ φίλῳ χαρίσηται, μετέχει τοῦ πλεονεκτήματος, καὶ συμμερίζεται τὸ ἀδίκημα· καὶ ὁ μὲν λαβὼν πλέον μὲν ἔχει, καὶ ἄδικα ἐποίησεν· οὐκ ἠδίκησε δὲ, εἰ μὴ δώροις, ἢ ἄλλῃ τινὶ πειθοῖ τὸν διανομέα παρέπεισεν· ὁ δὲ διανομεὺς καὶ τὸ πλέον ἔχει ὃν εἴρηται τρόπον καὶ ἄδικός ἐστι.

CAP. XV.

Non facile eſt cuilibet juſtum ſemper aut injuſtum eſſe.

Οἱ δ' ἄνθρωποι ἐφ' ἑαυτοῖς, &c.

QUidam autem injuſte agere aut juſtum eſſe facile exiſtimant, ſtatimq; qui velit modo juſtum poſſe aut injuſtum fieri. Atqui hoc non ita ſe habet. Etenim agere quæ juſta aut injuſta ſunt, ſicut reddere pecuniam, aut proximum percutere, facile eſt & volentis. At vero juſtitiæ aut injuſtitiæ habitum conſequi, quod tempus & exercitationem requirit, cujus reſpectu habitus, juſtus aut injuſtus aliquis vocatur, illud v. in poteſtate non eſt noſtra, ita, ut facilè, ſimul ac vult aliquis, illud conſequatur.

Ἀλλὰ τὸ εἰδ' ἔχοντας ταῦτα ποιεῖν, &c.

Eodemque modo juſti & injuſti facilem eſſe arbitrantur ſcientiam, eaq; cognoſcere nullius eſſe ſapientiæ. Quia ea de qui-

ΚΕΦ. ιε.

Ὅτι οὐ ῥᾴδιον παντὶ ἑκάστοτε ἄδικον ἢ δίκαιον εἶναι.

ΤΙνὲς δὲ τὸ ἀδικεῖν ἢ δίκαιον εἶναι ῥᾴδιον νομίζουσι, καὶ ἅμα τῷ θελῆσαι δυνατὸν εἶναι δίκαιον ἢ ἄδικον γενέσθαι· τοῦτο δὲ οὐχ οὕτως ἔχει. Τὸ μὲν γὰρ πρᾶξαι τὰ δίκαια ἢ τὰ ἄδικα, καὶ ἢ δοῦναι ἀργύριον, ἢ πατάξαι τὸν πλησίον, ῥᾴδιόν ἐστι καὶ τοῦ βουλομέ[illegible] νου· τὸ δὲ ἢ δικαιοσύνης [illegible] ἔχειν ἢ ἀδικίας, ὃ χρόν[illegible] σκήσεως δεῖται, δι' ἃς [illegible] ἢ δίκαιός τις ἢ ἄδικος [illegible] γεται, τοῦτο δὲ οὐκ ἔστιν ἐφ' ἡμῖν, ὥστε ἅμα τῷ βούλεσθαι, καὶ ῥᾴδιον εἶναι κτήσασθαι.

Ὁμοίως δὲ νομίζουσι καὶ τὴν γνῶσιν τῶν δικαίων, καὶ τῶν ἀδίκων ῥᾳδίαν εἶναι, καὶ τὸ δύνασθαι ταῦτα γινώσκειν, οὐδὲν οἴονται σοφὸν εἶναι· ὅτι περὶ ὧν οἱ

οἱ νόμοι λέγουσιν, οὐ χαλεπὸν συνιέναι. Ταῦτα δ' εἶναί φασι τὰ δίκαια. Οὐκ εἰσὶ δὲ, εἰ μὴ κατὰ συμβεβηκός· οὐ γὰρ ἁπλῶς οὕτω πραττόμενος ὁ νόμος, δίκαιός ἐστιν ἑκάστοτε καὶ ὡς ἔτυχε, πληρούμενος, καὶ παρ' ὧν, ἀλλ' ὡς δεῖ, καὶ ὅτε δεῖ, καὶ παρ' ὧν δεῖ. Τὸ δὲ ταῦτα καθ' ἕκαστον τῶν νόμων εἰδέναι, δυσχερέστερόν ἐστι τοῦ τὰ ὑγιεινὰ εἰδέναι. Ἐπεὶ κἀκεῖ, μέλι καὶ οἶνον καὶ ἐλλέβορον, καὶ καῦσιν, καὶ τομὴν εἰδέναι ῥάδιον· ἀλλὰ πῶς δεῖ τούτων ἕκαστον πρὸς τὴν ὑγίειαν τάξαι, καὶ τίνι προσενεκτέον, καὶ πότε, τοσοῦτον ἔργον, ὅσον ἰατρὸν εἶναι.

Διὰ ταῦτα δὴ καὶ τὸν δίκαιον νομίζουσι δύνασθαι ἀδικεῖν οὐδὲν ἔλαττον τοῦ ἀδίκου, ἀλλὰ καὶ πλέον, διὰ τὸ ἄδικα δύνασθαι πράττειν· δύναιτο γὰρ ἂν καὶ πατάξαι τὸν οὐδὲν ἠδικηκότα καὶ ὑφελέσθαι τὰ ἀλλότρια· καὶ ὁ ἀνδρεῖος ῥίψαι τὴν ἀσπίδα καὶ φυγεῖν· ἀλλ' οὐ τὸ τὰ ἄδικα πράττειν ἀδικεῖν ἐστὶν, οὐδὲ τὸ τὰ τοῦ δειλοῦ πράττειν δειλαίνειν ἐστὶ, πλὴν κατὰ συμβεβηκός. Ἀλλὰ τὸ μὲν τῆς ἕξεως τα πράττειν, τοῦτό ἐστι τὸ λαίνειν ἢ ἀδικεῖν· ὅταν τις θέλων ἁπλῶς, ἀλλὰ ι κινούμενος δειλίας ογῇ, ἢ τὴν ἕξιν ἔχειν ἀδικίας ἀδικῇ· ὥσπερ καὶ τὸ ἰατρεύειν, καὶ τὸ ὑγιάζειν, οὐ τὸ τέμνειν, ἢ φαρμακεύειν, ἢ μὴ φαρμακεύειν ἐστὶν, ἀλλὰ τὸ ὡς δεῖ, καὶ ὅτε δεῖ, ταῦτα ποιεῖν ἕξιν ἰατρικῆς ἔχοντα· τὸ μὲν οὖν ἐπανορθωτικὸν, καὶ

bus leges loquuntur non difficile ſit intelligere. Hæc autem dicunt eſſe juſta. Non ſunt tamen niſi per accidens. Neq; enim ſimpliciter lex ab aliquo obſervata juſta eſt ſemper, præſertim temere & à quovis: ſed quoties ut oportet, & cum oportet, & à quibus oportet, in actionibus ea obſervatur. Hoc vero in ſingulis ſcire legibus, difficilius eſt quam ſalubria cognoſcere. Si quidem ibi quoque mel & vinum & elleborum, & uſtionem & ſectionem, facile eſt noſſe: quomodo vero ad ſanitatem ſingula eorum adhibenda ſint, & cui & quando admovenda ſint, tam difficile eſt quam medicum eſſe. Ariſtot. l.5. c.5.

Ac propterea exiſtimant, virum juſtum nihilo minus quam injuſtum poſſe injuſte agere, imo vero etiam magis: quia injuſta poteſt agere. Poteſt enim non minus percutere aliquem à quo injuriam non accepit, & alienas res ſubripere. Sicut vir fortis, clypeum abjicere & fugere. Atqui injuſta agere non ſtatim eſt injuſte agere, neque quæ timidi ſunt agere, timide quoque agere, niſi per accidens. At cum habitu ea agere, hoc vero eſt timide agere & injuſte, quoties aliquis non quia vult, ſed affectu commotus timiditatis dat pœnas, aut quia injuſtitiæ habitum habet agit injuſte. Sicut mederi & ſanare, non ſecare aut medicamenta vel adhibere vel non adhibere eſt, ſed quemadmodum oportet, & cum oportet, & cum habitu medicinæ hoc facere. Ac correctivum quidem & diſtributivum

Δι' αὐτὸ δὲ τοῦτο καὶ τὸ δίκαιος &c.

tivum

Ariſtot. l.5.c.5

tivum jus, de quibus nobis dicere propoſitum erat, qualia per ſe ſint, & quomodo ſe habeant, hactenus definivimus.

Ἔστι δὲ τὰ δίκαια ἐν τούτοις, κτ.

Sequitur, ut quomodo jus ad æquum, ad æquitatem ſe habeat juſtitia, dicamus. Si illud modo ad ſuperiora, quæ de jure diximus, addiderimus: diſtributivum nimirum ac correctivum jus in iis verſari, quæ à ſimpliciter bonis trahunt aliquid. Ut puta in opibus aut gloria, in quibus exceſſus reperitur & defectus. In gloria enim poteſt aliquis excedere id quod oportet, ſicut & deficere. Eodemq; modo in opibus quoque. In ejuſmodi enim æqualitas quæritur & proportio. Iique qui participes ſunt horum, diſtributivo quoque jure habent opus aut correctivo. Jam vero apud Deos locum non habet inæqualitas: ſicut nec exceſſus apud eos aut defectus eſt. Quare neque locus ullus tali juſtitiæ. Sicut neque in ſceleſtis omnino hominibus, aut qui vel luxu aut alia penitus improbitate ſunt corrupti. Qui enim ſanitatem conſecuturi ſunt, neceſſe eſt partem aliquam habeant ſanam, ut ex illa medicus incipiat revocare ſanitatem: qui vero penitus corrupti ſunt, ſanari non poſſunt. Quare nullum in iis locum jus habet. In iis vero eſt hominibus, qui ea quæ juſta ſunt volunt, quantumque in hominis poteſtate eſt faciunt: rurſuſque peccant, quantum homini competit.

διανεμητικὸν δίκαιον, περὶ ὧν εἰπεῖν προύκειτο, τίνα ἐστὶ καθ' αὑτά, καὶ ὅπως ἔχει, διωρισάμεθα.

Νῦν δὲ ῥητέον ἐστὶ πῶς ἔχει τὸ δίκαιον, πρὸς τὸ ἐπιεικές, καὶ ἡ δικαιοσύνη πρὸς τὴν ἐπιείκειαν· ἐκεῖνο μόνον τῷ περὶ τοῦ δικαίου λόγῳ προσθέντες, ὅτι τὸ διανεμητικὸν, καὶ διορθωτικὸν δίκαιον ἐν ἐκείνοις ἐστὶν, ἃ μετέχουσι τῶν ἁπλῶς ἀγαθῶν· οἷον πλούτου ἢ δόξης, ἐν οἷς ὑπερβολὴ καὶ ἔλλειψις εὑρίσκεται· ἐν γὰρ δόξῃ καὶ ὑπερβάλλειν δυνατὸν τὸ δέον καὶ ἐλλείπειν· ὁμοίως καὶ ἐν πλούτῳ· ἐπὶ γὰρ τῶν οὕτως ἐχόντων ἡ ἰσότης καὶ ἡ ἀναλογία ζητεῖται· καὶ τοῖς μετέχουσι τούτων, τοῦ διανεμητικοῦ δικαίου χρεία καὶ τοῦ διορθωτικοῦ. Ἀλλ' ἐν μὲν τοῖς θεοῖς οὐκ ἔχει χώραν ἡ ἀνισότης, οὐδὲ ὑπερβολή ἐστιν ἐν ἐκείνοις, οὐδὲ ἔλλειψις. Ὅθεν οὐδὲ χρεία τῆς τοιαύτης δικαιοσύνης. Ἀλλ' οὐδὲ ἐν τοῖς φαύλοις παντάπασι τῶν ἀνθρώπων, καὶ ὑπὸ τρυφῆς καὶ τῆς ἄλλης μοχθηρίας διεφθαρμένοις· τοῖς γὰρ ὑγιάζεσθαι μέλλουσιν ἀνάγκη τι μόριον ὑγιὲς ἔχειν, ἵν' ἐκεῖθεν ὁ ἰατρὸς ἐπανα[illegible]λέσηται τὴν ὑγίειαν· οἱ δὲ [illegible]τάπασι διαφθαρέντες οὐ δ[illegible]ται θεραπευθῆναι· ὅθεν [illegible] ἐν αὐτοῖς ἔχει χώραν τὸ δί[illegible]ον· ἐν ἐκείνοις δέ ἐστι τῶν ἀνθρώπων ὅσοι βούλονται τὰ δίκαια καὶ ποιοῦσι κατὰ τὴν ἀνθρωπίνην δύναμιν, καὶ αὖθις ἁμαρτάνουσιν ὅσον ἀνθρώποις προσῆκε.

Aristot. l 5.c.10.

ΚΕΦ. ις'.

Περὶ ἐπιεικείας, καὶ τοῦ ἐπιεικοῦς.

Περὶ δὲ ἐπιεικείας, καὶ τοῦ ἐπιεικοῦς, πῶς ἔχει ἡ μὲν ἐπιείκεια πρὸς δικαιοσύνην, τὸ δ' ἐπιεικὲς πρὸς τὸ δίκαιον, ἀκόλουθόν ἐστιν εἰπεῖν. Καὶ γὰρ οὔτε πάντα ταυτά ἐστιν, οὔτε ἕτερα τῷ γένει. Καθόσον μὲν γὰρ τὸ ἐπιεικὲς ἐπαινεῖται μᾶλλον τοῦ δικαίου, καὶ ὁ ἐπιεικὴς ἀνὴρ τοῦ δικαίου βελτίων δοκεῖ· ἔτι δὲ καὶ ἐπὶ τὰ ἄλλα μεταφέρομεν, ὅταν ἐπαινεῖν δέῃ τινὰ τῶν ἀρετῶν· καὶ γὰρ ἐπιεικεστέραν τήνδε ἐκείνης λέγομεν, τὸ βέλτιον δηλοῦντες οὐ τὸ δικαιότερον· κατὰ τοῦτο δὲ ἄλλη τις δοκεῖ εἶναι παρὰ τὴν δικαιοσύνην ἡ ἐπιείκεια. Πάλιν δὲ τῷ λόγῳ ἀκολουθοῦσι φαίνεται ἄτοπον, εἰ τὸ ἐπιεικὲς ἄλλο παρὰ τὸ δίκαιον ὄν, ἐπαινετόν ἐστιν. Εἰ γὰρ ἐπαινετὸν, δίκαιόν ἐστι· πᾶν γὰρ ἐπαινετὸν δίκαιον, καὶ ἡ δικαιοσύνη τελεία ἐστὶν ρετὴ, ὡς ἐν τοῖς ἀνωτέρω έδεικται· εἰ δὲ οὐκ ἔστι δίαιον, οὐδὲ ἐπαινετόν. Ἢ εἰ πιεικὲς ἐπαινετὸν, τὸ δί- οὐκ ἔστιν ἐπαινετόν· ἡ μὲν οεία σχεδὸν διὰ ταῦτα ίνει. Ἔχει δὲ καὶ ἀμφότε- ορθῶς. τό, τε ἓν εἶναι τὸ ίκαιον καὶ τὸ διαφέρειν, καὶ οὐδὲν ἀλλήλοις ἐναντιοῦνται. Τὸ γὰρ ἐπιεικὲς καὶ δίκαιόν ἐστι, καὶ δικαίου τινὸς βέλτιον, ὶ οὐχ ὡς ἑτερογενὲς τοῦ δικαίου βέλτιόν ἐστιν αὐτοῦ, ἀλλ' ὡς μέρος ἄλλου μορίου ὁμο-

CAP. XVI.

De æquitate & æquo.

Iam vero de æquitate & æquo, quo nimirum modo ad juſtitiam æquitas, ad jus vero æquum ſe habeat, ſequitur ut dicamus. Neque enim vel in omnibus eadem, vel diverſa ſunt genere. Quatenus enim æquum magis laudatur quam jus, etiam vir æquus juſto melior habetur. Sed & quatenus ad alia eam vocem transferimus, cum nimirum laudare virtutem aliquam volumus (dicere enim ſolemus hanc illa æquiorem eſſe: quo non quod juſtius, ſed quod melius eſt ſignificamus) eatenus alia à juſtitia videtur eſſe æquitas. Rurſus vero cum rationem ipſam ſequi volumus, abſurdum videtur, ſi cum aliud à juſtitia ſit æquum, laudem mereatur tamen. Si enim laudandum eſt juſtum (omne enim laudandum juſtum eſt) & perfecta, quemadmodum in ſuperioribus oſtendimus, virtus eſt juſtitia. Quod ſi non eſt juſtum, nè laudandum quidem eſt. Aut ſi laudandum eſt id quod eſt æquum, non eſt laudandum id quod eſt juſtum. Hæc fere ſunt quæ dubitationem movent. Eſt autem utrumq; verum, tum idem jus eſſe tum aliud, neque hæc duo inter ſe pugnant, Etenim & jus, & jure melius eſt æquum. Neque ut alterius generis quam ipſum jus, illo eſt melius, ſed ut pars alterius partis, quæ ejuſdem ſit generis.

Cap. 10. Περὶ δὲ ἐπιεικείας καὶ τοῦ ἐπιεικοῦς, κ c

Cumque

Ariſtot. l.5.c.10

Cumque illud & honeſtum ſit & juſtum, magis tamen juſtum & honeſtum eſt æquum. Hujus vero dubitationis cauſa hæc fuit: quod ipſum quoque æquum jus eſt, non tamen ſecundum legem, quia non comprehenditur ſub lege; ſed quaſi legitimi quædam juris eſt emendatio. Hujus vero emendationis cauſa hæc eſt, quod univerſaliter pronunciet lex omnis: quibuſdam autem ſingularibus accommodari ſecundum rectam rationem hoc non poſſit. Quia, ut definitum quid lex eſt, ita definitum quid reſpicit, indefinita autem ſunt, nec uno eodemque modo ſe habent ſingularia. Ut, exempli gratia, lex jubet in genere, omnem qui muros urbis aſcendit peregrinum mori hominem. Forte fortuna aliquis aſcendit, qui egregium virtutis documentum dedit. Si ergo legem hanc illi qui rem geſſit ſtrenue accommodemus, atque interficiamus hominem, præter rectam rationem & quod juſtum eſt, agemus. Eodemque modo in multis habet aliis, & tamen nec in lege nec in legiſlatore eſt hoc erratum, ſed in ipſa rerum natura. Etenim lex quia fieri non poteſt, ut ſingularia comprehendat omnia, cum infinita ſint ea, quod ut plurimum fit ſumit, eoque reſpiciens fert legem. Neque propterea quod delictum tale ignoret legiſlator, nihil definivit in lege: ſed quia definitioni ſubjici rerum natura non patitur, cum alio atque alio ſe habeant modo. Indefinita enim rerum agendarum eſt ma-

γένους· καὶ σπουδαίου ὄντος καὶ αὐτοῦ καὶ δικαίου, τὸ ἐπιεικὲς δίκαιον σπουδαιότερόν ἐστι. Ταύτην δὲ τὴν ἀπορίαν εἰσήγαγεν, ὅτι τὸ ἐπιεικὲς δίκαιον μέν ἐστιν, οὐ κατὰ νόμον δὲ, οὐ γὰρ περιέχεται ὑπὸ νόμου, ἀλλ' ἔστιν ἐπανόρθωμα δικαίου νομίμου. Τὸ δὲ αἴτιον τῆς διορθώσεως, ὅτι ὁ μὲν νόμος ἅπας καθόλου διορίζεται· ἐπ' ἐνίοις δὲ τῶν καθέκαστα οὐ δυνατὸν ἐφαρμόζειν κατὰ τὸν ὀρθὸν λόγον, διὰ τὸ τὸν μὲν νόμον ὡρισμένον εἶναι, καὶ εἰς ὡρισμένον τι σκοπεῖν, τὰ δὲ καθέκαστα ἀόριστα, καὶ ἄλλοτε ἄλλως ἔχοντα· οἷον, ὁ νόμος κελεύει καθόλου πάντα τὸν ἐπὶ τὸ τεῖχος ἀνελθόντα ξένον ἀποθνήσκειν· ἀνελθὼν δέ τις ἠρίστευσεν· εἰ τοίνυν ἐφαρμόσωμεν τὸν νόμον τῷ ἀριστεῖ, καὶ ἀποκτείνωμεν παρὰ τὸν ὀρθὸν λόγον, καὶ τὸ δίκαιον ποιήσομεν. Ὁμοίως δὲ καὶ ἐπὶ ἄλλων πολλῶν ἔχει. Τοῦτο δὲ τὸ ἁμάρτημα οὐκ ἔστιν ἐν τῷ νόμῳ, οὐδὲ ἐν τῷ νομοθέτῃ, ἀλλ' ἐν τῇ τῶν πραγμάτων φύσει. Ὁ γὰρ νό[illegible] μος, ἐπεὶ ἀδύνατον τὰ [illegible] μέρος πάντα περιλαβεῖ[illegible] ειρα ὄντα, τὸ ὡς ἐπ[illegible] λαμβάνει, καὶ πρὸς τοῦτο [illegible] πῶν νομοθετεῖ· καὶ οὐκ ἀγ[illegible] τὸ ἁμάρτημα ὁ νομοθέτης ἀπροσδιόριστον ἀφῆκε τὸν νόμον, ἀλλὰ διὰ τὸ μὴ δυνατὸν εἶναι τὴν τῶν πραγμάτων φύσιν διορισμῷ καθυποβληθῆναι, ἄλλοτε ἄλλως ἐχόντων. Ἀόριστος γάρ ἐστιν ἡ τῶν πρακτῶν ὕλη, καὶ

πολλάς

πολλὰς ἔχει τὰς μεταβολάς. Διὰ τοῦτο τῶν ὡς ἐπὶ τὸ πλεῖστον συμβαινόντων οἱ νομοθέται στοχάζονται. Τὸ γὰρ ξένον ἐπὶ τὸ τεῖχος ἀνιόντα κατὰ τὸν καιρὸν τοῦ πολέμου τὴν πόλιν ὠφελῆσαι, ἐπ' ἐλάχιστα συμβαίνει· πλέον δὲ ἐνδέχεται κατὰ τῆς πόλεως ἀνέρχεσθαι· ἐπεὶ τοίνυν ἀναγκαῖον εἰδέναι πῶς δεῖ τοὺς τοιούτους νόμους τηρεῖν, καὶ ὅτε, καὶ ἐπὶ τίσιν, ἔδει τινὰ ἕξιν εἶναι καθ' ἣν δυνησόμεθα τὰ τοιαῦτα ἐπανορθοῦν ἁμαρτήματα· αὕτη δέ ἐστιν ἡ ἐπιείκεια, καθ' ἣν τὸ ἐλλεῖπον ἀναπληροῦται τοῦ νόμου, καὶ τὸ ἁμάρτημα ἐπανορθοῦται, καὶ τὸν προσδιορισμόν, ὃν ἐκεῖνος παρέλιπε, διὰ τὸ πάντα κατὰ μέρος οὐκ εἰδέναι, προστίθεται· ἐρεῖ γὰρ ὁ ἐπιεικής, πάντα τὸν ἀνιόντα ξένον ἀποθνήσκειν, εἴγε ἐμβουλεύσων ἀνῆλθεν· εἰ δὲ ἠρίστευσεν, οὐ μόνον σωτηρίας, ἀλλὰ καὶ γερῶν ἀξιωθήτω. Ταῦτα δὲ καὶ αὐτὸς ἂν εἶπεν ὁ νομοθέτης, εἴγε παρῆν· καὶ εἰ ᾔδει, ἐνομοθέτησεν ἄν. Τὸν αὐτὸν δὲ τρόπον καὶ τοὺς ἄλλους τοὺς ὁμοίους νόμους ὁ ἐπιεικὴς ἐπανορθώσεται. Διὸ [illegible] ἡ ἐπιείκεια δίκαιον μὲν [illegible] ελτιόν τινος δικαίου. Οὐ [illegible] θόλου δικαίου, ἀλλὰ τοῦ [illegible] ῦ, τοῦ διὰ τὸ καθόλου ἁμαρτανομένου· καὶ ἔστιν αὕτη ἡ φύσις ἡ τοῦ ἐπιεικοῦς ἐπανόρθωμα τοῦ νόμου, καθόσον ἁμαρτάνει καὶ ἐλλειπής ἐστι διὰ τὸ καθόλου· τοῦτο γὰρ αἴτιον καὶ τοῦ μὴ πάντα τὰ δικαίως γινόμενα κατὰ νόμον εἶναι, ὅτι καθόλου καὶ τῶν ὡς ἐπὶ

teria; multaſque mutationes admittit. Ideoque, quæ ut plurimum accidunt, legiſlatores reſpiciunt. Etenim ut homo peregrinus belli tempore muros aſcendat, atque ex iis urbi ſubſidium ferat, raro evenit: ſæpius vero ut in detrimentum urbis aſcendat. Cum ergo neceſſario illud ſit ſciendum, quo pacto ejuſmodi ſint ſervandæ leges; præterea quando & in quibus; oportet quoque habitum dari aliquem quo emendari errata poſſint ejuſmodi. Talis v. eſt æquitas, quæ defectum ſupplet legis, & emendat erratum, novamque definitionem quam prætermiſit illa, quia ſingularia non poteſt noſſe omnia, adjicit. Dicit enim vir æquus, omnem qui aſcendat peregrinum mori debere, ſi inſidiandi animo hoc fecerit. Sin feliciter rem geſſerit, non modo conſervari, ſed & præmiis affici debere. Quæ eadem & legiſlator dixiſſet, ſi adeſſe potuiſſet: aut ſi hoc ipſum ſciviſſet, legem ejuſmodi tuliſſet. Eodemque modo ſimiles etiam alias leges emendabit vir æquus. Ideoque jus quoddam, & ipſo jure melior eſt æquitas, non univerſali quidem ipſo, ſed legitimo, quod propter univerſale peccat. Eſtque ipſa æquitatis natura, legis emendatio, quatenus aut peccat propter univerſale aut deficit. Atque hæc cauſa eſt, cur neque omnia quæ juſte fiunt, ſint ſecundum legem, quia univerſales; & eorum quæ plerumque fiunt, ſunt

Ariſtot. l. 5. c. 10

Ariſtot. l.5.c.10. leges. Ac propterea decretis quibuſdam opus fuit, quæ in ſingulis à magiſtratu fiunt caſibus, quæ aliter quoque atque aliter ſe habent. Eorum autem quæ indefinita ſunt, indefinita quoque eſt regula. Sicut ædificationis Lesbiæ plumbea eſt regula, quæ ad figuram lapidis transferri atque inflecti ſolebat. Eodem enim modo ad res ipſas decreta transferuntur.

Φανερὸν δ' ἐκ τούτων, &c. Quid ergo ſit æquum, quid æquitas, tum quod jus ſit, & quomodo ad univerſale ſe jus habeat, & quo jure ſit melius, jam dictum eſt. Ex quibus etiam facile apparet, quis ſit æquus. Talis enim eſt, qui ea quæ dicta ſunt, conſulto præeligit atque agit: & qui non ſummum jus in deteriorem partem ſequitur, ſed imminuit, licet pro ſe legem habeat. Atque hic habitus æquitas, quæ juſtitia quædam eſt, non vero alius ab ea aut habitus diverſus.

τὸ πλεῖστον οἱ νόμοι· καὶ διὰ τοῦτο ψηφισμάτων ἐδέησεν, ἃ ποιοῦσιν οἱ πολιτευόμενοι ἐν τοῖς κατὰ μέρος πράγμασιν, ἄλλοτε ἄλλως καὶ αὐτοῖς ἔχουσι· τοῦ δ' ἀορίστου ἀόριστος ὁ κανὼν ἐστιν. Ὥσπερ καὶ τῆς Λεσβίας οἰκοδομῆς ὁ μολίβδινος κανών, ὃς μετεκινεῖτο πρὸς τὸ σχῆμα τοῦ λίθου· τὸν αὐτὸν γὰρ τρόπον καὶ τὰ ψηφίσματα πρὸς τὰ πράγματα μεταβάλλον).

Τί μὲν οὖν ἐστι τὸ ἐπιεικές, καὶ ἡ ἐπιείκεια, καὶ ὅτι δίκαιον, καὶ πῶς ἔχει πρὸς τὸ καθόλου δίκαιον, καὶ τίνος βέλτιον δικαίου, εἴρηται· δῆλος δ' ἀπὸ τούτων καὶ ὁ ἐπιεικής, τίς ἐστιν· ἔστι γὰρ ὁ τῶν εἰρημένων προαιρετικὸς καὶ πρακτικός· καὶ ὁ μὴ ἀκριβοδίκαιος ἐπὶ τὸ χεῖρον, ἀλλ' ἐλαττωτικός, καίπερ ἔχων τὸν νόμον βοηθόν· καὶ ἡ ἕξις αὕτη ἐπιείκεια, δικαιοσύνη τις οὖσα, καὶ οὐκ ἄλλη τις παρὰ ταύτην καὶ διάφορος ἕξις.

CAP. XVII.

Neminem poſſe ſeipſum injuria afficere.

DE accipienda autem plenius dicendum eſt injuria, utrumne aliquando eſſe poſſit voluntarium. Cum juſtitia ergo & injuſtitia, alia quidem univerſalis, quemadmodum dictum eſt, & perfecta ſit virtus, itidemque tale quoque vitium injuſtitia; altera vero ſingularis: manifeſtum eſt nec ſecundum univerſalem nec ſecun-

ΚΕΦ. ιζ'.

Ὅτι οὐ δυνατὸν ἀδικεῖσθα[illegible] ἑαυτόν.

ΡΗτέον δὲ περὶ τῶ[illegible] δικεῖσθαι πλεῶ[illegible] εἰ δύναταί ποτε ἑκ[illegible] εἶ). Ἐπεὶ τοίνυν ἡ δικαιοσύνη καὶ ἡ ἀδικία, ἡ μὲν καθολική τίς ἐστι καὶ τελεία ἀρετή, καθὼς δέδεικται, ὁμοίως δὲ καὶ ἡ ἀδικία κακία, ἡ δὲ μερική· φανερὸν ὅτι οὔτε κατὰ τὴν καθόλου, οὔτε κατὰ τὴν μερικὴν ἀδι-

ἀδικίαν δυνατόν τινα ἑαυτὸν ἀδικεῖν· δοκεῖ δὲ δυνατὸν εἶναι· διὰ ταῦτα τοῦ νόμου μὴ κελεύοντος ἑαυτόν τινα ἀποκτείνειν, παράνομόν ἐστι τὸ ἑαυτόν τινα ἀποκτείνειν· ὃ γὰρ μὴ κελεύει ὁ νόμος, ἀπαγορεύει. Τὸ δὲ παράνομον ἄδικον, καὶ ἀδικεῖ ὁ ἑαυτὸν ἀποκτείνας· ὁ δὲ ἀδικῶν, τινὰ ἀδικεῖ· δῆλον δὴ ὅτι ἑαυτὸν ἀδικεῖ· τοῦτο δὲ καὶ ἑκουσίως ἐποίησεν· ἑκουσίως ἄρα ἀδικεῖται. Ἔτι δὲ καὶ ὁ παρὰ τὸν νόμον βλάπτων τινὰ, καὶ μὴ ἀμυνόμενος, καὶ ἀντιβλάπτων, ἀλλὰ προκατάρχων τῆς βλάβης, ἑκὼν ἀδικεῖ. ὅταν καὶ γινώσκει τὴν βλάβην καὶ τὸν βλαπτόμενον, καὶ τ' ἄλλα τὰ περὶ τὸ πρᾶγμα· ὁ δὲ δι' ὀργὴν ἑαυτὸν ἀποσφάξας, οὔτε ἀμύνεται ἑαυτὸν, καὶ γινώσκει καὶ ἑαυτὸν, καὶ τὴν βλάβην, καὶ πάντα τὰ περὶ τὸ πρᾶγμα· ἑκὼν ἄρα ἀδικεῖ· εἰ δὲ ἑκὼν ἀδικεῖ, καὶ ἑκὼν ἀδικεῖται. Διὰ ταῦτα μὲν οὖν δοκεῖ δυνατὸν εἶναι ἑκουσίως ἀδικεῖσθαί τινα κατὰ τὴν καθόλου ἀδικίαν, ἥ τις ἐστὶν ἐναντία τῇ καθόλου δικαιοσύνῃ, ἥ τις χρῆσίς ἐστι πάσης ἀρετῆς. Τὸ γὰρ δι' ὀργὴν ἑαυτὸν ἀποσφάττειν, ἐναντίον ἐστὶ τῷ κατὰ τὴν πρᾳότητα νόμῳ. Τοῦτο δὲ ὅτι ἀδύνατόν ἐστιν, ἀπὸ τῶν προειρημένων ἐλείχθη. Ὁ γὰρ ὁρισμὸς τοῦ ἀδικεῖσθαι, ἐναντίος ἐστὶ τῷ τοῦ ἑκουσίου λόγῳ.

Ὁ δὲ ἐναντίος λόγος,

dum ſiugularem injuſtitiam poſſe aliquem ſibi injuriam facere, quamvis poſſe videatur. Ac propterea cum lex non jubeat ut aliquis ſe interficiat, præter legem eſt ut aliquis id faciat: Quod enim lex non jubet, id vetat: quod vero præter legem eſt, id injurium eſt, facitque injuriam qui ſe ipſe interficit: qui vero injuriam facit, alicui quoque eam facit, ſequitur ergo ut eam ſibi faciat. Hoc ipſum autem ſponte etiam facit, quare ſponte quoque accipit injuriam. Præterea, qui præter legem lædit aliquem, nec id ulciſcendi cauſa facit, aut damnum damno rependit, ſed damni autor eſt, ſponte injuriam facit: cum præſertim, & damnum, & eum cui infertur, & reliquas quoque norit circumſtantias. Qui vero iratus ſibi manus infert, neque ulciſcitur ſe ipſe, & tum ſe tum damnum reliquaſque rei novit circumſtantias, quare & ſponte injuriam facit. Quod ſi ſponte injuriam facit, ſponte etiam accipit. Ideoque fieri poſſe videtur, ut ſponte aliquis injuriam ſecundum univerſalem accipiat injuſtitiam: quæ univerſali eſt contraria juſtitiæ: quam totius virtutis quaſi applicationem eſſe, certum eſt. Nam primo ut aliquis per iram manus ſibi inferat, cum manſuetudinis pugnat lege. Illud vero fieri non poſſe, ex ſuperioribus ſatis oſtendimus. Ipſa enim quæ docet quid ſit injuriam accipere, definitio, voluntarii contraria eſt definitioni.

Contraria vero opinio, qua-

Ariſtot. l. 5. c. 18.

Ἀλλὰ π-ρα, &c.

Ariſtot. l.5.c.10.

tenus ſponte injuriam dicit facere eum qui ſibi manus infert, verum dicit: quatenus vero ſibi injuriam ait facere, falſum ait. Neque enim ipſe injuriam accipit (quandoquidem nec præter voluntatem illi accidit hoc malum) ſed urbs contra, quæ cum damno ſuo, ducem puta, vel militem, vel architectum, vel civem denique aliquem ſimpliciter, & quidem præter voluntatem amittit ſuam.

Διὸ καὶ ἡ πόλις, &c

Ac propterea, tanquam ad ſe ſpectet injuria, pœnas ab eo exigit, eumque ulciſcitur, ut poteſt. Neque enim corpus ſepulturæ tradi permittit.

*Ἔτι καθ' ὃ ἄδικος ὁ μόνον ἀδικῶν, &c

Atque ita quidem ſecundum univerſalem juſtitiam ſponte injuriam non accipi, oſtendimus. Secundum vero ſingularem, in quam plus habendo peccatur, quomodo fieri poſſit, ut injuriam ſibi ipſe inferat aliquis? Si enim injuriam facere, in hac injuſtitia nihil eſt aliud, quam plus habere alio, habebit ipſe plus ſe ipſo, qui ſibi injuriam facit. Si vero plus ſeipſo, etiam minus: idemque & addet ſibi & demet, quod fieri non poteſt. Neceſſe enim eſt jus ejuſmodi in duobus eſſe ad minimum. Ita enim & addi poterit & demi: ita inferri injuria & accipi.

Neceſſe eſt præterea, ut is qui injuriam facit, prius quam is qui accipit, damnum inferat: ſed & ut ſponte id faciat, & cum præelectione. Qui enim idem quia accipit reddit, facere injuriam non videtur. Eum vero qui ſibi injuriam facit, ſimul & facere injuriam neceſſe eſt & ac-

καθόσον μὲν ἑκουσίως ἀδικεῖν φησὶ ἀποσφάξαντα ἑαυτὸν, ἀληθεύει· καθόσον δέ φησιν αὐτὸν ἀδικεῖν, ψεύδεται· οὐ γὰρ αὐτὸς ἀδικεῖται, οὐ γὰρ παρὰ τὴν βούλησιν αὐτοῦ τὸ κακὸν, ἀλλὰ ἡ πόλις, ἣ ζημιοῦται στρατηγὸν, ἢ στρατιώτην, ἢ οἰκοδόμον, ἢ πολίτην ἁπλῶς, καὶ παρὰ τὴν αὐτῆς βούλησιν.

Διὰ τοῦτο καὶ ὡς ἠδικημένη δίκας ἀπαιτεῖ παρ' αὐτοῦ, ἀμυνομένη αὐτὸν δι' ὧν ἔξεστιν· οὐ γὰρ ἐᾷ θάπτειν τὸ σῶμα.

Κατὰ μὲν οὖν τὴν καθόλου ἀδικίαν, ὅτι οὐχ ἑκούσιον τὸ ἀδικεῖσθαι, δέδεικται· κατὰ δὲ τὴν μερικὴν, ἥ τις ἐστὶν ἡ πλεονεξία, πῶς δυνατὸν ἑαυτόν τινα ἀδικεῖν; εἰ γὰρ τὸ ἀδικεῖν κατὰ ταύτην τὴν ἀδικίαν οὐδὲν ἄλλο ἐστὶν, ἢ τὸ πλέον ἔχειν θατέρου, ἕξει αὐτὸς ἑαυτοῦ πλέον ὁ ἑαυτὸν ἀδικῶν· εἰ δὲ πλέον ἑαυτοῦ, καὶ ἔλαττον· καὶ εἴη ἂν τὸ αὐτὸ καὶ προσθήκη αὐτῷ καὶ ἀφαίρεσις· ὅπερ ἀδύνατον· ἀνάγκη γὰρ τὸ τοιοῦτον δίκαιον τὸ ἐλάχιστον ἐν δυσὶν εἶναι· οὕτω δυνατὸν καὶ ἀφαίρεσιν καὶ προσθήκην γενέσθαι· καὶ ἀδικεῖσθαι καὶ ἀδικεῖν.

*Ἔτι δὲ ἀνάγκη τὸν ἀδικοῦντα τοῦ ἀδικουμένου πρότερον τὴν βλάβην ποιεῖν, καὶ ἑκουσίως καὶ ἐκ προαιρέσεως βλάπτειν· ὁ γὰρ, διότι ἔπαθε, τὸ αὐτὸ ἀντιποιῶν, οὐ δοκεῖ ἀδικεῖν. Τὸν δὲ ἑαυτὸν ἀδικοῦντα ἀνάγκη κατὰ ταυτὸν καὶ ἀδικεῖν καὶ ἀδικεῖσθαι διὰ τὸ τὸν

αὐτὸν

αὐτὸν ἐστὶ καὶ ἀδικοῦντα καὶ ἀδικούμενον, καὶ ἅμα καὶ ἀδικεῖν καὶ ἀδικεῖσθαι. Δεῖ ἄρα ἐν πλείοσιν εἶναι ταύτην τὴν ἀδικίαν· οὐκ ἄρα δυνατὸν αὐτόν τινα ἑαυτὸν ἀδικεῖν. Πρὸς δὲ τούτοις, ὁ ἀδικῶν οὐδὲν ἄλλό ἐστιν, ἢ ὁ ποιῶν τὰ κατὰ μέρος ἀδικήματα· καὶ χωρὶς τῶν καθέκαστα οὐ δύναταί τις ἀδικεῖν, οὐδ' ὅλως ἄλλό τι ποιεῖν· τὰ δὲ κατὰ μέρος, κλοπὴ, ὕβρεις, πληγαὶ, τοιχωρυχία· οὐδεὶς δὲ ἢ κλέπτει τὰ ἑαυτοῦ, ἢ τὸν ἑαυτοῦ τοῖχον διορύττει, ἢ ἑαυτὸν ὑβρίζει, ἢ πλήττει· ὅλως δὲ ἐλέγχεται ψεῦδος εἶναι τὸ ἑαυτόν τινα ἀδικεῖν καὶ ἑκουσίως ἀδικεῖσθαι, διὰ τοῦ ὁρισμοῦ τοῦ ἀδικεῖσθαι, ὅ ἐστι τὸ ἄδικα πάσχειν παρὰ τὴν αὐτοῦ βούλησιν.

cipere (quia idem eſt & qui facit injuriam, & qui accipit) ſimulque infe re & pati. Quare in pluribus eſſe debet hæc injuria. Ac per conſequens, ut aliquis injuriam ſibi faciat, fieri non poteſt. Adde, quod qui injuriam facit, non alius eſt, quam qui injuſta agit in ſpecie. Neque ſine ſingularibus poteſt injuſte agere, aut ſimile quid committere. Sunt autem ſingularia, furtum, exempli gratia, contumelia, verbera, parietum effractio. Nemo autem vel furatur ſua, vel parietem perfodit proprium, vel contumelia ſe ipſe afficit, aut verberat. Denique, ut aliquis injuriam ſibi faciat, aut accipiat ſponte, ex definitione quæ quid ſit injuriam accipere oſtendit, falſum probatur eſſe: hoc autem eſt, ut injuſta præter voluntatem aliquis patiatur ſuam.

Ariſtot. l. 5. c. 10.

ΚΕΦ. ιη'.

CAP. XVIII.

Ὅτι χεῖρον κακὸν τὸ ἀδικεῖν τοῦ ἀδικεῖσθαι.

Majus malum eſſe facere injuriam quam accipere.

Φανερὸν δὲ, ὅτι ἄμφω μὲν φαῦλα καὶ τὸ ἀδικεῖσθαι καὶ τὸ ἀδικεῖν· καὶ γὰρ ἄμφω τοῦ μέσου ἔξω πίπτουσι· καὶ τὸ μὲν ἀδικεῖν πλέον ἐστὶ, τὸ δὲ ἀδικεῖσθαι ἔλαττον, τὸ δὲ δικαιοπραγεῖν ἴσον καὶ μέσον· ὥσπερ τὸ ὑγιεινὸν ἐν ἰατρικῇ, καὶ τὸ εὐεκτικὸν ἐν γυμναστικῇ· ἄμφω μὲν οὖν φαῦλα· χεῖρον δέ ἐστι τὸ ἀδικεῖν. Τὸ μὲν γὰρ ἀδικεῖν καὶ κακὸν ἐστ-

Manifeſtum eſt autem utrumque quidem malum eſſe, & accipere injuriam & facere. Utrumque enim medium excedit, & facere quidem plus eſt, accipere autem eſt minus; juſte vero agere, & medium eſt & æquale. Sicut in medicina ſalubre, in gymnaſtica, id quod bene habitum dicitur. Utrumque ergo malum eſt. Pejus tamen facere. Facere enim injuriam & improbum eſt, &

Φανερὸν δ' ὅτι ἄμφω, &c.

Ariſtot. l.5.c.10.

& vituperatur: ac improbum quidem, vel abſolutæ improbitatis reſpectu, id eſt, univerſalis, vel ſingularis. Et vel ſponte & cum præelectione, quod eſt abſolute injuriam facere, vel ſponte quidem, non tamen cum præelectione: quod quam proxime ad illud accedit, non tamen eſt abſolutum. Nec enim omne quod ſponte fit, nocet proximo, aut injuſtum eſt. Injuriam vero accipere, improbum quidem eſt, non tamen vituperatur, niſi per improbitatem aut aliud quodcunque vitium ſuum aliquis injuriam accipit. Quare per ſe quidem, accipere injuriam minus malum eſt quam inferre. Per accidens vero, nihil vetat vel pejus eſſe; quia fit ſæpenumero, ut injuriam accipere damni majoris cauſa ſit quam facere. Ut ſi quis, exempli gratia, injuria irritatus aliqua, ejus à quo injuriam accipit domum incendat, atque illinc tota urbs accendatur. Nihilominus enim & ſic majus malum eſt injuriam facere. Nihil enim propter accidens pejus ſe ipſo eſt. Siquidem nec dolor lateris minus eſt malum quam pedis offenſio, quia aliquando accidit, ut quidam cum pedem offendiſſet caperetur ab hoſtibus, ac poſtea interficeretur.

Proprie igitur jus & injuria, juſtitia item atq; injuſtitia, ſunt ea quæ diximus. Dicitur tamen ita & aliud, non per ſe quidem ſed tranſlate, & quia ſimile ex parte eſt cum jure: id videlicet quod habet aliquis in ſua. Sicut dominus in ſervum, pater in fili-

ϛι, καὶ ψέγεται· καὶ κακὸν ἢ κατὰ τελείαν κακίαν, ἤτοι τὴν καθόλου ἀδικίαν, ἢ τὴν μερικήν· καὶ ἢ ἑκουσίως καὶ μετὰ προαιρέσεως, ὅ ἐστι τὸ τελείως ἀδικεῖν· ἢ ἑκουσίως μὲν, οὐ μετὰ προαιρέσεως δὲ, ὅπερ ἐγγύς ἐστι τοῦ ἀδικεῖν, καὶ οὐ τέλειον· οὐ γὰρ ἅπαν ἑκούσιον βλαβερὸν τοῦ πλησίον, καὶ ἄδικον. Τὸ δὲ ἀδικεῖσθαι κακὸν μέν ἐστιν, οὐ ψέγεται δὲ, ὅτι μὴ διὰ πονηρείαν ἢ ἄλλην τινὰ κακίαν, ἀδικεῖταί τις. Καθ' αὑτὸ μὲν οὖν τὸ ἀδικεῖσθαι ἧττον κακόν ἐστι τοῦ ἀδικεῖν· κατὰ συμβεβηκὸς δὲ, οὐδὲν κωλύει καὶ χεῖρον εἶναι, διότι συνέβη πολλάκις τὸ ἀδικεῖσθαι μείζονος βλάβης αἴτιον γενέσθαι, ἢ τὸ ἀδικεῖν· ὥσπερ εἴτις διὰ τὸ ἀδικεῖσθαι ὀργισθεὶς, πῦρ ἀνῆψε τῇ τοῦ ἀδικοῦντος οἰκίᾳ, ἐκεῖθεν δὲ συνέβη πᾶσαν ἐμπρησθῆναι τὴν πόλιν. Ὅμως δὲ καὶ οὕτω μεῖζον κακὸν τὸ ἀδικεῖν. Οὐδὲν γὰρ αὐτὸ ἑαυτοῦ χεῖρον διὰ τὰ συμβεβηκότα· ἐπεὶ οὐδὲ πλευρῖτις ἐλάττον κακόν ἐστι τοῦ προσπταίσματος, διότι συνέβη τινὰ προσπταίσαντα ὑπὸ τῶν πολεμίων ληφθῆναι καὶ ἀποθανεῖν.

Τὸ μὲν οὖν κυρίως δίκαιον καὶ ἄδικον, καὶ δικαιοσύνη καὶ ἀδικία, τὰ εἰρημένα ἐστί· λέγεται δὲ καὶ ἄλλο οὐ κυρίως, ἀλλὰ κατὰ μεταφορὰν καὶ ὁμοιότητα τοῦ δικαίου, ὅπερ ἔχει τις πρὸς τὰ ἑαυτοῦ. Ὥσπερ ὁ δεσπότης πρὸς τὸν δοῦλον, καὶ ὁ πατὴρ πρὸς τὸν υἱὸν

καθ' ὃ καὶ ἡ ψυχὴ πρὸς τὰ ἑαυτῆς μέρη δικαία λέγεται, ἢ ἄδικος· καὶ τὸ λογικὸν τοῦ ἀλόγου διέστηκε· καὶ τὸ μὲν λογικὸν ἄρχει καὶ τάττει, τὸ δ' ἄλογον ἄρχεται καὶ τάττεται. Πρὸς ὃ δή τινες βλέποντες νομίζουσιν ἀδικεῖν τινὰ ἑαυτὸν καὶ δικαιοῦν· ὅτι ποτὲ μὲν ὁ λόγος ἀκολουθεῖ τῷ ἀλόγῳ, ποτὲ δὲ ἀντίκειται, ὅταν τις ποιῇ παρὰ τὰς ἑαυτοῦ ὀρέξεις· καὶ ἔχουσιν, ὥσπερ ἄρχον πρὸς ἀρχόμενον· καὶ δίκαιόν ἐστιν ἐν αὐτοῖς, ὅπερ ἐν ἀρχομένῳ καὶ ἄρχοντι· περὶ μὲν οὖν δικαιοσύνης, καὶ τῶν ἄλλων τῶν ἠθικῶν ἀρετῶν διωρίσθω τὸν τρόπον τοῦτον.

um. Quemadmodum & anima ſuarum partium reſpectu vel juſta vel injuſta dicitur. Ita rationale differt ab eo quod rationis expers eſt. Rationale enim imperat, & diſponit: quod ratione caret, paret ac diſponitur. Quod ipſum quoque nonnullis perſuaſit, ut exiſtimarent aliquem vel juſte vel injuſte ſecum poſſe agere. Quia ſit interdum ut id quod ratione caret ſequatur ratio, interdum vero ut pugnet cum eo, quoties aliquis alienum quid ab appetitu ſuo facit: habentque ſe hæ partes, ut id quod imperat ad illud quod paret: idemq; inter ea jus eſt, quod inter id eſt quod paret, & id quod imperat. De juſtitia ergo cæteriſq; moralibus virtutibus hoc modo explicatum ſit. Ariſtot. l. 5. c. 10.

ARISTOTELIS ETHICORUM

LIBER VI.

Ariſtot. l. 6. c. 1.

CAP. I.

Reliquum eſſe, ut quænam recta ſit ratio definiatur.

Cap. 1. Ἐπεὶ δὲ ἐν τοῖς προειρημένοις, &c.

Quoniam in ſuperioribus de virtute diſputationibus, hoc quaſi fundamentum poſuimus, medium in omni tam affectu quam actione eſſe id quod laudatur & optimum cenſetur, idque adeo eligendum eſſe, non exceſſum vero aut defectum: medium vero id eſſe diximus, quod recta imperat ratio: ſequitur ut quæ ſit recta ratio, & quæ ejus definitio, deinceps dicamus.

Ἐν πάσαις γὰρ ταῖς εἰρημέναις, &c.

In omnibus enim de quibus egimus habitibus, ſicut & in aliis actionibus habitibuſque, ſcopus eſt aliquis, in quem is intuens qui recta ratione eſt præditus, ejuſque ſequitur im-

ΚΕΦ. α.

Ὅτι λοιπὸν περὶ τοῦ ὀρθοῦ διορίσασθαι λόγου τίς ἐστιν.

Ἐπεὶ δὲ ἐν τοῖς προειρημένοις περὶ τὴν ἀρετὴν λόγοις ἐκεῖνο κεφάλαιον ἐποιούμεθα, ὅτι τὸ μέσον ἐστὶν ἐν παντὶ πάθει καὶ πάσῃ πράξει τὸ ἐπαινετὸν καὶ τὸ ἄριστον, καὶ τοῦτο δέον αἱρεῖσθαι, μὴ τὴν ὑπερβολὴν ἢ τὴν ἔλλειψιν· μέσον δὲ εἶναι ἐλέγομεν, ὅπερ ὁ ὀρθὸς λόγος κελεύει· ῥητέον ἂν εἴη, τίς ὁ ὀρθὸς λόγος, καὶ τίς ὁ ὅρος αὐτοῦ.

Ἐν πάσαις γὰρ ταῖς εἰρημέναις ἕξεσι, καθάπερ καὶ ἐπὶ τῶν ἄλλων πράξεων ἢ ἕξεων, ἐστί τις σκοπὸς, πρὸς ὃν ἀποβλέπων ὁ τὸν λόγον ἔχων, καὶ ὑπ᾽ αὐτοῦ παττόμενος,

τομένῳ, αὐξάνει μὲν τὰ ἐλάττω τοῦ δέοντος, συστέλλει δὲ τὰ ὑπὲρ τὸ δέον, εἴτε πάθη εἶεν, εἴτε πράξεις, εἴτε ἄλλό τι τῶν δυναμένων καὶ ἐπιτείνεσθαι καὶ ἀνίεσθαι· καί ἐστι κανὼν καὶ ὅρος, δι' οὗ τὸ μέσον γινώσκεται, ὃ λέγομεν κατὰ τὸν ὀρθὸν λόγον γίνεσθαι, καὶ μεταξὺ εἶναι τῆς ὑπερβολῆς καὶ τῆς ἐλλείψεως. Ἀνάγκη τοίνυν τοὺς μέλλοντας γινώσκειν περὶ τοῦ μέσου, τὸν ὅρον αὐτοῦ γινώσκειν καὶ τὸν κανόνα· τοῦτο δὲ ὁ ὀρθός ἐστι λόγος.

Τὸ δὲ οὕτως ἁπλῶς εἰπεῖν, μέσον ἐστὶ τὸ κατὰ τὸν ὀρθὸν γινόμενον λόγον, ἀληθὲς μὲν, οὐδὲν δὲ σαφές. Ἄδηλον γὰρ ἔτι τὸ μέσον τοῖς μὴ τὸν ὀρθὸν γινώσκουσι λόγον. Καὶ γὰρ καὶ ἐν ταῖς ἄλλαις πράξεσι καὶ σπουδαῖς, ἐν αἷς ἐστιν ἐπιστήμη, ἀληθὲς μὲν εἰπεῖν, ὅτι οὔτε πλείω τοῦ δέοντος, οὔτε ἐλάττω δεῖ πονεῖν, ἀλλὰ τὰ μέσα, καὶ ὡς ὁ ὀρθὸς λόγος· οὐ δυνατὸν δὲ ἀπὸ τούτου μόνου τὸ δέον μαθεῖν. Οὐδὲ γὰρ τὰ ἰατρικὰ καὶ ὑγιεινὰ γνώσεταί τις, καὶ οἷα δεῖ προσάγειν τῷ νοσοῦντι, εἰ μόνον ἀκούσεται ὅτι ὑγιεινά ἐστι καὶ ἰατρικὰ, ἅπερ ἂν ἡ ἰατρικὴ, καὶ ὁ ταύτην ἔχων ἰατρὸς κελεύοι ποιεῖν. Καὶ γὰρ ἀληθὴς μὲν ὁ λόγος, ἄδηλον δὲ τὸ ζητούμενον οὐδὲν ἧττον.

Τὸν αὐτὸν δὴ τρόπον καὶ περὶ τῶν μέσων τῆς ψυχῆς

perium, quæ minora ſunt quam oportet intendit, quæ majora ſunt contrahit, ſive affectus ii, ſive actiones ſint, ſive aliud quodcunque, quod aut intendi poteſt aut remitti. Eſtque quaſi regula aliqua & terminus, quo medium illud quod ex rectæ rationis præſcripto fieri interq; exceſſum eſſe & defectum dicebamus, cognoſcitur. Quare neceſſe eſt eos qui hanc conſequi medii ſcientiam volunt, terminum quoque ejus perſpectum habere & regulam. Hoc vero recta eſt ratio. — *Ariſtot. l. 6. c. 1.*

Nam cum ita ſimpliciter dicitur, medium eſſe illud quod ſecundum rectam fit rationem, verum quidem eſt, non tamen perſpicuum. Neque enim fieri poteſt, ut medium intelligant, qui rectam rationem ignorant. Quippe in aliis quoque actionibus & ſtudiis, in quibus aliqua ſpectatur ſcientia, verum quidem eſt, ſi dicatur, neque plus quam oportet, neque minus laborandum eſſe, ſed medium ſervandum eſſe, & quod recta jubet ratio: nondum tamen quid oporteat fieri, ex eo apparet ſolo. Neque enim remedia, & quæ valetudini conducunt, ſatis cognoſcet, ſimulque qualia adhibenda ægro ſint, aliquis intelliget, ſi remedia tantum eſſe & valetudini conducere audiverit: quod tamen medicina, & qui ea præditus eſt medicus, jubet facere. Quamvis enim verum ſit quod dicitur, nihilominus obſcurum manet quod quæritur. — *Ἔστι δὲ, τὸ μὲν εἰπεῖν οὕτως, &c.*

Eodem modo de mediis animæ habitibus, non vera tan- — *Διὸ δεῖ δὲ περὶ τὰς τῆς ψυχῆς, &c.*

(Ariſt. l. 6. c. 1.) tantum, ſed & perſpicua dicenda ſunt. Hoc eſt, ut de recta ratione, tum quæ ſit, tum quo pacto recte definiri poſſit, perſpicue oſtendamus. Igitur de recta ratione, re paulo altius repetita, dicere incipiamus.

οὐκ ἀληθὲς λόγον μόνον εἰπεῖν ἀναγκαῖον, ἀλλὰ καὶ δηλωτικόν. Τοῦτο δέ ἐστι τὸ περὶ τοῦ ὀρθοῦ διορίσασθαι λόγου, τίς τέ ἐστι, καὶ τίς ὁ ὅρος αὐτοῦ· λέγωμεν τοίνυν περὶ τοῦ ὀρθοῦ λόγου, ἄνωθεν ἀρξάμενοι.

CAP. II.

ΚΕΦ. β'.

Dividitur rationalis pars animæ: & quæ in nobis ſint actiones propriæ.

Διαίρεσις τοῦ λογικοῦ τῆς ψυχῆς· καὶ τίνα ἐν ἡμῖν τὰ κύρια τῆς πράξεως.

(Τὰς ἐπὶ ψυχῆς ἀρετάς, &c.) SUpra diviſis animæ virtutibus, alias morales eſſe dicebamus, quas in illa parte ponebamus in qua affectus regnant, alias vero quas *διανοητικὰς* dicebamus, quæ ſunt mentis. Et de moralibus quidem diximus: nunc vero de reliquis dicamus, in quibus veram illam de qua agimus inveniemus rationem: ſi modo illud prius de anima dixerimus.

ΕΝ τοῖς προειρημένοις διελόντες τὰς τῆς ψυχῆς ἀρετάς, τὰς μὲν ἠθικὰς ἐλέγομεν εἶναι, ὅσαι τοῦ παθητικοῦ τῆς ψυχῆς μέρους, τὰς δὲ διανοητικὰς ὅσαι τῆς διανοίας εἰσί. Περὶ μὲν οὖν τῶν ἠθικῶν διεληλύθαμεν· περὶ δὲ τῶν λοιπῶν ἤδη λέγωμεν· ἐν αὐταῖς γὰρ τὸν ὀρθὸν εὑρήσομεν λόγον ἐκεῖνο πρῶτον εἰπόντες περὶ τῆς ψυχῆς.

(Πρότερον μὲν οὖν, &c.) Prius ergo duas eſſe animæ partes diximus, tum quæ prædita eſt ratione, tum quæ ea caret.

Πρότερον μὲν οὖν δύο μέρη τῆς ψυχῆς εἴπομεν εἶναι, τό τε λόγον ἔχον, καὶ τὸ ἄλογον.

(Νῦν δὲ περὶ τοῦ λόγου, &c.) Nunc vero eam quæ ratione prædita eſt dividimus, duplicemque eam eſſe dicimus. Alteram qua neceſſaria & quæ eodem ſemper modo ſe habent, nec aliter habere ſe poſſunt: alteram quâ contingentia, quæ alio atque alio modo ſe habent, cognoſcimus.

Νῦν δὲ τὸ λόγον ἔχον διαιροῦντες, λέγομεν. δύο εἶναι τὰ λόγον ἔχοντα· ἓν μὲν δι' οὗ τὰ ἀναγκαῖα γινώσκομεν καὶ ἀεὶ ὡσαύτως ἔχοντα, καὶ ἃ μὴ ἐνδέχεται ἄλλως ἔχειν· ἄλλο δὲ, δι' οὗ τὰ ἐνδεχόμενα γινώσκομεν, καὶ ἄλλοτε ἄλλως ἔχοντα.

(Περὶ γὰρ τὰ τῷ γένει ἕτερα, &c.) Etenim cum ea quæ cognoſcuntur ſint diverſa, atque alia ſpecie, ſequitur etiam cognitiones ſpecie diverſas eſſe. Co-

Καὶ γὰρ ἐπεὶ τὰ γνωστὰ διάφορά εἰσι καὶ τῷ εἴδει ἕτερα, καὶ τὰς γνώσεις ἕπεται διαφόρους εἶναι τῷ εἴδει. Τῶν γὰρ

γὰρ γνῶσιν ὁμοίαν εἶναι τῷ γινωσκομένῳ, καὶ ἀναγκαίαν μὲν τὴν τοῦ ἀναγκαίου, ἐνδεχομένην δὲ τὴν τοῦ ἐνδεχομένου, πᾶσα ἀνάγκη· καὶ γὰρ ἐνδεχομένη γνῶσίς ἐστιν, ἥτις οὐκ ἀεὶ ἀληθεύει. Ψεύδεται δὲ ἡ γνῶσις, ὅταν τὸ γινωσκόμενον μὴ οὕτως ἔχῃ ὥσπερ γινώσκεται· τὸ δὲ μὴ οὕτως ἔχειν ὥσπερ εἶχε, τῶν ἐνδεχομένων ἐστὶ καὶ ἄλλοτε ἄλλως ἐχόντων. Τῶν ἐνδεχομένων ἄρα ἡ γνῶσις ἐνδεχομένη ἐστί. Διὰ τὰ αὐτὰ δὴ καὶ τῶν ἀναγκαίων ἀναγκαία ἡ γνῶσις. Πᾶσα γὰρ γνῶσις καθ' ὁμοιότητα καὶ κατ' οἰκειότητα γίνεται· καὶ γὰρ ἐφαρμογή τις ἐστὶ καὶ ἐπαφὴ τοῦ γινωσκομένου καὶ τοῦ γινώσκοντος.

Ἐπεὶ τοίνυν διττὴ ἡ γνῶσις, ἡ μὲν ἀναγκαία, ἡ δὲ ἐνδεχομένη, καλείσθω ἡ μὲν ἀναγκαία ἐπιστημονική, ἡ δὲ ἐνδεχομένη λογιστική, ἢ βουλευτική. Τὸ γὰρ βουλεύεσθαι καὶ λογίζεσθαι, ταυτόν. Ἔστι γὰρ ἡ βούλευσις περὶ τὰ ἐνδεχόμενα. Οὐδεὶς γὰρ βουλεύεται περὶ τῶν μὴ ἐνδεχομένων ἄλλως ἔχειν· ἀνάγκη γὰρ ὁμοίως ἔχειν, καὶ οὐδὲν ἡ βουλὴ κινήσει οὐδὲ μεταβαλεῖ. Ἐπεὶ τοίνυν περὶ τὰ ἐνδεχόμενα τὸ βουλευτικόν, περὶ δὲ τὰ ἐνδεχόμενα αὐτό φαμεν εἶναι τὸ λογιστικόν, ταυτὸν ἂν εἴη τὸ λογιστικὸν καὶ βουλευτικόν. Ἔστιν ἄρα τὸ βουλευτικόν, τὸ ἕτερον μέρος τοῦ λογιστικοῦ.

gnitionem quippe ei neceſſe eſt ſimilem eſſe quod cognoſcitur. Quare neceſſarii neceſſaria, contingentis ſit contingens, omnino eſt neceſſe. Contingens enim eſt cognitio quæ non ſemper verum dicit. Tum autem mentiri dicitur, cum id quod cognoſcitur, non ita ſe habet ut cognoſcitur. Porro aliter ſe habere quam prius, eorum eſt quæ contingentia dicuntur, & quæ alio atque alio modo ſe habent. Contingentium ergo contingens quoque eſt cognitio. Eademq; de cauſa neceſſariorum quoque neceſſaria. Omnis quippe ex ſimilitudine quadam & affinitate fit cognitio. Si quidem nihil aliud quam congruentia & quaſi cohærentia quædam eſt, ejus qui cognoſcit & quod cognoſcitur. Ariſtot. l. 6. c. 1.

Cum ergo duplex ſit cognitio, neceſſaria altera, altera contingens, neceſſaria quidem propria ſcientiæ, contingens vero ratiocinativa aut deliberativa dicitur. Deliberare enim & rationibus aliquid colligere idem eſt. In contingentibus enim occupatur deliberatio. Nemo enim de iis deliberat quæ habere ſe aliter non poſſunt. Illa enim neceſſe eſt eodem modo ſemper ſe habere. Quare neque quicquam movebit in iis aut mutabit deliberatio. Cum ergo in contingentibus deliberativa verſetur, in iiſdem autem contingentibus verſari rationativam dicamus, idem utrumque & rationativa erit & deliberativa. Quare deliberativa altera rationativæ pars erit. Λεγέσθω δὲ τούτων, τὸ μὲν ἐπιστημονικόν, &c.

Ariſtot. l. 6. c. 2. Λειπτέον ἄρα ἑκατέρου, &c.

Cum vero de iis quas *διανοητικὰς* dicunt agamus virtutibus, hoc eſt, iis quæ in intellectu conſiſtunt, & ad rationativam referantur: partes autem ratione præditæ, ſint illud quo ſcientias comprehendimus, & quo deliberamus, in ipſis ratione præditæ partibus quas *διανοητικὰς* dicunt, nobis quærendæ ſunt virtutes: videndum igitur utriuſq; harum, quis ſit optimus habitus: hæc enim virtus utriuſque eſt. Cum autem in propriis operibus ſuis conſideretur virtus, videndum quoq; quæ ſint illa quæ tam huic quam illi parti conveniunt opera.

Cap. 2. Τρία δ' ἐστὶν ἐν τῇ ψυχῇ, &c.

Tria ergo ſunt in animo, quæ præcipue in actionibus dominantur, & veritate. In veritate mens & ſenſus: quia utrumque cognitio eſt, finis autem cognitionis eſt veritas: in actione autem appetitus. In eo enim omne actionis eſt principium, operiſque cujuſcunque ea quaſi cauſa eſt. Primo enim mens cognoſcit, illud aut illud agendum eſſe: motus vero qui ad actionem fertur, eſt ab appetitu. Nullius autem actionis principium eſt ſenſus, quod ex iis quæ ratione carent manifeſtum eſt, nam cum ſenſum habeant, non poſſunt tamen habere actionem. Quædam enim cum deliberatione functio eſt actio. Quare nullius actionis cauſa eſt ſenſus, omnium vero mens & appetitus actionum ſunt principia. Quorum altera quæ fieri oportet, docet, alter ad agendum movet.

Ἔστι δ' ὅπερ ἐν διανοίᾳ κατάφασις, &c.

Quod vero in mente affirma-

Ἐπεὶ δὲ περὶ τῶν διανοητικῶν ἀρετῶν ὁ λόγος ἡμῖν, τουτέστι τῶν οὐσῶν ἐν τῇ διανοίᾳ τοῦ λογιστικοῦ· τὰ δὲ μέρη τοῦ λογικοῦ, τὸ ἐπιστημονικόν ἐστι καὶ βουλευτικόν· ἐν αὐτοῖς τοῖς μέρεσι τοῦ λογικοῦ ζητητέον ἡμῖν τὰς διανοητικὰς ἀρετάς· ληπτέον ἄρα ἑκατέρου τούτων τίς ἡ βελτίστη ἕξις· αὕτη γὰρ ἀρετὴ ἑκατέρου· ἐπεὶ δὲ ἡ ἀρετὴ ἐν τοῖς οἰκείοις ἔργοις θεωρεῖται, ζητητέον τίνα τὰ ἔργα τὰ προσήκοντα τῷ ἐπιστημονικῷ καὶ βουλευτικῷ.

Τρία τοίνυν ἐστὶν ἐν τῇ ψυχῇ τὰ κύρια πράξεως καὶ ἀληθείας. Ἀληθείας μὲν κύρια, νοῦς καὶ αἴσθησις, ὅτι ἑκάτερον γνῶσίς ἐστιν· ἡ δὲ γνῶσις τέλος ἔχει τὴν ἀλήθειαν· πράξεως δὲ, ἡ ὄρεξις· ἐν αὐτῇ γάρ ἐστι πάσης πράξεως ἀρχὴ, καὶ παντὸς ἔργου αὕτη αἰτία· ὁ μὲν γὰρ νοῦς γινώσκει ὅτι τόδε τι δέον ποιῆσαι· ἡ δὲ εἰς τὴν πρᾶξιν κίνησις ἀπὸ τῆς ὀρέξεως γίνεται· ἡ δὲ αἴσθησις οὐδεμιᾶς ἐστὶν ἀρχὴ πράξεως. Δῆλον δὲ ἀπὸ τῶν ἀλόγων· καὶ γὰρ αἴσθησιν ἔχοντα οὐ δύνανται πρᾶξιν ἔχειν· πρᾶξις γάρ ἐστιν ἡ μετὰ βουλεύσεως ἐνέργεια. Ὥστε ἡ μὲν αἴσθησις οὐδεμιᾶς αἰτία πράξεως, ὁ δὲ νοῦς καὶ ἡ ὄρεξις πασῶν πράξεών εἰσιν ἀρχή· ὁ μὲν τὰ δέοντα διδάσκων, ἡ δὲ ἐπὶ τὸ πράττειν κινοῦσα.

Ὅτι δὲ ἔχει λόγον ἐν τῇ διανοίᾳ

νοίᾳ κατάφασις καὶ ἀπόφασις, τοῦτον ἔχει ἐν τῇ ὀρέξει δίωξις καὶ φυγή· ὥστε ἐπεὶ ἡ ἠθικὴ ἀρετὴ ἕξις ἐστὶ προαιρετική, ἡ δὲ προαίρεσις ὄρεξις βουλευτική (προαίρεσις γάρ ἐστι, τὸ θελῆσαι καὶ ἑλέσθαι τὸ βουλευθὲν) πᾶσα ἀνάγκη, εἴπερ ἡ προαίρεσις ἀγαθή ἐστι καὶ σπουδαία, ἐκεῖνα αἱρεῖσθαι, ὅσα σπουδαῖα, καὶ τὴν ὄρεξιν ὀρθὴν εἶναι τὸ ἀγαθὸν βουλομένην. Οὐ δύναται δὲ ἡ προαίρεσις τὸ ἀγαθὸν ἐθέλειν, μὴ τῆς βουλεύσεως διδασκούσης· ὥστε ἀνάγκην εἶναι τὴν μὲν βούλευσιν ἀληθῆ λέγειν, τὴν δὲ προαίρεσιν ἑλέσθαι· καὶ τὴν ὄρεξιν τὸ ἀγαθὸν διώκειν, καὶ τὸ αὐτὸ τὴν μὲν βούλευσιν λέγειν, τὴν ὄρεξιν δὲ διώκειν. Αὕτη μὲν οὖν ἡ διάνοια, τὸ λογιστικὸν δηλονότι καὶ βουλευτικόν, καὶ ἡ κατ' αὐτὴν ἀλήθεια, πρακτικὴ καλεῖται· διότι τέλος ἔχει τὴν πρᾶξιν τοῦ ἀγαθοῦ· καὶ ἔστιν αὐτῆς ἔργον ἡ ἠρημένη ἀλήθεια, ἥτις ἐστὶ περί τε τὸ ἀγαθὸν καὶ κακόν· τῆς δὲ θεωρητικῆς διανοίας καὶ μὴ πρακτικῆς ἔργον ἐστὶν ἡ ἀλήθεια καὶ τὸ ψεῦδος. Καὶ τέλος ἔχει τὴν γνῶσιν τοῦ ἀληθοῦς· τοῦτο γάρ ἐστιν ἔργον παντὸς διανοητικοῦ, καθόσον ἐστὶ διανοητικός. Ὃς δὲ διανοητικὸς καὶ πρακτικός ἐστιν, ἐκείνην τὴν ἀλήθειαν ἔργον ἔχει, ἥτις σύμφωνός ἐστι τῇ σπουδαίᾳ πράξει, καὶ τῇ ὀρθῶς ἐχούσῃ καὶ σπουδαίως ὀρέξει.

tio eſt & negatio, idem eſt in appetitu rei alicujus perſecutio aut fuga. Quare cum moralis virtus habitus ſit præelectionis, præelectio autem appetitus quem deliberatio præceſſit (eſt enim præelectio nihil aliud quam velle id & eligere de quo deliberamus) omnino neceſſe eſt, ut ſi bona ac honeſta ſit præelectio, illa quoque eligi quæ ſunt honeſta, rectumque appetitum eſſe, qui bonum petit. Bonum autem velle non poteſt præelectio, niſi hoc ipſum doceat deliberatio. Ut neceſſe ſit, tum deliberationem verum dicere, præelectionem autem eligere: tum appetitum id quod bonum eſt perſequi: idemque deliberationem dicere, appetitum vero perſequi. Hæc igitut mens, rationativa videlicet pars ac deliberativa, ejuſque veritas, activa dicitur. Quia finis ejus actio eſt boni: opuſque illius eſt aſſumpta veritas, quæ in bono verſatur & malo. Ejus vero mentis quæ in contemplando non in agendo verſatur, opus veritas eſt & mendacium, ejuſque finis eſt veritatis cognitio. Hoc enim opus eſt cujuſlibet, qui in mentis agitatione occupatur, quatenus in ea verſatur. Qui vero ſimul illi & actioni vacat, ejus opus eſt illa veritas, quæ honeſtæ actioni rectoque atque honeſto reſpondet appetitui. Ariſtot. l.6.c.2.

CAP.

Ariſtot. l.6.c.2.

CAP. III.

Eam agitationem mentis quæ actiua dicitur, præelectionis eſſe principium.

Τῆς δὲ θεωρητικῆς διανοίας, &c.

CAuſa ergo actionis & principium eſt præelectio: non tamen cauſa finalis (neque enim præelectionis cauſa agimus) ſed efficiens potius. Priuſquam enim agamus præeligimus: finis vero poſt actionem eſt. Præelectionis autem principium appetitus eſt & ratio, quæ quidem eſt deliberatio. Altera autem rationalis pars ratiocinativa & deliberativa eſt, quæ quidem veritatem quærit, non per ſe tamen, ſed actionis ipſius boni cauſa. Ideoque quia præelectionis, ratio & appetitus ſunt principia, nè exiſtere quidem ſine mentis agitatione & morali habitu poteſt præelectio. A morali enim habitu boni fit appetitus & mali.

Διάνοια δ᾽ αὐτὴ οὐθὲν κινεῖ, &c.

Quatenus vero contemplatiua eſt ea mentis agitatio, nullius eſt principium (nihil movet n.) ſed tantum quatenus activa eſt eorum quæ diximus, principium eſt: appetitus dico, præelectionis, actioniſque. Præterea efficientis principium eſt activa illa mentis agitatio. Efficiens quippe & activa differunt. Activa quippe boni finem putat, ut bene agat id quod bonum eſt, & eatenus reſpicit, ut bene agat quæ videbantur appetitui. Efficiens autem, eſt ipſa illa bene agendi illud quod bonum eſt actio: finiſq; humana eſt felici-

ΚΕΦ. γ'.

Ὅτι ἡ πρακτικὴ διάνοια ἀρχή ἐστι τῆς προαιρέσεως.

Ἡ Μὲν οὖν προαίρεσις αἰτία καὶ ἀρχὴ πράξεως· αἰτία δὲ οὐ τελική· οὐ γὰρ ἕνεκα τῆς προαιρέσεως πράττομεν· ἀλλὰ ποιητικὴ μᾶλλον· πρὶν γὰρ πρᾶξαι προαιρούμεθα· τὸ δὲ τέλος κατὰ τὴν πρᾶξιν· προαιρέσεως δὲ ἀρχή, ὄρεξις καὶ λόγος, ἥτις ἐστὶν ἡ βούλευσις. Τὸ ἕτερον δὲ τοῦ λογικοῦ μέρος τὸ λογιστικὸν καὶ βουλευτικόν, ὃ τὴν ἀλήθειαν ζητεῖ μέν, οὐ δι᾽ ἑαυτὴν δέ, ἀλλὰ τῆς πράξεως τοῦ ἀγαθοῦ χάριν· διὰ τοῦτο δέ, ὅτι ὁ λόγος καὶ ἡ ὄρεξις τῆς προαιρέσεώς εἰσιν ἀρχαί, οὐδὲ δυνατὸν προαίρεσιν εἶναι ἄνευ διανοίας καὶ ἠθικῆς ἕξεως· ἀπὸ γὰρ τῆς ἠθικῆς ἕξεως ἡ ὄρεξις γίνεται τοῦ ἀγαθοῦ ἢ τοῦ κακοῦ.

Καθὸ δὲ θεωρητικὴ ἡ διάνοια, οὐδενός ἐστιν ἀρχή· οὐδὲν γὰρ κινεῖ· ἀλλὰ μόνον καθὸ πρακτικὴ τῶν εἰρημένων ἐστὶν ἀρχὴ τῆς τε ὀρέξεως, καὶ τῆς προαιρέσεως, καὶ τῆς πράξεως· ἔτι δὲ καὶ τῆς ποιητικῆς ἀρχή ἐστιν ἡ πρακτικὴ αὕτη διάνοια. Διαφέρει γὰρ ποιητικὴ πρακτικῆς· ἡ μὲν γὰρ πρακτικὴ τοῦ ἀγαθοῦ τέλος ἔχει, αὐτὸ τὸ εὖ πράττειν. τὸ ἀγαθόν· καὶ μέχρι τούτου σκοπεῖ, ὅπως εὖ πράξῃ τὰ τῇ ὀρέξει δοκοῦντα. Ἡ δὲ ποιητικὴ αὐτό ἐστι τὸ πράττειν εὖ τὸ ἀγαθόν· καὶ τέλος ἔχει τὴν ἀνθρωπίνην εὐδαι-

[...]μονίαν. Καὶ τὸ μὲν τέλος τῆς πρακτικῆς καθ᾽ αὐτό ἐστι· τὸ δὲ τέλος τῆς ποιητικῆς πρός τι. Καὶ γὰρ πρὸς τὸν ἄνθρωπον ἀναφέρεται· τὴν γὰρ ὠφέλειαν τοῦ ἀνθρώπου ζητεῖ· ἐπεὶ τοίνυν ὅπερ ἔχει τέλος ἡ πρακτικὴ διάνοια καὶ οὗ ἐστιν ἀρχὴ καὶ αἰτία, τὴν πρᾶξιν λέγω τοῦ ἀγαθοῦ, τοῦτο ἀρχὴν ἔχει τοῦ ἰδίου τέλους ἡ ποιητικὴ (ἀπὸ γὰρ τῆς ἀγαθῆς πράξεως ἡ ἀνθρωπίνη εὐδαιμονία) διὰ τοῦτο καὶ αὐτῆς ἀρχὴ λέγεται.

Ἐπεὶ δὲ ἀρχή ἐστιν ἡ διάνοια τῆς ὀρέξεως, ἡ δὲ ὄρεξις τῆς προαιρέσεως, εἴη ἂν ἡ προαίρεσις, ἢ ὀρεκτικὸς νοῦς ἢ ὄρεξις διανοητική· ταῦτα δ᾽ ἂν εἴη ἐν μόνῳ τῷ λογικῷ ζώῳ, ὅς ἐστιν ἄνθρωπος.

tas. Et finis quidem activæ per ſe eſt: finis vero efficientis alterius reſpectu, quippe ad hominem refertur. Ejus enim utilitatem ſpectat. Quoniam ergo, quem finem habet activa mentis agitatio, cujuſq; eſt principium & cauſa, ipſam boni actionem dico, idem finis ſui principium habet efficiens (à bona enim actione, humana proficiſcitur felicitas) ob eam cauſam ejus quoque dicitur principium. Ariſtot. l. 6. c. 2.

Quia vero appetitus principium eſt mentis agitatio, præelectionis autem appetitus, erit aut mens quæ appetitu, aut appetitus qui tali mentis agitatione utitur; ipſa præelectio. Hæc autem ſoli animali illi competent, quod ratione eſt præditum. Is autem eſt homo. Διὸ ἢ ὀρεκτικὸς, &c.

ΚΕΦ. δ΄.

Περὶ τέχνης, ἐπιστήμης, σοφίας, καὶ νοῦ, καὶ τίνι διαφέρει τῶν λοιπῶν ἡ ἐπιστήμη.

Ἡ Μὲν οὖν προαίρεσις τοιαύτη· προαιρετὰ δὲ, δηλονότι ἃ δυνάμεθα προαιρεῖσθαι, τὰ ἐνδεχόμενά εἰσι καὶ τούτων τὰ μέλλοντα· περὶ γὰρ τῶν παρελθόντων οὐδεὶς βουλεύεται εἰ δεῖ ποιῆσαι· περὶ ὧν δὲ οὐδεὶς βουλεύεται, οὐδὲ προαιρεῖται· τὰ γὰρ βουλευτὰ καὶ προαιρετὰ, ὡς ἐν τοῖς περὶ προαιρέσεως εἴρηται· οὐδεὶς γὰρ προαιρεῖται Ἴλιον πεπορθηκέναι· διὸ ὀρθῶς ὁ Ἀγάθων εἶπε·

CAP. IV.

De arte, ſcientia, prudentia, ſapientia, & mente: & quomodo à reliquis differat ſcientia.

ET præelectio quidem eſt talis. Quæ vero ſub eam cadunt, hoc eſt, quæ præeligere poſſumus, ſunt contingentia. Et inter hæc quidem futura. De præteritis quippe, an facienda ſint, nemo deliberat. De quibus vero nemo deliberat, nemo præeligit: quæ enim ſub deliberationem, etiam ſub præelectionem cadunt, ſicut in diſputatione de præelectione diximus. Nemo enim præeligit, everſum Ilium. Quare recte Agatho dixit: Οὐκ ἔστι δὲ προαιρετὸν οὐθὲν γεγονὸς, &c.

Hoc

Ariſtot. l. 6. c. 3.

Hoc namque ſolum nè Deus quidem poteſt,

Quæ facta ſunt, infecta rurſus reddere.

Et hæc quidem ita ſe habent. Cæterum de opere illius agitationis mentis, quam ἐπιστημονικὴν & alterius quam βουλευτικὴν diximus, quarum altera in ſcientiis, altera in conſiliis verſatur, plenius agamus.

Opus autem, ut oſtendimus, utriuſque eſt veritas. Cum vero opus utriuſque appareat, manifeſta quoque eſt eorum virtus. Uniuſcujuſque quippe in proprio opere virtus conſiſtit. Etenim hoc ipſum, recte & ut oportet opus proprium agere, eſt virtus. Habitus ergo, ſecundum quos, & hæc pars & illa propriam veritatem ſuam, quam veriſſime fieri poteſt, enunciat, hæ ſunt virtutes utriuſque.

Cap. 3. Ἀρξάμενοι οὖν ἄνωθεν, &c

Quare paulo altius repetito eorum principio, rurſus de iis dicamus. Cum ergo de veritate nobis inſtitutus ſermo ſit, videndum quot modis in affirmando aut negando verum enunciare poſſit animus. Et quot ſint habitus, quibus verum enunciamus. Sunt ergo quinque numero. Ars videlicet, ſcientia, prudentia, ſapientia & intelligentia. Exiſtimationem enim & opinionem, quæ tantum contingenter veritatem enunciant, prætermittimus. Ex iis enim quas diximus quinque facultatibus, nunquam fallitur intelligentia, ut nec ſcientia. Hoc enim ipſum eorum eſſe eſt, quod neceſſario verum enunciant. Ars vero, prudentia, & ſapientia, interdum

Μόνου γὰρ αὐτοῦ καὶ θεὸς στε- σκεται,

Ἀγένητα ποιεῖν, ἅσσ' ἂν ᾖ πεπραγμένα.

Καὶ ταῦτα μὲν οὕτως ἔχει. Λέγωμεν δὲ περὶ τοῦ ἔργου τοῦτε ἐπιστημονικοῦ διανοητικοῦ, καὶ τοῦ βουλευτικοῦ ἀκριβέστερον.

Τὸ μὲν γὰρ ἔργον ἑκατέρων, ὡς δέδεικται, ἀλήθειά ἐστι· τοῦ ἔργου δὲ δειχθέντος ἑκατέρου, φανερά ἐστιν αὐτῶν ἡ ἀρετή· ἑκάστου γὰρ ἡ ἀρετὴ ἐν τῷ οἰκείῳ αὐτοῦ ἔργῳ συνίσταται· τὸ γὰρ εὖ καὶ καλῶς ποιῆσαι τὸ ἔργον τὸ οἰκεῖον, τοῦτό ἐστιν ἡ ἀρετή. Αἱ τοίνυν ἕξεις καθ' ἃς δυνήσεται ἑκάτερον αὐτῶν τὴν οἰκείαν ἀλήθειαν ἀληθεύειν, ὡς ἔνι μάλιστα δυνατὸν, αὗταί εἰσιν αἱ ἀρεταὶ ἑκατέρου.

Ἀρξάμενοι οὖν ἄνωθεν, περὶ αὐτῶν πάλιν λέγωμεν· ἐπεὶ περὶ τῆς ἀληθείας ὁ λόγος ἡμῶν, ζητητέον ποσαχῶς ἡ ψυχὴ δύναται ἀληθεύειν ἐν τῷ καταφάσκειν καὶ ἀποφάσκειν. Καὶ πόσαι εἰσὶν αἱ ἕξεις καθ' ἃς ἀληθεύομεν. Εἰσὶ τοίνυν πέντε τὸν ἀριθμὸν, τέχνη, ἐπιστήμη, φρόνησις, σοφία, νοῦς· τὴν γὰρ ὑπόληψιν καὶ τὴν δόξαν, ὡς ἐνδεχομένως ἀληθεύουσαν, παραλείπομεν. Τῶν γὰρ εἰρημένων πέντε δυνάμεων, νοῦς μὲν οὐδέποτε ψεύδεται, οὐδὲ ἡ ἐπιστήμη· τοῦτο γάρ ἐστιν αὐτοῖς τὸ εἶναι, τὸ ἐξ ἀνάγκης ἀληθεύειν· τέχνη δὲ καὶ φρόνησις καὶ σοφία ψεύδονται μέν ποτε, ἀλλ'

οὐδ'

οὐ δι' ἑαυτὰς, ἀλλὰ διὰ τὴν τῆς ὕλης ἀνωμαλίαν· τότε γάρ τις μέθοδος ψεύδεται δι' ἑαυτὴν, ὅταν ἀπὸ τῶν κανόνων αὐτῆς τὸ ψεῦδος συνάγηται· εἰ δ' αὐτὴ μὲν περὶ τοὺς οἰκείους κανόνας ὑγιῶς ἔχει, τὰ δὲ πράγματα ἄλλοτε ἄλλως ἔχοντα τὸ ψεῦδος ποιοῦσιν, οὐκ αὐτὴ λέγοιτο ἂν δικαίως ψευδὴς, ἡ δὲ ὑπόληψις καὶ ἡ δόξα· καὶ τῶν γινωσκομένων ἀεὶ ὡσαύτως ἐχόντων, αὐτὴ ψεύδεται. Ὅθεν δῆλον ὅτι οὐ δι' ἑαυτὴν ψεύδεται· ὥσπερ τὸ οἴεσθαι τὸν ἥλιον ποδιαῖον εἶναι, ἢ τὴν σελήνην οἴκοθεν ἔχειν τὸ φῶς· τούτων γὰρ ὡς ἔχουσιν ἀεὶ ὁμοίως ἐχόντων, ἡ περὶ αὐτῶν δόξα καὶ ὑπόληψις ψεύδεται· τὰ μὲν οὖν ἀληθεύοντα πέντε εἰσὶν ὡς εἴρηται· ῥητέον δὲ τί ἐστιν ἕκαστον αὐτῶν· καὶ γὰρ εἰ καὶ ὁμοιότητας ἔχουσιν πρὸς ἄλληλα (καὶ γὰρ πολλὰ κοινὰ τέχνη καὶ ἐπιστήμη καὶ αὖθις ἐπιστήμη καὶ σοφία, καὶ τοῖς ἄλλοις ὁμοίως) ἀλλ' ὅμως ἀκριβῶς σκοποῦσι περὶ αὐτῶν, καὶ διάφορά εἰσι καὶ διάφορος ὁ ἑκάστου λόγος.

Ἐπιστήμη μὲν οὖν ἐστὶ γνῶσις τῶν ἀναγκαίων. Ἐκεῖνο γὰρ λέγομεν ἐπίστασθαι, ὃ οὐκ ἐνδέχεται ἄλλως ἔχειν, καὶ οὗ βεβαίως ἐστὶν ἡ ἀλήθεια παρ' ἡμῖν, διὰ τὸ αὐτοῦ μένειν· ἡ γὰρ περὶ τὰ ἐνδεχόμενα ἀλήθεια οὐκ οὕτω βεβαία. Μετὰ γὰρ τὸ γνωσθῆναι, μεταβάλλεται, καὶ πολλάκις λανθάνει ἀπογινόμενον, ὥστε μηδὲ τὸν

quidem, non per ſe tamen mentiuntur; ſed quia tanta eſt ſubjecti eorum inæqualitas. Tunc enim mentiri per ſe dicitur aliqua agendi ratio, cum regulis illius & præceptis falſum colligitur. Quod ſi regulæ illius recte ſe habent, res vero ipſæ quæ alio atque alio modo ſe habent, falſum illud inducunt, non illa quidem falſo merito, ſed exiſtimatio ejus & opinio eſt dicenda. Nam cum ea quæ ſub cognitionem cadunt, eodem ſemper modo ſe habeant, illa eſt quæ mentitur. Unde apparet, eam per ſe non mentiri. Ut ſi quis, exempli gratia, pedaneæ magnitudinis eſſe ſolem exiſtimet, aut à ſe ipſa lucem habere lunam. Nam cum hæc eodem ſemper modo ſe habeant, exiſtimatio de iis mentitur & opinio. Quæ ergo verum exiſtimant, quinque ſunt, ut diximus. Quid tamen ſint ſingula dicendum erit. Licet enim ſimile aliquid inter ſe habeant (multa enim ars & ſcientia, multa rurſus ſcientia ac ſapientia, ſicut & reliqua habent communia) nihilominus ſi accuratius inſpiciantur, tamen differunt, eſtq; diverſa eorum definitio. Ariſtot. l. 6. c. 3.

Scientia ergo neceſſariorum eſt cognitio. Illud enim ſcire nos dicimus, quod aliter habere ſe non poteſt, cujuſque quod ſemper in eodem maneat, firma apud nos perennat veritas. Neque enim contingentium æque firma eſt veritas. Poſtquam enim cognita fuerint, mutantur & ignaris ſæpe nobis deſinunt. Quare neque ratio eorum Ἐπιστήμη μὲν οὖν τί ἐστιν, &c.

Ariſtot. l.6. c. 3.

neque firma ſtat veritas, ſed alio quoque atque alio modo ſe habet. Cujus autem firma ſtabiliſque eſt cognitio, id vero eſt quod neceſſarium & eodem ſemper modo ſe habere dicitur. Talia autem ſunt æterna. Quare neceſſe erit, id quod ſub ſcientiam cadit æternum eſſe, cognitionemque æternorum, eſſe ſcientiam.

Ἔτι διδακτὴ πᾶσα, &c.

Præterea doctrina tradi poteſt omnis ſcientia, & quod ſub ſcientiā cadit, idē quoq; addiſci poteſt.

Ἐκ προγινωσκομένων δ' ἡ διδασκαλία, &c.

Omnis autem & quæ traditur doctrina & quæ diſcitur, ex antecedente quadam, ut in Analyticis diximus, cognitione eſt. Quare cujuſlibet principia ſunt ſcientiæ. Et aliæ quidem immediata habent & quæ non demonſtrantur principia ſcientiæ: quæ per inductionem probantur. Qualia ſunt Geometriæ principia. Alia vero ex jam demonſtratis oriuntur principiis, quæ ſublimioris cujuſdam ſunt ſcientiæ, ac ſyllogiſmo probantur. Qualis eſt Optice, quæ tanquam principiis quibuſdam, Geometriæ demonſtrationibus utitur. Eſt ergo inductio tanquam eorum principiorum, quæ non demonſtrantur, principium, & quæ univerſalia quidem ſunt, à ſingularibus cognoſcuntur tamen. At vero ſyllogiſmus, qui demonſtrata probat nonnullarum ſcientiarum principia, univerſales quaſdam & quæ non demonſtrantur notiones habet pro principiis. Sunt ergo univerſales communeſque notiones, ſcientiæ alicujus principia, ex quibus ſuppoſitis ſyllogiſmum formamus, quas non probat ſyllogiſmus, ſed inductio

περὶ αὐτοῦ λόγον καὶ τὴν ἀλήθειαν ἑστάναι, ἀλλὰ ἄλλοτε ἄλλως ἔχειν· οὗ δὲ ἡ γνῶσις βεβαία καὶ ἕστηκεν, ἐκεῖνό ἐστι τὸ ἀναγκαῖον καὶ ὁμοίως ἔχον ἀεί· τοιαῦτα δέ εἰσι τὰ ἀΐδια· ἀνάγκη ἄρα τὸ ἐπιστητὸν ἀΐδιον εἶναι, καὶ τὴν ἐπιστήμην γνῶσιν εἶναι τῶν ἀϊδίων.

Ἔτι πᾶσα ἐπιστήμη διδακτή ἐστι, καὶ τὸ ἐπιστητὸν μαθητόν.

Πᾶσα δὲ διδασκαλία καὶ μάθησις ἐκ προϋπαρχούσης γίνεται γνώσεως, ὡς ἐν τοῖς ἀναλυτικοῖς λέγομεν· πάσης ἄρα ἐπιστήμης εἰσὶν ἀρχαί. Καὶ αἱ μὲν τῶν ἐπιστημῶν ἀρχὰς ἔχουσιν ἀμέσους καὶ ἀναποδείκτους δι' ἐπαγωγῆς δεικνυμένας, οἷαί εἰσιν αἱ τῆς γεωμετρίας ἀρχαί· τινὲς δὲ ἐξ ἀρχῶν ὁρμῶνται ἀποδεικτῶν, αἳ συλλογισμῷ δείκνυνται, ἄλλης ἐπιστήμης ὑψηλοτέρας. Οἷα ἐστὶν ἡ ὀπτική, καθάπερ ἀρχαῖς χρωμένη ταῖς ἀποδείξεσι τῆς γεωμετρίας. Ἡ μὲν οὖν ἐπαγωγὴ καθάπερ ἀρχή ἐστι καὶ τῶν ἀναποδείκτων ἀρχῶν, αἳ καθόλου μέν εἰσι, γινώσκονται δὲ ἀπὸ τῶν καθ' ἕκαστα· ὁ δὲ συλλογισμός, ὃς πιστοῦται τὰς ἀποδεικτὰς ἀρχὰς ἐνίων ἐπιστημῶν, ἀρχὰς ἔχει τὰς καθόλου καὶ ἀναποδείκτους ἐννοίας. Εἰσὶν ἄρα ἀρχαὶ ἐπιστήμης, αἱ καθόλου καὶ κοιναὶ ἔννοιαι, ἐξ ὧν ὑποτιθεμένων συλλογιζόμεθα, ἃ οὐ πιστοῦται συλλογισμός, ἀλλ' ἐπαγωγή· ὑφ'

ἧς

-ης ἐπιστήμης ἄλλη ἀποδείκνυται ἐπιστήμη, ἥ τις καὶ ὑπ' αὐτὴν εἶναι λέγεται. Καὶ διὰ τοῦτο πᾶσα ἐπιστήμη ἀπὸ αὐτοπίστων τῶν ἐσχάτων ἀρχῶν ἀποδείκνυται.

Ἔστιν ἄρα ἐπιστήμη ἕξις ἀποδεικτικὴ ἐκ τῶν καθ' αὑτὸ, καὶ ᾗ αὐτὸ, καὶ πρώτων καὶ αἰτίων τοῦ συμπεράσματος ἀποτελουμένη, καθάπερ ἐν τοῖς ἀναλυτικοῖς διωρισάμεθα. Καὶ γὰρ ὅταν τις ὑποθέσεις τινὰς πιστεύῃ, καὶ γνώριμοι αὐτῷ ὦσιν αἱ τοῦ πράγματος ἀρχαὶ, τότε ἐπίστασθαι αὐτὸ δύναται· εἰ γάρ τις μὴ τὰς ἀρχὰς γινώσκῃ, μὴ δὲ φανερώτεραι εἶεν αἱ προτάσεις τοῦ συμπεράσματος αὐτῷ, κατὰ συμβεβηκὸς ἔχει τὴν ἐπιστήμην· οὐ γὰρ δι' ἑαυτοῦ ὁ τοιοῦτος ἐπίσταται, καὶ διὰ τὴν ἐγκειμένην αὐτῷ τῶν ἀρχῶν γνῶσιν, ἀλλὰ παρ' ἄλλων ἴσως ἀκούσας· εἰ γὰρ οὕτως ἐγίνωσκε διὰ τὰς ἀρχὰς τὸ συμπέρασμα, μᾶλλον ἂν ἐγίνωσκε τὰς ἀρχὰς, ἢ τὸ συμπέρασμα· δι' ὃ γὰρ ἄλλο γνωστὸν, ἐκεῖνο μᾶλλον γινώσκεται. Περὶ μὲν οὖν ἐπιστήμης, διωρίσθω τὸν τρόπον τοῦτον.

à qua rurſus ſcientia, demonſtratur alia, quæ ſub ipſa eſſe dicitur. Ideoque omnis ſcientia ab extremis quibuſdam quæ per ſe fidem habent demonſtratur principiis. Ariſtot. l. 6. c. 4.

Eſt igitur habitus demonſtrativus ſcientia, qui ex iis quæ per ſe ſunt, & qua hoc ſunt, primiſque & quæ cauſa ſunt concluſionis, efficitur: quemadmodum in Analyticis definivimus. Cum enim aliquis ſuppoſitiones quaſdam credit, notaque ei ſint rei principia, tunc hoc ſcire poteſt. Si enim nec principia habeat cognita, neque magis quam concluſio notæ ſint ei propoſitiones reliquæ, per accidens tantum habet ſcientiam. Neque enim per ſe ſcit ille, neque quod principiorum penes ſe cognitionem habeat, ſed quia fortaſſe ex alio audivit. Nam ſi, quemadmodum dico, propter principia concluſionem habere cognitam, magis quam concluſionem cognita haberet principia. Propter quod enim aliquid cognoſcitur, illud magis cognoſcitur. Et de ſcientia quidem hæc definita ſint. Ἡ μὲν ἄρα ἐπιστήμη, &c.

ΚΕΦ. ε.

Περὶ τέχνης.

Ῥητέον δὲ περὶ τῆς τέχνης. Τῶν ἐνδεχομένων γὰρ καὶ ἄλλοτε ἄλλως ἐχόντων τὰ μέν εἰσι ποιητὰ, τὰ δὲ πρακτά· καὶ ποιητὰ μὲν, περὶ ἃ ἡ ποίησις, πρακτὰ δὲ,

CAP. V.

De arte.

Jam vero de arte dicendum eſt. Eorum enim quæ contingentia ſunt & aliter ſe habere poſſunt, alia efficientia, alia activa ſunt. Et efficientia quidem in quibus effectus, activa Cap. 4. Τοῦ δ' ἐνδεχομένου ἄλλως ἔχειν, &c.

Ariſtot. l.6.c 4.

in quibus actio. Et effectio quidem, cujus . . . . Quoniam autem aliud effectus, aliud eſt actio, aliud quoque habitus cum ratione activus, quam cum ratione effectivus erit habitus. Alia tamen ſunt, non ità quidem ut alterum contineatur ab altero, ſicut pars & totum, ſed ut equus & bos. Non enim actio ſub effectum reducitur, neque enim eſt effectus: nec effectus ſub actionem, neque enim eſt actio. Quod quidem vel ex definitione appatet utriuſque: alia .n. actionis, alia effectus eſt definitio. Eſt ergo ars, cum ratione efficiendi habitus, ſicut ars ædificandi. Prudentia vero cum ratione agendi habitus, ut poſtea dicetur. Differt ergo ars à ſcientia, quia in contingentibus verſatur: & à prudentia, quia efficiendi non agendi facultatem habet. Omnis enim ars, cum vera ratione efficiendi eſt habitus. At habitus qui talis eſt, ars eſt. Sunt enim hæc reciproca.

Ἐστι δὲ πᾶσα τέχνη περὶ γένεσιν, &c.

Omnis autem ars in iis quæ fieri & non fieri poſſunt, producendis verſatur. Sicut ædificandi ars, ut domus fiat. Et naupegicæ, ut navis, quæ quidem & fieri & non fieri poſſunt. Neque in omnibus tamen quæ fieri poſſunt, ars verſatur: ſed in iis tantum, quorum originis principium in efficiente non in effecto eſt. Qualia ſunt naturalia. Naturalium quippe originis ratio in ipſis eſt. Suntque contingentia quidem, non tamen arti ſubjiciuntur. Neque

περὶ ἃ ἡ πρᾶξίς ἐστι· καὶ ποίησις μέν ἐστιν, ἧς τὸ . . . . ἐπεὶ δὲ ἕτερόν ἐστι ποίησις τῆς πράξεως, ἕτερον ἂν εἴη ἡ μετὰ λόγου ἕξις πρακτικὴ, τῆς μετὰ λόγου ποιητικῆς ἕξεως. Ἕτερα δέ εἰσιν οὐχ οὕτως, ὥστε περιέχεσθαι ὑπ᾽ ἀλλήλων, ὡς τὸ μερικὸν καὶ τὸ καθόλου, ἀλλ᾽ ὥσπερ ἵππος καὶ βοῦς. Οὔτε γὰρ ἡ πρᾶξις ὑπὸ τὴν ποίησιν ἀνάγεται, οὐ γάρ ἐστι ποίησις· οὔτε ἡ ποίησις ὑπὸ τὴν πρᾶξιν, οὐ γάρ ἐστι πρᾶξις. Δῆλον δὲ ἀπὸ τῶν ὁρισμῶν ἑκατέρας· ἄλλος γὰρ πράξεως ὁρισμὸς, καὶ ἄλλος ποιήσεως. Ἔστι δὲ τέχνη μὲν ἕξις μετὰ λόγου ποιητικὴ, ὥσπερ ἡ οἰκοδομική. Φρόνησις δὲ ἕξις μετὰ λόγου πρακτικὴ, ὡς μετὰ ταῦτα ῥηθήσεται. Ἡ ἄρα τέχνη καὶ τῆς ἐπιστήμης διαφέρει. Καὶ γὰρ περὶ ἐνδεχόμενα καταγίνεται· καὶ τῆς φρονήσεως, ὅτι ποιητική ἐστιν οὐ πρακτική· ἡ γὰρ τέχνη πᾶσα ἕξις ἐστὶ μετὰ λόγου ἀληθοῦς ποιητική· καὶ ἡ ἐστι τοιαύτη ἕξις, τέχνη ἐστίν· ἀντιστρέφει γάρ.

Πᾶσα δὲ τέχνη περὶ γένεσίν ἐστιν ἐκείνων, ἃ ἐνδέχεται γενέσθαι καὶ μὴ γενέσθαι. Οἷον ἡ οἰκοδομικὴ περὶ τὸ γενέσθαι οἰκίαν· καὶ ἡ ναυπηγικὴ περὶ γενέσθαι τὸ πλοῖον, ἃ ἐνδέχεται γενέσθαι καὶ μὴ γενέσθαι. Πλὴν οὐκ ἔστι περὶ πάντα τὰ ἐνδεχόμενα γενέσθαι, ἀλλὰ περὶ ἐκεῖνα μόνον, ὧν ἡ ἀρχὴ τῆς γενέσεως ἐν τῷ ποιοῦντι καὶ οὐκ ἐν τῷ ποιουμένῳ ἐστίν· διά ἐστι τὰ φυσικά· τῶν γὰρ κατὰ φύσιν ἡ ἀρχὴ τῆς γενέσεως ἐν αὐτοῖς ἐστι· καί εἰσι μὲν ἐνδεχόμενα, τεχνητὰ δὲ οὐκ εἰσίν· οὐκ ἔχουσι·

ἔχουσι γὰρ τὴν αἰτίαν τῆς ὑπάρξεως ἔξωθεν· ὥσπερ οἰκία τὸν οἰκοδόμον, καὶ πλοῖον τὸν ναυπηγόν.

Ἔστι δὲ ἡ τέχνη καὶ ἡ τύχη σχεδὸν περὶ τὰ αὐτὰ ὑποκείμενα· καὶ γὰρ ἡ τύχη ἐν τούτοις, ὧν ἡ αἰτία τῆς ὑπάρξεως ἔξωθεν· εἰ γὰρ ἐν αὐτοῖς εἶχον τὰ τυχηρὰ τὰς ἀρχὰς τῆς ὑπάρξεως, οὐκ ἂν ἐδόκει παράδοξα· νῦν δὲ διὰ τοῦτο θαυμάζονται, ὅτι ἡ αἰτία αὐτῶν οὐ μόνον ἔξωθεν, ἀλλὰ καὶ ὅθεν ἂν οὐδεὶς προσεδόκησε· τὸ γὰρ σκάπτειν τοῦ πλουτεῖν αἴτιον ὑπῆρξε πολλάκις· θεμελίῳ γάρ τις βόθρον ὀρύττων περιέτυχε θησαυρῷ. Παρὰ προσδοκίαν δέ ἐστι, διότι καθ' αὑτὸ οὐκ ἔστιν αἴτιον τὸ σκάπτειν τοῦ πλουτεῖν· ἢ γὰρ ἂν πάντες ἐπλούτουν οἱ σκάπτοντες· ἀλλὰ κατὰ συμβεβηκός· τὰ γὰρ κατὰ συμβεβηκὸς αἴτια, ὧν εἰσιν αἴτια, οὐ προσεδοκῶντο γενέσθαι· ἐκεῖνα γάρ τις περὶ τοῦ πράγματος προσδοκᾷ, ὅσα ἐν τῷ αὐτοῦ περιέχονται λόγῳ, ἢ δυνάμει, ἢ ἐνεργείᾳ. Τὰ δὲ κατὰ συμβεβηκὸς οὐ τοιαῦτα. Ἔστι τοίνυν τέχνη καὶ τύχη τρόπον τινὰ περὶ τὰ αὐτά. Τρόπον τινὰ δὲ λέγω, ὅτι τῶν ἐνδεχομένων ἐστὶ καὶ ἄλλοτε ἄλλως ἐχόντων· οὐκ ἔστι δὲ καθ' αὑτὸ τούτων αἰτία, ἀλλὰ κατὰ συμβεβηκός· ἡ δὲ τέχνη καθ' αὑτό ἐστιν αἰτία τῶν τεχνητῶν.

Ἡ μὲν οὖν τέχνη, ὡς εἴρηται, ἕξις ἐστὶ μετὰ λόγου ἀληθοῦς ποιητικὴ περὶ τὰ ἐνδεχόμενα, ὧν ἡ αἰτία ἐν τῷ ποιοῦντι· ἀτεχνία δὲ τοὐναντίον, μετὰ λόγου ψευδοῦς

enim cauſam ejus quod ſunt extrinſecus habent, ſicut architectum domus, navis naupegum. Ariſtot. l 6. c. 4.

Porro in iiſdem fere ſubjectis ars verſatur & fortuna. Nam in iis quoque fortuna eſt, quorum cauſa ejus quod ſunt, eſt extrinſecus. Si enim ejus quod ſunt, cauſas in ſe haberent fortuita, non viderentur præter expectationem noſtram. Nunc propterea admiramur illa, quia non modo extrinſecus eorum cauſa eſt, ſed ex iis unde nemo expectaſſet. Ex eo enim quod aliquis fodit, ſæpe evenit ut diteſceret. Nam dum in fundamento domus alicujus foſſam fodit, in theſaurum incidit: & tamen præter expectationem hoc eſt, quia hoc ipſum quod fodit, cauſa non eſt cur diteſcat (quod ſi eſſet, omnes qui fodiunt diteſcerent) ſed per accidens, quæ enim per accidens cauſa ſunt ejus cujus ſunt cauſa, nemo expectabat ut fierent. Illa enim in eadem re expectantur, quæ ſub eadem ratione aut facultate comprehenduntur, aut efficacia. Quæ vero per accidens, non ſunt talia. Eſt ergo ars quodammodo & fortuna in iiſdem. Quodammodo autem addo, quia contingentium eſt eorumque quæ aliter atque aliter ſe habent. Non per ſe autem horum cauſa eſt, ſed per accidens. Ars vero eorũ quæ ſubjacent arti, cauſa per ſe eſt.

Καὶ τρόπον τινὰ περὶ τὰ αὐτά ἐστιν, &c.

Eſt ergo ars, ut dictum eſt, cum verâ ratione efficiendi habitus in contingentibus, quorum cauſa in efficiente eſt. Contrariũ vero inertia; cum ratione nimirum falſa

Ἡ μὲν οὖν τέχνη, &c.

Ariſtot. l. 6. c. 5.

efficiendi habitus, in iis quæ aliter ſe habere poſſunt.

ποιητικὴ ἕξις, περὶ τὸ ἐνδεχόμενον ἄλλως ἔχειν.

CAP. VI.

De prudentia.

Cap 5. Περὶ δὲ φρονήσεως οὕτως ἂν λάβοιμεν, &c.

Nunc de prudentia dicamus. Manifeſta autem fient, quæ de prudentia tractanda ſunt, ſi qui ſint illi quos prudentes eſſe dicimus, videamus. Prudens autem videtur eſſe, qui de iis quæ bona ipſi & utilia ſunt, bene conſultare poteſt. Neque de ſingularibus bonis: ut exempli gratia, de ſanitate, aut robore, aliiſque ejuſmodi, aut quæ eo ſpectant: ſed ſimpliciter de vita bene inſtituenda, iiſque quæ ad felicitatem conferunt, qui humanus eſt finis. Hoc vero ita ſe habere, vel ex eo planum eſt. Prudentes enim dicimus, qui ad finem aliquem bonum actiones dirigunt ſuas, rectumque de iis, & quod oportet conſilium capiunt: & tanquam eo modo ad honeſtum pervenire finem poſſint, ea agunt, in quibus ars locum non habet. Itaque ſimpliciter is prudens erit, qui ad conſultandum idoneus erit. Quod ſi ad conſultandum idoneus, in contingentibus quoque occupabitur.

Βουλεύεται δ' οὐθεὶς περὶ τῶν ἀδυνάτων, &c.

Nemo enim de neceſſariis & quæ aliter ſe habere non poſſunt, conſilium capit. Sed neque de iis quæ fieri quidem poſſunt ſimpliciter, ab ipſo autem fieri non poſſunt. Nam nec de iis quiſquam conſultat, ſed de iis ſe-

ΚΕΦ. ϛʹ.

Περὶ φρονήσεως.

Νῦν δὲ λέγωμεν περὶ φρονήσεως. Γένοιτο δ' ἂν σαφὴς ὁ περὶ τῆς φρονήσεως λόγος, εἰ θεωρήσαιμεν τίνας λέγομεν εἶναι φρονίμους. Δοκεῖ δὲ φρόνιμος εἶναι, ὃς δύναται καλῶς βουλεύεσθαι περὶ τὰ αὐτῷ ἀγαθὰ καὶ συμφέροντα, οὐ περὶ τῶν μερικῶν ἀγαθῶν σκοπούμενος· οἷον περὶ ὑγιείας, ἢ ἰσχύος, ἢ ἄλλου τινός, καὶ τῶν πρὸς ταῦτα φερόντων· ἀλλὰ περὶ τοῦ εὖ ζῆν ἁπλῶς, καὶ ὅσα συντελεῖ πρὸς εὐδαιμονίαν, ὅ ἐστι τὸ ἀνθρώπινον τέλος. Ὅτι δὲ οὕτως ἔχει, δῆλον· φρονίμους γὰρ ὀνομάζομεν τοὺς πρὸς τὸ τέλος ἀγαθὸν τὰς ἰδίας πράξεις τάττοντας, καὶ καλῶς βουλευομένους περὶ αὐτῶν, καὶ ὡς ἂν δι' αὐτῶν δυνηθεῖεν τοῦ σπουδαίου τέλους τυχεῖν, ἐκεῖνα πράττοντας, ὧν οὐκ ἔστι τέχνη· ὥστε καὶ ὅλως ἂν εἴη φρόνιμος ὁ βουλευτικός, εἰ δὲ βουλευτικὸς περὶ τὰ ἐνδεχόμενά ἐστιν.

Οὐδεὶς γὰρ βουλεύεται περὶ τῶν ἀναγκαίων, καὶ μὴ δυναμένων ἄλλως ἔχειν· ἔτι δὲ οὐδὲ περὶ τῶν ἐνδεχομένων μὲν γίνεσθαι ὅλως, ὑπ' αὐτοῦ δὲ γίνεσθαι οὐκ ἐνδεχομένων· ὁμοίως γὰρ οὐδὲ περὶ αὐτῶν βουλεύεταί τις, ἀλλὰ μόνον περὶ τῶν

δυνα-

δυνατὸν ὑπ' αὐτοῦ πραχθῆναι· φανερὸν δὴ ἐκ τῶν εἰρημένων, ὅτι ἡ φρόνησις ἄλλο ἐστὶν οὐ μόνον παρὰ τὴν τέχνην, ὡς δέδεικται, ἀλλὰ καὶ παρὰ τὴν ἐπιστήμην· ὅτι ἡ μὲν περὶ τὰ ἀναγκαῖά ἐστιν, ἡ δὲ φρόνησις περὶ τὰ ἐνδεχόμενα ἄλλως ἔχειν.

Ἔστι γὰρ φρόνησις ἕξις ἀληθὴς μετὰ λόγου πρακτικὴ περὶ τὰ ἀνθρώπου ἀγαθὰ καὶ κακά. Τῆς τέχνης δὲ διαφέρει, καθὼς εἴρηται, ὅτι ἄλλο πρᾶξις, καὶ ἄλλο ποίησις. Τῆς μὲν γὰρ ποιήσεως τὸ τέλος ἄλλο ἐστὶ παρὰ τὴν ποίησιν· ἄλλο γάρ ἐστι ναυπηγικὴ, καὶ ἕτερον τὸ πλοῖον· τῆς δὲ πράξεως τὸ τέλος οὐκ ἔστιν ἄλλο παρὰ τὴν πρᾶξιν ἀεί. Καὶ γὰρ ἐνίοτε αὐτὴ ἡ πρᾶξις τέλος ἐστὶν ἑαυτῆς, ὅταν εὖ καὶ καλῶς πράττηται· τῆς γὰρ ἱππικῆς τέλος τὸ εὖ καὶ καλῶς ἱππεύειν.

Ἔστι τοίνυν φρόνησις ἕξις περὶ τὰ ἀνθρώπου ἀγαθὰ ἢ κακά.

Διὰ τοῦτο Περικλέα καὶ τοὺς τοιούτους φρονίμους οἰόμεθα εἶναι, διότι τὰ ἑαυτοῖς ἀγαθὰ καὶ τὰ τοῖς ἄλλοις ἀνθρώποις ἐδύναντο θεωρεῖν· τοιούτους δὲ εἶναι ἡγούμεθα τοὺς οἰκονομικοὺς καὶ πολιτικούς.

Τοῦτο δὲ καὶ ἀπὸ τοῦ ὀνόματος τῆς σωφροσύνης γίνεται δῆλον. Ὁ γὰρ σώφρων φυλάττων τὸ ἑαυτοῦ ἀγαθὸν, τὴν φρόνησιν λέγεται σώζειν· καὶ τὴν σωφροσύνην, ὡς σώζουσαν τὴν φρόνησιν, τούτῳ προσαγορεύομεν τῷ ὀνόματι· καὶ γὰρ ὁ ἀκόλαστος οὐδεμίαν τῶν ἄλλων γνώσεων τῇ ἡδονῇ διαφθείρει, εἰ

ſummodo quæ fieri ab ipſo poſſunt. Apparet ergo ex iis quæ dicta ſunt, non tantum aliud præter artem, quod oſtendimus, ſed & præter ſcientiam, eſſe prudentiam. Quia altera in neceſſariis, altera in iis quæ aliter ſe habere poſſunt, verſatur. Ariſtot. l.6.c.5.

Eſt .n. verus cum ratione efficiendi habitus, qui in bonis maliſque humanis occupatur, prudentia. Ab arte autem diſfert, ut diximus, quia aliud actio, aliud eſt effectio. Effectionis enim finis præter effectionem eſt alius. Aliud enim ars eſt quæ naves fabricat, aliud navis. Actionis vero finis præter actionem non eſt alius ſemper. Interdum enim ipſa ſui finis eſt actio, cum bene recteque agit. Equeſtris enim finis eſt, recte & bene equitare. Λείπεται ἄρα αὐτὴν εἶναι, &c.

Eſt ergo habitus qui in bonis maliſque humanis verſatur, prudentia.

Ac propterea Periclem & ſimiles, prudentes judicamus eſſe: quia ſua aliorumque hominum perſpicere bona potuerunt. Tales autem eos putamus eſſe, qui aut familiæ recte præeſſe poſſunt aut Reipublicæ. Διὰ τοῦτο Περικλέα, &c.

Quod quidem vel ex nomine apparet temperantiæ, quam σωφροσύνην dicimus. Temperans enim qui σώφρων dicitur, cum bonum ſuum conſervet, prudentiam conſervare dicitur. Ideoq; σωφροσύνην, ὡς σώζουσαν τὴν φρόνησιν, hoc eſt, quod prudentiam conſervet, hoc appellamus nomine. Etenim intemperans nullam aliam voluptate corrumpit notionem, Ἔνθεν καὶ τὴν σωφροσύνην, &c.

Ariſtot. l.6. c.5.

nem, niſi ſolam prudentiam. Nam neque ſcientiam, neq; artem, neque aliam earum ullam, quas enumeravimus. Neque enim vetat voluptas, quo minus ſciamus triangulum duas rectas habere, quod eſt ſcientiæ. Aut quomodo navis fabricanda ſit: aut aliud quid, quod artem ſpectat, effici debeat: ſed ſolum id quod ſub actionem cadit, pervertit, in quo verſatur prudentia. Principia quippe eorum quæ ſub actionem cadunt & cauſæ, finis ſunt cujus cauſa aguntur. Singulis autem quæ ſub actionem cadunt, finis eſt bonum ejus qui agit proxime. Quod cum ignoratur, pervertitur id quod ſub actionem cadit. Ignoratur vero, quoties à voluptate quis aut dolore aliove affectu corruptus, id bonum, quod petendum eſt, eſſe voluptatem judicat, finemque ad quem perveniundum ſibi ſit eam eſſe exiſtimat, eoque actiones dirigit ſuas, atque ita bonum corrumpit ſuum: qui finis eſt, & legitimum eorum quæ ſub actionem cadunt principium. Principium enim corrumpit improbitas. Ideoque cum prudentiam corrumpat intemperans, qui eam conſervat, *σώφρων* vocatur. Ut neceſſe ſit, habitum cum ratione verum agendi humana bona, eſſe prudentiam. Ex quo ipſo etiam apparet, aliud præter ſcientiam artemque & reliquas notitias eſſe prudentiam.

Ἀλλὰ μὴν τέχνης μέν ἐστι &c.

Præterea artis eſt vitium & virtus: poteſt enim & bonus eſſe artifex & malus. Prudentiæ vero neque vitium eſt (non

μὴ τὴν φρόνησιν μόνην· ἀλλ' οὔτε τὴν ἐπιστήμην, οὔτε τὴν τέχνην, οὔτε ἄλλην τινὰ τῶν ἀπηριθμημένων· ἡ γὰρ ἡδονὴ οὐδὲν κωλύει εἰδέναι τὸ τρίγωνον δύο ὀρθὰς ἔχειν· ὅπερ ἐστὶ τῆς ἐπιστήμης· οὐδὲ πῶς δεῖ ναῦν οἰκοδομῆσαι, ἢ ἄλλό τι ποιῆσαι τεχνητόν· ἀλλὰ μόνον τὸ πρακτὸν διαστρέφει, περὶ ὃ ἡ φρόνησίς ἐστιν· αἱ γὰρ ἀρχαὶ καὶ τὰ αἴτια τῶν πρακτῶν, τὰ τέλη εἰσὶν, ὧν ἕνεκα πράττονται· τέλος δέ ἐστιν ἑκάστῳ πρακτῷ τὸ ἀγαθὸν τοῦ πράττοντος προσεχῶς, ὅπερ εἰ ἀγνοήσεται, τὸ πρακτὸν διαστρέφεται· ἀγνοεῖται δὲ, ὅταν τις ὑφ' ἡδονῆς, ἢ λύπης διαφθαρεὶς, ἢ ἄλλου τινὸς πάθους, οἴεται τὴν ἡδονὴν εἶναι τὸ ἀγαθὸν, καὶ τὸ τέλος τὸ προσῆκον αὐτὸ νομίζει, καὶ εἰς αὐτὴν τάττει τὰς πράξεις· καὶ οὕτω διαφθείρει τὸ ἑαυτοῦ ἀγαθὸν, ὅ ἐστιν τὸ τέλος καὶ ἡ προσήκουσα τῶν πρακτῶν ἀρχή. Ἔστι γὰρ ἡ κακία φθαρτικὴ ἀρχῆς. Καὶ διὰ τοῦτο τοῦ ἀκολάστου φθείροντος τὴν φρόνησιν, ὁ διασώζων, σώφρων καλεῖται· ὥστε ἀνάγκη τὴν φρόνησιν ἕξιν εἶναι μετὰ λόγου ἀληθῆ, περὶ τὰ ἀνθρώπινα ἀγαθὰ πρακτικήν. Δῆλον μὲν οὖν καὶ ἀπὸ τούτων, ὅτι ἄλλό ἐστι παρὰ τὴν ἐπιστήμην, καὶ τὴν τέχνην, καὶ τὰς ἄλλας γνώσεις.

Ἔτι δὲ τῆς μὲν τέχνης ἐστὶ καὶ κακία καὶ ἀρετή. Καὶ γὰρ δυνατὸν καὶ ἀγαθὸν εἶναι τεχνίτην καὶ πονηρόν. Φρονήσεως δὲ οὔτε κακία ἐστὶν (ἀδύνα-

τον γὰρ φρόνιμόν τινα φαῦλον εἶναι) οὔτε ἀρετήν. Αὐτὴ γάρ ἐστιν ἀρετή· ἀρετὴ δὲ ἀρετῆς οὐκ ἔστιν, οὐ γὰρ μεσότης μεσότητος. Ἔτι ὁ μὲν κατὰ τὴν τέχνην ἑκὼν ἁμαρτάνων βελτίων τοῦ ἄκοντος ἁμαρτάνοντος, καθόσον ἐστὶ τεχνίτης. Ἐπὶ δὲ τῆς φρονήσεως οὐχ οὕτως, ἀλλὰ τοὐναντίον· ὁ γὰρ ἑκὼν τὴν φρόνησιν διαφθείρων, χείρων τοῦ ἄκοντος. Δῆλον οὖν, ὅτι ἡ φρόνησις ἀρετή τις ἐστὶ καὶ οὐ τέχνη· ἀρετὴ δέ ἐστι τοῦ δοξαστικοῦ.

Δυοῖν γὰρ ὄντων τῶν λόγον ἐχόντων τῆς ψυχῆς μερῶν, τοῦτε διανοητικοῦ καὶ τοῦ δοξαστικοῦ, ἤτοι τοῦ βουλευτικοῦ, τὸ δεύτερον περὶ τὰ ἐνδεχόμενά ἐστι, περὶ ἃ καὶ ἡ φρόνησις. Ἔστι δὲ ἡ φρόνησις οὐχ ἕξις μόνον μετὰ λόγου ἀληθής, ὥσπερ ἡ τέχνη, ὅταν μὴ ποιῇ ὁ τεχνίτης τὰ τεχνητὰ (οὐδὲν γὰρ κωλύει καὶ μὴ ποιοῦντα τεχνίτην εἶναι, καὶ τέχνην τὴν μετὰ λόγου ἕξιν ἀληθῆ) τὴν δὲ φρόνησιν ἀεὶ πρακτικὴν εἶναι πᾶσα ἀνάγκη. Τὰ μὲν γὰρ ὑποκείμενα καὶ ἡ ὕλη τῆς τέχνης, οὐκ ἀεὶ πάρεσι τῷ τεχνίτῃ· τὰ δὲ τῆς φρονήσεως ὑποκείμενα οὐδέποτε τὸν φρόνιμον ἀπολείπει· τὰ γὰρ τῆς ψυχῆς πάθη, καὶ ἀνθρώπιναι πράξεις, καὶ αἱ πρὸς ἀλλήλους τῶν ἀνθρώπων κοινωνίαι, καὶ τἄλλα, περὶ ἃ πᾶσα ἀρετή ἐστι, καὶ φρόνησις· ταῦτα τοίνυν ἔξω τοῦ ἀνθρωπίνου βίου γενέσθαι ἀδύνατον· διὰ τοῦτο καὶ λήθη τῆς μὲν τέχνης ἐστι, φρονήσεως δὲ οὐκ ἔστιν. Περὶ μὲν οὖν φρονήσεως εἴρηται.

enim fieri poteſt ut prudens aliquis ſit malus) neque virtus. Ariſto l.6. c. Ipſa enim eſt virtus. Virtus autem virtutis non eſt, ſicut nec mediocritas mediocritatis. Deinde, qui in arte errat ſponte, melior eſt quam qui invitus, quatenus eſt artifex: in prudentia vero non ita, ſed contra. Qui enim ſponte prudentiam corrumpit, pejor eſt quam qui invitus. Unde etiam apparet, prudentiam virtutem eſſe, non artem. Eſt autem virtus ejus partis quam obtinet opinio.

Nam cum earum quæ ratione præditæ ſunt animæ partium, duæ rurſus ſint partes, quam mens & quam obtinet opinio, id eſt, deliberativa: altera in contingentibus verſatur, in quibus & prudentia. Δυοῖν δ' ὄντων μερῶν τῆς ψυχῆς, &c. Eſt autem prudentia, non verus modo cum ratione habitus, ſicut ars, cum ea quæ arti ſunt objecta non exercet artifex (nihil n. obſtat, quo minus, licet nihil efficiat, ſit artifex, & verus cum ratione habitus ſit ars) at prudentiam ſemper in actione occupari, omnino eſt neceſſe. Neque .n. ſemper ſubjecta ſunt artifici in promptu, aut artis materia. Prudentiæ vero ſubjecta nunquam deficiunt prudentem. Etenim affectus humani neque actiones, neque mutua hominum inter ſe conſortia, neque reliqua in quibus virtus omnis occupatur & prudentia, exulare à vita poſſunt ſubjecta. Ideoque artis quidem interdum, nulla vero prudentiæ eſſe poteſt oblivio. Et hæc quidem de prudentia.

CAP.

Ariſtot. l.6.c.6,7

CAP. VII. De intellectu.

Cap. 6. Ἐπεὶ δ' ἡ ἐπιστήμη, &c.

JAm vero de intellectu dicendum eſt, cujus generis ſint illa quæ ſub cognitionem ejus cadunt. Cum ergo univerſalium, eorumque quæ neceſſario ſunt, idque cum ratione ac demonſtratione, notitia ſit ſcientia, quædam autem principia habeat demonſtratio quæ ante demonſtrationem præſupponi oportet à ſcientia prædito, videndum eſt cujus ex omnibus, quas ante numeravimus notitiis, ſit illa, quæ hæc cognoſcit principia. Scientiæ, dico, artis, prudentiæ, ſapientiæ, aut intellectus. Ac primum ſcientia eſſe non poteſt. Demonſtrativa enim eſt ſcientia: demonſtrari vero non poſſunt principia. Sed nec prudentiæ aut artis. In contingentibus enim occupantur illæ, cum talia nequaquam ſint principia. Sed nec ſapientiæ eſt principia cognoſcere, cum ejus ſit demonſtrata cognoſcere: medio autem deſtituantur principia.

Εἰ δὴ οἷς ἀληθεύομεν, &c.

Reſtat ergo ut principiorum ſit intellectus. Eſtque hoc ipſum intellectus, quo principia cognoſcimus ſcientiæ.

ΚΕΦ. ζ. Περὶ τοῦ νοῦ.

Ῥητέον δὲ ἤδη περὶ τοῦ νοῦ, περὶ τίνα ἐστὶ τῶν γνωστῶν. Ἐπεὶ τοίνυν ἡ ἐπιστήμη γνῶσίς ἐστι τῶν καθόλου καὶ τῶν ἐξ ἀνάγκης ὄντων, μετὰ λόγου καὶ ἀποδείξεως, ἡ δὲ ἀπόδειξις ἀρχὰς ἔχει, ἃς δεῖ προϋποκεῖσθαι τῆς ἀποδείξεως τῷ ἐπιστήμονι, ζητητέον τίνος τῶν ἀπηριθμημένων γνώσεών ἐστι τὸ ταύτας εἰδέναι τὰς ἀρχάς, ἐπιστήμης, ἢ τέχνης, ἢ φρονήσεως, καὶ σοφίας, ἢ νοῦ. Ἐπιστήμης μὲν οὖν οὐ δυνατὸν εἶναι. Ἡ γὰρ ἐπιστήμη ἀποδεικτική. Αἱ δὲ ἀρχαὶ οὐκ ἀποδεικταί. Ἀλλ' οὐδὲ φρονήσεως, οὐδὲ τέχνης· αἱ μὲν γὰρ περὶ τὰ ἐνδεχόμενα, αἱ δὲ ἀρχαὶ οὐ τοιαῦται. Ἔτι δὲ οὐδὲ τῆς σοφίας ἐστὶ τὸ τὰς ἀρχὰς εἰδέναι· καὶ γὰρ καὶ σοφία ἐστί, τὸ ἀποδεικτά τινα εἰδέναι· αἱ δὲ ἀρχαί, ἄμεσοι.

Λείπεται δὴ τὸν νοῦν εἶναι γνῶσιν τῶν ἀρχῶν, καὶ τοῦτό ἐστι νοῦς, ᾧ τὰς ἀρχὰς γινώσκομεν τῆς ἐπιστήμης.

CAP. VIII. De ſapientia.

Cap. 7. Τὴν δὲ σοφίαν ἐν ταῖς τέχναις, &c.

DUpliciter autem ſumitur ſapientia. Alia enim ſingularis, alia univerſalis ſapientia eſt.

ΚΕΦ. θ'. Περὶ σοφίας.

Ἡ δὲ σοφία διχῶς λέγεται· ἔστι γὰρ ἡ μὲν μερικὴ σοφία, ἡ δὲ καθόλου· καὶ

καὶ μερικὴ μὲν ἐστιν ἡ ἑκάστης τέχνης ἀρετὴ καθ' ἣν τοῦτον ἢ ἐκεῖνον τὸν τεχνίτην σοφὸν λέγομεν κατὰ τὴν αὐτοῦ τέχνην· οἷον τὸν Φειδίαν λιθουργὸν σοφὸν λέγομεν ὅτι ἄριστός ἐστι τὴν λιθουργικὴν, καὶ Πολύκλειτον σοφὸν ἀνδριαντοποιόν.

Καθόλου δὲ σοφία ἐστὶ, καθ' ἣν οὐ κατά τι λέγομεν, τινὰς σοφούς· ὥσπερ Ὅμηρός φησιν ἐν τῷ Μαργείτῃ.

Τὸν δ' οὔτ' ἂρ σκαπτῆρα θεοὶ θέσαν, οὔτ' ἀροτῆρα.
Οὔτ' ἄλλως τι σοφόν. —

Ὥστε δῆλον, ὅτι ἡ ἀκριβεστάτη τῶν ἐπιστημῶν ἂν εἴη ἡ σοφία, κἄν τε τὴν μερικὴν εἴποι τις, κἄν τε τὴν καθόλου· ἥ τε γὰρ μερικὴ αὐτὸ τοῦτό ἐστιν ἀκριβὴς ἐπιστήμη καὶ τέχνη, καὶ ἡ καθόλου, διὰ τὸ καθόλου εἶναι, ἀκριβεστέρα ἐστὶ τῶν ἄλλων, καθόσον μᾶλλόν ἐστιν ὡρισμένη. Ἐπεὶ τοίνυν καθόλου τί ἐστιν ἡ σοφία, δεῖ τὸν σοφὸν τὸν κατ' αὐτὴν σοφὸν μὴ τὸ μὲν τῶν γνωστῶν εἰδέναι, τὸ δὲ ἀγνοεῖν· καὶ διὰ τοῦτο μὴ μόνον τὰ ἀποδεικτὰ ὁ σοφὸς εἴσεται, ἀλλὰ καὶ τὰς ἀρχὰς, ὅθεν αἱ ἀποδείξεις, καὶ τὸν ἐνχωροῦντα περὶ αὐτῶν ἀποδώσει λόγον. Ὥστε εἴη ἂν ἡ σοφία νοῦς καὶ ἐπιστήμη· καὶ οὕτως ἔσται ἐπιστήμη καὶ τιμιωτάτη, καθάπερ κεφαλὴν ἔχουσα τὰς ἀρχάς. Ἐν γὰρ τῷ αὐτῆς λόγῳ, καὶ τὰ ἀποδεικτὰ καὶ αἱ ἀρχαὶ λαμβάνονται· ἐπὶ γὰρ τῶν ἄλλων ἐπιστημῶν οὐχ οὕτως ἔχει· οὐ γὰρ ἐν τῷ ὁρισμῷ αὐτῶν ἡ γνῶσις τῶν ἀρχῶν παραλαμβάνεται, ἀλλὰ τῶν ἀποδεικτῶν μόνον.

Et ſingularis quidem, ſingularum artium virtus eſt, qua illum aut illum artificem in arte ſua ſapientem dicimus. Ut cum Phidiam ſapientem lapidum ſculptorem dicimus, quia in ea arte excellit, & Polycletum ſapientem ſtatuarium. Ariſtot. l. 6. c. 7.

Univerſalis vero ſapientia* eſt, cujus reſpectu non in uno aliquo ſapientes quoſdam dicimus, ſicut in Margite ſuo Homerus ait:

*Εἶναι δέ τινας σοφοὺς, &c.

Hic neque foſſor erat nec arator munere Divûm,
Nec ſapiens ullis fuit artibus.

Ex quo manifeſtum eſt, accuratiſſimam ſcientiarum eſſe ſapientiam, ſive ſingularem ſive univerſalem intelligas. Etenim & ſingularis hoc ipſum eſt, ars accurata & ſcientia: & univerſalis, quia univerſalis eſt reliquis eſt accuratior: quatenus magis eſt definita. Cum ergo univerſale quid ſit ſapientia, oportet ſapientem, qui per ſe talis ſit, non quædam quæ cognoſci poſſunt ſcire, quædam ignorare. Ideoque non demonſtrata tantum, ſed & principia unde deſumuntur demonſtrationes, ſciet ſapiens; eamq; quam admittunt dare rationem poterit. Quare & ars & intellectus erit ſapientia. Eoq; modo longe præſtantiſſima erit ſcientia, ut quæ tanquam caput habeat principia. In ejus enim definitione demonſtrata conjunguntur & principia. Quod in aliis non item fit ſcientiis. Neq; .n. in definitione earum, principiorum, ſed tantum demonſtratorum aſſumitur cognitio.

Ariſtot. l.6. c.7. Ἄτοπον εἴ τις τὴν ἐπιστήμην, &c.

A prudentia autem differt ſapientia, quod civilis quidem ſit prudentia, ſapientia vero reliquarum ſcientiarum ſit præſtantiſſima. Neque enim præſtantiſſima eſt prudentia. Præſtantiſſima enim eſt, quæ in optimo verſatur: prudentia vero in humanis verſatur bonis: homo vero ejuſq; bona non ſunt optimum. Præterea bonum invenire ſuum, eſt prudentiæ. Bonum autem non idem eſt omnibus. Neq; enim idem omnibus ſalubre eſt & utile. Unde ſequitur, neque id quod prudens dicimus, omnibus idem eſſe, id vero quod ſapiens, omnibus idem eſt. Quod enim ſciri poteſt, id eſt quod ſapiens dicitur. Duas autem rectas lineas habere triangulum, ſciri poteſt, idemq; omnibus videtur tale eſſe ut ſciri poſſit, ſicut rectum aut album idem eſt apud omnes. Id autem quod prudens dicimus, non in hominibus tantum, ſed & in aliis locum habet; hoc eſt, ut quiq; bona ſua & videat & agat. Unde & nonnulla animalia aiunt prudentia eſſe: quotcunq; videlicet ita vitam agunt, ut facultatem aliquam providam circa eam habere videantur. Apparet ergo ſapientiam & prudentiam non eandem eſſe. Si enim facultatem agendi, quæ expedire ſibi quiſque putat, ſapientiam quis dixerit, multæ erunt ſapientiæ. Multa enim ſunt quæ conducunt ſingulis. Sicut non eadem in omnibus animalibus ſanandi ratio: quia aliis alia aut bona valetudinis cauſa ſunt aut morbi. Quod ſi quis reliquis præſtare

Διαφέρει δὲ ἡ σοφία φρονήσεως, ὅτι ἡ μὲν φρόνησις πολιτική ἐστιν, ἡ δὲ σοφία ἡ τῶν ἄλλων ἐπιστημῶν σπουδαιοτάτη· οὐ γὰρ φρόνησις σπουδαιοτάτη· σπουδαιοτάτη γάρ ἐστιν, ἥτις περὶ τὸ ἄριστον καταγίνεται· ἡ δὲ φρόνησις περὶ τὰ ἀνθρώπινα ἀγαθὰ καταγίνεται· ὁ δὲ ἄνθρωπος, καὶ τὰ αὐτοῦ ἀγαθὰ, οὐκ ἔστι τὸ ἄριστον· ἔτι φρόνιμόν ἐστι τὸ εὑρετικὸν τοῦ ἰδίου ἀγαθοῦ· ἀγαθὸν δὲ οὐ πᾶσι τὸ αὐτό. Οὐ γὰρ τὸ αὐτὸ πᾶσιν ὑγιεινὸν καὶ ὠφέλιμον. Φρόνιμον ἄρα οὐ παρὰ πᾶσι τὸ αὐτό· σοφὸν δὲ τὸ αὐτὸ παρὰ πᾶσιν. Τὸ γὰρ ἐπιστητὸν σοφόν· τό δὲ τὸ τρίγωνον δύο ὀρθὰς ἔχειν, ἐπιστητόν ἐστι, καὶ τὸ αὐτὸ δοκεῖ παρὰ πᾶσιν ἐπιστητὸν εἶναι, καθάπερ καὶ τὸ αὐτὸ εὐθὺ, καὶ τὸ αὐτὸ λευκὸν παρὰ πᾶσιν. Φρόνιμον δὲ οὐκ ἐπ᾽ ἀνθρώπων μόνον; ἀλλὰ καὶ ἐπὶ τῶν ἄλλων, τὸ θεωρεῖν ἕκαστον τὰ ἑαυτοῦ ἀγαθὰ καὶ πράττειν. Ὅθεν καὶ ἔνια τῶν θηρίων φρόνιμά φασιν εἶναι, ὅσα περὶ τὸν αὐτῶν βίον ἔχοντα φαίνεται δύναμιν προνοητικήν. Φανερὸν τοίνυν, ὅτι οὐκ ἂν εἴη ἡ σοφία καὶ ἡ φρόνησις ἡ αὐτή. Εἰ γὰρ τὴν πρακτικὴν τῶν ἑαυτοῖς ὠφελίμων ἐροῦσι σοφίαν, πολλαὶ ἔσονται σοφίαι· πολλὰ γὰρ τὰ ὠφέλιμα ἑκάστῳ· καθάπερ καὶ ἰατρικὴ οὐ μία περὶ πάντα τὰ ζῶα. Διότι ἄλλοις ἄλλα ὑγιεινὰ ἢ νοσώδη· εἰ δὲ φασὶν βέλτιστον εἶναι τὸν ἀνθρω-

ἄνθρωπον τῶν ἄλλων ζώων, καὶ διὰ τοῦτο τὴν πολιτικήν, ἤτοι τὴν φρόνησιν, σπουδαιοτάτην εἶναι, καθάπερ ἡ σοφία, οὐδὲν διαφέρει. Καὶ γὰρ ἀνθρώπου ἄλλα πολλῷ θειότερα τὴν φύσιν. Οἷα τὰ περιδήλως συνιστάντα τὸ πᾶν· λέγω δὴ ἐξ ὧν ὁ κόσμος συνέστηκεν.

Ἐκ τῶν εἰρημένων δὲ δῆλον, ὅτι σοφία ἐστὶ νοῦς καὶ ἐπιστήμη, περὶ τὰ φύσει τιμιώτατα, ἅ εἰσι τὰ ἀναγκαῖα καὶ ἀεὶ ὡσαύτως ἔχοντα.

Διὸ Ἀναξαγόραν, καὶ Θαλῆν, καὶ τοὺς τοιούτους, σοφοὺς μὲν λέγουσι, φρονίμους δὲ οὐδαμῶς. Διότι τὰ μὲν αὐτοῖς συμφέροντα ἠγνόουν, καὶ τὰ πρὸς τὸν βίον χρήσιμα· ἐγίνωσκον δὲ περιττά τινα, καὶ θαυμαστά, καὶ χαλεπά, καὶ δαιμόνια. Ἡ μὲν οὖν σοφία περὶ ταῦτα· φρόνησις δὲ περὶ τὰ ἀνθρώπινα, καὶ περὶ ὧν ἐστι βουλεύσασθαι. Τοῦ γὰρ φρονίμου μάλιστα τοῦτό φαμεν ἔργον εἶναι, τὸ εὖ βουλεύεσθαι· οὐδεὶς δὲ περὶ τῶν ἀναγκαίων βουλεύεται καὶ ἅπερ οὐ δύναται ἄλλως ἔχειν· οὐδὲ ὅσα μὴ ἔχουσι τέλος τὸ πρακτὸν ἀγαθόν· ἡ δὲ σοφία τέλος ἔχει τὴν καθόλου ἀλήθειαν· καὶ ἡ μὲν ὑποκείμενον ἔχει τὸ καθόλου ἐπιστητόν, καὶ τὰς ἀρχὰς ἁπάσης ἐπιστήμης.

Ἡ δὲ φρόνησις καὶ τῶν μερικῶν ἐστι. Γινώσκει μὲν γὰρ ὁ φρόνιμος καὶ καθόλου τίνα τὰ τοῦ ἀνθρώπου ἀγαθά, γινώσκει δὲ καὶ τὰ μερικὰ ἐξ ἀνάγ-

animalibus dixerit hominem, ideoque civilem ſcientiam, id eſt, prudentiam eſſe præſtantiſſimam, ſicut & ſapientia, nihil refert. Alia enim multo quam homo diviniora ſunt. Sicut ea ex quibus manifeſte univerſum conflatum eſt: hoc eſt, ex quibus mundus conſiſtit.

Ariſtot. l.6.c.7.

Ex iis ergo quæ diximus, apparet, & intellectum & ſcientiam in iis quæ præſtantiſſima natura ſunt, hoc eſt, quæ neceſſaria ſunt & eodem modo ſe habent, eſſe ſapientiam.

Ἐκ δὴ τῶν εἰρημένων, &c.

Ideoque Anaxagoram & Thalem, alioſque ejuſmodi, ſapientes quidem vocant, non prudentes tamen. Qùia quæ ipſis utilia erant, & ad vitam conducebant, cum ignorarent, eximia & admiranda & difficilia quædam ſciebant & divina. In his ergo verſatur ſapientia. In humanis autem iiſque de quibus conſultamus, prudentia. Hoc enim potiſſimum prudentis opus eſſe dicimus, ut bene conſultare poſſit. De iis vero quæ neceſſaria ſunt, nemo deliberat, aut quæ habere ſe aliter non poſſunt. Ut nec de iis, quibus bonum quod in actionem cadit non eſt finis. Finis autem ſapientiæ, univerſalis eſt veritas: ſicut ſubjectum id quod univerſaliter fieri poteſt; omniſque ſcientiæ principia.

Διὸ Ἀναξαγόραν καὶ Θαλῆν, &c.

At vero in ſingularibus quidem etiam verſatur prudentia: novit enim & univerſaliter quæ ſint hominis bona vir prudens, ſicut & ſingularia novit neceſſario: quæ ſint

Οὐδ' ἐστὶν ἡ φρόνησις τῶν καθόλου μόνον, &c.

Ariſtot. l.6. c.8.

ſint nimirum, quæ ab hoc aut illo ſint agenda homine, idque hoc aut illo tempore. In agendo enim occupatur. In ſingularibus autem occupatur actio. Ideoque qui tantum norunt ſingularia, multo ad agendum aptiores ſunt, quam qui univerſalia noverunt. Et ut breviter dicamus, ſemper qui experientia ſunt præditi, melius poſſunt agere, quam qui univerſalia noverunt. Si quis norit enim leves carnes faciles ad concoquendum & ſalubres eſſe, quæ autem ſint illæ adhuc ignoret, nemini reſtituet ſanitatem, ſed qui ſciet avium eſſe leves & ſalubres, is potius hoc faciet. Cum ergo in agendo occupetur prudentia, utrumq; adeſſe illi oportet, magiſq; ſingularia quia univerſalibus inſtructa tantum, ad agendum idonea eſſe non poteſt. Quid ergo ſit ſapientia, & quomodo a prudentia differat, jam diximus.

κῆς, τίνα εἰσὶν ἃ δεῖ πράττειν τόνδε τὸν ἄνθρωπον κατὰ τόνδε τὸν καιρόν. Καὶ γὰρ πρακτική ἐστιν· ἡ δὲ πρᾶξις περὶ τὰ καθ' ἕκαστα. Διὰ τοῦτο καὶ οἱ τὰ μερικὰ μόνον εἰδότες τῶν τὰ καθόλου εἰδότων πρακτικώτεροι. Καὶ ὅλως ἐν πᾶσιν οἱ ἔμπειροι μᾶλλον δύνανται πράττειν, ἢ οἱ τὰ καθόλου γινώσκοντες· εἰ γάρ τις εἰδείη μὲν ὅτι τὰ κοῦφα κρέα εὔπεπτα καὶ ὑγιεινὰ, τίνα δέ εἰσιν ἀγνοεῖ, οὐ ποιήσει ὑγίειαν· ἀλλ' ὁ εἰδὼς, ὅτι τὰ ὀρνίθεια κοῦφα καὶ ὑγιεινὰ, ποιήσει μᾶλλον. Ἐπεὶ τοίνυν ἡ φρόνησις πρακτικὴ, καὶ ἄμφω ἔχειν ἀνάγκη, ἢ τὰ καθ' ἕκαστα μᾶλλον. Μετὰ γὰρ τοῦ καθόλου μόνου οὐ δύναται εἶναι πρακτική. Τί μὲν οὖν ἐστιν ἡ σοφία καὶ τίνι διαφέρει φρονήσεως, εἴρηται.

CAP. IX. — ΚΕΦ. η.

De prudentia. — Περὶ φρονήσεως.

Cap. 8. Ἔστι δὲ καὶ ἡ πολιτικὴ, &c.

DE prudentia autem amplius dicamus. Eſt ergo vel univerſalium prudentia vel ſingularium: quemadmodum architectonica. Qui enim novit univerſalia, architecti inſtar ſe habet ad experientia præditum. Prudentiæ autem ſumptæ ſimpliciter, alia eſt moralis, quoties tantum id quod ſibi bonum eſſe videtur quærit aliquis, quæ prudentia dicitur. Alia cujus finis eſt civitatis bonum:

ΠΕρὶ δὲ φρονήσεως ἔτι λέγωμεν. Ἔστι τοίνυν ἡ φρόνησις καὶ τῶν καθόλου καὶ καθ' ἕκαστα, καθάπερ ἀρχιτεκτονική. Ἡ γὰρ τὰ καθόλου εἰδὼς πρὸς τὸν ἔμπειρον ὥσπερ ἀρχιτέκτονος ἔχει λόγον. Τῆς δὲ φρονήσεως ἁπλῶς, ἡ μέν ἐστιν ἠθική, ὅταν τις ζητῇ μόνον τὸ ἑαυτῷ ἀγαθὸν, ἥτις φρόνησις καλεῖται· ἡ δὲ, ἥτις τὸ πόλεως ἀγαθὸν ἔχει τέλος, ἥτις καλεῖται πολιτική.

λιτική. Καὶ ἔστι μὲν ἡ αὐτὴ τῇ φρονήσει, τῷ λόγῳ δὲ διαφέρει· καθόσον περὶ ὑποκείμενά εἰσι διάφορα.

Τῆς δὲ πολιτικῆς, ἡ μὲν ἐστι καθάπερ ἀρχιτεκτονικὴ φρόνησις, ἥτις καλεῖται νομοθετική· ἡ δὲ μερικὴ καὶ ὑπ' αὐτὴν ἐστιν, ἥτις καλεῖται πολιτική. Πολιτικὴν δὲ λέγω τὴν πρακτικὴν καὶ βουλευτικὴν, ἥτις ἐστὶν περὶ τὰ ψηφίσματα καὶ τὰς πράξεις· τὰ γὰρ ψηφίσματα πρακτικά εἰσιν, οὐχ ὡς ἡ πρώτη φρόνησις ἡ ἀρχιτεκτονικὴ, ἀλλ' ὡς ἡ ἐσχάτη, ἥτις καὶ κυρίως ἐστὶ πρακτική. Διὰ τοῦτο μόνους λέγουσι πολιτευομένους, καὶ τὸ κατ' αὐτοὺς πολιτείαν· διότι οὗτοι μόνοι τῶν φρονίμων πράττουσιν, ὥσπερ οἱ χειροτέχναι. Καὶ γὰρ οὗτοι μόνοι κυρίως πράττουσι· οἱ γὰρ ἀρχιτέκτονες τῷ τάττειν μόνον τὰς πράξεις, πρακτικοὶ λέγονται· κυρίως δὲ οὐκ εἰσὶν πρακτικοί.

Δοκεῖ δὲ κυρίως εἶναι φρόνησις, ὅταν τις ζητῇ μόνον τὸ ἑαυτοῦ ἀγαθόν· ἥτις καὶ ἔχει τὸ κοινὸν ὄνομα, καὶ φρόνησις ἰδίως λέγεται· τῶν δὲ ἄλλων ἡ μὲν περὶ οἰκίαν, οἰκονομική· ἡ δὲ περὶ πόλιν, ἡ μὲν νομοθεσία, ἡ δὲ πολιτική. Καὶ τῆς πολιτικῆς ἡ μὲν βουλευτική, ἡ δὲ δικαστική.

Ἡ μὲν οὖν ἰδίως καλουμένη φρόνησις, δηλονότι τὸ τὰ ἑαυτοῦ ὠφέλιμα εἰδέναι καὶ ἀγαθὰ, γνῶσίς τις ἐστὶν, ὥσπερ καὶ ἡ πολιτική. Οὐκ ἔστι δὲ πάντη ἡ αὐτὴ τῇ πολι-

quæ civilis dicitur. Eſtque eadem cum prudentia, niſi quod differt definitione: quatenus in ſubjecto occupatur diverſo. Ariſtot. l.6. c.8.

Rurſus in civili, alia eſt architectonica quaſi prudentia, quæ Legalis dicitur: alia ſingularis, quæ eſt ſub illa, & civilis dicitur. Civilem jam dico, quæ in agendo occupatur & conſultando, quæque in decretis actionibuſq; verſatur. Ad actionem enim decreta quoque pertinent: non quemadmodum prima quidem, quam architectonicam dicimus, prudentia, ſed quemadmodum extrema, quæ proprie quoque activa dicitur. Ideoque hos ſolos in Repub. verſari dicunt, & in quo illi verſantur Rempub. vocant: quia hi ſoli agunt ex prudentibus, quemadmodum artifices manu. Hi enim ſoli agunt proprie. Architecti quippe quia actiones dirigunt ſolummodo, agere dicuntur: cum proprie non agant tamen.

Τῆς δὲ περὶ πόλιν ἡ μὲν ὡς ἀρχιτεκτονική, &c.

Proprie autem videtur eſſe prudentia, cum aliquis id quod ſibi bonum eſt quærit tantum, quæ communi appellatur nomine, & peculiariter prudentia vocatur. Aliarum vero, illa quæ familiam regit, domeſtica; quæ vero urbem, alia quidem legiſlatrix, alia civilis vocatur. Hujus rurſus pars altera deliberativa, altera judicialis dicitur.

Δοκεῖ δὲ καὶ φρόνησις μάλιστ' εἶναι, &c.

Jam vero quæ proprie appellatur prudentia, qua aliquis quæ ſibi bona ſunt & utilia cognoſcit, cognitio quædam eſt, ſicut civilis. Non tamen plane eadem eſt cum civili: ideoque

Εἶδος μὲν οὖν ἂν εἴη, &c.

Ariſtot. l.6. c.8.

deoque eum qui ea quæ ſibi bona ſunt, quærit tantum, prudentem eſſe exiſtimant homines: qui vero in civilibus verſatur, negotioſum. Ac propterea etiam Euripides dicit:

Prudenſne ut habear, cui licebat molliter.
Exercitus pars eſſe cum multis ſimul,
Et ſorte cum ſapiente qualibet frui?
Qui namque magna moliuntur & gerunt,
Odere Divi. ———

Ac propterea peculiariter dicta eſt prudentia, quam moralem diximus; ſicut prudens peculiariter, qui ſuum tantum quærit bonum, ſolumq; hoc agendum, nec ulterius eſſe inquirendum arbitratur.

Καίτοι ἴσως οὐκ ἔστι τὸ αὐτῷ, &c.

Atqui nè eſſe quidem poterit moralis fortaſſe, ſine domeſtica, ſicut nec domeſtica ſine civili. Neque enim fieri poteſt ut ſua aliquis recte diſponat, cum domus male ſe habeat aut civitas. Nec facile ſit, ut qui cum improbis verſetur plurimis, non corrumpatur ipſe: quod ſi verſetur cum nemine, ſed vitam agat ſolitariam, quomodo ſciri poterit id quod bonum eſt ipſi? Eſt enim incertum, neq; ſine doctrina, aut diligenti conſideratione cognoſcitur. Quæ ipſa ſine experientia adeſſe poſſunt nemini. Jam vero eorum qui inter ſe communicant eſt experientia, quod in familia ſit & urbe. Neq; ſine his aut experientia quis præditus erit aut prudentia. Et hinc eſt, quod facile mathematici fiant juvenes, & in ſcientiis excel-

τικῇ. Καὶ διὰ τοῦτο τὸν μὲν τὰ ἀγαθὰ ἑαυτῷ μόνον ζητοῦντα, φρόνιμον οἱ ἄνθρωποι νομίζουσι· τὸν δὲ πολιτικὸν πολυπράγμονα. Διὰ τοῦτο καὶ Εὐριπίδης φησί·

Πῶς δ' ἂν φρονοίην, ᾧ παρῆν ἀπραγμόνως.
Ἐν τοῖσι πολλοῖς ἠριθμημένον στρατοῦ
Ἴσον μετασχεῖν τῆς σοφωτάτῳ τύχης.
Τοὺς γὰρ περισσοὺς καί τι πράσσοντας πλέον
Ζεὺς μισεῖ. ———

Τούτου χάριν καὶ ἰδίως φρόνησις ἐκλήθη ἡ ἠθική. Καὶ φρόνιμος ἰδίως, ὁ ζητῶν μόνον τὸ ἑαυτοῦ ἀγαθὸν, καὶ τοῦτο μόνον δεῖν οἰόμενος πράττειν, περαιτέρω δὲ μὴ ζητεῖν.

Καί τοι οὐ δυνατὸν ἴσως τὴν ἠθικὴν εἶναι ἄνευ τῆς οἰκονομικῆς, οὐδὲ τὴν οἰκονομικὴν ἄνευ τῆς πολιτικῆς· οὐ γὰρ δυνατόν ἐστι καὶ καλῶς τὰ καθ' ἑαυτόν τινα διαθεῖναι τῆς οἰκίας αὐτῷ, ἢ τῆς πόλεως οὐ καλῶς ἐχούσης. Χαλεπὸν γὰρ μὴ διαφθαρῆναι τινὰ μετὰ πολλῶν φαύλων διατρίβοντα· εἰ δὲ μετὰ μηδενὸς διατρίβει, ἀλλὰ βίον ἔχει μονώτην, πῶς εἴσεται τὸ ἑαυτῷ ἀγαθόν· ἄδηλον γὰρ, καὶ χρεία διδασκαλίας πρὸς αὐτὸ καὶ σκέψεως. Ταῦτα δὲ ἀδύνατον ἄνευ ἐμπειρίας γενέσθαι· ἡ δὲ ἐμπειρία τῶν ἐν κοινωνίᾳ ὄντων ἐστὶ, καὶ οἰκίας καὶ πόλεως, καὶ ἄνευ τούτων οὐκ ἔνι ἔμπειρον οὐδὲ φρόνιμον εἶναι. Διὰ τοῦτο καὶ οἱ νέοι μαθηματικοὶ μὲν γίνονται καὶ σοφοὶ τὰ τοιαῦτα,

φρόνιμοι

φρόνιμοι δὲ οὐ δοκοῦσιν εἶναι. Τὸ γὰρ αἴτιον, ὅτι τῶν καθ' ἕκαστά ἐστιν ἡ φρόνησις, ἅτινα ἐξ ἐμπειρίας γινώσκονται· ὁ δὲ νέος ἔμπειρος οὐκ ἔστι; διὰ τὸ χρόνου πολλοῦ δεῖσθαι τὴν ἐμπειρίαν. Καὶ τοῦτο δὲ ἀκόλουθον σκέψασθαι, πῶς οἱ νέοι μαθηματικοὶ μὲν γίνονται, σοφοὶ δὲ ἢ φυσικοὶ οὐδαμῶς· ἢ ὅτι τῶν μὲν φυσικῶν καὶ τῆς σοφίας αἱ ἀρχαὶ ἀπὸ τῶν καθ' ἕκαστα λαμβάνονται. Καὶ γὰρ καὶ τὴν σοφίαν, ἥτις περὶ τὰ ἀναγκαῖά ἐστι καὶ ἀΐδια, ἀδυνατόν ἐστι κατορθωθῆναι ἄνευ τῆς ἐμπειρίας. Ἀπὸ γὰρ τῶν ἡμῖν καὶ τῇ αἰσθήσει γνωρίμων ἐπὶ τὰ ὑπὲρ αἴσθησιν ἀναγόμεθα· χωρὶς μὲν γὰρ τοῦ γνῶναι τίνα συμβαίνουσι τῷδε, ἢ ἐκείνῳ τῷ φυσικῷ, τὸν καθόλου περὶ αὐτῶν λόγον, οὐ δυνατὸν συμπεράναι οὐδὲ ποιῆσαι ἐπιστήμην. Πάλιν δὲ χωρὶς τῆς φυσικῆς ἐπιστήμης ἀδυνατὸν ἐπὶ τὴν σοφίαν ἐλθεῖν· μετὰ τὰ φυσικὰ γὰρ τὰ ὑπὲρ φύσιν γινώσκομεν· τὸ δὲ γνῶναι τὰ καθ' ἕκαστα, ἐμπειρίας ἐστίν· ἡ δὲ ἐμπειρία χρόνου πολλοῦ. Καὶ διὰ τοῦτο τοὺς νέους οὐ δυνατὸν φυσικοὺς ἢ σοφοὺς εἶναι· τῶν δὲ μαθηματικῶν αἱ ἀρχαὶ χωρὶς τῆς ὕλης λαμβάνονται. Καὶ διὰ τοῦτο οὐ χρείαν ἔχουσι γνῶσιν ἔχειν τῶν καθ' ἕκαστα· καὶ γὰρ οὐκ ἐν τῇ ὕλῃ σκοποῦσι τὸν κύκλον ἢ τὸν ἀριθμόν, ἐν ᾗ πολυειδής τις, ὡς εἰπεῖν, καὶ ἀόριστος γίνεται. Καθάπερ τὰ φυσικὰ ὁ φυσικός· ἀλλὰ ἀφελόντες τῆς ὕλης καὶ αὐτὴν

lant ejuſmodi, prudentes tamen non videantur eſſe. Cauſa enim eſt, quod ſingularium prudentia eſt, quorum cognitionem ſuppeditat experientia. Experientiam autem juvenis non habet: quia multo opus eſt tempore, ut ea præditus ſit aliquis. Quare & hoc quærendum videtur, qui fiat, ut mathematici fiant juvenes, ſapientes vero & naturalium periti nequaquam. An quia phyſicorum principia & ſapientiæ à ſingularibus ſumuntur? ipſa ſapientia quippe, quæ in neceſſariis verſatur & æternis, ſine experientia recte perfici non poteſt. Ab iis enim quæ nobis nota ſunt & ſenſibus, ad ea quæ ſenſus excludunt, deducimur. Niſi enim quis noſcat quæ in illo eveniant aut illo naturali, univerſaliter de iis agere aut ſcientiam efficere non poterit. Rurſuſque ſine naturali ſcientia, ad ſapientiam pervenire poterit nemo. Quippe poſt naturalia, ea quæ ſupra naturam ſunt, cognoſcimus. Noſſe autem ſingularia, eſt experientiæ. Multi autem temporis experientia. Ideoque nec naturalium periti rerum, nec ſapientes eſſe juvenes poſſunt. Sine materia autem mathematicorum ſumuntur principia. Ac propterea ſingularium in iis non requiritur cognitio. Nec enim in materia conſiderant aut circulum aut numerum, in qua multiformis fit, & ut ita dicam, indefinitus, quemadmodum naturalia phyſicus. Sed à materia eum ſeparant, & ita per ſe contemplantur.

Ariſtot. l.6 c.8.

Ariſtot. l. 6. c. 8.

Atque hac de cauſa nihil eſt quod obſtare poſſit, quo minus mathematici eſſe juvenes queant. Etenim de naturalium principiis, ac ſimpliciter de ipſis naturalibus, licet loquantur, accuratam tamen eorum ſcientiam non habent neque credunt ea. Mathematicorum contra credunt principia: certam .n. eorum cognitionem habent, quia definita in iis eſt agendi ratio. Cum manifeſtum ſit ergo, cauſam moralis prudentiæ eſſe experientiam, ſine communione autem civili eſſe non poſſit experientia, civilis vero communio ſine civili eſſe non poſſit prudentia, apparet moralem prudentiam eſſe non poſſe abſque civili. Præterea, cum ipſi qui in actionibus committuntur errores, vel ab univerſali vel à ſingulari oriantur ignorantia, (Etenim & qui ignorabit in genere graves aquas vitioſas eſſe, & qui hoc ſciet, illud v. ignorabit in ſpecie, has ipſas aquas graves eſſe, ſimiliter errabit: quia uterque aquis utetur vitioſis) apparet neceſſe eſſe, ut ſi quis errare nolit, non ſolum ſciat has aquas graves eſſe, ſed etiam graves vitioſas eſſe: unde manifeſtum eſt, ſingularem prudentiam univerſali quoque opus habere civili. Neque fieri poſſe, ut ſine civili conſiſtat moralis: ſicut ſingularis ſine univerſali non errare non poteſt cognitio.

Ὅτι δ' ἡ φρόνησις οὐκ ἐπιστήμη, &c.

Ex quibus apparet, nec ſcientiam eſſe nec intellectum prudentiam: ſcientiam, quia in ſingularibus, quæ poſteriora

σκοποῦντες καθ' ἑαυτὸν, τούτου χάριν τοὺς νέους οὐδὲν κωλύει μαθηματικοὺς εἶναι· καὶ γὰρ τὰς μὲν τῶν φυσικῶν ἀρχὰς, καὶ ὅλως τὰ φυσικὰ εἰ καὶ λέγουσιν, ἀλλ' οὐκ ἴσασιν ἀκριβῶς περὶ αὐτῶν, οὐδὲ πιστεύουσι· τὰς δὲ τῶν μαθηματικῶν καὶ πιστεύουσι· γινώσκουσι γὰρ διὰ τὸ ὡρισμένους εἶναι τοὺς αὐτῶν λόγους. Ἐπεὶ τοίνυν φανερὸν, ὅτι τῆς φρονήσεως τῆς ἠθικῆς αἰτία ἐστὶν ἡ ἐμπειρία, τὴν δὲ ἐμπειρίαν οὐκ ἔνι γενέσθαι χωρὶς κοινωνίας πολιτικῆς, ἡ δὲ πολιτικὴ κοινωνία οὐ δύναται εἶναι ἄνευ τῆς πολιτικῆς φρονήσεως, δῆλον ὅτι τὴν ἠθικὴν φρόνησιν οὐ δυνατὸν εἶναι ἄνευ τῆς πολιτικῆς. Ἔτι ἐπεὶ ἡ ἁμαρτία ἡ περὶ τὰς πράξεις ἀπὸ ἀγνοίας συμβαίνει, ἢ τῆς καθόλου, ἢ τῆς μερικῆς (καὶ γὰρ ὁ ἀγνοῶν καθόλου, ὅτι τὰ βαρύσταθμα ὕδατα φαῦλα, καὶ ὁ τοῦτο μὲν εἰδὼς, ἀγνοῶν δὲ μερικῶς, ὅτι τάδε τὰ ὕδατα βαρύσταθμα, ὁμοίως ἁμαρτήσεται· χρήσεται γὰρ ἑκάτερος τοῖς φαύλοις ὕδασι) φανερὸν, ὅτι πρὸς τὸ μὴ ἁμαρτεῖν, ἀναγκαῖον μὴ μόνον εἰδέναι, ὅτι τάδε τὰ ὕδατα βαρύσταθμα, ἀλλὰ καὶ ὅτι τὰ βαρύσταθμα φαῦλα· δεῖ δὲ ἄρα ἡ μερικὴ φρόνησις τῆς καθόλου φρονήσεως τῆς πολιτικῆς, καὶ ἀδύνατον τὴν ἠθικὴν ἄνευ τῆς πολιτικῆς συστῆναι, ὥσπερ καὶ τὴν μερικὴν γνῶσιν ἄνευ τῆς καθόλου μὴ ἁμαρτάνειν ἀδύνατον.

Ἀπὸ τούτων δὲ φανερὸν, καὶ ὅτι ἡ φρόνησις οὔτε ἐπιστήμη ἐστὶν, οὔτε νοῦς· ἐπιστήμη μὲν, ὅτι περὶ τὰ καθ' ἕκαστά ἐστιν,

ἅπερ

ἅπερ ὕστερά εἰσι τῇ φύσει· ἡ δὲ ἐπιστήμη τῶν πρώτων τῇ φύσει τῶν καθόλου ἐστί· νοῦς δὲ ἡ φρόνησις οὐκ ἔστιν.

Ἔτι καὶ ἀντίκειται τῷ νῷ. Καὶ γὰρ ὁ μὲν νοῦς περὶ τὰ πρῶτα καὶ ἀναπόδεικτα· φρόνησις δὲ περὶ τὰ ἔσχατα, περὶ ἃ οὐδὲ ἐπιστήμη ἐστίν, ἀλλ' αἴσθησις. Ἐκεῖνα δὲ λέγω, ἐχ ὧν ἰδίως ἑκάστη αἴσθησις ἀντιλαμβάνεται, οἷον τῶν γευστῶν, ἢ ὀσφραντῶν, ἢ ἀκουστῶν· οὐ γὰρ χυμοὺς κρίνει ἡ φρόνησις, καὶ ἀναθυμιάσεις, ἢ ἤχους, ἀλλ' ἁπλῶς τὰ καθ' ἕκαστα· ταῦτα γὰρ μόνη γινώσκει ἡ αἴσθησις, καὶ διὰ τοῦτο τὴν φρόνησιν περὶ ἐκεῖνα λέγομεν εἶναι, περὶ ἃ καὶ ἡ αἴσθησις· οἷον, εἰ δεῖ τήνδε πόλιν τῶν Ἀθηναίων τῇδε τῇ πόλει τῶν Κορινθίων πολεμεῖν, τοῦ φρονίμου εἰδέναι· πρακτικὴ γὰρ ἡ φρόνησις· ἡ δὲ πρᾶξις τῶν μερικῶν. Τοῦτον δὲ τὸν τρόπον καὶ οἱ μαθηματικοὶ τὸ αἰσθητὸν γινώσκουσι τρίγωνον, οὐ καθόσον ἀντίκειται τῇ ὁράσει, ἢ τῇ ἀφῇ, ἀλλὰ ἁπλῶς, καθόσον ἐστὶ τῶν καθ' ἕκαστα, καὶ μερικῶν, ἅπερ τελευταῖα γινώσκονται· ἐν αὐτοῖς γὰρ ὁ γινώσκων ἵσταται, καὶ οὐδὲν περαιτέρω ζητεῖ. Καὶ γὰρ ἀπὸ μὲν τῶν μερικῶν καὶ αἰσθητῶν ἀρχομένοις ἐσχάτη ἐστὶν ἡ γνῶσις τῶν καθόλου· ἀπὸ δὲ τῶν καθόλου τῆς γνώσεως περιϊούσης, τὰ αἰσθητὰ τελευταῖον γινώσκονται. Τὸ μὲν οὖν γινώσκειν τὰ μερικὰ, καθόσον ἐστὶν αἰσθητὰ, καὶ ἀντι-

ſunt natura conſiſtit: in univerſalibus vero, quæ prima ſunt natura, verſatur ſcientia. Sed nec intellectus eſt prudentia. Ariſtot. l. 6. c. 8.

Quin & opponi ſolet intellectui. Etenim intellectus in primis, & quæ demonſtratione carent, in ultimis vero, in quibus non ſcientia occupatur, ſed ſenſus verſatur prudentia. Illa autem intelligo, non in quo ſinguli peculiariter ſenſus occupantur, ſicut ea quæ in guſtum aut odoratum cadunt vel auditum: nec n. de ſuccis aut ſuffitibus aut ſonis, ſed de ſingularibus ſimpliciter judicat prudentia. Hæc enim ſolus dijudicat ſenſus, ideoque in iis in quibus ſenſus quoque, verſari dicimus prudentiam. Ut, exempli gratia, an hæc urbs Athenarum cum hac Corinthiorum urbe bellum gerere debeat, ſcire eſt prudentis. In agendo n. occupatur prudentia. Singularium autem eſt actio. Porro eodem modo mathematici quoque triangulum illum cognoſcunt, qui ſub ſenſus cadit: non quatenus viſui objicitur aut tactui; ſed ſimpliciter quatenus ex ſingularibus & particularibus eſt, quæ ultimo noſcuntur. In iis enim qui cognoſcit conſiſtit nec ulterius inquirit. Etenim ſi à particularibus incipias, iiſque quæ ſub ſenſum cadunt, ultima univerſalium eſt cognitio: ſi vero ab univerſalibus procedat cognitio, ultimo cognoſcuntur quæ ſub ſenſum cadunt. Jam vero ſingularia, quatenus ſub ſenſum cadunt, cognoſcere, aut quatenus ſenſuum objecta ſunt,

Ἀντίκει-ται μὲν δὴ τῷ νῷ, &c.

Ariſtot. l.6. c.9. aut quatenus alia eorum guſtui, alia auditui, alia tactui objiciuntur aut viſui, hoc vero ſenſus eſt, non prudentiæ: hæc vero ſcire quatenus aut proſunt humano bono, aut nocent, hoc eſt prudentiæ.

κεινται τὰ μὲν γεύσει, τὰ δὲ ἀκοῇ, τὰ δὲ ἁφῇ, τὰ δὲ ὁράσει, τῆς αἰσθήσεώς ἐστι, καὶ οὐ τῆς φρονήσεως· τὸ δὲ εἰδέναι ταῦτα, καθόσον λυσιτελοῦσιν, ἢ λυμαίνονται τῷ ἀνθρωπίνῳ ἀγαθῷ, τοῦτο δέ ἐστι τῆς φρονήσεως.

CAP. X.

De bona conſultatione.

Cap. 9. Τὸ ζητεῖν δὲ καὶ τὸ βουλεύεσθαι, &c.

AC de ſapientia quidem, prudentia, intellectu, arte, & ſcientia; quid item ſint ſingula, & quo pacto inter ſe differant, dictum eſt. Nunc de bona conſultatione, intelligentia dicendum eſt & ſententia. Primo quid ſint ſingulæ, tum quomodo à ſuperioribus quinq; veritatis differant habitibus.

Ac de bona conſultatione primum. Maxime enim accedit ad prudentiam, cujus tractatum proxime abſolvimus. Quare quæ de bona conſultatione dicenda ſunt, cum iis quæ de prudentia diximus, conjungenda videntur. Primo ergo non eſt quæſtio: latius enim quam bona conſultatio, patet quæſtio: quia non tantum qui bene, ſed etiam qui male conſultat, quærit. Neque contingentia tantum, ſed & neceſſaria quæruntur: in quibus videlicet locum habet ſcientia. Ut, exempli gratia, an triangulus duas rectas habeat lineas, quæritur à ſcientia: & an circularis ſit Luna: quare, non idem quod quæſtio, eſt bona conſultatio.

ΚΕΦ. Θʹ.

Περὶ εὐβουλίας.

ΠΕρὶ μὲν οὖν σοφίας, καὶ φρονήσεως, καὶ νοῦ, καὶ τέχνης, καὶ ἐπιστήμης, καὶ τί ἐστιν ἕκαστον, καὶ πῶς διαφέρουσιν ἀλλήλων, εἴρηται. Νῦν δὲ ῥητέον περὶ εὐβουλίας, περὶ συνέσεως, καὶ περὶ γνώμης. Τίς ἐστιν ἑκάστη καὶ τίνι διαφέρει τῶν εἰρημένων πέντε ἀληθευτικῶν ἕξεων.

Καὶ πρῶτον περὶ εὐβουλίας. Οἰκείως γὰρ ἔχει μάλιστα τῇ φρονήσει, ἧς τὸν λόγον ἀρτίως ἀπηλλάξαμεν· ὥστε τὸν περὶ εὐβουλίας λόγον τῷ περὶ τῆς φρονήσεως συναπτέον. Πρῶτον μὲν οὖν οὐκ ἐστὶ ζήτησις· ἐπὶ πλέον γάρ ἐστιν ἡ ζήτησις τῆς εὐβουλίας. Οὐ μόνον γὰρ ὁ εὖ βουλευόμενος, ἀλλὰ καὶ ὁ κακῶς βουλευόμενος ζητεῖ, καὶ οὐ μόνον τὰ ἐνδεχόμενα, ἀλλὰ καὶ τὰ ἀναγκαῖα ζητοῦνται, περὶ ἃ ἐστιν ἡ ἐπιστήμη· οἷον, εἰ τὸ τρίγωνον ἔχει δύο ὀρθὰς, ζητεῖται πρὸς τῆς ἐπιστήμης· καὶ εἰ ἡ σελήνη σφαιροειδής ἐστι, διὰ τοῦτο ἡ εὐβουλία οὐκ ἔστιν ταυτὸν τῇ ζητήσει.

Ἔτι

Ἔτι δὲ οὐδὲ ἐπιστήμη ἐστὶν ἡ εὐβουλία. Ὁ μὲν γὰρ ἐπιστήμων οὐ ζητεῖ περὶ ὧν ἐπίσταται. Ὁ δὲ εὔβουλος ζητεῖ. Ἡ γὰρ εὐβουλία βουλή ἐστιν· ἡ δὲ βουλὴ ζήτησίς ἐστιν τοῦ τί δεῖ πράττειν. Καὶ ὁ βουλευόμενος ζητεῖ καὶ λογίζεται περὶ τῶν πράξεων, ὅπως εὖ καὶ καλῶς γίνωνται. Ὥστε ἡ μὲν εὐβουλία ζήτησις, ἡ δὲ ἐπιστήμη οὐ τοιαύτη· ἡ εὐβουλία ἄρα οὐκ ἔστιν ἐπιστήμη.

Ἔτι δὲ οὐδὲ εὐστοχία ἐστὶν ἡ εὐβουλία· ἡ μὲν γὰρ εὐστοχία ἄνευ χρόνου τινὸς καὶ λογισμοῦ καὶ μελέτης γίνεται· τὸ γὰρ γνῶναι περὶ τοῦ προκειμένου καλῶς ἀθρόον καὶ ἄνευ μελέτης, τοῦτό ἐστιν εὐστοχία. Ἡ δὲ εὐβουλία οὐ τοιαύτη· μετὰ γὰρ χρόνου καὶ βραδέως ἡ βουλὴ γίνεται. Καὶ διὰ τοῦτο καὶ ὁ τῶν πολλῶν λόγος φησὶ, δεῖν ταχέως μὲν πράττειν τὰ βουλευθέντα, βουλεύεσθαι δὲ βραδέως. Ἔτι ἡ ἀγχίνοια ἕτερον παρὰ τὴν εὐβουλίαν· ἀγχίνοια γάρ ἐστιν ἄσκεπτος ἀπόδοσις τοῦ μέσου, δηλονότι τῆς αἰτίας τοῦ προτεθέντος. Ἡ δὲ εὐβουλία μετὰ σκέψεως. Ἔστι γὰρ ἀγχίνοια εὐστοχία τις. Οὐκ ἄρα ἀγχίνοια ἡ εὐβουλία ἐστί· καὶ γὰρ ἡ μὲν εὐστοχία ἐστὶ τὸ περὶ τοῦ παντὸς τοῦ προτεθέντος εὐεπιβόλως εἰπεῖν· ἡ δὲ ἀγχίνοια τῆς αἰτίας τοῦ προτεθέντος ζητήματος ἀπόδοσις ταχεῖά ἐστιν. Οἷον, διὰ τί βέλτιον ἄρχεσθαι ἢ ἄρχειν ἐν ταῖς ὀλιγαρχίαις· ὅτι ἀσφαλέστερον. Διὰ ταύ-

Sed nec ſcientia eſt bona conſultatio. Neq; enim quærit quæ ſcit, qui ſcientia eſt præditus, qui vero bene conſultat, quærit. Etenim conſilium aliquod eſt bona conſultatio, conſilium autem ejus quod agendum eſt, quæſtio eſt: & qui conſilium init quærit de actionibus ac deliberat, quo pacto recte fieri poſſint. Itaque quæſtio quoq; eſt bona conſultatio, talis vero non eſt ſcientia: quare nec ſcientia eſt bona conſultatio.

Ariſtot. l. 6. c. 9. Ἐπιστήμη μὲν δὴ οὐκ ἔστι, &c.

Sed nec bona conjectura eſt bona conſultatio. Bona quippe conjectura ſine tempore aut deliberatione fit, aut meditatione aliqua. Etenim ut quis recte de re propoſita ſentiat, obvium eſt & ſine ulla fit meditatione, hoc autem bona conjectura eſt: talis vero non eſt bona conſultatio. Longo quippe tempore ac tarde procedit conſilium: ideoq; vulgo dicunt mature facto quæ conſulueris opus eſſe, conſulendum vero tarde. Sed & aliud eſt ſagacitas, quam bona conſultatio: ſagacitas quippe prompta & inconſiderata eſt medii aſſignatio: ita rei ejus de qua agitur cauſam voco. Bona vero conſultatio cum conſideratione ſolet fieri. Eſt enim bona conjectura quodammodo ſagacitas: quare nec ſagacitas eſt bona conſultatio. Bona quippe conjectura eſt, ut de omni re propoſita aliquis recte dextreq; reſpondeat: ſagacitas vero, ut de rei propoſitæ cauſa aliquis prompte reſpondeat. Ut, exempli gratia, quare melius ſit parere quam imperare in paucorum potentia,

Ἀλλὰ μὴν οὐδ᾽ εὐστοχία, &c.

Ariſtot. l. 6. c. 9.

Quia eſt tutius. Ideoque nec bona cona conjectura nec ſagacitas eſt bona conſultatio.

Οὐδὲ δὴ δόξα, &c.

Sed nec opinio eſt bona conſultatio. Cum enim multæ ſint opinionum ſpecies, nulla earum eſt bona conſultatio. Aliæ enim opiniones cogitationis cum demonſtratione neceſſaria concluſiones ſunt. Ut, exempli gratia, triangulum habere rectas duas, ſi quis demonſtratione adductus credat, opinionem habet neceſſariam. Aliæ à ſenſibus conficiuntur: quarum unde nonnullæ falſæ ſunt ſæpenumero: cum tamen veritatem omnes habeant propoſitam: eſtq; opinionis rectitudo ipſa veritas. Bonæ autem conſultationis finis eſt, vel ejus qui conſultat, vel ejus cui dat conſilium, utilitas: quod per mendacia ſæpe & fraudes qui bene conſultare ſolent, recte perficiunt.

Ἀλλ' ἐπεὶ ὁ μὲν κακῶς βουλόμενος, &c.

Præterea bonæ conſultationis non alia eſt rectitudo, ſed ipſa conſilii rectitudo eſt. Si enim qui male conſultat, aberrat, omnino qui bene conſultat, ſecundum rectam conſultat rationem.

Οὔτι ἐπιστήμης δὲ, &c.

Eſt enim rectitudo bona conſultatio, non opinionis tamen aut ſcientiæ, ſed vero conſilii, ſicut ipſum indicat nomen. Scientiæ vero nulla rectitudo eſt; nec enim peccat ſcientia, ut habere opus poſſit rectitudine.

Δόξης δ' ὀρθότης, &c.

Opinionis vero rectitudo, ſicut dicebamus, eſt veritas. Quare nec opinio, nec ſapientia, nec opinionis rectitudo eſt bona conſultatio, nec ſcientiæ. Præterea bona conſultatio, quæſtio eſt ſecundum rectam rationem:

τα μὲν οὖν ἡ εὐβουλία οὔτε εὐστοχία, οὔτε ἀγχίνοιά ἐστιν.

Ἀλλ' οὐδὲ δόξα ἐστὶν ἡ εὐβουλία· πολλῶν γὰρ ὄντων τῶν εἰδῶν τῆς δόξης, οὐδὲν τούτων ἡ εὐβουλία ἐστί· καὶ γὰρ τῶν δοξῶν αἱ μὲν εἰσι συμπεράσματα διανοίας ἐξ ἀνάγκης ἀποδειχθέντα· ὥσπερ τὸ τρίγωνον δύο ὀρθὰς ἔχει, εἴ τις ἀπὸ τῆς ἀποδείξεως δοξάζει, δόξαν ἔχει ἀναγκαίαν. Αἱ δὲ ἀπὸ αἰσθήσεως συνάγονται, ὅθεν ἔνιαι καὶ ψευδεῖς πολλάκις εἰσί. Πᾶσαι δὲ τὴν ἀλήθειαν ἔχουσι τέλος, καὶ ἡ ὀρθότης τῆς δόξης ἡ ἀλήθειά ἐστι· ἡ δὲ εὐβουλία τέλος ἔχει τὸ συμφέρον ἢ τοῦ βουλευομένου, ἢ ᾧ τὴν βουλὴν δίδωσιν, ὃ καὶ διὰ ψευδοῦς καὶ ἀπάτης πολλάκις οἱ εὔβουλοι κατορθοῦσιν.

Ἔτι δὲ οὐ τῆς εὐβουλίας ἄλλη τίς ἐστιν ὀρθότης, ἀλλὰ αὐτὴ ἐστὶν ὀρθότης βουλῆς· εἰ γὰρ ὁ κακῶς βουλευόμενος ἁμαρτάνει, πάντως ὁ εὖ βουλευόμενος κατὰ τὸν ὀρθὸν βουλεύεται λόγον.

Ἔτι γὰρ ὀρθότης ἡ εὐβουλία οὔτε δόξης, οὔτε ἐπιστήμης· ἀλλὰ τῆς βουλῆς, ὡς δηλοῖ καὶ τοὔνομα· ἐπιστήμης μὲν γὰρ οὐδεμία ὀρθότης· οὐδὲ γὰρ ἁμαρτάνει ἡ ἐπιστήμη, ὥστε ὀρθότητος δεῖσθαι.

Τῆς δὲ δόξης ἡ ὀρθότης, καθὼς εἴρηται, ἡ ἀλήθειά ἐστιν. Οὔτε τοίνυν δόξα ἐστὶν ἡ εὐβουλία, ἢ ἐπιστήμη, οὔτε ὀρθότης ἐστὶν ἢ δόξης ἢ ἐπιστήμης. ἔτι δὲ ἡ μὲν εὐβουλία ζήτησίς ἐστι κατὰ τὸν ὀρθὸν λόγον· ἡ

δὲ

ἡ δὲ δόξα, εὕρεσίς τινος συμπεράσματος, καὶ περί τι ὡρισμένον ἐστί· καὶ ἡ μὲν εὐβουλία ζητεῖν ἐστιν, ἡ δόξα δὲ εὑρηκέναι. Καθὸ καὶ τῆς διανοίας ἡ εὐβουλία λείπεται. Ἡ μὲν γὰρ διάνοια λόγος ἐστὶν ἀπηρτισμένος καὶ εὑρημένος μετὰ τῆς προσηκούσης αἰτίας· ἡ δὲ εὐβουλία ἐν τῇ ζητήσει ἔχει τὸ εἶναι· ὁ γὰρ βουλευόμενος, ἐάν τε εὖ, ἐάν τε κακῶς βουλεύεται, ζητεῖ τι καὶ λογίζεται· καὶ μετὰ λόγου μὲν ζητεῖ, οὔπω δὲ συνεπέρανεν· ἡ δὲ δόξα οὐ τοιαύτη. Οὐ γὰρ ζήτησίς ἐστιν, ἀλλὰ φάσις ἀπηρτισμένη· οὔτε τοίνυν ἐπιστήμη ἐστὶν ἡ εὐβουλία, οὔτε εὐστοχία, οὔτε δόξα. Ἀλλ' ἐπεὶ ὀρθότης ἐστὶ βουλῆς ζητητέον πρῶτον τί ἐστι βουλὴ, καὶ περὶ τίνα καταγίνεται ὁ βουλευόμενος. Καὶ περὶ μὲν βουλῆς καὶ βουλευτῶν ἐν τοῖς πρότερον εἴρηται· ῥητέον καὶ περὶ τῆς ὀρθότητος.

Ἡ τοίνυν ὀρθότης πολλαχῶς λέγεται. Καὶ γὰρ καὶ οἱ πονηρὸν τιθέμενοι τέλος, καὶ τὰ πρὸς αὐτὸ ἄντικρυς φέροντα ζητοῦντες, ὀρθῶς βουλεύονται· καὶ ἡ τοιαύτη βουλὴ ὀρθότης ἐστί. Καὶ οἱ ἀγαθὸν μὲν τιθέμενοι τέλος, καὶ πρὸς αὐτὸ φερόμενοι, τὰ δὲ πρὸς αὐτὸ φέροντα μάλιστα τῶν ἄλλων οὐ ζητοῦντες ἀλλ' ἕτερα, ὥσπερ οἱ διὰ προτάσεων ψευδῶν, ἢ μὴ ἐξ ἀναγκαίων, ἀληθὲς συνάγοντες συμπέρασμα· καὶ οὗτοι γὰρ περὶ μὲν τὰ πρὸς τὸ τέλος σφάλλονται, ὅτι δὲ πρὸς τὸ τέλος

opinio vero concluſionis cujuſdam inventio; & in definito aliquo verſatur. Eſtque bene conſultare quaſi quærere, opinari autem, quaſi inveniſſe. Sicut agitatione mentis quoq; inferior eſt bona conſultatio. Eſt enim ratio quædam jam inventa, & abſolute cum conveniente cauſa ſua agitatio. In quæſtione vero eſſentiam habet ſuam recta conſultatio. Qui conſultat etenim, ſeu bene conſultet ſeu male, quærit aliquid & perpendit. Et cum ratione quærit quidem, nondum tamen concluſit. Atqui non talis eſt opinio: nec enim quæſtio, ſed enunciatio eſt jam abſoluta. Quare nec ſcientia, nec bona conjectura, nec opinio eſt bona conſultatio. Sed cum rectitudo ſit conſilii, primo quid ſit conſilium, & in quibus verſetur qui conſilium init, videndum eſt. Jam vero de conſilio, & quæ in conſilium cadunt, ſupra diximus. Jam ergo de rectitudine agendum eſt. Ariſtot. l.6.c.9.

Rectitudo autem variis modis dicitur. Etenim & qui malum ſibi finem proponunt, & tamen quæ ad illum recta ferunt inquirunt, recte deliberant. Eſtque rectitudo ejuſmodi conſilium. Sed & qui bonum quidem ſibi proponunt finem, & ad eum tendunt, neque tamen quæ eo ducunt maxime quærunt, ſed alia, ut qui ex falſis propoſitionibus aut non neceſſariis veram concluſionem inferunt: etiam illi, inquam in iis quidem quæ ad finem ducunt, aberrant: quia tamen ad bonum feruntur finem, Ἐπεὶ δὲ ἡ ὀρθότης, &c.

Ariſtot. l. 6. c. 9.

bene deliberant. Quare tale conſilium, eſt rectitudo.

Δοκεῖ δὲ ἀγαθόν τι, &c.

Eſt præterea rectitudo quædam bona conſultatio, quæ proprie quoque conſilii rectitudo dicitur: quia non ad bonum tantum tendimus finem, ſed & ea quibus facillime atque expeditiſſime ad eum pervenitur inquirimus.

Ἀλλ' ἐπ' οὐ τούτῳ &c.

Jam vero nec prima nec ſecunda rectitudo eſt bona conſultatio. Prima enim, malum eſt conſilium, bona vero conſultatio, bona. Hoc enim indicat nomen ipſum, bona conſultatio. Secunda vero rectitudo, id quidem quod oportet quærit, id vero, quo id conſequi oportet, non item: neque recte de iis quæ ad finem tendunt deliberat: in quibus tamen, quemadmodum dictum eſt, conſilium verſatur. Itaque quatenus ad bonum fertur, recte fertur, quatenus vero non per ea quæ ad finem requiruntur fertur, non recte fertur. Quare neque talis rectitudo erit bona conſultatio.

Ἔτι, ἐστὶ πολὺν χρόνον, &c.

Præterea nec illud quod longo aut majore quam oportet tempore inſtituitur conſilium, bona eſt conſultatio.

Ἀλλ' ὀρθότης, &c.

Ea namque demum rectitudo conſilii bona conſultatio eſt, quæ utilitatem ſibi proponit, idque quoties & de quibus, & quemadmodum oportet, deliberamus, & quamdiu.

Ἔπει δὲ ἢ ἁπλῶς, &c.

Cum vero finis vel univerſalis ſit & ultimus, vel ſingularis ultimuſque ſit, ad quem omnis humana tendit actio, ſingularis vero, ad quem quædam actiones diriguntur, eodem modo &

τὸ ἀγαθὸν φέρονται, ὀρθῶς βουλεύονται· καὶ ἡ τοιαύτη βουλὴ ὀρθότης ἐστί.

Πρὸς δὲ τούτοις καὶ ἡ εὐβουλία ὀρθότης ἐστὶν, ἥτις καὶ κυρίως ὀρθότης λέγεται βουλῆς, καθ' ἣν πρὸς τὸ ἀγαθὸν φερόμεθα τέλος, καὶ ἐκεῖνα ζητοῦμεν, δι' ὧν δυνησόμεθα ῥᾷστα καὶ μάλλιστα τοῦ τέλους τυχεῖν.

Εὐβουλία γὰρ οὔτε ἡ πρώτη ὀρθότης ἐστὶν, οὔτε ἡ δευτέρα· ἡ μὲν γὰρ πρώτη κακή ἐστι βουλή· ἡ δὲ εὐβουλία ἀγαθόν. Τοῦτο γὰρ βούλεται τὸ ὄνομα, ἀγαθὴ βουλή. Ἡ δὲ δευτέρα ὀρθότης ζητεῖ μὲν ὃ δεῖ, δι' οὗ δὲ τυχεῖν οὐ ζητεῖ, καὶ περὶ τὰ πρὸς τὸ τέλος οὐ καλῶς βουλεύεται, περὶ ἃ ἡ βουλὴ γίνεται, καθὼς προείρηται. Ὥστε καθ' ὅσον μὲν εἰς τὸ ἀγαθὸν φέρεται, ὀρθῶς φέρεται· καθ' ὅσον δὲ οὐ διὰ τῶν προσηκόντων τῷ τέλει φέρεται, οὐ καλῶς φέρεται· ὥστε οὐκ ἂν εἴη εὐβουλία ἡ τοιαύτη ὀρθότης.

Ἔτι δὲ οὐδὲ ἡ διὰ πολλοῦ χρόνου καὶ πλείονος τοῦ δέοντος γινομένη βουλὴ, εὐβουλία ἐστίν.

Εὐβουλία γάρ ἐστι μόνον ἡ ὀρθότης τῆς βουλῆς, ἡ κατὰ τὸ ὠφέλιμον, ὅταν περὶ ὧν δεῖ, βουλευώμεθα, καὶ ὡς δεῖ, καὶ ὅσον χρόνον δεῖ.

Ἐπεὶ δὲ τὸ τέλος ἢ καθόλου ἐστὶ καὶ ἔσχατον, ἢ μερικὸν, ἔσχατον μὲν, πρὸς ὃ πᾶσα πρᾶξις ἀνθρωπίνη φέρεται, μερικὸν δὲ, πρὸς ὅ τινες πράξεις φέρουσιν, ἀκολούθως καὶ ἡ εὐβου-

εὐβουλία ἔχει· ἡ μὲν γὰρ καθόλου ἐστὶν, ἥτις ὀρθὴ καὶ ἀγαθὴ βουλή ἐστι περὶ τῶν φερόντων εἰς τὸ ἔσχατον τέλος. Τὴν κατ' ἀρετὴν ζωήν· ἡ δὲ μερικὴ, ἥτις εἰς μερικόν τι τέλος φέρει, ὃ οὐκ ἔστι μὲν τὸ ἔσχατον, φέρει δὲ εἰς τὸ ἔσχατον τέλος.

Ἐπεὶ δὲ τῶν φρονίμων ἐστὶ τὸ βουλεύεσθαι, δεῖ προσθεῖναι τῷ τῆς εὐβουλίας ὁρισμῷ καὶ τὴν φρόνησιν. Ὡ[illegible] τὸν ὁρισμὸν τῆς [illegible]λίας οὕτως· εὐβουλία ἐστὶν ὀρθότης, ἡ κατὰ τὸ συμφέρον πρός τι τέλος, οὗ ἡ φρόνησις ἀληθὴς ὑπόληψίς ἐστι. Κατὰ τὸ συμφέρον μὲν, διὰ τὴν βουλὴν ἣ πρὸς τέλος μὲν ἀγαθὸν φέρεται, δι' ὧν δὲ προσῆκεν, οὐδαμῶς, λέγω δὴ πράξεων καὶ χρόνου καὶ τρόπου· τὸ δὲ πρός τι τέλος, οὗ ἡ φρόνησις ἀληθὴς ὑπόληψίς ἐστι, διὰ τὴν πονηρὰν βουλὴν, ἥτις τὰ μὲν τέλει προσήκοντα καὶ ἀκόλουθα ζητεῖ· πρὸς τέλος δὲ φέρεται πονηρὸν, οὗ οὐκ ἔστιν ἡ φρόνησις ἀληθὴς ὑπόληψις.

bona ſe habet conſultatio. Alia enim univerſalis eſt, quæ nihil aliud quam rectum bonumque conſilium eſt de iis quæ ad ultimum ducunt finem: quæ eſt vitæ ſecundum virtutem inſtituendæ ratio. Alia ſingularis, quæ ad ſingularem aliquem finem ducit, qui quidẽ non eſt ultimus, nihilominus tamen ad ultimum ducit finẽ. (Ariſtot. l.6.c.10.)

Cum vero prudentis viri ſit, bene deliberare, neceſſario bonæ conſultationis definitioni adjungenda eſt prudentia. Quare talis futura eſt bonæ conſultationis definitio. Bona conſultatio rectitudo eſt, quæ ſecundum id quod utile eſt ad aliquem finem tendit, cujus vera exiſtimatio eſt prudentia. Ac ſecundum quidem id quod utile eſt, quia ad bonum quidem finem interdum tendit conſilium, per quæ oporret tamen neutiquam: ut puta, actiones, vel tempus, vel modum. Illud vero, ad finem aliquem, cujus vera exiſtimatio eſt prudentia, propter malum conſilium: quod illi quidem quæ fini conveniunt & reſpondent, quæit: nihilominus tamen ad finem tendit non bonum, cujus non eſt vera exiſtimatio prudentia. (Εἰ δὴ τῶν φρονίμων, &c.)

ΚΕΦ. ί.

Περὶ συνέσεως.

Περὶ μὲν εὐβουλίας τοσαῦτα· ῥητέον δὲ περὶ συνέσεως. Ἔστι τοίνυν σύνεσις καὶ ἀσυνεσία, καθ' ἃς λέγομεν συνετοὺς καὶ ἀσυνέτους.

Καὶ οὔτε ἐπιστήμη ταυ-

CAP. XI.

De intelligentia.

Et de bona quidem conſultatione hactenus. Nunc vero etiam de intelligentia dicendum eſt. Eſt ergo intelligentia ac hebetudo, ex quibus intelligentes dicimur aut hebetes. (Cap.10. Ἔστι δὲ καὶ ἡ σύνεσις, &c.)

Neque idem cum ſcientia, (Οὔτε ὅλως τὸ αὐτὸ, &c.)

Aristot. l.6.c.10. aut opinione, aut prudentia eſt intelligentia. Primo enim nec ſcientia eſt nec opinio intelligentia: quia omnes qui aut ſcientia eſſent præditi aut opinione bona, intelligentes quoq; eſſent.

Οὔτι τε μήν, &c. Sed hoc eſt abſurdum: quin nè ulla quidem ſcientiarum eſt intelligentia: quemadmodum medicina aut geometria. Nam aut de ſalutaribus aut magnitudinibus ageret.

Οὔτε γὰρ περὶ, &c. Sed neque in iis quæ neceſſaria ſunt eodemque modo ſemper ſe habent, intelligentia verſatur.

Οὔτε περὶ τῶν, &c. Neque proprie in uno aliquo eorum quæ aliter habere ſe poſſunt.

Ἀλλὰ περὶ ὧν ἀπορήσειεν, &c. Sed in iis ſimpliciter, de quibus dubitare aut deliberare poteſt aliquis: iiſque quæ conſiderationem aliquam aut conſilium admittunt aut quæſtionem. Quare in iiſdem intelligentia verſatur, in quibus prudentia. In iis quippe contingentibus verſatur, quæ aut agere ipſi per nos, aut non agere poſſumus.

Οὐκ ἔστι ταυτὸν σύνεσις καὶ φρόνησις, &c. Non omnino tamen idem eſt cum prudentia. Prudentia quippe tantum ad quem finem ſit eundum, & quæ ut ad finem quis perveniat, agenda ſint, præcipit. Atque hoc opus illius eſt: ut nimirum quæ agenda ſunt præcipiat. Judicare vero de iis quæ præcipit prudentia, ſcire item recte hoc ſe habere, omninoq; agendum eſſe, id vero eſt intelligentia.

Ταυτὸ γὰρ σύνεσις, &c. Neque .n. ab intelligente, differt bene intelligens: ſed hoc ipſum ut bene recteque intelligat, dijudicetque quæ prudens præcipit, intelligens vult.

τὸν ἐστὶν ἡ σύνεσις, οὔτε δόξῃ, οὔτε φρονήσει· ἐπιστήμη μὲν γὰρ οὐκ ἔστιν οὐδὲ δόξα ἡ σύνεσις. Ἦ γὰρ ἂν πάντες οἱ ἐπιστήμονες ἢ οἱ δοξάζοντες συνετοὶ ἦσαν.

Ἀλλ' οὐκ εἰσίν· ἀλλ' οὐδὲ μία τις τῶν ἐπιστημῶν εἰσὶν ἡ σύνεσις, οἷον ἰατρικὴ ἢ γεωμετρία· ἢ ἂν γὰρ περὶ ὑγιεινῶν ἦν, ἢ περὶ μεγεθῶν.

Ἄλλως τε οὐδὲ περὶ τὰ ἀναγκαῖα καὶ ἀεὶ ὡσαύτως ἔχοντά ἐστιν ἡ σύνεσις.

Οὐδὲ ἰδίως περὶ ἑνός τινος τῶν ἐνδεχομένων ἄλλως ἔχειν.

Καθόλου δὲ περὶ ὧν ἀπορήσειεν ἄν τις καὶ βουλεύσαιτο, καὶ ἃ σκέψεως ἀνέχεταί τινος, καὶ βουλῆς, καὶ ζητήσεως. Διὰ τοῦτο περὶ τὰ αὐτὰ μὲν ἐστὶν ἡ σύνεσις τῇ φρονήσει· ἔστι γὰρ περὶ τὰ ἐνδεχόμενα, ὧν ἐσμὲν αὐτοὶ κύριοι πράττειν καὶ μὴ πράττειν.

Οὐκ ἔστι δὲ πάντη ταυτὸν τῇ φρονήσει· ἡ μὲν γὰρ φρόνησις ἐπιτάττει μόνον περὶ ποῖον τέλος δεῖ φέρεσθαι, καὶ τίνα δεῖ ποιεῖν, ὥστε τέλους τυχεῖν. Καὶ τοῦτό ἐστιν αὐτῆς τὸ ἔργον, τὸ ἐπιτάττειν ἃ δεῖ πράττειν· τὸ δὲ κρίνειν τὰ ἐπιταχθέντα παρὰ τῆς φρονήσεως, καὶ τὸ εἰδέναι ὅτι καλῶς ἔχει καὶ οὕτω δεῖ πράττειν, τοῦτό ἐστιν ἡ σύνεσις.

Οὐ γὰρ διαφέρει ὁ εὐσύνετος τοῦ συνετοῦ, ἀλλὰ καὶ ὁ συνετὸς αὐτὸ τοῦτο βούλεται· τὸ εὖ καὶ καλῶς συνιέναι καὶ κρίνειν τὰ παρὰ τῆς φρονίμου ἐπιταττόμενα.

Κα

Καὶ ταυτόν ἐστι σύνεσις καὶ εὐσυνεσία, ἥτις οὔτε φρόνησίς ἐστιν, οὔτε τὸ ἔχειν φρόνησιν. Οὔτε δὲ τὸ δέχεσθαι καὶ λαμβάνειν φρόνησιν, σύνεσίς ἐστιν· τὸ γὰρ λαμβάνειν φρόνησιν, ἐστὶ τὸ μανθάνειν ἅπερ ὁ φρόνιμος γινώσκει. Ἡ δὲ σύνεσίς ἐστι, τὸ κρίνειν αὐτά. Οὐκ ἄρα ταυτὸν σύνεσις τῷ φρόνησιν λαμβάνειν, ἢ φρόνησιν ἔχειν.

Ἀλλ' ὥσπερ ὁ παρ' ἄλλου τινὸς ἐπιστήμην ἀκούων καὶ γινώσκων καλῶς, ξυνιέναι λέγεται, οὕτως ὁ τὰ παρὰ τοῦ φρονίμου ἐπιταττόμενα γινώσκων καὶ κρίνων ὀρθῶς, συνιέναι τε λέγεται, καὶ συνετὸς ὀνομάζεται, καὶ εὐσύνετος, διὰ τὸ καλῶς γινώσκειν· τὸ γὰρ εὖ καὶ τὸ καλῶς ταυτόν. Καὶ ἀπὸ ταύτης τῆς αἰτίας ἐλήφθη τὸ ὄνομα, ὅτι τὸ ἄλλου λέγοντος ἄλλον τινὰ ἀκούοντα γινώσκειν καλῶς, μανθάνειν καὶ συνιέναι λέγεται.

Idemque intelligentia ac bona eſt intelligentia, quæ neque idem quod prudentia, neque idem quod prudentiam habere eſt. Neque item accipere aut conſequi prudentiam, eſt intelligentia. Etenim accipere prudentiam, eſt diſcere quæ novit prudens. Intelligentia vero eſt ea diſcernere, quare neque idem quod accipere aut habere prudentiam, eſt intelligentia.

Ariſtot. l.6.c.11. Ἔστι δ' ὅτι, &c.

Sed ſicut qui ab alio aliquo ſcientiam audit, recteque cognoſcit, intelligere dicitur, ſic qui ea quæ à prudente præcipiuntur cognovit, recteque dijudicat, intelligere dicitur, idemque intelligens & bene intelligens, quia bene ea novit, vocatur. Bene enim ac recte idem eſt. Et ab hac ipſa cauſa nomen deſumptum eſt, quia quæ ab alio dicuntur cum alius audit recteque ea novit, diſcere hoc & intelligere dicitur.

Ἀλλ' ὥσπερ τὸ μανθάνειν λέγεται συνιέναι, &c.

ΚΕΦ. ιβ'.

Περὶ γνώμης.

Ῥητέον δὴ περὶ τῆς γνώμης· ἔστι δὲ καὶ αὕτη περὶ τὰ ἐνδεχόμενα, καθάπερ καὶ ἡ φρόνησις, καὶ ἡ εὐβουλία, καὶ ἡ σύνεσις. Διὰ τοῦτο καὶ περὶ αὐτῆς λέγωμεν.

Ἔστι τοίνυν γνώμη, καθ' ἣν εὐγνώμονας λέγομεν, καὶ ἔχειν γνώμην, ἡ ὀρθὴ κρίσις τοῦ ἐπιεικοῦς. Τίς δέ ἐστιν ὁ ἐπιεικὴς καὶ ἡ ἐπιείκεια, εἴρηται ἐν τοῖς πρότερον.

Ὅτι δὲ τοῦτό ἐστιν ἡ γνώ-

CAP. XII.

De ſententia.

Nunc vero de gnome, id eſt, ſententia dicendum eſt. Verſatur autem in contingentibus & illa, ſicut prudentia quoque, bona conſultatio, & intelligentia. Quare & de illa dicamus.

Cap.11. Ἡ δὲ καλουμένη γνώμη, &c.

Eſt ergo ſententia, ſecundum quam bene ſentientes & habere ſententiam dicimus, rectum moderati viri judicium: quis autem æquus ſit & æquitas, in ſuperioribus diximus.

Hanc autem eſſe ſententiam

Σημεῖον δ' &c.

Ariſtot. l.6.c.11.

vel ex eo apparet: æquum enim virum maxime dicimus eſſe *συγγνωμονικὸν*, id eſt, ad ferendam ejuſmodi ſententiam proclivem.

Ἡ δὲ συγγνώμη, &c.

Ipſamq; æquitatem, in quibuſdam *ἔχειν συγγνώμην*, id autem eſt ignoſcere, ſive veniam dare.

Ὀρθὴ δὲ, &c.

Venia autem recta eſt judicandi de æquo ſententia. Rectum n. judicium & æqua ſententia eſt venia. Rectum autem dicitur judicium, quod veri eſt. Si ergo venia, judicium æqui rectaq; eſt ſententia, à recta autem ſententia ſive *γνώμη*, quidam *εὐγνώμονες*, id eſt, rectam ſententiam ferre dicuntur, ſequitur ſententiam, à qua ita dicuntur, id eſt, *γνώμην*, æqui judicium eſſe.

Εἰσὶ δὲ πᾶσαι ἕξεις, &c.

Omnes ergo veridici, ut vocantur, habitus, eodem tendunt, eademq; in quibus verſantur, habent ſubjecta. Etenim & prudentia, & intellectus, & bona conſultatio, & intelligentia, & ſententia, in ſingularibus, in quibus actiones ſunt, verſantur. Intellectum autem dico, activum, qui principia habet ſingularia, & quæ ſub ſenſum cadunt. Idem namq; homo, cum ea quæ ad bonum finem tendunt agit, prudens eſt, cum vero de iis, ut oportet, deliberat, bene conſultus dicitur. Cum vero quæ ad finem bonum ordinavit & diſpoſuit, cognoſcit, recteque, & ut fieri oportet, de iis judicat, intelligentia præditus dicitur. Cum vero quæ ab aliis facta ſunt recte conſiderat, eaq; venia interdum proſequitur, quoties nimirum hoc merentur, tum *εὐγνώμων* & *συγγνώμων* vocatur.

Πᾶσαι γὰρ αἱ δυνάμεις, &c.

Totum enim viri æqui judicium in omnibus communiter quæ

μὴ, δῆλον· τὸν γὰρ ἐπιεικῆ μάλιστά φαμεν εἶναι συγγνωμονικόν. Καὶ ἐπιεικὲς, τὸ ἔνπιν ἔχειν συγγνώμην.

Ἡ δὲ συγγνώμη, γνώμη ἐστὶν ὀρθὴ κριτικὴ τοῦ ἐπιεικοῦς· κρίσις γὰρ ὀρθὴ καὶ γνώμη ἐπιεικής ἐστιν, ἡ συγγνώμη.

Ὀρθὴ δὲ λέγεται κρίσις, ἡ τοῦ ἀληθοῦς· εἰ τοίνυν ἡ μὲν συγγνώμη κρίσις ἐστὶ τοῦ ἐπιεικοῦς καὶ γνώμη ὀρθὴ, κατὰ δὲ τὴν ὀρθὴν γνώμην εὐγνώμονές τινες λέγονται ἡ γνώμη ἄρα καθ' ἣν εὐγνώμονες λέγονται, τοῦ ἐπιεικοῦς ἐστὶ κρίσις.

Πᾶσαι μὲν οὖν αἱ ἕξεις αἱ ἀληθευτικαὶ πρὸς τὸ αὐτὸ φέρουσι, καὶ τὰ αὐτὰ ἔχουσιν ὑποκείμενα, περὶ ἃ καταγίνονται· καὶ γὰρ καὶ φρόνησις, καὶ νοῦς, καὶ εὐβουλία, καὶ σύνεσις, καὶ γνώμη, περὶ τὰ καθ' ἕκαστά εἰσι καὶ τὰ μερικὰ τὰ ἐν οἷς αἱ πράξεις. Νοῦν δὲ λέγω, τὸν πρακτικὸν, ὃς ἀρχὰς ἔχει τὰ μερικὰ καὶ αἰσθητά· ὁ γὰρ αὐτὸς ἄνθρωπος, ὅταν μὲν τὰ πρὸς τὸ ἀγαθὸν τέλος φέροντα ποιῇ, φρόνιμός ἐστιν· ὅταν δὲ περὶ αὐτῶν ὡς δεῖ βουλεύηται, εὔβουλός ἐστιν· ὅταν δὲ ὅσα ἔταξε πρὸς τὸ τέλος τὸ ἀγαθὸν, καὶ ἐποίησε, γινώσκῃ καὶ κρίνῃ ὀρθῶς, καὶ ὡς ἔδει πεπρᾶχθαι, συνετός ἐστιν· ὅταν δὲ τὰ ὑπ' ἄλλου πραχθέντα ὀρθῶς κρίνων καὶ συγγνώμης ἐνίοτε ἀξιοῖ οἷς τοῦτο προσῆκεν, εὐγνώμων ἐστὶ καὶ συγγνώμων.

Πᾶσα γὰρ ἡ τοῦ ἐπιεικοῦς κρίσις περὶ πάντα ἐστὶ κοινὴ

τὰ

τὰ ἀγαθὰ τὰ ὑπ' ἄλλων πραττόμενα. Καὶ γὰρ καὶ ἡ καλουμένη ἐπιείκεια, ἥτις ἐστὶ τοῦ νομικοῦ δικαίου διορθωτική, περὶ ἧς εἴρηται πρότερον, τοὺς παρ' ἑτέρων τεθέντας νόμους κρίνει, καὶ ἡ συγγνώμη καὶ ἡ γνώμη περὶ τῶν πραττομένων ὑφ' ἑτέρων ὀρθῶς ψηφίζεται. Πάντα δὲ ταῦτα τοῦ ἐπιεικοῦς ἐστί. Συμβαίνει δὲ καὶ πάσας τὰς ἀνθρωπίνας πράξεις ταύτας εἶναι μόνας, ἃς ὁ ἐπιεικὴς κρίνει, καὶ περὶ ὧν ψηφίζεται· ἡ μὲν γὰρ ἐπιείκεια περὶ τὸ νομικὸν δίκαιόν ἐστιν· ἡ δὲ γνώμη περὶ τὰ πρακτά ἐστιν, ὅταν ὑφ' ἑτέρων πράττωνται· περὶ ταῦτα δὲ καὶ ὁ νοῦς ἐστιν ὁ πρακτικός· καὶ γὰρ ἐπεὶ ὁ νοῦς γνῶσίς ἐστι τῶν ἀρχῶν, ἀρχαὶ δὲ τῶν μὲν πράξεων τὰ καθ' ἕκαστα, τῶν δὲ θεωρητῶν, καὶ ὧν ἐστι τέλος ἡ ἀλήθεια, οἱ ὅροι, καὶ οἱ ἄμεσοι λόγοι, καὶ αἱ κοιναὶ ἔννοιαι, εἴη ἂν ὁ μὲν θεωρητικὸς νοῦς γνῶσις τῶν ὅρων, καὶ τῶν πρώτων καὶ ἀκινήτων λόγων· ὁ δὲ πρακτικός, γνῶσις τῶν ἐσχάτων καὶ ἐνδεχομένων, δηλονότι τῶν καθ' ἕκαστα πρακτῶν. Ὥστε τὸν πρακτικόν, καὶ τὸν θεωρητικὸν νοῦν τῶν ἐσχάτων εἶναι, καὶ πρώτων. Καὶ γὰρ καὶ οἱ ἄμεσοι λόγοι, καὶ οἱ ὅροι, καὶ τὰ καθ' ἕκαστα, καὶ πρῶτα καὶ ἔσχατά εἰσιν. Οἱ μὲν ἄμεσοι λόγοι τῇ φύσει πρῶτοι, ἔσχατοι δὲ ἡμῖν· τὰ δὲ καθ' ἕκαστα πρῶτα μὲν ἡμῖν, ἔσχατα δὲ τῇ φύσει. ταῦτα δὲ τὰ ἔσχατα τῇ φυ-

ab aliis fiunt, verſatur. Etenim & illa quæ vocatur æquitas, quæ legale emendare jus ſolet, de qua ante diximus, de iis quas alii tulerunt judicare legibus ſolet. Sed & ſententia quam *γνώμην*, & venia quam *συγγνώμην* vocant, recte in iis quæ ab aliis facta ſunt verſari dicitur. Hæc vero omnia æqui ſunt hominis. Hinc fit ut omnes humanæ actiones eæ ſint ſolæ, de quibus judicat & decernit vir æquus. Etenim in legali jure verſatur æquitas. Sententia vero in iis quæ ſub actionem cadunt, cum ab alio aguntur. In iiſdem quoque intellectus verſatur activus. Cum enim principiorum cognitio ſit intellectus, principia autem actionum ſint ſingularia, ſicut eorum quæ in contemplationem veniunt, quorumque finis eſt veritas, termini, & immediatæ rationes, communeſque notitiæ, ſequetur quoque contemplativum intellectum, terminorum primarumque & immutabilium rationum, cognitionem eſſe: ſicut activus extremorum eſt ac contingentium, hoc eſt, ſingulorum quæ ſub actionem cadunt. Ita ut activus ac contemplativus intellectus, extremorum ſit ac primorum. Etenim & immediatæ rationes, & termini & ſingularia, tum prima ſunt, tum poſtrema. Immediatæ quidem rationes primæ natura, nobis extremæ; ſingularia vero, prima nobis, extrema vero natura. Hæc vero quæ na-

Ariſtot. l. 6. c. 11.

tura

Ariſtot. l.6.c.11.

tura ſunt extrema, principia ac cauſæ illius finis ſunt, qui ſub actionem cadit. Etenim ex iis quæ ſub ſenſum cadunt, ſingularia illa, quæ aut nobis conducunt aut aliis, tum ea per quæ ad finem quem quærimus pervenire oporteat, agere docemur. Atque ita dum ex his ſingularibus univerſales quaſdam colligimus rationes, prudentes in vitæ communis actionibus efficimur. Ideoque cognitione ſingularium inſtructum eſſe oportet politicum. Ejuſmodi autem cognitio, cum ſine medio fiat, eſt intellectus. Etenim immediatorum ac principiorum cognitio, intellectus eſt.

Διὸ δὲ φυσικὰ δοκεῖ εἶν, &c.

Ideoque naturalis videtur eſſe hujuſmodi cognitio. Neque enim à certa aliqua docendi ratione aut diſciplina, ſed vero à natura proficiſcitur. Neque intellectus tantum, ſed prudentia quoque, intelligentia, ac ſententia, videntur eſſe naturalia. A naturali enim intellectus cognitione proficiſcuntur hæc omnia, & in iiſdem cum intellectu verſantur. In ſingularibus videlicet. Non item vero ſapientia. Sapiens enim natura eſt nemo: quia tum certa docendi ratio, tum diſciplina, ut ſapiens fiat aliquis requiritur. Ac prudentiam, ſcientiamque, intellectum item & intelligentiam, ſequi ætates putamus. Dicimus enim, hanc aut illam ætatem, intellectum, ſententiamque habere ac prudentiam: quaſi cauſa eorum ſit natura. Sapientiam vero nunquam huic aut illi adſcribimus ætati. Nam & juvenis &

σει ἀρχαί εἰσι καὶ αἴτια τοῦ τέλους τοῦ πρακτοῦ· καὶ γὰρ ἀπὸ τῶν ἐν τῇ αἰσθήσει καθ' ἕκαστα διδασκόμενοι πράττειν τὰ συμφέροντα ἡμῖν αὐτοῖς καὶ τοῖς ἄλλοις, καὶ δι' ὧν πρὸς τὸ ζητούμενον ἀφιξόμεθα τέλος· καὶ ἀπὸ τούτων τῶν μερικῶν καθολικούς τινας συνάγοντες λόγους, φρόνιμοι γινόμεθα πρὸς τὰς ἐν τῷ βίῳ πράξεις. Διὰ τοῦτο δεῖ τὸν πολιτικὸν γνῶσιν ἔχειν τῶν μερικῶν· ἡ τοιαύτη δὲ γνῶσις ἄνευ μέσου γινομένη νοῦς ἐστί. Νοῦς γάρ ἐστιν ἡ γνῶσις τῶν ἀμέσων καὶ τῶν ἀρχῶν.

Διὰ τοῦτο καὶ φυσική τις ἡ τοιαύτη γνῶσις εἶναι δοκεῖ. Οὐ γὰρ ἀπὸ μεθόδων τινῶν καὶ μαθήσεως περιγίνεται, ἀλλὰ φύσει. Καὶ οὐχ ὁ νοῦς μόνος ἀλλὰ καὶ φρόνησις, καὶ ἡ σύνεσις, καὶ ἡ γνώμη, φυσικὰ δοκεῖ εἶναι· ἀπὸ γὰρ τῆς φυσικῆς γνώσεως τοῦ νοῦ ταῦτα πάντα ὁρμῶνται καὶ περὶ τὰ αὐτά εἰσι τῷ νῷ· τὰ καθ' ἕκαστα δηλονότι. Σοφία δὲ οὐκ ἔτι· φύσει γὰρ σοφὸς οὐδείς ἐστιν, ὅτι μεθόδων χρεία καὶ μαθήσεως πρὸς τὸ γενέσθαι σοφόν, καὶ τὴν μὲν φρόνησιν, καὶ τὴν γνώμην, καὶ τὸν νοῦν, καὶ τὴν σύνεσιν οἰόμεθα ταῖς ἡλικίαις ἀκολουθεῖν· φαμὲν γὰρ τήνδε τὴν ἡλικίαν νοῦν ἔχειν, καὶ γνώμην, καὶ φρόνησιν, ὡς τῆς φύσεως αἰτίας οὔσης. Σοφίαν δὲ οὐ τῇδε τῇ ἡλικίᾳ, ἢ τῇδε ἀποδίδομεν· καὶ νέῳ γὰρ δυνατὸν γενέσθαι.

[illegible] σοφὸν, καὶ μειράκιον, καὶ οὐ πρεσβύτην μόνον, καθάπερ ἐπὶ τῆς φρονήσεως ἔχει, καὶ τῶν ἄλλων. Ἡ γὰρ πεῖρα τῶν πρεσβυτέρων ἐστὶν, ἧς χωρὶς οὐ δυνατὸν φρόνιμον γενέσθαι, καὶ νοῦν, καὶ σύνεσιν ἔχειν, καὶ γνώμην.

Νοῦν λέγω τὸν πρακτικόν· ὁ γὰρ νοῦς, καθὼς εἴρηται, καὶ θεωρητικός ἐστι καὶ πρακτικός, καὶ ἀρχὴ, καὶ τέλος· ἀρχὴ μὲν, καθ᾽ ὅσον τῶν πρώτων ἀρχῶν ἐστὶ γνῶσις καὶ θεωρητικὸς λέγεται· ἀρχὴ γάρ ἐστιν ἀποδείξεως. Τέλος δὲ, καθ᾽ ὅσον γνῶσίς ἐστι τῶν καθ᾽ ἕκαστα καὶ ἐν αἰσθήσει, καὶ πρακτικὸς λέγεται· περὶ τούτων γὰρ αἱ ἀποδείξεις, καὶ ταῦτά εἰσι τὰ ἀποδεικτὰ, καὶ εἰς ταῦτα τελευταῖον ὁ ἀποδεικνὺς ἀπὸ τῶν καθ᾽ ὅλου καταβαίνων.

Οὗτος δὲ ὁ νοῦς ἀπὸ ἐμπειρίας περιγινόμενος ἐν τοῖς πρεσβυτέροις εὑρίσκεται· διὰ τοῦτο δεῖ πιστεύειν τοῖς τῶν ἐμπείρων, καὶ πρεσβυτέρων, ἢ φρονίμων ταῖς ἀναποδείκτοις φάσεσι καὶ δόξαις, οὐχ ἧττον τῶν ἀποδείξεων· διὰ γὰρ τὸ ἔχειν ἐκ τῆς ἐμπειρίας ὄμμα, ὁρῶσι τὰς ἀρχὰς τῶν πράξεων, τὰ καθ᾽ ἕκαστα δηλονότι πρακτά· δι᾽ ὧν τὰ συμφέροντα γινώσκουσι, καὶ ὑποτίθενται, καὶ ἑαυτοῖς, καὶ τοῖς ἄλλοις ἀνθρώποις.

adoleſcens poteſt eſſe ſapiens, non ſenex tantum. Sicut in *Ariſtot. l.6.c.11.* prudentia fit & reliquis. Seniorum quippe eſt experientia, ſine qua prudens nemo eſſe poteſt nec intellectum aut intelligentiam habere aut ſententiam.

Intellectum autem dico activum. *Διὸ καὶ ἡ ἀρχὴ, &c.* Intellectus quippe, ut dictum eſt, & contemplativus & activus eſt; principiumque ac finis. Ac principium quidem, quatenus primorum principiorum eſt cognitio, ac contemplativus dicitur. Demonſtrationum enim eſt principium. Finis vero, quatenus ſingularium eſt cognitio, & in ſenſu conſiſtit, ac activus dicitur. De his quippe ſunt demonſtrationes, ſuntque hæc quæ demonſtrata ſunt, & in hæc poſtremo qui demonſtravit ab univerſalibus deſcendit.

Hic autem cum ab experientia paretur intellectus, in ſenioribus invenitur. *Ὥστε δεῖ προσέχειν τῶν ἐμπείρων, &c.* Ideoque eorum quos experientia, aut ſenium commendat, aut prudentia, etiam ſine demonſtratione, nudis enuntiationibus non minor quam ſi demonſtrationes eſſent, fides adhibenda eſt. Quia enim multa experientia aliquem quaſi compararunt ſibi oculum, ipſa actionum principia, hoc eſt, illa quæ ſub actionem cadunt, vident ſingularia. Quibus quid conducat ſingulis advertunt, ſeque & alios de eo monent homines.

CAP.

Ariſtot. l.6.c.12.

CAP. XIII.

De prudentia & ſapientia, qua in re conducant: utra item ſit melior.

Τὶ μὲν οὖν ἐστιν ἡ σοφία, &c.

QUid ergo prudentia ſit & ſapientia, tum in quibus verſetur utraque, eſſe item alterius animæ partis utramque, jam dictum eſt.

Cap. 12. Διαπορήσεις, &c.

Dubitare autem aliquis de iis poſſit, qua in re ſint utiles, aut ad quid tandem hominibus conducant.

Ἡ μὲν γὰρ σοφία, &c.

Sapientia enim nihil eorum contemplatur, ex quibus felix eſſe homo poteſt. In actione quippe cernitur felicitas, nullius autem cauſa generationis eſt ſapientia. Neque enim finem habet, id quod ſub actionem cadit bonum.

Ἡ δὲ φρόνησις, &c.

Prudentia autem cauſa quidem actionis eſt, & ad id quod ſub actionem cadit bonum, deducit: ad poſſeſſionem autem virtutis non admodum videtur neceſſaria. Viris enim bonis, cum ab ipſa conſuetudine illa contingant principia, firma quoque ſolent eſſe. Sunt quippe habitus. Neque ullo modo ſciendo ea quæ honeſta ſunt & juſta, aptiores ad agendum ea redduntur: non magis quam ſani aut bene habiti ex ſola cognitione eorum quæ ſanitati vel bene habito conveniunt corpori, effici ſolemus, cum ſolus hujus aut illius præſtare hoc poſſit habitus. Sicut nec pugil major fit in arte ſua, ſi ſciat quid ſit bene recteq; pugillari. Neq; enim quatenus ſcit

ΚΕΦ. ιγ.

Περὶ φρονήσεως, καὶ τῆς σοφίας, τί χρήσιμοι· καὶ πότερα βελτίων.

ΤΙ μὲν οὖν ἐστιν ἡ φρόνησις καὶ ἡ σοφία, καὶ περὶ τίνα ἐστὶν ἑκατέρα, καὶ ὅτι ἄλλου τῆς ψυχῆς μορίου ἐστὶν ἑκατέρα, εἴρηται.

Διαπορήσειε δ' ἄν τις περὶ αὐτῶν, τί χρήσιμοί εἰσι, καὶ πρὸς τί συντελοῦσι τοῖς ἀνθρώποις.

Ἡ μὲν γὰρ σοφία οὐδὲν θεωρεῖ ἐξ ὧν ἐστιν εὐδαίμων ὁ ἄνθρωπος. Ἡ μὲν γὰρ εὐδαιμονία περὶ τὴν πρᾶξιν ἐστίν· ἡ δὲ σοφία οὐδεμιᾶς αἰτία γενέσεως· οὐ γὰρ τέλος ἔχει τὸ πρακτὸν ἀγαθόν.

Ἡ δὲ φρόνησις, ἐστὶ μὲν αἰτία πράξεως, καὶ πρὸς τὸ πρακτὸν ἀγαθόν· ἀναγκαία δὲ πρὸς τὴν κτῆσιν τῆς ἀρετῆς οὐ πάνυ δοκεῖ· τοῖς μὲν γὰρ σπουδαίοις ἀπὸ τοῦ ἔθους τὰς ἀρχὰς περιγινομένας, βεβαίας εἶναι συμβαίνει· ἕξεις γάρ εἰσι· καὶ οὐδὲν μᾶλλον ἀπὸ τοῦ εἰδέναι τὰ καλὰ καὶ δίκαια πρακτικοὶ αὐτῶν γίνονται, ὥσπερ οὐδὲ ὑγιεινοὶ ἢ εὐεκτικοὶ γινόμεθα, ἀπὸ τοῦ καλῶς εἰδέναι τὰ ὑγιεινὰ καὶ εὐεκτικὰ, ἀλλὰ τῷ ἔχειν ἕξιν ὑγιείας καὶ εὐεξίας· οὐ γὰρ ὁ πύκτης πυκτικώτερος γίνεται διὰ τὸ εἰδέναι τί δεῖ τὸ εὖ καὶ καλῶς πυκτεύειν· οὐ γὰρ τὸ εἰδέναι, ἀλλὰ τὴν ἕξιν ἔχειν

πυκτι-

πυκτικῆς, πυκτεύει· ὁμοίως δὲ καὶ ὁ παλαιστὴς καὶ ὁ δρομικός. Καὶ γάρ τοι καὶ ὁ γυμνικὸς διὰ τὴν ἕξιν γυμνικός ἐστιν· οὐ διὰ τὸ εἰδέναι τὰ εὐεκτικὰ καὶ γυμνικά· λέγω δὲ εὐεκτικὰ καὶ γυμνικὰ ἢ ὑγιεινά, οὐ τὰ ποιητικὰ εὐεξίας ἢ ὑγιείας, ἀλλ' ἃ ποιεῖ ὁ ὑγιαίνων, ἢ ὁ εὐεκτῶν, ἀπὸ τοῦ ἕξιν ὑγιείας ἢ εὐεξίας ἔχειν. Ὥσπερ τοίνυν ἐπὶ τῶν εἰρημένων ἕξεων οἱ ἔχοντες οὐκ ἂν ἀμείνους γένοιντο διὰ τὸ εἰδέναι, οὕτως οὐδὲ ὁ σπουδαῖος καλλίων περὶ τὴν ἀρετὴν γένοιτο διὰ τὴν φρόνησιν· εἰ δὲ τοῖς σπουδαίοις οὐδὲν πρὸς τὴν ἀρετὴν ἡ φρόνησις συντελεῖ, λείπεται δὴ τοὺς μὴ ὄντας σπουδαίους τὴν φρόνησιν καλλίους ποιεῖν· καὶ τούτους δὲ οὐ σφόδρα ἀναγκαῖον φρονίμους εἶναι πρὸς τὸ γίνεσθαι σπουδαίους. Δυνατὸν γὰρ καὶ παρ' ἄλλων μαθόντας τὸν περὶ ἀρετῆς λόγον καὶ πεισθέντας αὐτοῖς σπουδαίους γίνεσθαι· ὥσπερ βουλόμενοι ὑγιαίνειν, οὐκ αὐτοὶ μανθάνομεν ἰατρικὴν, ἀλλὰ τοὺς ἰατροὺς ἐρωτῶμεν, καὶ οὐδὲν κωλύει ὑγιαίνειν. Ταῦτα μὲν οὖν ἀπορήσειεν ἄν τις περὶ τῆς φρονήσεως καὶ τῆς σοφίας; εἰς τί συντελοῦσι τοῖς ἀνθρώποις καὶ πρὸς τί εἰσι χρήσιμοι.

Ἔτι δὲ καὶ ἐκεῖνο δεῖ ζητεῖν περὶ τῆς πρὸς ἀλλήλους αὐτῶν σχέσεως, ποτέρα βελτίων. Δοκεῖ μὲν γὰρ ἡ σοφία βελτίων τῆς φρονήσεως, καθόσον τῶν ἀ-

hoc, ſed quatenus habitum ejus artis habet, pugillatur. Eodemq; modo & luctator, & curſor, ſicut & gymnicus: neque enim quia novit, quæ bene habito corpori aut exercitationi illi congruunt, ſed propter habitum eſt gymnicus. Bene habito autem corpori aut gymnicæ exercitationi ac ſanitati convenire illa jam dico, non quæ aut bonum efficiunt habitum aut ſanitatem, ſed qua homo ſanus aut bene habitus hoc ipſo quod habitum utriuſq; habet, utrumq; efficit. Sicut ergo in iis quos diximus habitibus, qui eos conſecuti ſunt, meliores ipſa non efficiuntur ſcientia: ita nec vir bonus ad virtutem melior efficietur prudentia. Quod ſi viris bonis nihil ad virtutis actionem conferat prudentia, reſtat, ut qui viri non ſunt boni eos meliores efficiat prudentia. Atqui nè hos quidem magnopere neceſſe eſt prudentes eſſe, ut viri efficiantur boni. Poſſunt quippe ab aliis diſcere ea quæ de virtutibus tenenda ſunt, iiſq; obtemperare, atq; ita viri boni fieri. Plane quamadmodum cum recte valere volumus, non ipſi medicam addiſcimus artem, ſed medicos conſulimus, neq; quicquam obſtat, quo minus bonam conſequamur valetudinem. Et hæc quidem ſunt quæ ab aliquo moveri de ſapientia poſſent & prudentia: quo in dubium vocatur, ad quid hominibus conducant, & quam ad rem aliquid conferre poſſint.

Ariſtot. l.6.c.12.

Sed & hoc de utriuſq; ad alterũ relatione quæri debet, utra ſit præſtantior. Videtur enim præſtantior quã prudentia eſſe ſapi-

Περὶ δὲ τούτοις ἄπορον, &c.

Ariſtot. l.6.c.12.

entia, quatenus neceſſariorum eſt cognitio. Rurſus præſtantior quam ſapientia, videtur eſſe prudentia, quatenus actionis eſt principium, ideoque plus poſſe quam ſapientia, quæ in contemplando occupatur tantum. Activus quippe habitus imperat in ſingularibus & injungit.

Περὶ δὲ τούτων λεκτέον, &c.

Et hæc quidem ſunt, quæ in dubium de ſapientia vocari poſſunt & prudentia. Ad quæ reſpondendum eſt, ac primo de primo. Primo ergo, licet ad aliud omnino nihil hæ virtutes conducerent, tamen per ſe neceſſario eligendæ eſſent. Virtutes enim ſunt: eſtque utraque utriuſque partis quæ menti tribuitur, ut diximus. Omnis autem virtus eligenda eſt.

Ἔπειτα δὲ ποιοῦσι, &c.

Ad felicitatem præterea conducunt, non quemadmodũ ad ſanitatẽ ars medica: ſed quẽadmodũ ad ſanitatem ſe habet ſanitas, ita ad felicitatem ſapientia conducit ac prudentia. Univerſalis quippe felicitas virtus eſt integra; ſapientia autem & prudentia, virtutis totius partes ſunt. Quare pars quoque felicitatis humanæ ſapientia eſt ac prudentia, & qui eas cum reliquis poſſidet virtutibus, in tota felicitate felix eſt.

Ἔτι τὸ ἔργον ἀποτελοῦται, &c.

Præterea ad omnem actionem honeſtam conducit prudentia, & per eam quodlibet tale opus perficitur. Virtus quippe moralis, ad finem voluntatem dirigit bonum, ſcopumque rectum efficit. Prudentia vero ea quæ ad rectum tendunt finem, quærit: ſed & deliberat, quibus potiſſimũ mediis optime facillimeque, &

ναγκαίων ἐστὶ γνῶσις. [illegible]κεῖ δὲ ἡ φρόνησις βελτίων τῆς σοφίας, καθόσον ἀρχή ἐστι πράξεως, καὶ διὰ τοῦτο κυριωτέρα τῆς σοφίας, ἥτις μόνον θεωρητικὴ ἐστίν. Ἡ γὰρ πρακτικὴ ἕξις ἄρχει καὶ ἐπιτάττει περὶ ἕκαστον.

Ταῦτα μὲν οὖν ἠπόρηται περὶ σοφίας καὶ φρονήσεως· ῥητέον δὲ πρὸς ταῦτα, καὶ πρῶτον περὶ τοῦ πρώτου· πρῶτον μὲν οὖν εἰ καὶ πρὸς μηδὲν ἦσαν χρήσιμοι αἱ τοιαῦται ἀρεταὶ, ἀλλὰ δι' ἑαυτὰς ἀναγκαῖον αἱρετὰς αὐτὰς εἶναι· ἀρεταὶ γάρ εἰσιν ἑκατέρα ἑκατέρου τοῦ διανοητικοῦ καθὼς εἴρηται· ἡ δὲ ἀρετὴ αἱρετόν τι ἐστίν.

Ἔπειτα καὶ χρήσιμοί εἰσι πρὸς τὴν εὐδαιμονίαν, οὐχ ὥσπερ ἰατρικὴ πρὸς ὑγίειαν. Ἀλλ' ὥσπερ ἡ ὑγίεια πρὸς ὑγίειαν ἔχει, οὕτω σοφία καὶ φρόνησις πρὸς εὐδαιμονίαν χρήσιμοί εἰσιν· ἡ μὲν γὰρ καθόλου εὐδαιμονία ἡ παντελής ἐστιν ἀρετὴ, σοφία δὲ καὶ φρόνησις μέρος εἰσὶ τῆς ὅλης ἀρετῆς· ὥστε μέρος εἰσὶ τῆς ἀνθρωπίνης εὐδαιμονίας σοφία καὶ φρόνησις, καὶ τὸ ταύτας ἔχειν μετὰ τῶν ἄλλων ἀρετῶν, εὐδαιμονεῖν ἐστὶ τὴν ὅλην εὐδαιμονίαν.

Ἔτι δὲ καὶ πρὸς πᾶσαν πρᾶξιν σπουδαίαν ἡ φρόνησις χρήσιμός ἐστι, καὶ δι' αὐτῆς πᾶν τοιοῦτον ἔργον ἀποτελεῖται· ἡ μὲν γὰρ ἠθικὴ ἀρετὴ τὴν θέλησιν εἰς τὸ ἀγαθὸν ἀπευθύνει τέλος, καὶ ὀρθὸν ποιεῖ τὸν σκοπόν· ἡ δὲ φρόνησις τὰ πρὸς τὸ τέλος φέροντα τὸ ἀγαθὸν ζητεῖ· καὶ βουλεύεται δι' ὧν κάλλιστα καὶ ῥᾷστα. Καὶ

ὡς

ὡς δεῖ, τοῦ τέλους ἔνι τυχεῖν· τοῦ δὲ τετάρτου μορίου τῆς ψυχῆς, ὅ ἐστι τὸ θρεπτικὸν, οὐκ ἔστιν ἀρετὴ τοιαύτη, περὶ ἧς ἡμῖν ὁ λόγος, ἥτις ἀρχὴν ἔχει τὸ [illegible]τικὸν, λέγω δὴ τὴν ἠθικήν· οὐ γάρ ἐστι τὸ θρεπτικὸν κύριον πράξεως οὐδεμιᾶς. Ὃ δὲ οὐκ ἔστιν ἀρχὴ πράξεως, οὐ δύναται ἀρετὴν ἔχειν τοιαύτην. Δύναται δὲ λέγεσθαι ἀρετὴ τοῦ θρεπτικοῦ τὸ εὐτραφὲς, καὶ ὅσα ἄλλα ἕπονται, ὅταν καλῶς ἔχῃ τὸ θρεπτικὸν, οἷον κάλλος ἢ μέγεθος, ὅπερ ἀρετὴ οὐκ ἔστι κυρίως· οὐ γὰρ ἀπὸ προαιρέσεως γίνεται, οὐδὲ αἱρετή ἐστιν· ἀλλὰ κατὰ μεταφορὰν λέγεται. Καὶ ταῦτα μὲν μεταξὺ εἴρηται. Ῥητέον δὲ ἔτι πρὸς τὸ προκείμενον. Ὅτι μὲν οὖν εἰ καὶ πρὸς μηδὲν ἄλλο συντελεῖν ἠδύνατο ἡ σοφία καὶ ἡ φρόνησις, διά γε ἑαυτὰς ἔδει πολλοῦ τινὸς ἀξίας εἶναι δοκεῖν, δέδεικται.

Δείξομεν δὲ ἔτι σαφέστερον, ὅτι ἡ φρόνησις συντελεῖ πρὸς τὸ σπουδαιοτέρους γενέσθαι, καὶ πρακτικωτέρους τῶν καλῶν καὶ δικαίων· μικρὸν δὲ ἄνωθεν ἀναληπτέον τὸν λόγον, ἀρξαμένους ἐκεῖθεν. Ὥσπερ γὰρ λέγομεν δυνατὸν εἶναι πράττοντάς τινας τὰ δίκαια οὔπω δικαίους εἶναι, καὶ τὰ σώφρονα καὶ μὴ σώφρονας εἶναι, οἷοί εἰσιν οἱ τὰ προστεταγμένα ὑπὸ τοῦ νόμου ποιοῦντες διὰ φόβον καὶ ἀκουσίως· ἢ οἱ δι' ἄγνοιαν δίκαιόν τι πεποιηκότες· ὥσ-

ut oportet, finem aſſequi poſſit ſuum. Quartæ vero partis animæ, cui alendi vis tribuitur, nulla eſt ejuſmodi, de qua jam loquimur, virtus, cujus principium ſit vis appetendi: intelligo autem moralem. Neq; enim pars illa altrix, actionis alicujus poteſtatem habet proprie: id vero quod actionis non eſt principium, habere ejuſmodi virtutem non poteſt. Virtus autem dici poteſt altricis, bona alitura, & ſi quæ alia ſequuntur, quoties bene habet ſe pars altrix, quemadmodum pulchra forma aut magnitudo corporis: quæ proprie tamen non eſt virtus: non enim fit conſulto, neque eſt eligenda, ſed per tranſlationem ita vocatur. Et hæc quidem interjicere reliquis placuit: ſed & aliud ad propoſitum adjiciendum eſt ſubjectum. Illud nempe, quod etiamſi ad aliud omnino nihil ſapientia conferret & prudentia, per ſe tamen, plurimi faciendas videri, jam oſtendimus. Ariſtot. l. 6. c. 13.

Jam vero & illud oſtendemus manifeſtius, ad hoc quoque ut meliores fiant homines, faciliuſque juſtas atque honeſtas actiones agant, conducere prudentiam: quod ut faciamus, paulo altius repetenda erunt quæ dicturi ſumus, & ab illis ducendum initium. Sicut ergo dicimus, fieri poſſe, ut quidam qui juſta agant nondum ſint juſti, & qui temperata, nondum ſint temperantes: quales ſunt illi qui legibus parent, & quæ ab illis jubentur metu faciunt, aut inviti: vel qui per ignorantiam id quod juſtum eſt faciunt: Περὶ δὲ τοῦ μηδὲν εἶναι πρακτικωτέρους &c.

Ariſtot. l.6.c.12

ut, ſi quis inſcius eum qui injuriam intulit, punit pro eo qui accepit: ſed & qui alterius cauſa, pecuniarum puta, aut voluptatis, non per ſe autem, id quod juſtum eſt faciunt. Sicut ergo hos juſtos non dicimus, licet ea quæ juſta ſunt faciant, eodem videlicet modo in omni virtute ſe res habet. Et is qui quod bonum eſt agit, virtutemque ſequitur, idque & per ſe, & boni cauſa ipſius, ſed & cum præelectione, atque inſtinctu ſuo, non autem invitus, ille eſt revera, quem honeſtum dicimus virum. Qui enim cogitur ab alio ut faciat bonum, boni quidem cauſa facit quod facit, ſiquidem qui cogit eum, boni cauſa eum cogit, honeſtus tamen non eſt aut bonus, niſi & cum præelectione & ſponte facit bonum. Habitus virtutis ergo format primum ordinatq; eam, quæ appetendi vim habet, animæ partem; in qua iræ vis eſt ac libidinis, atque ita ipſam præelectionem rectam facit. Vult quippe & præeligit id quod bonum eſt ab habitu bono. Non autem debet conſiſtere in eo vir honeſtus, ſi virtutis modo conſecutus ſit habitum: ſed & illa agere quibus ſtabiliri confirmarique in animo poſſit ille habitus: actiones nimirum honeſtas. Ut autem ejuſmodi actiones aliquis cognoſcat, neutiquam id à virtutis poterit accipere habitu. Illa ſiquidem ſolum animo ingenerat appetitum boni: ut vero poſſit cognoſcere quæ agere debeat vir honeſtus, alterius eſt facultatis.

περ εἴ τις λάθοι τὸν κόντα κολάσας ἀντὶ τοῦ ἠδικημένου· ἢ δι᾽ ἄλλο τι, ἢ χρήματα, ἢ ἡδονὴν τὸ δίκαιον ποιοῦντες, καὶ μὴ δι᾽ ἑαυτό. Ὥσ[illegible]. τοίνυν τοὺς τοιούτους οὐ λέγομεν δικαίους, καί τοι πράττοντας τὰ δίκαια, οὕτως, ὡς ἔοικεν, ἐπὶ πάσης ἀρετῆς ἔχει· καὶ ὁ ποιῶν τὸ ἀγαθὸν καὶ τὴν ἀρετὴν, καὶ δι᾽ ἑαυτὴν, καὶ τοῦ ἀγαθοῦ ἕνεκα, καὶ αὐτὸς προαιρούμενος καὶ οὐκ ἀκουσίως, οὗτός ἐστιν ἀληθῶς ὁ σπουδαῖος· ὁ γὰρ βιαζόμενος ὑφ᾽ ἑτέρου πρὸς τὸ ποιῆσαι τὸ ἀγαθὸν, τοῦ ἀγαθοῦ μὲν ἕνεκα ποιεῖ ὅπερ ποιεῖ, εἴπερ ὁ καταναγκάζων αὐτὸν τοῦ ἀγαθοῦ ἕνεκα καταναγκάζει· σπουδαῖος δὲ οὐκ ἔστιν, οὐδὲ ἀγαθὸς, ὅτι μὴ προαιρούμενος καὶ ἑκουσίως πράττει τὸ ἀγαθόν· ἡ μὲν οὖν ἕξις τῆς ἀρετῆς ῥυθμίζουσα τὸ ὀρεκτικὸν τῆς ψυχῆς, τὸ θυμικὸν καὶ ἐπιθυμητικὸν, ὀρθὴν ποιεῖ τὴν προαίρεσιν· ἐπιθυμεῖ γὰρ καὶ προαιρεῖται τὸ ἀγαθὸν ἀπὸ τῆς ἀγαθῆς ἕξεως· οὐ δεῖ δὲ μέχρι τούτου τὸν σπουδαῖον ἵστασθαι τοῦ ἕξιν ἔχειν ἀρετῆς, ἀλλὰ καὶ πράττειν ἐξ ὧν ἔσται βεβαία ἡ ἕξις ἐν τῇ ψυχῇ, τὰς πράξεις τὰς σπουδαίας δηλονότι. Τὸ τοίνυν τὰς τοιαύτας πράξεις εἰδέναι, οὐ δυνατὸν λαβεῖν ἀπὸ τῆς ἕξεως τῆς ἀρετῆς· αὕτη γὰρ μόνην ἐμποιεῖ τῇ ψυχῇ τὴν ὄρεξιν τοῦ ἀγαθοῦ· τὸ δὲ εἰδέναι, ἃ δεῖ πράττειν τὸν σπουδαῖον, ἄλλης ἐστὶ δυνάμεως.

Λεκτέον

Λεκτέον δὴ περὶ ταύτης τῆς δυνάμεως σαφέστερον. Ἔστι δή τις δύναμις, ἣν καλοῦσι δεινότητα· αὕτη δέ ἐστι τοιαύτη, ὥστε καὶ πρὸς τὸν ὑποτεθέντα σκοπὸν συντείνοντα δύνασθαι ταῦτα πράττειν, καὶ τυγχάνειν αὐτῶν· ἂν μὲν οὖν ὁ σκοπὸς ᾖ καλὸς, ἐπαινετή ἐστιν, ἂν δὲ ᾖ φαῦλος, πανουργία· διὸ καὶ τοὺς φρονίμους δεινοὺς καὶ πανούργους φαμὲν εἶναι· ἔστι δὲ ἡ φρόνησις οὐχ αὕτη ἡ δύναμις ἡ δεινότης, ἀλλ' οὐκ ἄνευ τῆς δυνάμεως ταύτης. Ταύτης γὰρ τῆς δυνάμεως ἀρετή ἐστιν ἡ φρόνησις. Οὔτε τοίνυν ἄνευ φρονήσεως τελειωθείη ἂν ἡ ἠθικὴ ἀρετὴ, τήν τε φρόνησιν ἀδύνατον ἐπιγίνεσθαι τῷ πρακτικῷ νῷ ἄνευ τῆς ἄλλης ἠθικῆς ἀρετῆς· οἱ γὰρ συλλογισμοὶ τῶν πρακτῶν, οὓς δηλονότι συλλογιζόμενοι πράττομεν, ἀρχὰς ἔχουσι τὰ τέλη τῶν πράξεων. Ἀπὸ γὰρ τῶν τελῶν συλλογιζόμεθα, εἰ ἀγαθαί εἰσιν αἱ πράξεις, ἢ πονηραί· τὰς δὲ τοιαύτας ἀρχὰς, τὰ τέλη δηλονότι, οὐ γινώσκομεν ἄνευ τῆς ἕξεως τῆς ἠθικῆς ἀρετῆς· πονηρὸν γὰρ τιθέμεθα τέλος ὑπὸ πονηρᾶς ἕξεως, καὶ πρὸς τοῦτο τὰς πράξεις τάττομεν, ὥσπερ εἰς ἀγαθόν· καὶ συμβαίνει τὴν γνῶσιν τῶν τοιούτων πρακτῶν μὴ εἶναι φρόνησιν· ἡ γὰρ φρόνησις περὶ τὰ ἀγαθὰ τοῦ ἀνθρώπου. Ὥστε ἀνάγκη τὸν φρόνιμον τὸ ἀγαθὸν τίθεσθαι τέλος· καὶ διὰ τοῦτο οὐ δυνατὸν τὴν φρόνησιν συστῆναι ἄνευ τῆς ἄλλης ἠθικῆς ἀρετῆς· καὶ ἀδύνατον φρόνι-

De qua quidem facultate jam dicendum erit planius. Eſt ergo facultas quædam quam dicunt ſolertiam. Hæc vero talis eſt, ut ea quæ ad propoſitum ſemel ſcopum tendunt, poſſit quis agere, atque conſequi. Quod ſi ergo honeſtus eſt ſcopus, laudanda quoque eſt illa: ſin improbus, verſutia vocatur. Ideoque & ſolertes & verſutos eſſe dicimus prudentes. Eſt autem prudentia, non ipſa facultas illa, quam ſolertiam diximus, ſed non ſine hac facultate eſt prudentia. Hujus quippe facultatis virtus eſt ſolertia. Quare nec ſine prudentia perfecta eſſe moralis poterit virtus, neque ad intellectum activum ſine reliqua morali virtute poterit accidere prudentia. Ratiocinationes quippe eorum quæ ſub actionem cadunt, quas nimirum ratiocinando agimus, pro principiis ſuis habent actionum fines. A finibus enim ratiocinari ſolemus, utrum bonæ ſint actiones an contra. Principia vero ejuſmodi, hoc eſt, ipſos fines, ſine moralis habitu virtutis non cognoſcimus: malo quippe habitu, malum quoque finem ponimus. Atque eo, tanquam ad bonum, actiones noſtras dirigimus. Eoque fit, ut ejuſmodi actionum finis non ſit prudentia: in hominis quippe bonis cernitur prudentia. Quare neceſſe eſt ut bonum ſibi finem ponat, vir prudens. Ideoque nec ſine reliqua morali virtute poteſt conſiſtere prudentia, neque quiſquam prudens eſſe poteſt, qui non

Ariſtot. l.6 c.12. Λεκτέον δ' ἐπιστήσασι σαφέστερον, &c.

ſit bonus. Atque ita quidem apparet, ſine reliqua morali virtute non poſſe eſſe prudentiam.

Ariſtot. l.6.c.13.

Cap. 13. Σκεπτέον δὴ πάλιν, &c.

Sed & illud manifeſtum eſt, nec ipſam quidem virtutem eſſe poſſe ſine prudentia. Etenim quemadmodum ad ſolertiam ſe habet prudentia, ita ut non idem ſit cum ea, ſed vicina potius ac ſimilis (naturalis enim animæ promptitudo eſt ſolertia, ejuſmodi autem promptitudinis virtus eſt prudentia) ita & moralis virtus ad naturalem ſe habet.

Πᾶσι γὰρ δοκεῖ, &c.

Omnibus enim ſingulæ virtutes morales, videntur naturales eſſe. Etenim & juſti quodammodo, & temperantes, & fortes à teneris ſumus, & cũ reliquis quodammodo naſcimur virtutibus.

Ἀλλ' ὅμως, &c.

Aliud tamen quærimus nihilominus. Neque enim has proprie dictas arbitramur eſſe virtutes.

Καὶ γὰρ παισὶ καὶ θηρίοις, &c.

Illæ enim & pueris inſunt & belluis, & noxiæ ſunt nonnunquam: quia ſine intellectu adſunt illis. Et quemadmodum valido corpori accidit quoties movetur, ut valide quoque cadat, ſi abſque viſu moveatur: ita ejuſmodi habitus, ſine intellectu quidem mali, cum eo vero ſunt boni. Unde & virtutes eædem proprie dicuntur. Itaque iidem & ſine intellectu proprie virtutes non ſunt, cum intellectu autem proprie virtutes fiunt. Quare quemadmodum in ea parte, cui opinandi vim tribuimus, duæ ſunt ſpecies, ſolertia ac prudentia: ita in morali duæ ſunt, altera naturalis virtus, altera ita dicta proprie.

μον εἶναι μὴ ὄντα ἀγαθόν. ὕτω μὲν ὖν φαίνεται τὴν φρόνησιν μὴ εἶναι ἄνευ τῆς ἄλλης ἠθικῆς ἀρετῆς.

Φανερὸν δὲ μηδὲ τὴν ἀρετὴν εἶναι ἄνευ φρονήσεως· καὶ γὰρ ὡς ἔχει ἡ φρόνησις πρὸς τὴν δεινότητα, οὐ ταυτὸν μὲν, ὅμοιον δέ· καὶ γὰρ ἡ μὲν δεινότης φυσική ἐστιν ἐπιτηδειότης τῆς ψυχῆς, ἡ δὲ φρόνησις ἀρετή ἐστι τῆς τοιαύτης ἐπιτηδειότητος· οὕτω καὶ ἡ ἠθικὴ ἀρετὴ πρὸς τὴν φυσικὴν ἀρετὴν ἔχει.

Πᾶσι γὰρ δοκεῖ τῶν ἠθικῶν ἀρετῶν ἑκάστη φυσική πως εἶναι· καὶ γὰρ δίκαιοι, καὶ σωφρονικοὶ, καὶ ἀνδρεῖοι, καὶ τἆλλα ἔχομεν εὐθὺς ἐκ γενετῆς.

Ἀλλ' ὅμως ζητοῦμεν ἕτερόν τι, νομίζοντες οὐ ταύτας εἶναι τὰς κυρίως ἀρετάς.

Αὗται γὰρ καὶ παισὶ καὶ θηρίοις ὑπάρχουσαι, βλαβεραὶ γίνονται ἐνίοτε, διὰ τὸ ἄνευ νοῦ προσεῖναι· καὶ καθάπερ σώματι ἰσχυρῷ κινουμένῳ συμβαίνει σφάλλεσθαι ἰσχυρῶς, ὅταν ἄνευ ὄψεως κινῆται, οὕτω καὶ τὰς τοιαύτας ἕξεις ἄνευ νοῦ πονηρὰς εἶναι συμβαίνει, μετὰ δὲ νοῦ ἀγαθάς· αἳ καὶ ἀρεταὶ κυρίως καλοῦνται. Καὶ αἱ αὐταὶ ἕξεις νοῦ μὲν ἄνευ οὐκ εἰσὶν ἀρεταὶ κυρίως, μετὰ δὲ νοῦ κυρίως ἀρεταὶ γίνονται· ὥστε καθάπερ ἐπὶ τοῦ δοξαστικοῦ δύο εἰσὶν εἴδη, δεινότης καὶ φρόνησις, οὕτως ἐπὶ τοῦ ἠθικοῦ δύο ἐστὶ, τὸ μὲν ἀρετὴ φυσικὴ, τὸ δὲ ἡ κυρίως.

Καὶ

Καὶ τούτων ὁ κυρίως οὐ γίνεται ἄνευ φρονήσεως.

Διόπερ φασὶ πάσας τὰς ἀρετὰς φρονήσεις εἶναι.

Καὶ Σωκράτης τούτῳ τῷ λόγῳ στοιχῶν, πῆ μὲν ὀρθῶς εἶχε, πῆ δὲ ἡμάρτανεν· ὅτι μὲν γὰρ φρονήσεις ᾤετο εἶναι τὰς ἀρετὰς ἁπάσας, ἡμάρτανεν· ὅτι δὲ οὐκ ἄνευ φρονήσεως, καλῶς ἔλεγε.

Σημεῖον δέ, καὶ γὰρ νῦν πάντες ὅταν ὁρίζονται τὴν ἀρετήν, εἰπόντες αὐτὴν ἕξιν, καὶ περὶ τίνα καταγίνεται, προστιθέασι καὶ κατὰ τὸν ὀρθὸν λόγον· ὀρθὸς δὲ λόγος ὁ κατὰ τὴν φρόνησιν· φαίνεται ἄρα μὴ δύνασθαι εἶναι ἀρετὴν ἄνευ φρονήσεως.

Ἔτι δὲ οὐ μόνον κατὰ τὸν ὀρθὸν λόγον ἕξις ἡ ἀρετὴ λέγεται, ἀλλὰ καὶ μετὰ τοῦ ὀρθοῦ λόγου· ὁ δὲ περὶ τῶν τοιούτων ὀρθὸς λόγος, ἡ φρόνησίς ἐστιν.

Ὁ μὲν γὰρ Σωκράτης λόγους τὰς ἀρετὰς ᾤετο εἶναι· πάσας γὰρ ἐπιστήμας ἔλεγεν εἶναι. Ἡμεῖς δὲ ἕξεις μετὰ λόγου· τὸ γὰρ κατὰ λόγον διαφέρει τοῦ μετὰ λόγου· κατὰ λόγον γάρ τις ποιεῖ τι, καὶ ἑτέρου κινοῦντος, καὶ τὸ τέλος σκοποῦντος, ὥσπερ ἡ φύσις κατὰ λόγον ποιεῖ· μετὰ λόγου δέ, ὅταν αὐτὸς εἰδὼς πράττῃ, καὶ τὸ τέλος σκοπῶν κατὰ λόγον ποιῇ. Διὰ τοῦτο δεῖ προσκεῖσθαι τῷ κατὰ λόγον, τὸ μετὰ λόγου· λόγος δὲ ἐστὶν ἡ φρόνησις καθὼς εἴρηται.

Δῆλον τοίνυν ἐκ τῶν εἰρημένων, ὅτι οὐχ οἷόν τε ἀγα-

Et harum quidem, quæ propriè dicitur, non fit ſine prudentia. Ariſtot. l.6.c.13.

Quare etiam omnes virtutes quidam dicunt prudentias eſſe, Καὶ τούτων, &c.

Et qui hanc opinionem ſecutus eſt Socrates, partim verum dicebat, partim falſum. Quatenus enim prudentias putabat eſſe omnes virtutes, errabat: quatenus vero non ſine prudentia eſſe, verum dicebat. Διόπερ φασὶ, &c. Καὶ Σωκράτης, &c.

Idque vel ex eo apparet: quod etiam nunc omnes, cum virtutem definiunt, poſtquam eam habitum dixerunt eſſe, & in quibus verſetur, addunt hæc verba, ſecundum rectam rationem. Recta autem ratio eſt, quæ ſecundum prudentiam, unde apparet, non poſſe eſſe virtutem abſque prudentia. Σημεῖον δὲ, &c.

Deinde non ſolum habitus ſecundum rectam rationem virtus dicitur, ſed & cum recta ratione. Recta vero in ejuſmodi ratio, eſt prudentia. Δεῖ δὲ μικρὸν, &c.

Socrates enim rationes exiſtimabat virtutes eſſe: omnes enim ſcientias dicebat eſſe. Nos vero cum ratione habitus. Quod enim ſecundum rationem eſt, differt ab eo, quod eſt cum ratione. Etenim ſecundum rationem aliquid agere dicitur aliquis, etiam movente alio & de fine cogitante, ſicut ſecundum rationem natura facit. Cum ratione autem, quoties ſciens agit, qui agit, & de fine cogitat, atq; ita ſecundum rationem agit. Ideo non ſecundum rationem tantum, ſed & cum ratione eſt addendum. Ratio autem, ſicut diximus, prudentia eſt. Σωκράτης μὲν, &c.

Ex iis ergo quæ dicta ſunt, ap- Δῆλον τοίνυν ἐκ τῶν,

 paret,

Ariſtot. l.6.c.13. paret, proprie bonum eſſe ſine prudentia habitum non poſſe, quemadmodum nec ſine virtute prudentiam.

Ἀλλὰ καὶ ὁ λόγος ταύτῃ, &c. Ex quo ipſo diluetur etiam ſi quod ex contrario argumentum moveatur. Etenim à morali virtute diſtingui poſſe videtur prudentia. Neque enim eo modo quilibet ad omnes natus eſt, ut omnes ſimul morales virtutes, ſimulque poſſit conſequi prudentiam. Quare aliam quidem jam conſequetur, aliam vero nondum conſecutus erit. Unde videtur, dividi virtutes poſſe.

Τοῦτο γὰρ κατὰ μὲν, &c. Hoc ergo in naturalibus quidem locum habet virtutibus: in moralibus vero, à quibus ſimpliciter bonus homo dicitur, locum non habet.

Ἅμα γάρ, &c. Simul enim cum prudentia, licet ſit una tantum omnes exiſtent.

Δῆλον δὲ κἂν εἰ μὴ, &c. Eſt igitur activa prudentia, & ad omnes reliquarum virtutum actiones eadem eſt utilis. Eſt tamen & per ſe quærenda: quia præſtantiſſimæ animæ partis virtus eſt, rationalis videlicet; qua quidem vel ſola de cauſa ea opus eſſet. Nemo enim bonus erit ſimpliciter, qui præſtantiſſima ſui parte laborat. Nunc vero ne una quidem ſine prudentia poſſet virtus conſiſtere; Neque enim recta abſque prudentia eſſe poterit præelectio, ſicut nec ſine virtute, ut dictum eſt. Virtus enim ad ipſum bonum movet finem, & ad hunc petendum, primo præparat. Prudentia vero efficit ut ea quæ ad finem ſpectant faciamus.

θὸν εἶναι κυρίως τὴν ἕξιν ἄνευ φρονήσεως, οὐδὲ φρόνησιν ἄνευ ἀρετῆς.

Ἐντεῦθεν δὲ λύοιτ' ἂν καὶ εἴ τις ἐκ τοῦ ἐναντίου λόγου εἰσάγοιτο· δοκεῖ γὰρ δυνατὸν εἶναι χωρίζεσθαι τὴν φρόνησιν τῆς ἠθικῆς ἀρετῆς. Οὐ γὰρ ὁ αὐτὸς οὕτως εὐφυὴς ἔχει πρὸς ἁπάσας, ὥστε πάσας τὰς ἠθικὰς ἀρετὰς, καὶ τὴν φρόνησιν ἅμα λαβεῖν δυνηθῆναι. Ὥστε τὴν μὲν λήψεται, τὴν δὲ οὔπω εἰληφὼς ἔσται. Δοκεῖ ἄρα χωρίζεσθαι τὰς ἀρετάς.

Τοῦτο τοίνυν κατὰ μὲν τὰς φυσικὰς ἀρετὰς ἐνδέχεται, κατὰ δὲ τὰς ἠθικάς, καθ' ἃς ἁπλῶς ἀγαθὸς ὁ ἄνθρωπος λέγεται, οὐκ ἐνδέχεται.

Ἅμα γὰρ τῇ φρονήσει μιᾷ οὔσῃ πᾶσαι ὑπάρξουσιν.

Ἡ τοίνυν φρόνησις ἐστὶ μὲν καὶ πρακτική, καὶ χρήσιμος ἐστὶ πρὸς τὰς πράξεις ἁπάσας τῶν ἄλλων ἀρετῶν. Ἔστι δὲ καὶ καθ' ἑαυτὴν ζητητέα διὰ τὸ ἀρετὴν εἶναι τοῦ βελτίστου μορίου τῆς ψυχῆς, τοῦ λογικοῦ δηλονότι, καὶ τούτου μόνου χάριν χρεία ἂν ἦν αὐτῆς. Οὐ γάρ τις ἁπλῶς γένοιτο ἀγαθὸς κατὰ τὸ βέλτιστον ἑαυτοῦ μέρος, φαύλως ἔχων· νῦν δὲ οὐκ ἔνι οὐδεμίαν ἀρετὴν ἄνευ τῆς φρονήσεως συστῆναι· οὐ γάρ ἐστιν ὀρθὴν εἶναι τὴν προαίρεσιν ἄνευ φρονήσεως, ὥσπερ οὐδὲ ἄνευ ἀρετῆς, καθὼς εἴρηται· ἡ μὲν γὰρ ἀρετὴ πρὸς τὸ τέλος κινεῖ τὸ ἀγαθὸν, καὶ τοῦτο ἐφίεσθαι παρασκευάζει· ἡ δὲ φρόνησις τὰ πρὸς τὸ τέλος ποιεῖ πράττειν.

Ἀλλὰ

Ἀλλὰ μὴν οὐδὲ κυρία γε ἐστὶ τῆς σοφίας, ὅτι διὰ τὴν φρόνησιν ἡ σοφία. Τῷ γὰρ φρόνιμοι εἶναι ζητοῦμεν τὴν σοφίαν, καὶ ἡ φρόνησις τὸ τέλος ζητεῖ τῆς σοφίας, καὶ τὰ πρὸς τὴν σοφίαν φέροντα ζητεῖ. Καὶ οὔπω γὰρ ἔχουσα οὐκ ἔστι τῆς σοφίας βελτίων· ἔστι γὰρ ἡ σοφία ἀρετὴ τοῦ βελτίονος μορίου τῆς ψυχῆς· ἡ μὲν γὰρ φρόνησις ἀρετή ἐστι τοῦ πρακτικοῦ νοῦ· ἡ δὲ σοφία τοῦ θεωρητικοῦ· εἰ δὲ καὶ περὶ τῆς σοφίας ἡ φρόνησις σκοπεῖ, ἀλλ' οὐ χρῆται αὐτῇ πρὸς τὸ ἑαυτῆς τέλος, ὥσπερ αἱ ἀρχιτεκτονικαὶ ἔχουσι πρὸς τὰς ὑπ' αὐτὰς τέχνας, ἀλλὰ ζητεῖ ὅπως γένηται· καὶ οὐ διὰ τοῦτο κυρία αὐτῆς ἐστιν, ὥσπερ οὐδ' ἡ ἰατρικὴ κυρία ἐστὶ τῆς ὑγιείας· οὐ γὰρ αὐτῇ ἐπιτάττει, ἀλλὰ αὐτῆς ἕνεκα· καὶ διὰ τοῦτο μᾶλλον βελτίων ἡ σοφία τῆς φρονήσεως, καθάπερ καὶ ἡ ὑγίεια τῆς ἰατρικῆς, ὅτι αὐτῆς ἕνεκα πράττει. Εἰ δὲ ἐπιτάττει ἡ φρόνησις, ἀλλ' οὐ τῷ σοφῷ, ἀλλὰ τῷ μήπω εἰς ταύτην ἐλθόντι τὴν ἀρετήν· τῷ δὲ ἐλθόντι, οὐκ ἔτι. Οὐδὲ γὰρ ἡ πολιτική, διότι ἐπιτάττει περὶ πάντων ἐν τῇ πόλει, ἤδη καὶ τῶν θεῶν ἄρχει.

At vero neque præeſt ſapientiæ, quia propter prudentiam eſt ſapientia: quatenus enim ſumus prudenres, quærimus ſapientiam. Et tum ſapientiæ finem, tum ea quæ ad ſapientiam ducunt, quærit prudentia: neque propterea tamen ſapientia eſt præſtantior. Præſtantioris quippe partis animæ virtus eſt ſapientia. Activi enim intellectus virtus eſt prudentia, contemplativi autem ſapientia. Quamvis vero etiam de ſapientia interdum diſpicit prudentia, non ad finem tamen ſuum ea utitur, quemadmodum architectonicæ ad eas quæ ſub ipſis ſunt ſe habent: ſed quomodo comparari poſſit quærit tantum. Nec propterea præeſt illi: ſicut nec ſanitati præeſt medicina: nec enim illi imperat, ſed ejus cauſa. Ideoque prudentia præſtantior eſt ſapientia, ſicut medicina ſanitas, quia illius cauſa agit. Quod ſi imperet prudentia, non ſapienti ea quidem, ſed qui ad hanc nondum pervenit: qui vero jam pervenit, non item. Sicut nec civilis ſcientia, quod omnia præcipiat quæ fiunt in urbe, etiam Diis imperat.

Ariſtot. l.6.c.13. Ἀλλὰ μὴν οὐδὲ κυρία &c.

ARISTO-

ARISTOTELIS ETHICORUM LIBER VII.

Ariſtot. l.7. c.1.

CAP. I.

De continentia.

Cap. 1. Μετὰ δὲ ταῦτα λεκτέον, &c.

POſt ea, quæ de moralibus & iis quæ menti tribuuntur dicta ſunt virtutibus, de continentia, eaque quæ ſupra hominem eſt virtute, quam heroicam vocant & divinam, aliquid dicendum erit. Neque enim ejuſdem generis cum reliquis virtutibus aut continentia eſt, aut ea quæ ſupra hominem eſt virtus. Ideoque poſt ea quæ de virtutibus diximus, alio facto initio, de his ſeorſim dicamus. Neutrum autem earum, cum iis quas ſupra diximus, cohærere virtutibus, vel ex his ipſis quæ de illis tradituri ſumus, erit manifeſtum. Eorum vero quæ vituperio digna ſunt, & vitari debent, tres

ΚΕΦ. α.

Περὶ ἐγκρατείας.

ΜΕτὰ τὰ εἰρημένα περὶ τῶν ἠθικῶν ἀρετῶν καὶ διανοητικῶν, ῥητέον περὶ ἐγκρατείας, καὶ τῆς ὑπὲρ ἡμᾶς ἀρετῆς, ἥ τις ἡρωϊκή τις ἐστὶ καὶ θεία· οὔτε γὰρ ἡ ἐγκράτεια ὁμογενής ἐστι ταῖς εἰρημέναις ἀρεταῖς, οὔτε ἡ ὑπὲρ ἄνθρωπον ἀρετή· διὰ τοῦτο μετὰ τὰ περὶ τῶν ἀρετῶν εἰρημένα περὶ τούτων ἰδίως λέγωμεν, ἄλλην ποιησάμενοι ἀρχήν. Ὅτι δὲ οὐδετέρα αὐτῶν ὁμοταγής ἐστι ταῖς προειρημέναις, δῆλον ἔσται ἀπὸ τῶν περὶ αὐτῶν ῥηθησομένων· τῶν δὲ ψόγου ἀξίων καὶ φευκτῶν τρία

τρία ἐστὶν εἴδη, κακία, ἀκρασία, θηριότης.

Τὰ δὲ ἐναντία τούτοις, τῇ μὲν κακίᾳ ἡ ἀρετὴ ἡ ἠθική, περὶ ἧς διαλήπται· τῇ δὲ ἀκρασίᾳ ἡ ἐγκράτεια· τῇ δὲ θηριότητι ἡ ὑπὲρ ἄνθρωπον ἀρετή, ἡ ἡρωϊκὴ καλεῖται, καθ' ἣν ἄνθρωποι γίνεσθαι λέγονται θεοί τινες ἐξ ἀνθρώπων.

Ὥσπερ καὶ Ὅμηρος εἰσάγει τὸν Πρίαμον περὶ τοῦ παιδὸς Ἕκτορος λέγοντα.

——— οὐ γὰρ ἐῴκει
Ἀνδρός γε θνητοῦ παῖς ἔμμεναι, ἀλλὰ θεοῖο,

διὰ ἀρετῆς ὑπερβολήν.

Αὕτη ἡ ἕξις ἡ ἀντικειμένη τῇ θηριωδίᾳ. Ὥσπερ γὰρ ἡ θηριωδία οὐκ ἔστι κακία, οἵα ἐστὶν ἡ ἀντικειμένη ταῖς ἀρεταῖς· οὐ γάρ ἐστιν ἀνθρωπίνη κακία, ὅλως δὲ οὐδὲ κακία, οὐ γάρ ἐστι θηρίου κακία ἢ ἀρετή, διὰ τὸ μὴ μετὰ λόγου ποιεῖν ἢ παρὰ τὸν λόγον· οὕτως οὐδὲ ἡ θεία ἀρετὴ καὶ ἡρωϊκή, ἀρετὴ ἂν εἴη κυρίως· τὸ γὰρ ἀνθρώπινον ἀγαθόν, ἀρετὴ λέγεται· τὸ δὲ θεῖόν τι ἐστίν. Οὐκ ἔστι δὲ θεοῦ ἀρετή, ἀλλά τι τιμιώτερον ἀρετῆς τὸ θεῖόν ἐστιν ἀγαθόν. Καὶ ὥσπερ σπάνιόν ἐστιν ἡ τοιαύτη ἕξις, οὕτω καὶ ἡ ἀντικειμένη θηριωδία, σπάνιον. Ἔστι δὲ μάλιστα ἐν τοῖς βαρβάροις. Γίνεται δὲ ἡ τοιαύτη θηριωδία οὐ μόνον διὰ πονηροτάτην ἕξιν, ἀλλὰ καὶ διὰ νόσους καὶ πηρώσεις.

Περὶ μὲν οὖν τῆς τοιαύτης διαθέσεως ὕστερον ποιησόμεθα λόγον. Περὶ δὲ τῆς κακίας εἴρηται πρότερον, ὅτι

ſunt ſpecies. Vitioſitas, incontinentia, immanitas. Ariſtot. l.7. c. 1.

His vero contraria, vitioſitati quidem virtus, de qua diximus, moralis: continentiæ incontinentia: immanitati, quæ ſupra hominem eſt virtus, quam & heroicam dicunt: qua ex hominibus divini fieri dicuntur homines. Τὰ δ' ἐναντία τοῖς μὲν, &c.

Sicut Homerus de filio ſuo Hectore loquentem introducit Priamum. Ὥσπερ Ὅμηρος περὶ, &c.

——— *non illum quippe putaſſes*
Sanguine mortali genitum, ſed
Dîs oriundum.

Propter virtutis nimirum excellentiam.

Hic autem eſt qui immanitati opponitur habitus. Nam quemadmodum non eſt talis vitioſitas, qualis quæ opponitur virtutibus, immanitas (nec enim humana eſt vitioſitas, ac nè ſimpliciter quidem vitioſitas: ſiquidem nec feræ eſt vitioſitas aut virtus, quia nec cum ratione, nec præter eam agit) ita nec divina virtus aut heroica virtus erit proprie. Humanum quippe bonum, virtus vocatur: hoc vero divinum quid eſt. Dei autem non eſt virtus, ſed præſtantius quid virtute, divinum eſt bonum. Et quemadmodum rarum quid eſt ejuſmodi habitus, ita & quæ opponitur, rarum quid eſt immanitas. Ac maxime inter Barbaros reperitur. Et ea quidem non ab improbiſſimo tantum habitu, ſed & à morbis ac mutilationibus originem trahit ſuam. Ὡς εἰ καὶ θηριώδης, &c.

Ac de tali quidem animi affectione poſtea agemus: de vitioſitate vero, cum de moralibus egimus Ἀλλὰ περὶ μὲν τῆς τοιαύτης, &c.

Ariſtot. l.7.c.1.

gimus virtutibus, antea diximus: nunc vero de incontinentia, mollitie, ac luxu, deque oppoſitis iis virtutibus, continentia nimirum ac tolerantia dicamus. Neque enim cum dicta vitioſitate aut virtute ſunt eædem, nec ita tamen, ut alterius ſint generis, diverſæ. Quatenus ergo bonum eligit, rationemque ſequitur continens, convenit virtuti continentia: quatenus vero ſemper adverſatur ei cupiditas, & continenter in certamine eſt, quia habitum non habet, eatenus non eſt virtus. Eademque ratione nec incontinentia eſt vitioſitas, ſi eam quæ moralibus opponitur virtutibus vitioſitatem videamus. Qui enim in reliqua vitioſitate improbus dicitur, cum improbitatis conſecutus ſit habitum, non repugnante vi rationis, quæ ſunt improba agit. Incontinens vero, cum ad bonum trahit eum ratio, à cupiditate ſuperatur. Ideoque nec ejuſdem cum vitioſitate ſpeciei eſt incontinentia. Quatenus vero præter rationem quoq; ipſa eſt, & eorum quæ ſponte dicuntur, eatenus aliquid cum ea commune habet.

Δεῖ δ᾽ ὥσπερ ἐπὶ τῶν ἄλλων, &c.

Quemadmodum autem de aliis, ita & de his dicamus, eodem, dico, quo de reliquis modo. Primo enim eas quæ vulgo probantur, proponemus rationes: quarum illas, quæ non procedunt, oppoſita arguemus veritate: reliquas vero, quæ maxime probabiles ſunt, confirmabimus ac relinquemus. Atq; ita plana erunt, quæ de iis agenda ſunt omnia.

περὶ ἀρετῶν ἐλέγομεν τῶν ἠθικῶν. Νῦν δὲ περὶ τῆς ἀκρασίας ἐροῦμεν, καὶ περὶ τῆς μαλακίας καὶ τῆς τρυφῆς, καὶ τῶν ἀντικειμένων, ἐγκρατείας καὶ καρτερίας· οὔτε γὰρ τῇ εἰρημένῃ κακίᾳ καὶ ἀρετῇ αἱ αὐταί εἰσιν, οὔτε πάντῃ διάφοροι, ὡς ἑτερογενεῖς εἶναι· καθόσον μὲν γὰρ τὸ ἀγαθὸν αἱρεῖται ὁ ἐγκρατὴς καὶ τῷ λόγῳ ἀκολουθεῖ, ἀρετῇ προσήκει ἡ ἐγκράτεια. Καθόσον δὲ ἐναντιοῦται αὐτῷ ἡ ἐπιθυμία καὶ ἐν ἀγῶνι ἐστὶν ἀεί, διὰ τὸ μὴ ἔχειν ἕξιν, κατὰ τοῦτο οὐκ ἔστιν ἀρετή· ἀκολούθως δὲ οὐδὲ ἡ ἀκρασία κακία ἐστὶ κατὰ τὴν κακίαν τὴν ἀντικειμένην ταῖς ἠθικαῖς ἀρεταῖς· ὁ μὲν γὰρ τὴν ἄλλην κακίαν φαῦλος, ἕξιν ἔχων τῆς φαυλότητος, πράττει τὰ φαῦλα, μὴ ἀντιτείνοντος αὐτῷ τοῦ λογισμοῦ· ὁ δὲ ἀκρατής, τοῦ λογισμοῦ πρὸς τὸ ἀγαθὸν ἕλκοντος, ὑπὸ τῶν ἐπιθυμιῶν κρατεῖται· καὶ διὰ τοῦτο οὐκ ἔστιν ὁμοειδὴς τῇ κακίᾳ ἡ ἀκρασία· ὅτι δὲ παρὰ τὸν λόγον καὶ αὐτή ἐστι, καὶ ἑκούσιον, τοῦτο αὐτῇ κοινωνεῖ.

Λέγωμεν δὴ περὶ αὐτῶν κατὰ τὸν τρόπον, καθ᾽ ὃν καὶ περὶ τῶν ἄλλων εἴπομεν· ἐκθησόμεθα γὰρ τοὺς δοκοῦντας περὶ αὐτῶν λόγους, ὧν τοὺς μὴ συμβαίνοντας τῇ ἀληθείᾳ ἐλέγξαντες, τοὺς μάλιστα ἐνδόξους καταλείψαντες βεβαιώσομεν. Καὶ οὕτως ἔσται φανερὸς ὁ περὶ αὐτῶν λόγος.

Δοκεῖ δὴ πᾶσιν ἡ ἐγκράτεια ἀγαθὸν, καὶ ἡ καρτερία τῶν σπουδαίων καὶ τῶν ἐπαινετῶν εἶναι. Ἡ δὲ ἀκρασία τοὐναντίον· φασὶ δὲ περὶ τῆς ἐγκρατείας καὶ ταῦτα. Πρῶτον μὲν, ὅτι ὁ ἐγκρατὴς ὁ αὐτός ἐστι τῷ ἐμμενετικῷ ἔν τινι λογισμῷ καὶ ἀκινήτῳ, καὶ ἐγκράτεια τὸ ἐμμένειν τῷ λογισμῷ· ἀκρασία δὲ καὶ ἀκρατὴς τοὐναντίον. Δεύτερον, ὅτι εἰδὼς ὁ ἐγκρατὴς ὅτι φαῦλαι αἱ ἐπιθυμίαι, ἀφίσταται τούτων καὶ ἀκολουθεῖ τῷ λόγῳ· ὁ δὲ ἀκρατὴς, εἰδὼς ὅτι φαῦλα πράττει, διὰ τὴν ἡδονὴν οὐ πείθεται τῷ λόγῳ. Τρίτον, ὅτι καὶ ὁ σώφρων ἐγκρατής ἐστι καὶ καρτερικὸς, καὶ ὁ ἀκόλαστος τοὐναντίον. Τέταρτον, ὅτι καὶ πᾶς ἐγκρατὴς σώφρων· ἔνιοι δὲ ὁμοίως καὶ τὸν ἀκρατῆ πάντα ἀκόλαστον, καὶ τὸν ἀκόλαστον ἀκρατῆ εἶναι φασίν. Ἄλλοι δὲ διαφέρειν ἀλλήλων. Πέμπτον, ὅτι ἐνδέχεται φρόνιμον καὶ δεινὸν ὄντα καὶ ἀκρατῆ εἶναι. Ἕκτον, ὅτι λέγονται ἀκρατεῖς οἱ περὶ θυμὸν ἐπιρρεπεῖς καὶ οἱ σφόδρα τιμῆς καὶ κέρδους ὀρεγόμενοι. Ταῦτα μὲν οὖν εἰσι πάντα σχεδὸν τὰ λεγόμενα περὶ ἐγκρατείας καὶ ἀκρασίας· ὧν περὶ ἑκάστου σκεψώμεθα· καὶ πρῶτον περὶ τοῦ πρώτου.

Omnibus ergo bonum videtur continentia, interque res probas & laudabiles reponenda eſſe tolerantia: contrarium vero incontinentia. Sed & hæc de continentia dicuntur. Primo, continentem eundem eſſe cum eo qui in ratione perſiſtit, immotuſque ei adhæret: & in tali ratione perſiſtere, eſſe continentiam, ſicut incontinentia contra, & incontinens contra. Secundo, quod cum ſciat improbas cupiditates ſuas eſſe continens, divortium cum iis facit, ſequiturq; rationem. Contra vero, quod cum ſciat improba eſſe quæ agit, voluptate adductus, ratione tamen non perſuadetur incontinens. Tertio, etiam temperantem, eſſe continentem ac tolerantem, ſicut contra eſt intemperans. Quarto, etiam omnem continentem, temperantem eſſe. Et nonnulli quidem ſimiliter incontinentem omnem intemperantem, & intemperantem omnem eſſe incontinentem volunt. Alii vero inter ſe differre. Quinto, prudentem poſſe & ſolertem hominem, incontinentem tamen eſſe. Sexto, incontinentes eos dici, qui in iram facile propendent, & qui honorem vehementer appetunt, aut lucrum. Hæc ergo fere ſunt quæ de continentia & incontinentia dicuntur omnia. De quibus ſingulis videamus: ac primo quidem de primo.

Ariſtot. l. 7. c. 1. Δοκεῖ δὴ ἥ τε ἐγκράτεια, &c.

Ariſtot. l.7.c 2.

CAP. II.

Non eſſe continentiam, ſimpliciter in opinione perſiſtere.

Cap 2. Ἔτι, εἰ πάσῃ, &c

SI hoc ergo, ut in quavis aliquis opinione perſiſtat, eſt continentia, erit etiam mala continentia: quoties nimirum in falſa aliquis opinione perſiſtit. Atque ſuppoſuimus, bonum & laudabile quid eam eſſe. Quare nec ſimpliciter in præſenti permanere opinione continentia eſt.

Καὶ εἰ πάσης δόξης ἡ ἀκρασία, &c.

Similiterque, non omnis improba erit & fugienda incontinentia, ſed bona etiam quædam: quoties aliquis in falſa non perſiſtit opinione, ſicut Neoptolemus, cui ut mentiretur perſuaſerit Ulyſſes, non in ea tamen permanet opinione, ſed veritatem amplectitur. Aut ſi quis deceptus ab eo, cum quo agit, falſamq; opinionem amplexus, non perſiſtit in opinione. Neq; enim vituperatur talis: vituperatur vero incontinens. Quare neq; qui in opinione perſiſtit, eſt continens, neque qui ab opinione diſcedit, eſt incontinens. Eo quippe res redibit, ut incontinentia cum ſtultitia, ſit virtus: ſiquidem ab opinione deſiſtere, nec in bono, quod cenſeas, permanere, ſit incontinentia. Si quis enim præ fatuitate bonam eſſe judicet intemperantiam, neque in eadem poſtea opinione permaneat, hic jam temperans erit. Atq; ita incontinens bonus erit, quod

ΚΕΦ. β'.

Ὅτι οὐκ ἔστιν ἐγκράτεια τὸ ἁπλῶς ἐμμένειν τοῖς δεδογμένοις.

ΕΙ τοῦτό ἐστιν ἐγκράτεια, τὸ ἐμμένειν πάσῃ δόξῃ, ἔσται καὶ φαύλη ἐγκράτεια, ὅταν ἐμμένῃ τις ψευδεῖ δόξῃ· ἀλλὰ μὴν ὑπόκειται, ἐπαινετὸν καὶ ἀγαθὸν εἶναι αὐτήν· οὐκ ἄρα τὸ ἐμμένειν ἁπλῶς τῇ παρούσῃ δόξῃ ἐγκράτειά ἐστιν.

Ὁμοίως δὲ καὶ ἡ ἀκρασία οὐ πᾶσα φαύλη ἔσται καὶ φαυλτή, ἀλλὰ καὶ ἀγαθή, ὅταν μὴ ἐμμένῃ τις τῇ ψευδεῖ δόξῃ, ὥσπερ ὁ Νεοπτόλεμος πεισθεὶς ὑπὸ τοῦ Ὀδυσσέως ψεύσασθαι, καὶ μὴ ἐμμείνας τῇ δόξῃ, ἀλλὰ ἀληθεύσας, ἢ εἴ τις ἀπατηθεὶς ὑπὸ τοῦ προσδιαλεγομένου καὶ δοξάσας ψευδῆ, οὐκ ἐμμένει τοῖς δεδογμένοις· οὐ γὰρ ψέγεται ὁ τοιοῦτος· ὁ δ' ἀκρατὴς ψέγεται· οὐκ ἄρα ὁ ἐμμενετικὸς τῇ δόξῃ ἐγκρατής ἐστιν· οὐδὲ ὁ τῆς δόξης ἐκστατικὸς ἀκρατής· ὅλως δὲ ἀκρασία μετ' ἀφροσύνης, συμβαίνει ἀρετὴν εἶναι, εἰ τοῦτό ἐστιν ἀκρασία, τὸ ἐξίστασθαι τῆς δόξης καὶ μὴ ἐμμένειν τοῖς δοκοῦσιν ἀγαθοῖς· εἰ γάρ τις ὑπὸ ἀφροσύνης νομίζει τὴν ἀκολασίαν ἀγαθόν, μὴ ἐμμείνῃ δὲ τοῖς δεδογμένοις, ἔσται σώφρων· καὶ οὕτως ἔσται ὁ ἀκρατὴς σπουδαῖος,

ὅπερ

ὅπερ ἐστὶ ψεῦδος· ψεκτὸν γὰρ δοκεῖ πᾶσιν ἡ ἀκρασία. Ἔτι ὁ δυνάμενος ἐκστῆναι τῆς δόξης τοῦ μὴ δυναμένου βελτίων ἐστὶ πολλάκις· ὁ δὲ ἀκρατὴς τοῦ ἐγκρατοῦς οὐκ ἔστι βελτίων· οὐκ ἄρα ὁ ἐμμενετικὸς τῇ δόξῃ ἐγκρατὴς, οὐδὲ ὁ ἐκστατικὸς, ἀκρατής.

Ὅτι δὲ ὁ δυνάμενος ἐκστῆναι τῆς δόξης βελτίων τοῦ μὴ δυναμένου, δῆλον· ὁ γὰρ τῷ ἠπατῆσθαι τὰ φαῦλα διώκων, ὅτι νομίζει ἀγαθὰ εἶναι, βελτίων ἐστὶ τοῦ εἰδότος ὅτι φαῦλα, καὶ διώκοντος, ὁ μὲν γὰρ ἠπατημένος μεταπεισθεὶς δύναται ἀγαθὸς γενέσθαι· ὁ δὲ δι' ἀκρασίαν διώκων, καὶ εἰδὼς ὅτι φαῦλα, οὐ δύναται ἐκστῆναι τῶν κακῶν· πῶς γὰρ ἂν ἐκσταίη, ἐπεὶ οὐ δύναται μεταπεισθῆναι; ὃ γὰρ ἔδει γινώσκειν, οἶδε, καὶ εἰδὼς ἀκρατεύεται, καὶ ἔνοχός ἐστι τῇ παροιμίᾳ, ὅταν τὸ ὕδωρ πνίγῃ, τί δεῖ ἐπιπίνειν; φανερὸν δὴ ὅτι τὸ ἐμμένειν τῇ παρούσῃ δόξῃ οὐκ ἔστιν ἐγκράτεια, οὐδὲ τὸ ἐξίστασθαι ἀκρασία.

est falſum. Omnibus namq; vituperanda videtur eſſe incontinentia. Præterea, qui ab opinione novit deſiſtere, melior ſæpenumero eſt, quam qui non novit: at vero continente non eſt melior incontinens: quare nec qui in opinione permanet, continens, nec qui ab ea deſiſtit, eſt incontinens. Ariſtot. l. 7. c. 2.

Jam vero eum qui deſiſtere ab opinione novit, meliorem eſſe eo, qui non novit, manifeſtum eſt. Qui enim deceptus, mala ſequitur, quia bona eſſe exiſtimat, melior eſt eo, qui mala novit eſſe, & ſequitur tamen, qui enim deceptus fuit, aliis poſtea rationibus perſuaſus, bonus fieri poteſt: qui vero ex intemperantia ea ſequitur, novitque mala eſſe, non poteſt diſcedere à malis. Quomodo enim poſſit, cum nè contrariis quidem rationibus poſſit perſuaderi? quod enim ſcire debebat, novit; & cum norit, intemperanter vivit tamen. Itaq; in eũ quadrat proverbium, Ἔτι ὁ τῷ πεπεῖσθαι, &c.

Quid adhibendum eſt, cum premit fauces aqua?

Quare apparet neque in eadem permanere opinione, eſſe continentiam, neque deſiſtere, incontinentiam.

ΚΕΦ. γʹ.

CAP. III.

Περὶ τῆς γνώσεως τοῦ ἀκρατοῦς, ἢ γινώσκων οὐκ ἐμμένει.

De cognitione incontinentis, in qua ſciens non perſiſtit.

Ζητητέον δὴ περὶ τοῦ δευτέρου. Ἀπορία γάρ ἐστι, πῶς ὑπολαμβάνων ὀρθῶς

De ſecundo autem quærendum eſt: oritur enim difficultas quædam. Quo pacto, dico, cum Ἀπορήσειε δ' ἄν τις, &c.

Ariſtot. l.7. c.2.

cùm rectè de iis quæ agit judicet aliquis, nihilominus tamen incontinenter ſe gerat. Dicuntque nonnulli, neſcire incontinentem, quæ agit mala eſſe, eumque hac deſtitui ſcientia: ſicut dicebat Socrates, fieri non poſſe, ubi eſt ſcientia, ut qui hac præditus eſt, aliud quippiam in eo dominetur, & tanquam mancipium in diverſa trahat. Quæ quidem cum iis quæ manifeſta ſunt, pugnat ratio. Eſſe enim incontinentem, & eum eſſe incontinentem, qui in contrarium illius fertur boni quod novit, id vero manifeſtum eſt. Quare quærendum eſt, an per ignorantiam agat, quiſquis agit malum: & quæ hujus ignorantiæ ſit ratio. Alii vero exiſtimant, ſcire quidem ea quæ agit, incontinentem, non habere tamen eorum ſcientiam, ſed opinionem tantum. Neque enim fieri poſſe, ut qui ſcientia ſit præditus, à voluptatibus vincatur tamen. Nihil quippe ſcientia eſſe fortius. Ideoque opinionem eſſe volunt illam incontinentis cognitionem. Atqui, ſi opinio eſt, non vero ſcientia aut firma rei in incontinente cognitio, ſed infirma tantum tenuiſque, ſicut in dubitantibus, danda erit venia incontinentibus, quod in iis quæ noverunt eo modo, non permaneant, quoties violentæ contra nituntur libidines. Quare nè mala quidem erit incontinentia. Nemini enim in iis, quæ aut mala, aut fugienda ſunt aut vituperanda, datur venia. Talis autem eſt incontinentia.

Φαυλότερος ἄρα ἀντιλήψεως, &c.

Cum vero nec opinio ſit co-

περὶ ὧν πράττει τις, ἀκρατεύεται. Καί φασί τινες, ὅτι οὐ γινώσκει ὁ ἀκρατὴς, ἃ πράττει, φαῦλα εἶναι, οὐδὲ ἔχει ἐπιστήμην αὐτῶν, ὥσπερ ὁ Σωκράτης ἔλεγεν, οὐ δυνατὸν ἐπιστήμης ἐνούσης ἄλλο τι κρατεῖν καὶ περιέλκειν ὥσπερ ἀνδράποδον· οὗτος δ᾽ ὁ λόγος ἐναντίος ἐστὶ τοῖς φανεροῖς· ὅτι γάρ ἐστιν ἀκρατὴς, καὶ οὗτός ἐστιν ἀκρατὴς, ὁ πρὸς τἀναντία ὧν οἶδεν ἀγαθῶν φερόμενος, φανερόν. Διὸ ζητητέον, εἰ δι᾽ ἄγνοιαν πράττει πᾶς ὁ πράττων τὸ πονηρὸν, καὶ τίς ὁ τρόπος γίνεται τῆς ἀγνοίας· ἄλλοι δ᾽ οἴονται εἰδέναι μὲν ἃ πράττει τὸν ἀκρατῆ, ἐπιστήμην δ᾽ οὐκ ἔχειν αὐτῶν, ἀλλὰ δόξαν· οὐ γὰρ δυνατὸν ἐπιστήμην ἔχοντα κρατεῖσθαι ὑπὸ τῶν ἡδονῶν· οὐδὲν γὰρ εἶναι τῆς ἐπιστήμης ἐπικρατέστερον. Διὰ τοῦτο τὴν τοῦ ἀκρατοῦς γνῶσιν δόξαν εἶναι φασίν· ἀλλὰ μὴν εἴγε δόξα ἐστὶ καὶ μὴ ἐπιστήμη, οὐδὲ ἰσχυρὰ γνῶσις τοῦ πράγματος ἐν τῷ ἀκρατεῖ, ἀλλ᾽ ἀσθενής τις καὶ ἠρεμαία, καθάπερ ἐν τοῖς διστάζουσι, συγγνώμη ἂν εἴη τοῖς ἀκρατέσι, μὴ ἐμμένουσι τοῖς οὕτω γινωσκομένοις, βιαίων ἀνθελκουσῶν ἐπιθυμιῶν· οὐκ ἄρα μοχθηρὸν ἡ ἀκρασία. Οὐδενὶ γὰρ συγγνώμη τῶν μοχθηρῶν, καὶ ψεκτῶν, καὶ φαύλων. Τοιοῦτον δ᾽ ἡ ἀκρασία.

Ἐπεὶ δ᾽ οὔτε δόξα ἐστὶν ἡ γνῶσις

γνῶσις τοῦ ἀκρατοῦς, οὔτε ἐπιστήμη, δοκεῖ φρόνησις εἶναι· αὕτη γὰρ λείπεται καὶ ἔστιν ἰσχυρὰ γνῶσις· καὶ τοῦτο δὲ ἄτοπον· ἔσται γὰρ ἅμα καὶ φρόνιμος καὶ ἀκρατής. Οὐδεὶς δ' ἂν εἴποι, φρονίμου εἶναι τὸ πράττειν τὰ φαῦλα ἑκόντα· ἐπεὶ καὶ δέδεικται ἐν τοῖς ἔμπροσθεν, ὅτι πρακτικός γε ὁ φρόνιμος, καὶ περὶ αὐτάς ἐστι τὰς πράξεις τὰς μερικάς, καὶ τὰς ἄλλας ἀρετὰς ἑπομένας ἔχων ἐξ ἀνάγκης· οὐκ ἄρα φρονήσει γινώσκει ἀκρατής. Κατὰ μὲν οὖν τοὺς εἰρημένους τρόπους γινώσκειν τὸν ἀκρατῆ δέδεικται μὴ δυνατὸν εἶναι· ζητητέον ἄρα τὸν τρόπον. Ὃ μετὰ μικρὸν ἀκριβέστερον ἐπισκεψώμεθα.

gnitio incontinentis nec ſcientia; videtur eſſe prudentia. Illa enim reſtat: eſtque firma cognitio. Sed & illud abſurdum eſt. Ita enim ſimul prudens erit & incontinens. Nemo autem dicet, prudentis eſſe agere quæ mala ſunt ſponte; Cum præſertim ſupra oſtenderimus; in agendo occupari prudentem; & in actionibus quidem ſingularibus, reliquaſque quoque habere quæ requiruntur virtutes. Non ergo prudentia cognoſcit intemperans: Iis ergo quos hactenus propoſuimus modis, intemperantem cognoſcere non poſſe; oſtendimus. Quare quo pacto hoc fiat, quærendum eſt; Quod paulo poſt accuratius conſiderabimus. Ariſtot. l.7.c.2.

ΚΕΦ. δ'.

Ὅτι οὐκ ἔστιν ὁ ἐγκρατὴς σώφρων, οὔτε ὁ σώφρων ἐγκρατής.

Νῦν δὲ σκοπῶμεν περὶ τοῦ τρίτου, εἰ δυνατὸν τὸν σώφρονα ἐγκρατῆ εἶναι. Καὶ ἔτι περὶ τοῦ τετάρτου, εἴπως ἐγκρατὴς σώφρων· φανερὸν δὲ ἔσται λαβοῦσι τὸν ὁρισμὸν τοῦ ἐγκρατοῦς· ἔστι δὴ ἐγκρατὴς ὁ ἀνθιστάμενος πρὸς ἰσχυρὰς καὶ φαύλας ἐπιθυμίας· ἔχει ἄρα ὁ ἐγκρατὴς ἰσχυρὰς καὶ φαύλας ἐπιθυμίας· εἰ δὴ ὁ σώφρων ἔσται ἐγκρατής, ἕξει φαύλας ἐπιθυμίας καὶ ἰσχυράς· ὅπερ ἐναντίον ἐστὶ τῷ λό-

CAP. IV.

Continentem non eſſe temperantem, neque temperantem continentem.

Nunc vero de tertio; an nimirum temperans eſſe poſſit continens; ſed & de quarto, an quodammodo continens ſit temperans, videamus. Quod quidem fiet manifeſtius, ſi definitionem ſumamus continentis. Eſt ergo continens, qui validis ſe improbiſque opponit cupiditatibus. Validas ergo improbaſque cupiditates habet continens. Si ergo continens eſt qui temperans eſt; cupiditates quoque improbas habebit & robuſtas. Quod cum ratione pugnat Ἔτι εἰ μὲν ὁ τῷ ἐπιθυμίας, &c.

Ariſtot. l.7.c.2.

gnat temperantiæ. Neque enim in eo ut rationi obſequantur cupiditates temperantia conſiſtit. Præterea gaudet iis quæ agit temperans, nec enim aliter temperans eſſet: continens vero cum in certamine cupiditatum verſetur & lucta, non gaudet. Si quidem voluptas illa eſt in quiete. Deinde, ſicut eum qui habitum conſecutus erit fortitudinis, licet ſubito ingruant, aut priuſquam ratione adverſus ea ſe munierit, non terrebunt pericula: eodem modo eum qui habitum habebit temperantiæ, non movebunt jucunda, licet nondum de iis cogitaverit, aut oppoſuerit rationem. Talis autem non eſt continens. In hoc ipſo enim ut ratione adverſus ea utatur, aut iis ſe opponat, conſiſtere continentia dicitur. Si n. bonæ ſint cupiditates continentis, mala eſt, quæ uti iis vetat, continentia: ſin imbecilles nec malæ, nihil magnopere eximium erit continentia. Nunc vero talis videtur. Sin vero & imbecilles, & malæ, non magnopere præclarum erit eas continere. Quare neque magnum quid erit continentia. Reſtat ergo, ut & malæ ſint cupiditates continentis & validæ. Ideoque neque qui temperans, continens, neque qui continens, temperans eſſe poterit.

γω τῆς σωφροσύνης· ἐν γὰρ τῷ ἕπεσθαι τὰς ἐπιθυμίας τῷ λόγῳ, ἡ σωφροσύνη οὐ συνίσταται· ἄλλως τε ὁ μὲν σώφρων ἥδεται οἷς πράττει· ἄλλως γὰρ οὐκ ἂν ἦν σώφρων· ὁ δὲ ἐγκρατὴς ἐν ἀγῶνι ὢν καὶ μάχῃ πρὸς τὰς ἐπιθυμίας, οὐχ ἥδεται. Ἡ γὰρ ἡδονὴ ἐν τῇ ἠρεμίᾳ ἐστίν· ἔπειτα τὸν ἔχοντα ἕξιν ἀνδρείας ἐπιόντα ἐξαίφνης τὰ φοβερά, καὶ πρὶν τῷ λόγῳ κατ' αὐτῶν χρήσασθαι, οὐ ταράττει· ὁμοίως δὴ τὸν ἔχοντα ἕξιν σωφροσύνης οὐ κινήσει τὰ ἡδέα, καὶ πρὶν περὶ αὐτῶν σκέψασθαι, καὶ τὸν λόγον ἀντιστῆσαι· ὁ ἐγκρατὴς οὐ τοιοῦτος· ἐν γὰρ τῷ χρήσασθαι τῷ λόγῳ κατ' αὐτῶν καὶ ἀντίστασθαι πρὸς αὐτάς, ἡ ἐγκράτεια συνίστασθαι λέγεται· εἰ μὲν γὰρ χρησταὶ αἱ ἐπιθυμίαι τοῦ ἐγκρατοῦς, φαύλη ἡ ἐγκράτεια, κωλύουσα αὐταῖς χρῆσθαι. Εἰ δὲ ἀσθενεῖς καὶ οὐ φαῦλαι, οὐδὲν σεμνὸν ἡ ἐγκράτεια· νῦν δὲ τοιαύτη δοκεῖ· εἰ δὲ φαῦλαι καὶ ἀσθενεῖς, οὐδὲν μέγα τὸ τούτων κρατεῖν. Ὥστε οὐ μέγα ἡ ἐγκράτεια. λείπεται δὴ φαύλας εἶναι τὰς ἐπιθυμίας τοῦ ἐγκρατοῦς· καὶ ἰσχυράς. Καὶ διὰ τοῦτο οὔτε ὁ σώφρων ἐγκρατὴς ἂν εἴη, οὔτε ὁ ἐγκρατὴς σώφρων.

Ariſtot. l. 7. c. 2.

ΚΕΦ. ε.

Ὅτι οὐκ ἔστιν ὁ φρόνιμος ἀκρατής.

Ἐκ τῶν εἰρημένων δὲ φανερὸν, καὶ ὅτι οὐ δύναται ὁ φρόνιμος ἀκρατὴς εἶναι. Ἐπεὶ γὰρ τῇ φρονήσει ἕπεται καὶ ἡ σωφροσύνη, ὅτι καὶ πᾶσα ἠθικὴ ἀρετὴ, ὁ δὲ σώφρων οὐ δύναται ἐγκρατὴς εἶναι, πολλῷ μᾶλλον οὐδὲ ἀκρατής ἐστιν· εἰ δὲ τοῦτο, οὐδὲ ὁ φρόνιμος ἀκρατὴς ἂν εἴη.

CAP. V.

Prudentem non eſſe incontinentem.

Ex iis quæ dicta ſunt ergo apparet, nec incontinentem eſſe poſſe eum, qui ſit prudens. Cum enim prudentiam ſequatur temperantia (quia omnis virtus moralis) temperans autem non poſſit eſſe continens, multo magis non poterit eſſe incontinens. Quod ſi ita eſt, ſequitur nec incontinentem eſſe poſſe eum, qui ſit prudens.

Hoc caput redundat; repetit enim licet paulo aliter, quæ cap. 3. par. 2. dicta ſunt.

ΚΕΦ. ϛ.

Ὅπως ζητῆσαι δεῖ τὸ περὶ ἐγκρατείας ζήτημα.

Ζητητέον δὲ καὶ περὶ τοῦ ἕκτου, εἰ περὶ πλοῦτον καὶ δόξαν καὶ ἁπλῶς πᾶν ἐπιθυμητὸν ἡ ἀκρασία ἐστὶ, καὶ ἡ ἐγκράτεια. Καὶ εἰ τοῦτο, καὶ ὁ περὶ ἕκαστον τούτων ἐπιρρεπῶς ἔχων ἀκρατής ἐστι, ζητητέον τίς ὁ ἁπλῶς ἀκρατής· οὐ γὰρ ὁ περὶ πάντα ἔχων οὕτως, ἐστίν. Οὐδεὶς γὰρ ἁπάσας ἔχει τὰς ἀκρασίας. Ὥστε ζητοῦμεν τὸν κυρίως ἀκρατῆ. Τὰ μὲν οὖν ζητήματα τὰ περὶ τῆς ἐγκρατείας, καὶ αἱ ἀπορίαι τοιαῦται συμβαίνουσι. Τούτων δὲ τὰ μὲν ἀνελεῖν δεῖ, τὰ δὲ καταλιπεῖν· ἡ γὰρ λύσις τῆς ἀπορίας εὕρεσίς ἐστι τοῦ ζητουμένου.

CAP. VI.

Quomodo quærenda ſit quæ de continentia movetur quæſtio.

Sed & de ſexto quærendum eſt. *Utrum videlicet in opibus, & exiſtimatione, reliquiſq; quæ cupiditatibus ſubjiciuntur continentia cernatur & incontinentia. Et ſi hoc verum ſit, conſtetq; eũ, qui in ſingula propendeat eorum eſſe incontinentem, quærendum erit, quis ſit ille qui ſimpliciter incontinens dicitur. Neq; enim qui æque in omnia, is erit. Nemo enim omni ſimul incontinentiæ laborat genere: quare eum qui ſimpliciter ſit incontinens, quæramus. Hæ igitur vel quæſtiones ſunt vel dubitationes, quæ in hoc ſolent moveri ſubjecto. Quorum alia tollenda, alia relinquenda ſunt. Dubitationis quippe ſolutio, ejus, de qua quæritur, rei eſt inventio.

*Ἔτι εἰ περὶ πάντα ἀκρασία, &c.

Ariſtot. l.7.c.3. Cap.3. Πρῶτον μὲν οὖν σκεπτέον, &c.

Primo ergo quærendum, utrum ſcientes incontinenter agant incontinentes, an ſecus: aut ſi ſcientes, quomodo. Deinde in quibus continens ſpectetur & incontinens. Hoc eſt, an in omni voluptate & dolore, an in quibuſdam definite. Præterea inter continentem & tolerantem, an quæ ſit differentia. Et ſi quæ præterea ad hujuſmodi ſpectant quæſtiones.

Ἐστὶ δ' ἀρχὴ τῆς σκέψεως, &c.

Quarum omnium fundamentum eſt & principium, hæc quæſtio. Quo pacto inter ſe continens differat & incontinens. Hoc eſt, utrum reſpectu eorum, in quibus verſantur, ſubjectorum, an vero rationis, qua ad ea ſe habent, aut potius utriuſque.

Deinde & illud videndum eſt, utrum in omnibus quæ ſunt jucunda, continentia ſit & incontinentia, an contra. Neq; enim in omnibus ſpectatur, continentia & incontinentia, & qui ſimpliciter incontinens vocatur: ſed in quibus intemperans. Neque eodem quo intemperans modo ſe habet in illis, ſed alio. Etenim intemperans cum judicet corrupte, putetque bonum eſſe ſequi ſemper id quod eſt jucundum, eo fertur quoque: incontinens vero cum cupiditati ipſius adverſetur ratio, nihilominus ſequitur.

Πρῶτον μὲν οὖν σκεπτέον, πότερον εἰδότες ἀκρατεύονται οἱ ἀκρατεῖς, ἢ οὔ, καὶ πῶς εἰδότες· ἔπειτα περὶ ποῖα ἐστὶν ὁ ἐγκρατὴς καὶ ὁ ἀκρατής· λέγω δὲ περὶ πᾶσαν ἡδονὴν καὶ λύπην, ἢ περί τινας ἀφωρισμένως· καὶ τὸν ἐγκρατῆ καὶ τὸν καρτερικὸν εἰ διαφέρουσι, καὶ ὅσα ἀκόλουθα τούτοις. τοῖς ζητήμασίν ἐστιν.

Ὧν ἡ ἀρχὴ ἐστι τὸ ζητῆσαι περὶ τοῦ ἐγκρατοῦς καὶ ἀκρατοῦς, κατὰ τί διαφέρουσι· κατὰ τὰ ὑποκείμενα, περὶ ἃ εἰσὶν, ἢ κατὰ τὸν τρόπον, καθ' ὃν πρὸς αὐτὰ ἔχουσιν, ἢ κατ' ἀμφότερα.

Μετὰ δὲ τοῦτο σκεπτέον, εἰ περὶ ἅπαντα τὰ ἡδέα ἐστὶν ἡ ἀκρασία καὶ ἡ ἐγκράτεια, ἢ οὔ. Οὔτε γὰρ περὶ ἅπαντά ἐστιν ἡ ἀκρασία, καὶ ἡ ἐγκράτεια, καὶ ὁ ἁπλῶς ἀκρατὴς, ἀλλὰ περὶ ἃ ὁ ἀκόλαστος· οὔτε ὁμοίως τῷ ἀκολάστῳ ἔχει πρὸς αὐτὰ, ἀλλὰ ἕτερον τρόπον· ὁ μὲν γὰρ ἀκόλαστος διεφθαρμένως ἐκείνων, καὶ νομίσας ἤδη ἀγαθὸν τὸ διώκειν ἀεὶ τὸ ἡδὺ, πρὸς αὐτὸ φέρεται· ὁ δ' ἀκρατὴς, τοῦ λόγου ἀντιλέγοντος τῇ ἐπιθυμίᾳ, αὐτὸς ἀκολουθεῖ.

CAP. VII. / ΚΕΦ. ζ.

Quomodo norit incontinens.

Τίνα τρόπον γινώσκει ὁ ἀκρατής.

Περὶ μὲν οὖν τοῦ δόξαν, &c.

AN ergo ſit opinio illa cognitio, cui contraria incontinentes faciunt & non ſci-

ΤΟ μὲν οὖν δόξαν εἶναι τὴν γνῶσιν τῶν ἀκρατῶν, ἢ ἀντιπράττουσι, καὶ μὴ ἐπιστή-

ἐπιστήμην, οὐδὲν διαφέρει πρὸς τὸν λόγον· τοῦτο γὰρ ζητοῦμεν, εἰ βεβαία ἐστὶν αὐτῷ ἢ ἀμφίβολος ἡ γνῶσις τοῦ ἀγαθοῦ· συμβαίνει δὲ πολλάκις τὴν δόξαν οὕτω βεβαίως ἐγκεῖσθαι, ὥστε μὴ διαφέρειν ἐπιστήμης κατὰ τὸ ἀντιβαίνειν ταῖς ἐπιθυμίαις· καὶ ἔνιοι οὕτω πιστεύουσιν οἷς δοξάζουσιν· ὥσπερ οἱ ἐπιστήμονες τοῖς διὰ τῆς ἐπιστήμης γινωσκομένοις, ὥσπερ ὁ Ἡράκλειτος ἃ ἐδόξαζεν ᾤετο ἐπίστασθαι ἀκριβῶς, οἷον, ὅτι οὐκ ἔστι κίνησις, καὶ τἄλλα, ὅσα ἐπίστευε· τῇ γοῦν τοιαύτῃ δόξῃ τοῦ ἀγαθοῦ ὁ ἀντιπράττων οὐδὲν διαφέρει τοῦ ἔχοντος τὴν ἐπιστήμην τοῦ ἀγαθοῦ, καὶ πρὸς τὸ ἡδὺ φερομένου. Ὁμοίως γάρ εἰσι μοχθηροὶ, καθόσον ὁμοίως ἰσχυρῷ λογισμῷ ἑκάτερος πολεμεῖ. Ὥστε ὃ ἐν τοῖς προειρημένοις ἠπορήθη, πῶς δυνατὸν τὸν εἰδότα τὸ ἀγαθὸν αἱρεῖσθαι τὸ κακὸν, οὐχ οὕτω δύναται λυθῆναι. Ζητητέον δὴ πῶς ἑτέρως λυθήσεται.

Λέγωμεν τοίνυν ὅτι τὸ ἐπίστασθαι, καὶ κατὰ ἐπιστήμην γινώσκειν διττόν ἐστι· λέγεται γὰρ ἐπίστασθαι καὶ ὁ ἔχων τὴν ἐπιστήμην καὶ χρώμενος αὐτῇ. Ὥσπερ εἴ τις γεωμέτρης ὢν, καὶ γεωμετρεῖ, λέγεται ἐπίστασθαι· καὶ ὁ ἔχων μὲν τὴν ἐπιστήμην, μὴ χρώμενος δὲ αὐτῇ· ὥσπερ γεωμέτρης λογοποιῶν, ἢ ἄλλο τι, οὐ γεωμετρῶν· ὥσπερ οὖν ἐπὶ τοῦ γεωμέτρου θαυμαστὸν μέν ἐστιν, εἰ γεωμετρῶν ψευδῆ συνάγοι· θαυμαστὸν δὲ οὐδὲν, εἰ λογοποιῶν οὐ συνορᾷ εἰ

entia, ad præſentem nihil refert quæſtionem. Hoc enim quærimus, utrum firma illi an vero ambigua boni ſit cognitio. Fit autem ſæpenumero, ut tam firma illi inhæreat opinio, ut nihil, quod ad congreſſum cum cupiditatibus & luctam, à ſcientia differat. Sed & nonnulli ita credunt iis quæ opinantur, ut illi qui ſciunt, iis quæ per ipſam noverunt ſcientiam: ſicut Heraclitus, quæ opinabatur, certo ſe putabat ſcire: ut, exempli gratia, non eſſe motum, & quæ ſtatuebat reliqua. Tali ergo boni ipſius opinioni qui facit contraria, nihil ab eo differt qui ſcientiam habet boni, & ad id quod jucundum eſt fertur nihilominus. Similiter .n. ſunt improbi: quatenus videlicet cum firma uterque pugnat ratione. Ideoque id de quo quæſitum fuit in prioribus, quomodo qui ſçit id quod eſt bonum, eligat nihilominus id quod eſt malum, ſolvi hac ratione non poteſt. Quare, quo pacto aliter ſolvi poſſit, quærendum eſt.

Ariſtot. l.7.c.3.

Dicamus ergo, ſcire, & ſecundum ſcientiam aliquid noſſe, ſumi dupliciter. Scire enim dicitur, & qui habet ſcientiam, & qui ea utitur. Ut ſi quis Geometra eſt eamque tractat artem, is ſcire dicitur: ſed & is qui habet quidem, non tamen utitur ſcientia, ut ſi quis diſſerat, non vero Geometriam tractet, Geometra. Sicut ergo in Geometra mirum eſt, ſi, dum artem tractat ſuam, falſa colligat: ſi vero dum diſſerit, non advertat, ſi quis aliter, quam poſtulat

Ἀλλ' ἐπεὶ διχῶς, &c.

Aristot. l.7.c.3

Geometra, formas conſideret, minime eſt mirum: eodem modo in incontinente etiam ſe res habet. Si n, ſciens, ſuaque utens ſcientia incontinens & è præſcripto ejus omnia conſiderans, in contrarium ab iis quæ ſcit deflectat, mirum id erit: ſi vero habeat quidem ſcientiam, non utatur tamen, minime mirandum.

Ἔτι ἐπεὶ δύο τρόποι, &c.

Præterea, quotieſcunque & habet ſcientiam & utitur, ſi non plene utitur tamen minime id mirum, ſi ſit improbus. Cum enim duo ſint propoſitionum modi quibus probat aliquid ſibi qui ſcit; univerſalis & ſingularis videlicet: ſi non utroque utatur, univerſali dico, non autem ſingulari, minime mirum ſi ſit improbus. Ut, exempli gratia, ſcit aliquis, hoc eſſe improbum, quod autem improbum eſt non eſt agendum, hoc ergo non eſt agendum. Cumque utræque in animo ſint propoſitiones, quoties ad aliquid quod improbum eſt impellit libido, fit ut utatur univerſali, id nimirum quod improbum eſt non eſſe agendum, & ex ejus præſcripto rem ipſam tum temporis inſpiciat, ſingularem vero, hoc nimirum, improbum eſſe, ſciat quidem, non tamen utatur ea, neque re ipſa expendat: atque ita non aliter quam oculis captus ad ipſam feratur improbitatem, quod quidem mirum non eſt. Licet univerſali enim utatur propoſitione, nihilo magis tamen agere ex ſcientia poterit, ſi non & ſingulari utatur. Ea enim eſt quæ proprie

τις περὶ τὴν γεωμετρίαν τὰ σχήματα θεωροίη, τὸν ἰσχυρότερον καὶ ἐπὶ τοῦ ἀκρατοῦς ἔχει. Εἰ μὲν γὰρ ἐπιστάμενος ὁ ἀκρατὴς, καὶ χρώμενος τῇ ἐπιστήμῃ, καὶ κατ' αὐτὴν θεωρῶν, ἐπὶ τἀναντία ὧν ἐπίσταται φέρεται, θαυμαστόν· εἰ δὲ μὴ χρώμενος, κἂν ἐπιστήμην ἔχῃ, οὐδὲν θαυμάζειν. Ἔτι καὶ ὅταν τις ἔχων τὴν ἐπιστήμην καὶ χρώμενος, ἂν μὴ τελείως χρῆται, οὐδὲν θαυμαστὸν, εἰ μοχθηρός ἐστιν· ἐπεὶ γὰρ δύο οἱ τρόποι προτάσεων ἀποδεικνὺς ἐπίσταται ὁ ἐπιστάμενος, καθόλου καὶ μερικῷ, ἐὰν ἀμφοτέροις μὴ χρῆται, λέγω τῇ καθόλου, τῇ δὲ μερικῇ οὐ χρῆται, θαυμαστὸν οὐδὲν εἰ μοχθηρός ἐστιν· οἷον, ἐπίσταταί τις, ὅτι τόδε πονηρὸν, τὸ δὲ πονηρὸν οὐ δεῖ πράττειν, τόδε ἄρα οὐ δεῖ πράττειν· καὶ ἀμφοτέρων οὐσῶν ἐν τῇ ψυχῇ τῶν προτάσεων, ἐπειδὰν ἐπιθυμία τις ἐπί τι κινῇ πονηρὸν, συμβαίνει τῇ μὲν καθόλου χρῆσθαι, ὅτι τὸ κακὸν οὐ δεῖ πράττειν, καὶ θεωρεῖν κατ' αὐτὴν τηνικαῦτα· τὴν δὲ μερικὴν, ὅτι τόδε κακὸν, ἔχειν μὲν, οὐ χρῆσθαι δὲ, οὐδὲ συνορᾶν ἐνεργείᾳ· καὶ διὰ τοῦτο πρὸς τὴν μοχθηρίαν χωρεῖν, ὥσπερ ἀποτυφλωθέντα. τοῦτο δὲ οὐδὲν θαυμαστόν· εἰ γὰρ καὶ χρῆται τῇ καθόλου προτάσει, ἀλλὰ πράττειν οὐ δύναται κατὰ τὴν ἐπιστήμην μὴ χρώμενος καὶ τῇ μερικῇ· αὕτη γάρ ἐστιν ἡ κυρία

τῆς

τῶν πράξεων. Ἢν γάρ τις εἰδῇ, ὅτι τοῖς ξηροῖς χρηστέον, μὴ εἰδῇ δὲ, ὅτι τάδε ξηρὰ, οὐδὲν μᾶλλον χρήσεται τοῖς ξηροῖς· οὕτω δὴ καὶ ἐπὶ τούτων ἔχει. Ἄν τις τῇ καθόλου χρῆται καὶ θεωρῇ, τῇ μερικῇ δὲ οὐ χρῆται, οὐδὲν τῆς ἐπιστήμης ἀπώνατο. Αἱ μερικαὶ δὲ διαφέρουσι. Τὰς μὲν γὰρ ἀνάγκη πᾶσα εἰδέναι, τῶν καθόλου γινωσκομένων· τὰς δὲ οὔ. Ὅταν γὰρ τὸ καθόλου οὕτως ἔχῃ, ὥστε περιέχειν αὐτὸν τὸν συλλογιζόμενον, ἢ τὸν ὁμοειδῆ, τῇ καθόλου συγγινώσκεται καὶ ἡ μερική. οἷον, πᾶσιν ἀνθρώποις βλαβερὸν ὁ ἐλλέβορος, αὐτὸς δὲ ἄνθρωπος, αὐτῷ ἄρα βλαβερὸν ὁ ἐλλέβορος· ἐνταῦθα τῇ καθόλου καὶ ἡ μερικὴ συγγινώσκεται· οὐ γὰρ ἑαυτὸν δύναται ἀγνοεῖν ὅτι ἐστὶν ἄνθρωπος· ὁμοίως δὲ κἂν τοὺς ὁμοειδεῖς περιέχῃ· οὐδὲ γὰρ οὐδὲ αὐτοὺς ἀγνοεῖν δυνατόν. Ὅταν δὲ ἡ καθόλου πρᾶγμά τι περιέχῃ, τότε οὐκ ἀνάγκη, τῆς καθόλου γινωσκομένης, καὶ τὴν μερικὴν γινώσκεσθαι· οἷον πᾶς ἐλλέβορος βλαβερὸν, τόδε ἐλλέβορος, τόδε ἄρα βλαβερόν. Ἐνταῦθα οὐκ ἀνάγκη γινώσκεσθαι τὴν μερικὴν, τῆς καθόλου γινωσκομένης. Τὴν τοιαύτην οὖν μερικὴν ὁ ἀκρατὴς ἢ οὐκ ἔχει, ἢ ἔχων οὐ χρῆται. Τὸ δὲ χρῆσθαι καὶ μὴ χρῆσθαι τοσούτῳ διαφέρει ἀλλήλων, ὥστε τὸν μὲν χρώμενον τῇ ἐπιστήμῃ καὶ ἁμαρτάνοντα, ἄτοπόν τινα ἡγούμεθα, καὶ θαυμάζο-

in actionibus dominatur. Si quis enim norit, ſiccis utendum eſſe, non autem norit hæc ſicca eſſe, nihilo magis ſiccis utetur. Eodem modo & hic habet. Si quis univerſali namque utatur, & ex ejus præſcripto rem videat, ſingulari vero non utatur, nullum ſcientiæ ſuæ retulit fructum. Jam vero differunt quoque ſingulares: alias enim neceſſario ſcimus, quoties univerſales ſcimus: alias non item. Cum enim ita ſe habet univerſale, ut complectatur eum de quo agit ratiocinatio, aut qui ſub eadem eſt ſpecie, ipſa univerſalis tum una cognoſcitur & ſingularis. Ut exempli gratia, omnibus hominibus noxium eſt elleborum, ipſe autem homo eſt, ipſi ergo noxium eſt elleborum. Hic enim una cum univerſali, ſingularis quoque cognoſcitur. Neque enim ignorare poteſt, ſe eſſe hominem. Eodemq; modo, ſi eos qui ſub eadem ſunt complectatur ſpecie, nam nec illos ignorare poteſt. Quoties vero rem univerſalis aliquam complectitur, tunc non neceſſe eſt, cognita univerſali cognoſci quoque ſingularem. Ut, exempli gratia; omne elleborum eſt noxium, hoc eſt elleborum, hoc ergo eſt noxium. Hic cognita univerſali, non neceſſe eſt cognoſci quoque ſingularem. Talem ergo ſingularem aut non novit, aut ſi novit non utitur incontinens. At vero uti aut non uti tantum inter ſe differunt, ut eum qui utitur ſcientia & peccat tamen, abſurdum judicemus, mire- Ariſtot. l.7. c.3.

Ariſtot. l.7.c.3.

murq; vehementer talem poſſe eſſe. Qui vero non utitur & peccat, non item.

Ἔτι τὸ ἔχειν τὴν ἐπιστήμην, &c.

Præterea non hoc tantum diſferunt qui ſciunt aliquid, quod alii ſcientiam quidem habeant, eaque utantur, alii habeant quidem non utantur tamen: ſed etiam eo ipſo quod habent differunt. Neque enim eodem modo habent ſcientias, qui ſciunt aliquid. Fieri enim poteſt, ut ſcientiam habeat aliquis, nec habeat tamen. Ut, exempli gratia, qui dormit, aut inſanit, aut ebrius eſt. Et hoc quidem modo etiam illi, quibus imperant affectus, habent ſcientiam. Nam & inebriantur cupiditatibus, & inſani redduntur ab ira. Et quemadmodum fit in iis, qui aut inſaniunt aut ſunt ebrii, ita eorum quoque manifeſte à priori forma talibus affectibus mutantur corpora: nam & colorem mutant & vultum: nonnulliq; etiam omnino inſaniunt. Unde apparet plane eodem modo ſicut ebriorum & furentium, incontinentium quoq; ſe habere ſcientiam.

Τὸ δὲ λέγειν τοὺς λόγους, &c.

Quamvis autem verba ſæpe proferant ſcientiæ, ne propterea quidem iis ſunt diſſimiles, quos jam commemoravimus. Etenim & ebrii demonſtrationes ſæpe recitant aut verſus Empedoclis: ſicut & qui recenter eos didicerunt pueri; nam & illi verba quidem ipſa connectunt, neque tamen priuſquam confirmati ſint conſuetudine, & cum ætate quaſi paulatim in iis adoleſcant, quicquam intelligunt: quod ut fiat longo opus eſt tempore. Quare

μὲν εἰ ἔστι τις οὕτως ἔχων· τὸν δὲ μὴ χρώμενον καὶ ἁμαρτάνοντα, οὐδαμῶς.

Ἔτι οὐ τούτῳ μόνῳ διαφέρουσιν οἱ ἐπιστάμενοι, τῷ τοὺς μὲν ἔχειν καὶ χρῆσθαι, τοὺς δὲ ἔχειν μὲν, οὐ χρῆσθαι δὲ, ἀλλὰ καὶ κατ᾽ αὐτὸ τὸ ἔχειν διαφέρουσιν· οὐ γὰρ ὁμοίως ἔχουσι τὰς ἐπιστήμας οἱ ἐπιστάμενοι· ἔστι γὰρ ἔχοντά τινα ἐπιστήμην, μὴ ἔχειν. Οἷον τὸν καθεύδοντα, καὶ μαινόμενον, καὶ οἰνωμένον· κατὰ τοῦτον δὲ τὸν τρόπον ἔχουσι τὴν ἐπιστήμην καὶ οἱ ἐν τοῖς πάθεσιν ὄντες· μεθύουσι γὰρ ὑπὸ τῆς ἐπιθυμίας, καὶ μαίνονται ὑπὸ τοῦ θυμοῦ. Καὶ ὥσπερ ἐπὶ τῶν μαινομένων καὶ οἰνωμένων, καὶ αὐτῶν τὰ σώματα ἀλλοιοῦνται καὶ μεθίστανται φανερῶς ὑπὸ τῶν τούτων παθῶν· καὶ γὰρ καὶ χρῶμα, καὶ βλέμμα. Ἔνιοι δὲ καὶ καθαρῶς μαίνονται. Φανερὸν οὖν, ὅτι ἡ ἐπιστήμη τῶν ἀκρατῶν ὁμοίως ἔχει τῇ τῶν μεθυόντων καὶ μαινομένων.

Εἰ δὲ καὶ λέγουσι λόγους τῆς ἐπιστήμης, οὐ παρὰ τοῦτο φαίνονται μὴ ὁμοίως ἔχειν τοῖς εἰρημένοις· καὶ γὰρ καὶ οἱ μεθύοντες ἀποδείξεις καὶ ἔπη λέγουσιν Ἐμπεδοκλέους· ὥσπερ καὶ οἱ ἄρτι μανθάνοντες παῖδες συνείρουσι μὲν τοὺς λόγους, ἴσασι δὲ οὔπω πρὶν ἐν ἔθει γενέσθαι, καὶ ὥσπερ συμφυῶσαι, ὅπερ διὰ μακροῦ γίνεται χρόνου· ὥστε καθάπερ τοὺς ὑποκρινομένους,

νους, οὕτως ὑποληπτέον λέγειν καὶ τοὺς ἀκρατευομένους, οἳ πρόσωπα ὑποκεινόμενοι τὰ ἐν τοῖς ποιήμασιν, ἔπη λέγουσι μὲν, ἴσασι δὲ ὧν λέγουσιν οὐδέν.

Ἔτι καὶ τόνδε τὸν τρόπον φυσικῶς ἄν τις συνίδοι τὴν αἰτίαν, δι' ἣν γινώσκοντες οἱ ἀκρατεῖς τὸ ἀγαθὸν οὐχ αἱροῦνται· ἔστι δόξα καθόλου, καὶ ἔστι δόξα μερικὴ, ἥ τις δὴ μερικὴ περὶ τὰ αἰσθητά ἐστιν· ὅταν δὲ ἀπὸ τῆς καθόλου καὶ τῆς μερικῆς δόξης ἄλλην τινὰ συναγάγωμεν δόξαν, ἀνάγκη, εἰ μὲν ἔστιν ἡ δόξα θεωρητικὴ, καταφάναι τὴν διάνοιαν, καὶ πεισθῆναι ὅτι οὕτως ἔχει· εἰ δέ ἐστι πρακτικὴ ἡ δόξα, ἀνάγκη πράττειν εὐθὺς, ἂν μή τις κωλύῃ· οἷον θεωρητικὴ μὲν δόξα, ὅτι ὁ ἐλλέβορος βλαβερὸν, ἢ τὸ μέλι γλυκύ: ὅπερ εἰ συναγάγωμεν, πεισόμεθα μόνον, οὐ πράξομεν. Πρακτικὴ δὲ, ὅτι τοῦ γλυκέος γεύεσθαι δεῖ· ὅπερ εἰ συναγάγωμεν, πράξομεν καὶ γευσόμεθα. Ὅταν οὖν αἱ μὲν δόξαι, καὶ ἡ καθόλου, καὶ ἡ μερικὴ, κελεύωσι πράττειν τι· οἷον δεῖ γεύεσθαι τοῦδε, ὅτι τόδε γλυκὺ, τοῦ δὲ γλυκέος γεύεσθαι δεῖ· ἡ δὲ ἐπιστήμη κελεύῃ καὶ ὁ καθόλου λόγος, μὴ γεύεσθαι, τύχῃ δὲ καὶ ἐπιθυμία ἐνοῦσα τοῦ πράγματος, τὸ μὲν ἐκ τούτων συναγόμενον ἐνέργειαν ἔχει, καὶ χρῆται αὐτῷ, τὸ δὲ καθόλου κωλύει γεύεσθαι, ἡ δ' ἐπιθυ-

ſicut hiſtriones, ita exiſtimandi ſunt ea dicere incontinentes. Qui quaſi perſonam repræſentant alienam, dum poetarum recitant verſus, neque quicquam tamen eorum intelligunt, quæ dicunt. Ariſtot. l.7.c.3.

Sed & hoc modo naturalem* invenire poterimus cauſam, cur cum norint bonum, non tamen eligant incontinentes. Eſt enim univerſalis, eſt ſingularis quoque opinio: quæ quidem ſingularis in iis quæ ſub ſenſum cadunt, verſari ſolet: quoties ex univerſali vero & ſingulari aliam quandam opinionem conſtruimus, neceſſe eſt, ſi quidem contemplativa ſit opinio, ut accedat, atque ita ſe habere, mens credat: ſin activa, neceſſe, niſi quis impediat, ſtatim ut agat. Sicut, exempli gratia, noxium eſſe helleborum, mel dulce, contemplativa eſt opinio. Unde ſi quid colligamus, non agemus, ſed credemus tantum. At vero quæ dulcia ſunt guſtanda eſſe, activa eſt opinio. Unde ſi quid colligamus, agemus aliquid, hoc eſt, guſtabimus. Quoties opiniones ergo, tum univerſalis, tum vero ſingularis, agere aliquid jubeant, ut exempli gratia, hoc guſtandum eſt, quia hoc dulce eſt, ea autem quæ dulcia ſunt guſtanda ſunt, hic autem ſcientia & univerſalis non guſtare jubeat ratio, ac tum forte rei ipſius, quæ in eo eſt accedat cupiditas, id quod ex his colligitur, in actum perducitur, utiturque eo. Univerſale enim vetat guſtare, cum opinione vero ad

*Ἔτι καὶ τόνδε φυσικῶς ἄν τις, &c.

rem

Ariſtot. l.7.c.3.

rem guſtandam deducit eum cupiditas. Singulas enim movere partes poteſt: ita voco ſenſus objecti illius in quo cupiditas verſatur, proprios. Viſum videlicet, ſi viſus ſit objectum id quod petitur jucundum, guſtum ſi ſit guſtus, ad ſe trahit. Fit itaque ut à ratione & rationi contraria opinione incontinentia naſcatur. Eſt autem non per ſe, ſed propter cupiditatem rectæ rationi contraria opinio. Neque enim vi ſua propria rectæ rationi imperat opinio: quia fieri non poteſt, ut ſcientiam ſuperet opinio: ſed vi cupiditatis, quæ corpus quoque mutat ſæpe, & à ſtatu movet ſuo. A ratione ergo & quæ rectæ rationi adverſatur opinione, inſtinctu cupiditatis, fit incontinentia.

Ὥστε καὶ διὰ τοῦτο, &c.

Quare neque incontinentes dici poſſunt belluæ, quia rationem cui adverſari poſſit cupiditas, non habent, verum phantaſiam quandam ſingularium ac memoriam.

Πῶς δὲ λύεται ἡ ἄγνοια, &c.

Quomodo autem ſolvatur extincta jam cupiditate incontinentis ignorantia, rurſuſque ſcientiam & conſequatur & ex ea agat incontinens, ſi quæratur, eandem dicemus rationem eſſe, quæ in ebrio eſt & dormiente. Illud autem ſcire eſt phyſicorum.

Ἐπεὶ δ' ἡ τελευταία, &c.

Cum vero ab affectu ſuo poſſidetur incontinens, minorem propoſitionem, & quæ actionum quaſi princeps eſt & domina, hoc nimirum malum eſſe, aut non habet omnino: nec novit, aut ita, quemadmodum verſus

μία μετὰ τῆς δόξης ἐπὶ τὸ γλυκὺ ἄγει. Δύναται γὰρ κινεῖν ἕκαστον τῶν μορίων, λέγω δὲ τὰς οἰκείας αἰσθήσεις τοῦ ἐπιθυμικοῦ· ὅρασιν εἰ ὁρατόν ἐστι τὸ ἡδύ, πρὸς ἑαυτὸ ἕλκει, καὶ γεῦσιν τὸ γλυκύ· ὥστε συμβαίνει τὴν ἀκρασίαν ὑπὸ λόγου γίνεσθαι, καὶ δόξης τῆς ἐναντίας τῷ λόγῳ· ἔστι δὲ ἐναντία ἡ δόξα τῷ ὀρθῷ λόγῳ οὐ δι' ἑαυτήν, ἀλλὰ διὰ τὴν ἐπιθυμίαν. Οὐ γὰρ ἡ δόξα τῇ ἰδίᾳ δυνάμει τοῦ λόγου τοῦ ὀρθοῦ κρατεῖ· ἀδύνατον γὰρ ἐπιστήμης δόξαν περιγίνεσθαι· ἀλλὰ τῇ δυνάμει τῆς ἐπιθυμίας, ἣ καὶ τὸ σῶμα μεθίστησι καὶ ἀλλοιοῖ· γίνεται δὴ ἡ ἀκρασία ὑπὸ λόγου καὶ δόξης ἀντιφθεγγομένης τῷ ὀρθῷ λόγῳ, διὰ τῆς ἐπιθυμίας.

Διὰ τοῦτο οὐδὲ τὰ θηρία ἀκρατῆ δύνανται λέγεσθαι, ὅτι οὐκ ἔχουσιν λόγον ᾧ ἀνθίσταται ἡ ἐπιθυμία, ἀλλὰ φαντασίαν τινὰ τῶν μερικῶν καὶ μνήμην.

Πῶς δὲ λύεται ἡ ἄγνοια τοῦ ἀκρατοῦς τῆς ἐπιθυμίας σβεσθείσης, καὶ πάλιν γίνεται ὁ ἀκρατὴς ἐπιστήμων καὶ κατὰ τὴν ἐπιστήμην ἐνεργῶν, ὁ αὐτός ἐστι λόγος, ὃς ἐστὶ καὶ ἐν τῷ μεθύοντι καὶ καθεύδοντι. Τοῦτο δὲ φυσιολόγων εἰδέναι.

Ὅταν δὲ ἐν τῷ πάθει γένηται ὁ ἀκρατής, τὴν ἐλάττω πρότασιν, τὴν κυρίαν τῶν πράξεων, τὴν ὅτι τόδε κακόν, ἢ οὐκ ἔχει οὐδαμῶς, οὐδὲ ἐπίσταται, ἢ οὕτως ἔχει ὥσπερ οἱ μεθύοντες καὶ οἱ

μαινό-

φαινόμενοι ἐπῶν τινὰ καὶ ἀποδείξεις λέγουσιν. Ἄλλως τε, ὅτι οὐδὲ ἡ ἐλάττων πρότασις αὐτὴ καθ᾽ αὐτὴν ἐπιστημονική ἐστιν, ὥσπερ ἡ καθόλου καὶ μείζων.

Ὥστε ἔοικεν, ὃ ἐζήτει Σωκράτης συμβαίνειν· οὐ γὰρ παρούσης τῆς κυρίως εἶναι δοκούσης ἐπιστήμης, ἥ τις ἐστὶν ἡ καθόλου, γίνεται τὸ πάθος· οὐ γὰρ ταύτης κρατεῖ ἡ ἐπιθυμία· ἀλλὰ τῆς κυρίας τῶν πράξεων, ἥ τις ἐστὶν ἡ ἐλάττων καὶ ἡ περὶ τὰ καθέκαστα· ταύτην γὰρ διαφθείρει ὁ πράττων, ἥ τις ἐστὶ περὶ τὰς πράξεις· καὶ αὕτη περιέλκεται διὰ τὸ πάθος, οὐχ ἡ καθόλου. Περὶ μὲν οὖν τῆς γνώσεως τῶν ἀκρατῶν εἰ γινώσκουσιν ὅλως τὸ ἀγαθόν, καὶ πῶς γινώσκοντες ἀκρατεύονται, τοιαῦτα εἰρήσθω.

ac demonſtrationes recitant ebrii. Sed & propterea: quia neque per ſe propria ſcientiæ minor propoſitio eſt, ſicut univerſalis & major. Ariſtot. l. 7. c. 4.

Unde videtur ſequi id quod volebat Socrates: Neque enim præſente ea quæ proprie videtur ſcientia, quæ univerſalis eſt, oritur affectus ille; (neque enim illi imperat cupiditas) ſed quæ actionum propria eſt, minore: quæ minor eſt, & in ſingulis verſatur. Hanc enim corrumpit agens; quæ in actionibus verſatur: eſtque ea quæ ab affectu rapitur, non autem univerſalis. Ac de cognitione quidem incontinentium, an omnino cognoſcant id quod eſt bonum, & quomodo, ſi cognoſcant, incontinenter agant, dictum ſit hactenus. Καὶ ἔοικεν ὃ ἐζήτει, &c.

ΚΕΦ. η.

CAP. VIII.

Τίς ὁ ἁπλῶς ἀκρατὴς, καὶ ὁ ἁπλῶς ἐγκρατής.

Quis ſimpliciter continens, & ſimpliciter ſit incontinens.

Μετὰ δὲ ταῦτα ῥητέον, εἰ ἔστι τις ἁπλῶς ἀκρατὴς ἀνὴρ προσθήκης, ἢ πάντες κατὰ μέρος, οἷον ἀκρατὴς θυμοῦ, καὶ ἀκρατὴς δόξης· καὶ εἰ ἔστιν ἁπλῶς ἀκρατὴς, λεκτέον περὶ ποῖα ἐστὶν ὑποκείμενα.

Ὅτι μὲν οὖν περὶ ἡδονὰς καὶ λύπας εἰσὶν ἅπαντες οἱ ἐγκρατεῖς καὶ καρτερικοὶ καὶ ἁπλῶς καὶ μερικοὶ, καὶ οἱ ἀκρατεῖς καὶ μαλακοὶ, φανερόν.

Deinceps dicendum erit, utrum aliquis ſimpliciter ſine ulla adjectione ſit continens, an omnes ex parte: ut exempli gratia, iræ incontinens aut gloriæ: item, an ſi ſit aliquis ſimpliciter incontinens, in quibus verſetur ſubjectis, dicendum erit. Cap. 4. Πότερον δ᾽ ἐστί τις, &c.

In voluptatibus ergo ac doloribus continentes verſari omnes ac tolerantes, tam ſimpliciter dictos quam ex parte; incontinentes item ac molles, manifeſtum eſt. Ὅτι μὲν οὖν, &c.

Cum

Ariſtot. l. 7. c. 4. Ἐπεὶ δ' ἐστὶ τὰ μὲν ἀναγκαῖα, &c.

Cum vero eorum quæ jucunda ſunt, alia neceſſaria, alia vero non neceſſaria ſint, ſed eligenda per ſe & jucunda: (neceſſaria autem dico, ſine quibus conſiſtere vel ſpecies univerſaliter nequit humana, ut exempli gratia nuptiæ, vel individuum, ſicut cibus, remiſſio, ſomnus & ſimilia: non neceſſaria autem, quæ eligenda per ſe ſunt & jucunda, non ita tamen, ut ſine iis homo nequeat conſiſtere: ut, exempli gratia, divitiæ, honor, victoria, & ejuſmodi.) Fit ut in utroque jucundorum genere, quædam ſint exſuperantiæ: tam in iis, dico, quæ ſunt neceſſaria, quam quæ per ſe ſunt eligenda quoties aliquis plus iis quam oportet, aut quam recta præcipit ratio, utatur.

Τοῦ μὲν περὶ ταῦτα, &c.

Qui ergo in jucundis modum tranſit non neceſſariis, non ſimpliciter ſine ulla adjectione vocatur, ſed aut gloriæ incontinens, aut opum: tanquam alius ab eo qui proprie incontinens dicitur ſimpliciterque, ut qui tantum ob quandam cum eo ſimilitudinem ita ſit dictus. Sicut diſtert homo qui Olympia vicit, à ſimpliciter homine. Licet enim parva eorum ſit differentia, differt nihilominus, aliuſque eſt, quia hoc additur.

Σημεῖον δὲ, &c.

Differre autem eam quæ in jucundis non neceſſariis verſatur incontinentiam, ab altera, vel ex eo apparet: quod nimirum dicta ſimpliciter vituperetur incontinentia, neque erratum ſolum, ſed etiam vitium videatur, ſive proprie, ſive alicujus reſpe-

Ἐπεὶ δὲ τῶν ἡδέων τὰ μὲν εἰσιν ἀναγκαῖα, τὰ δὲ οὐκ ἀναγκαῖα μὲν, αἱρετὰ δὲ καθ' ἑαυτὰ καὶ ἡδέα· λέγω δὲ ἀναγκαῖα μὲν, ὧν χωρὶς οὐ δυνατὸν συνεστάναι ἢ τὸ εἶδος καθόλου τὸ ἀνθρώπινον, ὥσπερ ὁ γάμος, ἢ τὸ ἄτομον, ὥσπερ τροφὴ, ἄνεσις, ὕπνος, καὶ τὰ τοιαῦτα· οὐκ ἀναγκαῖα δὲ, αἱρετὰ καὶ ἡδέα δι' ἑαυτὰ, οὐ διὰ τὴν σύστασιν τοῦ ἀνθρώπου, πλοῦτος, τιμὴ, νίκη, καὶ τὰ τοιαῦτα. Συμβαίνει καὶ ἐν ἀμφοτέροις ἡδέσιν ὑπερβολὰς εἶναι, καὶ ἐν τοῖς ἀναγκαίοις, καὶ ἐν τοῖς δι' ἑαυτὰ αἱρετοῖς, ὅταν τις αὐτοῖς χρῆσθαι πλέον ἢ δεῖ, καὶ ὁ ὀρθὸς κελεύει λόγος αὐτοῖς χρῆσθαι.

Ὁ μὲν οὖν περὶ τὰ ἡδέα ὑπερβάλλων τὰ μὴ ἀναγκαῖα, οὐ λέγεται ἁπλῶς χωρὶς προσθήκης ἀκρατὴς, ἀλλὰ ἀκρατὴς δόξης, ἢ ἀκρατὴς πλούτου, ὡς ἕτερος ὢν ἐκείνου τοῦ κυρίως καὶ ἁπλῶς ἀκρατοῦς, ὀνομαζόμενος δὲ ἀκρατὴς διά τινα πρὸς ἐκεῖνον ὁμοιότητα· καθάπερ διαφέρει ὁ ἄνθρωπος ὁ τὰ Ὀλύμπια νενικηκὼς τοῦ ἁπλῶς ἀνθρώπου· καὶ γὰρ εἰ καὶ μικρόν ἐστι τὸ διάφορον αὐτῶν, ἀλλ' ὅμως διαφέρει, καὶ ἕτερός ἐστι διὰ τὴν προσθήκην.

Ὅτι δὲ διάφορός ἐστιν ἡ περὶ τὰ μὴ ἀναγκαῖα ἡδέα ἀκρασία τῆς ἀκρασίας, δῆλον καὶ ἀπὸ τοῦ μὲν ἀκρασίαν ἁπλῶς ψέγεσθαι, καὶ δοκεῖν οὐ μόνον ἁμαρτίαν, ἀλλὰ καὶ κακίαν, ἢ κυρίως, ἢ κατά τι-

Τὴν

τὴν δὲ μετὰ προσθήκης ἀκρασίαν οὐ ψέγεσθαι ὡς κακίαν. Οἱ μὲν οὖν περὶ τὰ μὴ ἀναγκαῖα ἡδέα ὑπερβάλλοντες, ἀκρατεῖς λέγονται μετὰ προσθήκης.

Οἱ δὲ περὶ τὰς ἀναγκαίας καὶ σωματικὰς ἡδονὰς ὑπερβάλλοντες, οὐ κρίνοντες καὶ συντιθέμενοι τῷ λόγῳ, ἀλλὰ ἀνθιστάμενοι, καὶ τὰς μὲν ἡδονὰς ὑπερβαλλόντως διώκοντες, περὶ ἃς ἔφαμεν εἶναι τὸν σώφρονα καὶ τὸν ἀκόλαστον, τὰς δὲ λύπας φεύγοντες πλέον ἢ προσῆκεν, οἷον, πείνης, δίψης, καὶ ἀλέας, καὶ ψύχους, καὶ πάντων τῶν περὶ ἀφὴν καὶ γεῦσιν, οἱ τοιοῦτοι ἀκρατεῖς λέγονται, οὐ μετὰ προσθήκης, ἀλλὰ ἁπλῶς.

Δῆλον δὲ καὶ ἀπὸ τοῦ ἀκολάστους λέγεσθαι τοὺς περὶ ταῦτα ὑπερβάλλοντας· τοὺς δὲ περὶ τὰ μὴ ἀναγκαῖα ἡδέα ὑπερβάλλοντας, οὐδαμῶς.

Ὅτι γὰρ περὶ τὰς αὐτὰς σωματικὰς ἡδονὰς συμβαίνει εἶναι τὸν σώφρονα καὶ ἐγκρατῆ, καὶ τὸν ἀκρατῆ καὶ ἀκόλαστον, εἰς ταυτὸν τίθεμεν τὸν σώφρονα τῷ ἐγκρατεῖ, καὶ τὸν ἀκόλαστον τῷ ἀκρατεῖ.

Εἰ καὶ οὐχ ὁμοίως ἔχουσι πρὸς ταύτας τὰς ἡδονάς. Ὁ μὲν γὰρ ἀκόλαστος προαιρούμενος ἐπὶ τὴν ἐπιθυμίαν φέρεται· ὁ δὲ ἀκρατὴς μὴ προαιρούμενος, ἀλλὰ τοῦ ὀρθοῦ λόγου ἀνθισταμένου. τὸν μὲν οὖν ἀκρατῆ τῷ ἀκολάστῳ εἰς ταυτὸν τίθεμεν, καὶ τῷ σώφρονι τὸν ἐγκρατῆ· καὶ περὶ τὰ αὐτὰ λέγομεν αὐτοὺς εἶναι· τὸν δὲ περὶ τὰς ἄλλας ἡδονὰς τὰς μὴ ἀ-

ctu dicatur: altera vero, cui aliquid additur, non vituperetur ut vitium. Qui in jucundis ergo modum excedunt non neceſſariis, addita alia voce incontinentes dicuntur. Ariſtot. l.7.c.4.

Qui in neceſſariis vero corporis excedunt voluptatibus, idque ſine judicio aut aſſenſu rationis, ſed potius cum lucta, eaſque vehementer ſequuntur voluptates in quibus temperantem verſari & intemperantem diximus, dolores vero vitant plus quam oportet, ut, exempli gratia, famis, ſitis, æſtus, frigoris, omniumque quæ in guſtu verſantur aut tactu hujuſmodi, ſine ulla appendice, ſimpliciterque incontinentes dicuntur. Τῶν δὲ περὶ τὰς σωματικὰς, &c.

Idque vel ex eo apparet, quod qui in his modum excedunt, intemperantes dicuntur, qui in non neceſſariis jucundis, minime. Σημεῖον δὲ, &c.

Quia enim in iiſdem corporis voluptatibus, temperans & continens, incontinens item verſatur & intemperans, eodem loco temperantem & continentem, intemperantem item ponimus & incontinentem. Καὶ διὰ τοῦτο, &c.

Licet non eodem modo in his ſe habeant voluptatibus. Cum prælectione enim in cupiditatem fertur intemperans: ſine prælectione vero, obſtante recta ratione, incontinens. Quare eodem loco cum intemperante incontinens, & cum temperante ponitur à nobis continens, eoſque verſari in iiſdem dicimus. Qui vero in aliis non neceſſariis incontinenter ſe gerit Οἱ δ' εἰσὶ μὲν περὶ, &c.

Ariſtot. l.7.c.4.

rit voluptatibus, non item. Etſi autem in iiſdem cum intemperante voluptatibus verſetur incontinens, magis tamen reprehenditur, ut qui magis ſerviat voluptatibus, intemperans. Etenim à violentiſſimis ſuperatur cupiditatibus incontinens; neque n. fieri hoc aliter poſſet, cum recta præcipue repugnet ratio. At vero à parvis etiam & exiguis ſuperatur voluptatibus intemperans; quia non adverſatur iis recta ratio. Ideoque & exceſſus quærit & modicos vitat dolores. Quod ſi modicis tantum impulſus voluptatibus, ita in exceſſum rapitur, quid futurum eſſet, ſi magna aliqua eum occuparet libido, aut ob rerum neceſſariarum defectum, dolor gravis?

ναγκαίας ἀκρατῶς ἔχοντι, οὐδαμῶς. Εἰ δὲ καὶ περὶ τὰ αὐτά ἐστιν ἡδέα ὁ ἀκρατὴς τῷ ἀκολάστῳ, ἀλλὰ μᾶλλον ψέγεται ὁ ἀκόλαστος, ὡς μᾶλλον ταῖς ἐπιθυμίαις δουλεύων· ὁ μὲν γὰρ ἀκρατὴς σφοδροτάτων ἐπιθυμιῶν ἡττᾶται· οὐ γὰρ ἦν ἄλλως, τοῦ ὀρθοῦ ἀνθισταμένου λόγου· ὁ δὲ ἀκόλαστος καὶ μικρῶν καὶ ἀσθενῶν ἐπιθυμιῶν ἡττᾶται, διὰ τὸ μὴ ἀντιπράττειν αὐταῖς τὸν ὀρθὸν λόγον. Καὶ ζητεῖ τὰς ὑπερβολὰς, καὶ φεύγει μετρίας λύπας. Καὶ εἰ μετρίων κινουσῶν ἐπιθυμιῶν οὕτως εἰς τὰς ὑπερβολὰς φέρεται, τίς ἂν γένοιτο, εἰ προσγένοιτο αὐτῷ ἐπιθυμία νεανικὴ, καὶ περὶ τὰς τῶν ἀναγκαίων χρείας λύπη ἰσχυρά;

CAP. IX.

De feritate & quæ in ea incontinentia.

Ἐπεὶ δὲ τῶν ἐπιθυμιῶν, &c.

RUrſus eorum quæ jucunda ſunt, alia natura bona, alia mala ſunt, alia media. Et natura quidem bona ea ſunt jucunda, quæ per ſe non propter aliud petimus. Ut, exempli gratia, gloria, victoria, valetudo bona. Natura vero mala, ut exempli gratia, hominem comedere, ſanguinem humanum bibere, & quæ præter naturam eſt, intemperantia. Media autem horum, quæ nec bona per ſe ſunt, nec mala, ſed ad aliud conducunt bonum, ut, exempli gratia, cibi, veſtes, nuptiæ.

ΚΕΦ. θ΄.

Περὶ τῆς θηριωδίας, καὶ τῆς κατ᾽ αὐτὴν ἀκρασίας.

ΠΑλιν τῶν ἡδέων τὰ μὲν ἐστι φύσει ἀγαθὰ, τὰ δὲ φύσει κακὰ, τὰ δὲ μεταξύ· καὶ φύσει μὲν ἀγαθὰ ἡδέα εἰσὶν, ἃ δι᾽ ἑαυτὰ, καὶ οὐ δι᾽ ἄλλα, ζητοῦμεν· οἷον, δόξαν, νίκην, ὑγίειαν· φύσει δὲ κακὰ, οἷον τὸ φαγεῖν ἄνθρωπον, καὶ πιεῖν αἵματος ἀνθρωπίνου, καὶ ἡ παρὰ φύσιν ἀκολασία. Μεταξὺ δὲ τούτων, ὅσα δι᾽ ἑαυτὰ μὲν οὔτε ἀγαθά εἰσιν, οὔτε κακὰ, ἀλλὰ χρήσιμα πρός τι ἀγαθόν· οἷον τὰ σιτία, καὶ τὸ ἱμάτιον, καὶ ὁ γάμος. Τὰ μὲν

οὖν

τῶν φύσει ἀγαθῶν, καὶ τὰ μεταξὺ, ἐπειδὰν τις ζητῇ, ἐπαινεῖται, ἐὰν μὴ ὑπερβάλλῃ τὸν ὀρθὸν λόγον, ἀλλ' ὡς προσήκει ζητῇ.

Καὶ γὰρ ἡ ὑπερβολὴ ἐν ἅπασιν οὐκ ἐπαινετὸν, ἀλλ' ἡ μὲν ἐν τοῖς φύσει ἀγαθοῖς ὑπερβολὴ ψεκτὸν μὲν οὐκ ἔστιν οὐδὲ μοχθηρὸν, ὅτι τὰ διωκόμενα, ὡς εἴρηται, φύσει εἰσὶν ἀγαθὰ, καὶ δι' ἑαυτὰ ζητοῦνται· φευκτὸν δέ ἐστι καὶ φαῦλον· τοῦ γὰρ φιλεῖν τοὺς παῖδας, φύσει ὄντος ἀγαθοῦ, φεύγειν δεῖ τὴν ὑπερβολὴν, καὶ μὴ καθάπερ ἡ Νιόβη, ἣ καὶ πρὸς τοὺς θεοὺς ὑπὲρ τῶν τέκνων ἐμάχετο· ἢ ὁ Σάτυρος ὡς θεὸν ἐπικαλούμενος τὸν πατέρα· λίαν γὰρ ἐδόκει μωραίνειν.

Ἀλλ' οὐδὲ ἀκρασία ἐστὶν ἡ τοιαύτη ὑπερβολή· ἡ γὰρ ἀκρασία οὐ μόνον φευκτὸν, ἀλλὰ καὶ τῶν ψεκτῶν ἐστί. Λέγεται δὲ καὶ ἀκρασία, δι' ὁμοιότητά τινα, ἣν ἔχει περὶ τὴν ἀκρασίαν μετὰ προσθήκης, καθὼς εἴρηται, ἀκρασία κέρδους ἢ ἀκρασία τιμῆς. Καὶ ἀκρατὴς οὐχ ἁπλῶς, ἀλλὰ ἀκρατὴς τιμῆς, ἢ φιλοτεκνίας, ἢ τινος τῶν τοιούτων· ὥσπερ κακὸν ἰατρὸν λέγομεν, τὸν παρὰ τὴν ἐπιστήμην χρώμενον τοῖς νοσοῦσι, καὶ κακὸν ὑποκριτὴν, τὸν μὴ ἀκριβῶς μιμούμενον ὃν ὑποκρίνεται, καὶ οὐχ ἁπλῶς κακόν· ὅτι οὐκ ἔστι κακία ἡ τοιαύτη παρατροπὴ, ἀλλὰ καθ' ὁμοιότητα μετὰ προσθήκης. Ἡ μὲν οὖν περὶ τὰ φύσει ἀγαθὰ καὶ ἡδέα ὑπερβολὴ οὕτως ἔχει. Τῶν δὲ μεταξὺ

Quæ igitur natura bona ſunt, & quæ ſunt media, ſi quis ea quærat, ita ut rectam non excedat rationem, ſed quemadmodum oportet, laudatur. Ariſtot. l. 7. c. 4.

Neque enim in aliis etiam omnibus laudatur exceſſus: verum is qui in iis eſt quæ natura ſunt bona, non quidem vituperatur, nec malus habetur, quia ea quæ ſequitur, natura, ut dictum eſt, ſunt bona & per ſe quæruntur: nihilominus tamen & fugiendus eſt & malus. Sic cum, exempli gratia, amare liberos ſit bonum, vitandus nihilominus exceſſus eſt. Nec enim, quemadmodum Niobe, agendum eſt, quæ cum Diis pro liberis ſuis pugnabat: aut Satyrus, qui tanquam Deum patrem invocabat ſuum: omnino enim inſanire videbatur. Διὸ ὅσοι μὲν παρὰ τὸν λόγον, &c.

Sed nec incontinentia eſt, talis exceſſus. Non .n. inter vitanda tantum, ſed & ea quæ vituperanda ſunt eſt incontinentia. Dicitur tamen nihilominus incontinentia, à vicinitate quam habet cum ea, ſed cum adjectione videlicet. Ut, puta, incontinentia lucri, incontinentia honoris. Et incontinens non ſimpliciter, ſed incontinens honoris, aut amoris liberorum, aut ſimilium. Sicut malum dicimus medicum, qui præter artem tractat ægros, & malum hiſtrionem, qui non recte imitatur eum quem repræſentat, non vero ſimpliciter malum. Quia non eſt vitium hujuſmodi aberratio, niſi per ſimilitudinem tantum, & cum adjectione. Qui igitur in iis quæ natura bona ſunt committuntur exceſſus, Μοχθηρία μὲν οὐκ, &c.

Ariſtot. l.7.c.5.

exceſſus, ſunt tales. Qui vero in iis, quæ in medio ſunt boni, ii mali ſunt ac vituperandi. Idque quia ejuſmodi bona quod talia ſunt aut talia à ſemet non habent, ſed ab eo fine ad quem diriguntur vel bona ſunt vel mala. Ideoque ſi ad malum dirigantur finem, mala ſunt quoque. Ad malum autem tum diriguntur finem, quoties cum exceſſu ea perſequimur. Qui namque in exceſſu ciborum peccat aut veſtium, aut aliorum item quæ ſunt neceſſaria, præterque rectam iis rationem utitur, ad intemperantiam ea refert. Ideoq; omnium illorum exceſſus, eſt improbitas. Quorundam vero, ſimplex & ſine adjectione incontinentia in quibus temperantia quoq; verſatur & intemperantia.

Cap. 5. Ἐπεὶ δ' ἐστὶν ἔνια μὲν ἡδέα, &c.

Eorum vero quæ natura mala ſunt & jucunda, non exceſſus ſunt improbi, ſed ſimpliciter eorum habitus: ſunt autem illi quos ferinos dicimus. Quæ quidem nec natura ſunt jucunda. Eorum enim quæ jucunda ſunt alia natura, & quidem omnibus jucunda ſunt animalibus, ſicut cibus, & ſomnus, & ſimilia: alia natura quidem, non omnibus tamen ſunt jucunda, ſicut ille aut ille cibus. Ut, exempli gratia, herbam comedere aut carnes, nonnullis natura jucundum eſt animalibus. Alia rurſus non natura, ſed, vel ob conſuetudinem, vel mutilationem aliquam, aut naturæ improbitatem ſunt jucunda, quæ natura ſunt mala.

Λέγω δὲ θηριώδεις, &c.

In quibus verſatur feritas: Quale eſt quod de muliere

ἀγαθῶν αἱ ὑπερβολαὶ μοχθηραί εἰσι καὶ ψεκταί· ὅτι τὰ τοιαῦτα ἀγαθὰ ἀφ' ἑαυτῶν οὐκ ἔχουσι τὸ τοιαῦτα ἢ τοιαῦτα εἶναι, ἀλλὰ ἀπὸ τοῦ τέλους πρὸς ὃ τάττονται, ἢ ἀγαθά εἰσιν ἢ κακά. Καὶ διὰ τοῦτο, ἂν πρὸς τέλος ταχθῶσι μοχθηρὸν, μοχθηρά εἰσι· τάττονται δὲ εἰς μοχθηρὸν τέλος, ὅταν μεθ' ὑπερβολῆς διώκωνται· ὁ γὰρ ὑπερβάλλων ἐν τῇ χρήσει τῶν σιτίων, καὶ τῶν ἐνδυμάτων, καὶ τῶν ἄλλων ἀναγκαίων, καὶ παρὰ τὸν ὀρθὸν λόγον αὐτοῖς χρώμενος, εἰς τὴν ἀκολασίαν αὐτὰ τάττει. Καὶ διὰ τοῦτο ἡ τούτων ἁπάντων ὑπερβολὴ μοχθηρία ἐστί. Τινῶν δὲ καὶ ἁπλῶς ἀκρασία καὶ χωρὶς προσθήκης, περὶ ἃ καὶ ἡ σωφροσύνη ἐστὶ καὶ ἡ ἀκολασία.

Τῶν δὲ φύσει κακῶν καὶ ἡδέων οὐχ αἱ ὑπερβολαὶ μοχθηραί εἰσιν, ἀλλ' ἁπλῶς αἱ περὶ ταῦτα ἕξεις, αἵ εἰσιν αἱ θηριώδεις· ἅπερ οὐδὲ φύσει ἡδέα εἰσί. Τῶν γὰρ ἡδέων τὰ μέν ἐστιν ἡδέα φύσει καὶ πᾶσι ζώοις, οἷον τροφὴ, καὶ ὕπνος, καὶ τὰ τοιοῦτα· τὰ δὲ φύσει μὲν ἡδέα, οὐ πᾶσι δὲ ἡδέα, ὥσπερ ἡ τοιάδε τροφή· οἷον τὸ πόαν φαγεῖν ἢ κρέα, ἐνίοις τῶν ζώων φύσει ἡδέα εἰσί· τὰ δὲ οὐδαμῶς φύσει ἡδέα, ἀλλὰ ἢ διὰ ἔθος ἢ διὰ πηρώσεις, ἢ διὰ μοχθηρίαν φύσεως· ἅτινά εἰσι φύσει κακά.

Περὶ ἃ ἡ θηριότης ἐστίν. Οἷον τὴν ἄνθρωπον ἐκείνην

ἣν λέγουσι ποιεῖν, τὰς κυούσας ἀνασχίζουσαν τὰ παιδία κατεσθίειν, ἢ οἷς ἥδοντο οἱ ἀπηγριωμένοι περὶ τὸν Πόντον ἄνθρωποι, οἱ μὲν ἰχθῦς ὠμοὺς ἐσθίοντες, καὶ κρέα ὠμά, οἱ δὲ δανείζοντες τὰ τέκνα ἀλλήλοις εἰς εὐωχίαν· ἢ ὃ Φάλαρις ἐποίησε φαγὼν τὸν ἑαυτοῦ παῖδα· τοιαῦτα δὴ τὰ κακὰ καὶ ἡδέα, οὐ φύσει ἡδέα, ἀλλὰ διὰ μοχθηρίαν φύσεως ἡδέα δοκοῦσι ταῦτα· τοῖς δὲ διὰ πηρώσεις τινὲς ἥδονται ἢ διὰ μανίαν, ἢ ἄλλην τινὰ νόσον· διὰ μανίαν μὲν, ὥσπερ ὁ μανεὶς καὶ φαγὼν τοῦ συνδούλου ἧπαρ, ἢ ὁ τὴν μητέρα καθιερεύσας καὶ φαγών. Διὰ νόσον δὲ ὁ ἐσθίων ἀνθράκων καὶ γῆς· ἐξ ἔθους δὲ γίνεται θηριώδης, ὁ ταῖς παρὰ φύσιν ἡδοναῖς ἐκ προοιμίων τοῦ βίου συνεθισθείς, καὶ χαίρων μὲν σιτίοις, οἷς οὐδεὶς ἥδεται ἀνθρώπων μὴ τῶν φυσικῶν ὅρων ἐκστάς, ἀκολασταίνων δὲ τὴν παρὰ φύσιν ἀκολασίαν· τούτων δέ ἐστι καὶ ὁ χαίρων τριχῶν τίλσει, ἢ ὀνύχων τρώξει. Ταῦτα δὲ καὶ διὰ μοχθηρίαν φύσεως γίνεται.

Ὅσοι μὲν οὖν διὰ μοχθηρίαν φύσεως τοῖς φύσει κακοῖς ἥδονται, οὐκ εἰσὶν ἀκρατεῖς· οὐ γάρ ἐστιν αὐτοῖς ὀρθὸς λόγος, ᾧ ἀνθίστανται· ὁμοίως δὲ οὐδὲ ὅσα ἐξ ἔθους, ἢ νοσήματος, ἢ μανίας. Ἀλλὰ τὸ ἥδεσθαι τοῖς ποιε-

quadam narrant, quæ prægnantium ventres ſecare, fœtuſque earum comedere ſolebat. Vel quibus efferati circa Pontum delectabantur homines. Quorum alii piſces crudos edebant, alii carnes; alii pueros ad epulum ſibi invicem dabant mutuo. Aut quod Phalaris faciebat, qui filium comedebat ſuum. Talia ergo quæ & mala ſunt & jucunda, non natura ſunt jucunda, verum ob aliquam naturæ improbitatem, jucunda videntur. Alia rurſus ſunt, quibus ob mutilationem aliquam nonnulli delectantur aut inſaniam, aut morbum denique alium: inſaniam quidem, ut qui inſania correptus jecur conſervi ſui comedebat, aut qui matrem immolabat, ac comedebat. Morbum vero, ut qui carbones comedit aut terram. Ex conſuetudine autem fit ferinus, qui in iis quæ præter naturam ſunt ex quo natus eſt aſſuevit voluptatibus, iiſque gaudet cibis, quibus nemo delectatur hominum, niſi qui naturales excedat leges, & ea, quæ præter naturam eſt, gaudet intemperantia. E quorum numero & illi ſunt, qui pilorum vulſione, aut morſu delectantur unguium. Nam & hæc à naturæ proficiſcuntur pravitate. Ariſtot. l. 7. c. 5.

Quicunq; ob naturæ pravitatem ergo, iis quæ natura mala ſunt delectantur, non ſunt incontinentes: neque enim veram rationem habent, cui reſiſtant. Eodemque modo neque quæ aut à conſuetudine aut morbo proficiſcuntur aut inſania. Quia ejuſmodi dele- Ὅσοι μὲν οὖν, &c.

ctari rebus, omnes excedit vitioſitatis terminos.

Quod ſi quis his interdum imperat voluptatibus, interdum ſuccumbit, non incontinens dicitur ſimpliciter, ſed cum adjunctione. Ut, exempli gratia, continens feritatis, itidemque incontinens. Neque enim in quibus intemperantia, in iiſdem quoque feritas verſatur, ſicut ſimplex continentia. In naturalibus enim voluptatibus, & intemperantia verſatur, & ſimplex continentia. In iis autem quæ præter naturam ſunt, feritas.

Omne enim quod modum excedit vitium, ſive ea amentia aut timiditas, ſive intemperantia ſit & duritia, partim feritati, partim morbo tribuenda eſt. Nam & qui natura ita timidus eſt, ut etiam ad muris tremat ſtrepitum, timiditate laborat ferina: morbo vero talis, ut exempli gratia, qui ſelem propter morbum metuebat. Idemque & in amentia videbis. Nam qui à natura ita omni ratione carent, ut ſolo ſenſu vivant, qualia nonnulla remotorum Barbarorum ſunt genera, ferina laborant amentia. Qui vero propter morbos, vel comitiales vel inſaniam, ii morbo hanc debent amentiam.

Poteſt tamen fieri ut & habitum quis habeat talem, nec ab habitu ſuperetur tamen. Ut, exempli gratia, ſi Phalaris, cum puerum comedere deſideraret, cupiditatem ſuperaret illam; fieri autem poteſt, ut & ſuperetur qui habet.

Ariſtot. 17 c. 5. Τὸ δ' ἐ- χοντα κρατεῖν, &c.

Πᾶσα γὰρ ὑπερβάλλουσα, &c.

Τούτων δ' ἔστι μὲν ἐ- χίν, &c.

τοῖς ἔξω ἐστὶ παντελῶς τῶν τῆς κακίας ὅρων.

Εἰ δέ τις τούτων τῶν ἐπιθυμιῶν νῦν μὲν κρατεῖ, νῦν δ' ἡττᾶται, οὐ λέγεται ἀκρατὴς ἁπλῶς, ἀλλὰ κατὰ προσθήκης· οὐδὲ ἐγκρατὴς ἁπλῶς, ἀλλὰ κατὰ προσθήκης· οἷον, ἐγκρατὴς τὴν θηριωδίαν, καὶ ἀκρατὴς ὁμοίως. Οὐ γάρ ἐστιν ἡ θηριωδία περὶ τὰ αὐτὰ τῇ ἀκολασίᾳ, ὥσπερ ἡ ἁπλῶς ἐγκράτεια. Ἡ μὲν γὰρ ἀκολασία περὶ τὰς φυσικάς ἐστιν ἡδονὰς ὁμοίως, καὶ ἡ ἁπλῶς ἐγκράτεια· ἡ δὲ θηριωδία περὶ τὰς παρὰ φύσιν.

Πᾶσα μὲν γὰρ ὑπερβάλλουσα κακία, καὶ ἀφροσύνη, καὶ δειλία, καὶ ἀκολασία, καὶ χαλεπότης, αἱ μὲν θηριώδεις, αἱ δὲ νοσηματώδεις εἰσίν· ὁ μὲν γὰρ φύσει τοιοῦτος, οἷος δεδιέναι πάντα, κἂν ψοφήσῃ μῦς, θηριώδη δειλίαν δειλός· νοσηματώδης δὲ, οἷος ἦν ὁ δεδιὼς τὴν γαλῆν διὰ νόσον. Καὶ ἐπὶ τῆς ἀφροσύνης οἱ μὲν ἐκ φύσεως ἀλόγιστοι καὶ μόνῃ αἰσθήσει ζῶντες, ὥσπερ τινα γένη τῶν πόῤῥω βαρβάρων, θηριώδη ἀφροσύνην ἄφρονες· οἱ δὲ διὰ νόσους ἐπιληπτικὰς ἢ μανίας, νοσηματώδεις.

Ταύτας δὲ τὰς ἕξεις δυνατὸν καὶ ἔχειν καὶ μὴ κρατεῖσθαι ὑπ' αὐτῶν· ὥσπερ εἰ Φάλαρις ἐκράτει τῆς ἐπιθυμίας ἐπιθυμῶν παιδίου φαγεῖν, δυνατὸν δὲ καὶ κρατεῖσθαι ὑπ' αὐτῶν.

Τὴν γοῦν τοιαύτην ἀκρασίαν καὶ ἐγκράτειαν οὐχ ἁπλῶς ἀκρασίαν καὶ ἐγκράτειαν ἐροῦμεν, ἀλλὰ μετὰ προσθήκης, καθὼς ἐν τοῖς ἀνωτέρω εἴρηται, ἀκρασία θηριώδης, ἢ ἀκρασία νοσηματώδης· καὶ ἐγκράτεια θηριώδους κακίας, ἢ ἐγκράτεια νοσηματώδους κακίας· ἀκρασία δὲ ἁπλῶς, ἡ περὶ τὴν ἀνθρωπίνην ἀκολασίαν μόνη.

Talem ergo ſive incontinentiam, ſive continentiam etiam, non incontinentiam ſimpliciter aut continentiam, ſed cum appendice, quemadmodum ſupra dicebamus, ferinam aut morboſam dicimus incontinentiam, & ferini vitii aut morboſi continentiam: ſimplex autem incontinentia ſola ea eſt, quæ in intemperantia verſatur humana.

Ariſtot. 7 c. 6. ὥσπερ δὲ καὶ μαλθακίας &c.

Ὅτι μὲν οὖν ἀκρασία καὶ ἐγκράτειά ἐστι μόνον, περὶ ἅπερ ἀκολασία καὶ σωφροσύνη, καὶ ὅτι ἡ περὶ τὰ ἄλλα ἡδέα ἄλλό τι εἶδός ἐστιν ἀκρασίας κατὰ μεταφορὰν λεγόμενον καὶ οὐ κυρίως, εἴρηται.

Incontinentiam ergo & continentiam in iis tantum eſſe, in quibus intemperantia quoque verſatur & temperantia: tum illam vero quæ in reliquis ſpectatur voluptatibus, aliam eſſe ſpeciem, tranſlate non autem proprie ita vocatam, diximus.

Ὅτι μὲν οὖν ἀκρασία, &c.

ΚΕΦ. ι.

CAP. X.

Ὅτι ἡ τῆς ἐπιθυμίας ἀκρασία αἰσχίων τῆς θυμοῦ.

Cupiditatum incontinentiam ira fœdiorem eſſe.

Ζητητέον δὲ ὁποτέρα ἀκρασία τῆς ἑτέρας αἰσχίων, ἡ τῶν ἐπιθυμιῶν ἢ ἡ τοῦ θυμοῦ. Δοκεῖ δὲ ἡ τῶν ἐπιθυμιῶν αἰσχίων εἶναι τῆς τοῦ θυμοῦ ἀκρασίας. Ὁ μὲν γὰρ θυμούμενος οὐ πάντη παρακούει λόγου, ἀλλὰ κατά τι καὶ ὑπακούει καὶ παρακούει, καθάπερ οἱ ταχεῖς τῶν διακόνων, οἳ, πρὶν ἀκοῦσαι πᾶν τὸ προσταττόμενον, ἐκθέουσιν, εἶτα διαμαρτάνουσι τῆς προστάξεως· ἢ ὥσπερ οἱ κύνες, πρὶν σκέψασθαι εἰ φίλος ὁ προσιὼν, πρὸς τὸν ψόφον μόνον ὑλακτοῦσιν· οὕτω καὶ ὁ θυμὸς διὰ

Videndum autem utra ſit fœdior incontinentia, cupiditatum videlicet an iræ. Videtur autem cupiditatum eſſe fœdior quam iræ incontinentia. Qui enim iraſcitur, non omnino rationi non auſcultat, ſed ex parte & auſcultat & non auſcultat. Quemadmodum feſtini ſolent ſervi: qui prius quam totum id quod mandatur audiunt, procurrunt, atque ira male id quod imperatum eſt, agunt. Aut quemadmodum canes, qui priusquam adve tunt an amicus aliquis adveniat, ad ſtrepitum latrant ſolum. Ita & ira cum ob fer-

Cap. 6. Ὅτι δ' ἧττον αἰσχρὸν, &c.

Ariſtot. l.7.c.6.

ſervorem naturæ & impetum leviter audierit rationem tantum, neque illud quod imperatur reſpiciat ſatis, ad vindictam proruit. Ratio quippe aut imaginatio hoc ſolum oſtendit: talem aut talem, contumeliam inferre, contemnere, aut afficere damno. Ita vero, quæ quaſi ratiocinatur, ac colligit cum hoc pugnandum eſſe, ſtatim ſe effert. Atque ita quidem aliqua ex parte rationem ſequitur ira. Cupiditas vero, ſi ſolummodo ſenſus, aut corrupta à ſenſu, hoc aut illud jucundum eſſe dixerit ratio, ſtatim ut fruatur eo ſe confert. Quare rationem aliquo modo ſequitur ira, non vero cupiditas. Ideoque etiam fœdior eſt, qui cupiditatis, quam qui iræ eſt incontinens. Qui enim iræ eſt incontinens, à ratione quodammodo vincitur, qui cupiditatis autem, à cupiditate ſuperatur.

θερμότητα καὶ ταχύτητα τῆς φύσεως ἀκούσας τοῦ λόγου μόνον, οὐκ ἐπίταγμα ἀκούσας, ὁρμᾷ πρὸς τὴν τιμωρίαν. Ὁ μὲν γὰρ λογισμὸς, ἢ ἡ φαντασία τοῦτο δείκνυσι μόνον, ὅτι ὕβρις ἢ ὕβρεις, καταφρονεῖ, ἢ ζημιοῖ. Ὁ δὲ θυμὸς, ὥσπερ συλλογισάμενος ὅτι δεῖ τῷ τοιούτῳ πολεμεῖν, εὐθὺς χαλεπαίνει. οὕτω μὲν οὖν ὁ θυμὸς ἕπεται κατά τι τῷ λόγῳ· ἡ δὲ ἐπιθυμία, ἐὰν μόνον εἴπῃ ἡ αἴσθησις, ἢ ὁ λογισμὸς διεφθαρμένος ὑπὸ τῆς αἰσθήσεως, ὅτι τόδε ἡδὺ, ὁρμᾷ εὐθὺς πρὸς τὴν ἀπόλαυσιν. Ὥς θ' ὁ μὲν θυμὸς ἀκολουθεῖ τῷ λόγῳ πως, ἡ δὲ ἐπιθυμία οὔ. Αἰσχίων οὖν διὰ τοῦτο ὁ πρὸς τὴν ἐπιθυμίαν ἀκρατὴς τοῦ πρὸς θυμόν· ὁ μὲν γὰρ ἀκρατὴς τοῦ θυμοῦ, κρατεῖται ὑπὸ τοῦ λόγου τρόπον τινά· ὁ δὲ τῆς ἐπιθυμίας ἀκρατὴς ὑπὸ τῆς ἐπιθυμίας κρατεῖται.

*Ἔτι ταῖς φυσικαῖς, &c.

Præterea appetitiones magis naturales ſequi, levius eſt malum quam eas quæ minus ſunt naturales. Quia facilius veniam hoc conſequitur. Jam vero iræ magis quam cupiditatum naturalis eſt incontinentia: cupiditates autem minus neceſſarias intelligo, aut etiam majores quam oportet, opum, exempli gratia, vel gloriæ. Quare magis tolerabile malum eſt, iræ quam cupiditatum incontinentia. Illud autem quod magis naturale eſt, magis quoque veniam mereri, manifeſtum eſt. Ita quidam accuſatus, quod patrem verberaret, reſpondebat, naturalem ſibi eſſe hanc iram, & in-

*Ἔτι ταῖς μᾶλλον φυσικαῖς ὀρέξεσιν ἀκολουθεῖν κουφότερον κακὸν τοῦ ἑπομένου ταῖς ἧττον φυσικαῖς· μᾶλλον γὰρ ἀξιοῦται τὸ τοιοῦτον συγγνώμης· ἀλλὰ ἡ τοῦ θυμοῦ ἀκρασία φυσικώτερον τῆς ἀκρασίας τῶν ἐπιθυμιῶν. λέγω δὲ τῶν μὴ ἀναγκαίων ἐπιθυμιῶν, καὶ τῶν ὑπερβαλλουσῶν, οἷον χρημάτων καὶ δόξης· ὥστε ἀνεκτότερον κακὸν ἡ τοῦ θυμοῦ ἀκρασία τῆς τῶν ἐπιθυμιῶν, ὅτι δὲ τὸ μᾶλλον φυσικὸν, μᾶλλον συγγνωστὸν, δῆλον· ἐγκαλούμενος γάρ τις ὅτι τύπτει τὸν πατέρα, ἀπελογεῖτο φυσικὸν αὐτῷ εἶναι τὸν θυμὸν τὸν τοιοῦτον, καὶ τὴν περὶ αὐτὸν

...ἀκρασίαν. Καὶ γὰρ καὶ τὸν πατέρα αὐτοῦ τοιοῦτον εἶναι πατραλοίαν, καὶ ἔτι τὸν πάππον, καὶ τὸν ἑαυτοῦ υἱὸν ἔσεσθαι, καὶ τύπτειν αὐτὸν ἐπειδὰν ἀνὴρ γένηται. Καὶ τις ἑλκόμενος ὑπὸ τοῦ υἱοῦ ἐκέλευεν αὐτὸν πρὸς ταῖς θύραις παύεσθαι· καὶ γὰρ ἐγὼ τὸν πατέρα τὸν ἐμὸν εἵλκυσα, φησὶ, μέχρις ἐνταῦθα. Φαίνεται τοίνυν ὅτι ἀπολογίαν τινὰ δίδωσι τοῖς αἰσχροῖς, τὸ πεφυκέναι πρὸς αὐτὰ, καὶ ἀνεκτότερον ποιεῖ τὸ ἔγκλημα· ὅτι δὲ καὶ φυσικώτερον ἡ τοῦ θυμοῦ ἀκρασία τῆς τῶν ἐπιθυμιῶν, δῆλον· ἁπλῶς γὰρ θυμοῦσθαι φυσικώτερόν ἐστι τοῦ ἐπιθυμεῖν τῶν μὴ ἀναγκαίων· τὸ μὲν γὰρ θυμοῦσθαι, διὰ σωτηρίαν τῆς φύσεως, ἐντέθη τῇ φύσει, ἵνα τὸ βλαβερὸν ἀποσείηται, καὶ εἰς τοῦτο φέρει· ἡ δὲ τῶν μὴ ἀναγκαίων ἐπιθυμία οὐκ ... ἔστι γὰρ καὶ ἄνευ νίκης ἢ τιμῆς, διασώζειν τὴν φύσιν. Διὰ τοῦτο καὶ κοινότερον τὸ θυμοῦσθαι τῶν ἐπιθυμιῶν τῶν μὴ ἀναγκαίων. Τὸ μὲν γὰρ καὶ πᾶσιν ἀνθρώποις καὶ πᾶσι ζώοις πρόσεστιν· αἱ δὲ οὐδὲ πᾶσιν ἀνθρώποις. Ἐπεὶ δὲ τὸ θυμοῦσθαι τῶν τοιούτων ἐπιθυμιῶν φυσικώτερον, καὶ αἱ ὑπερβολαὶ τοῦ θυμοῦ φυσικώτεραι τῆς τῶν ἐπιθυμιῶν ὑπερβολῆς, ἡ ἄρα τοῦ θυμοῦ ἀκρασία συγγνωμονικώτερον, καὶ διὰ τοῦτο ἧττον αἰσχρὰ τῆς ἐπιθυμιῶν.

"Ἔτι τῶν ἀδίκων οἱ ἐπιβουλότεροι ἀδικώτεροι. Ἐπιβουλότερα δὲ ἡ ἐπιθυμία τοῦ θυμοῦ, ἀδικωτέρα ἄρα. ὅτι δὲ ἐπιβου-

continentiam ejus. Etenim & patrem ſuum pulſaſſe parentem, & avum: ſed & filium ſuum hoc facturum eſſe, neque aliud ſe expectare quam ubi adoleviſſet, ab eo quoque ut vapularet. Et alius quidam, qui, cum à filio traheretur ſuo, ad fores eum deſiſtere, jubebat: nam & ego patrem huc uſque meum, aiebat, pertraxi. Unde apparet, excuſare hoc nonnihil res fœdas, ſi quis ad eas ſit natus: & quodammodo levius hoc pacto fieri crimen. Magis autem à natura iræ quam cupiditatum eſſe incontinentiam, planum eſt. Simpliciter quippe iraſci magis naturale eſt, quam quæ neceſſaria non ſunt appetere. Ad naturæ quippe conſervationem ira hominibus innata eſt, ut quæ noxia videntur, removeat: & huc tendit. Eorum vero quæ non neceſſaria ſunt, cupiditas, non item. Nam & ſine victoria, exempli gratia, conſervari natura poteſt, & ſine honore. Ideoque magis quam voluptates non neceſſariæ, communis eſt ira. Hæc enim omnibus & hominibus adeſt & animalibus: illæ vero nè omnibus quidem hominibus. Cum autem magis quam ejuſmodi cupiditates, naturalis ſit ira, magiſque naturalis ſit iræ quam cupiditatum exceſſus, ſequitur quoq; magis naturalem, ideoq; minus fœdam eſſe iræ quam cupiditatum incontinentiam. Ariſtot. l. 7. c. 6.

Præterea, eorum qui injuſti ſunt, ii qui magis inſidioſi ſunt, magis quoq; ſunt injuſti. Magis autem inſidioſa, quam ira, eſt cupiditas: ergo & injuſta magis. "Ἔτι ἀδικώτεροι οἱ ἐπιβουλότεροι, &c.

Ariſtot. l. 7. c. 6.

Magis autem inſidioſam eſſe, planum eſt. Occulte enim ſubit; non cum impetu, quemadmodum ira. Et qui iraſcuntur, manifeſte id faciunt, qui vero concupiſcunt, non admodum manifeſte: quia furtim & quaſi doloſe ac occulte concupiſcunt: ac propterea doloſe quoque ipſi & furtim ad ea quæ concupiſcunt, feruntur. Unde & Homerus Venerem fallacem dicit, ideoque variam illi veſtem tribuunt, quo cupiditatum veritatem ſubinnuunt. Sed & illud;

Sermo illic blandus, qui mentem utcunque ſagacem
Decipit. ——

huc ſpectat. Quare ſi injuſtior ejuſmodi eſt cupiditas, etiam fœdior cupiditatis quam iræ eſt incontinentia. Propterque incontinentia eſt etiam intemperantia, quæ proprie eſt vitioſitas.

Ἔτι οὐδεὶς ὑβρίζει, &c.

Præterea, eorum qui abſurdis obtemperant voluptatibus nemo dolet: quilibet vero qui iraſcitur dolet. Jam vero vituperatur magis qui dum male agit delectatur, quam qui dolet; quia is qui dolet aliquam dare criminis ſui pœnam videtur, ideoque vituperatur minus. Quare qui abſurdis obtemperat voluptatibus, magis quam qui iraſcitur, vituperatur merito. Majus ergo malum, cupiditatis quam iræ incontinentia eſt. Ob quæ enim juſtiſſime quis iraſcitur, ea ſunt injuſtiora. Quare magis fœdam cupiditatum eſſe quam iræ incontinentiam, tum etiam in cupiditatibus corporis ac voluptatibus, tam continentiam quam incontinentiam eſ-

λοτέρα δῆλον. Λεληθότως γὰρ εἰσέρχεται, καὶ οὐκ αἰθέριον, ὥσπερ ὁ θυμός· καὶ οἱ θυμούμενοι φανεροί εἰσιν. Οἱ δὲ ἐπιθυμοῦντες οὐ πάνυ φαίνονται, ὅτι λάθρα πως καὶ δόλῳ κλεπτόμενοι ἐπιθυμοῦσι· καὶ διὰ τοῦτο καὶ αὐτοὶ δόλῳ τινὶ καὶ κλοπῇ ἐπὶ τὰ ἐπιθυμητὰ φέρονται· ὅθεν καὶ Ὅμηρός φησι τὴν Ἀφροδίτην δολοπλόκον, καὶ τὸν κεστὸν ἱμάντα διὰ τοῦτο τῇ Ἀφροδίτῃ ἀνατεθείκασι, τὸ ποικίλον ὑποφαίνοντες τῆς ἐπιθυμίας· καὶ τὸ

Πάρφασις, ἥτ' ἔκλεψε νόον πύκα περ φρονεόντων,

εἰς τοῦτο φέρει. Ὥστε εἴπερ ἀδικωτέρα ἡ τοιαύτη ἐπιθυμία, καὶ αἰσχίων τῆς τοῦ θυμοῦ· καὶ ἡ περὶ τὴν ἐπιθυμίαν ἀκρασία ἐστὶ· καὶ κυρίως ἀκρασία καὶ ἡ ἀκολασία, ἥ τις ἐστὶ κυρίως κακία.

Ἔτι οὐδεὶς λυπεῖται ταῖς ἀτόποις ἐπιθυμίαις ἀκολουθήσας, πᾶς δὲ ὀργιζόμενος λυπεῖται· κακίζεται δὲ μᾶλλον ὃς ἐν τῷ ποιεῖν τὸ κακὸν ἥδεται, ἢ ὃς ἐν τῷ ποιεῖν τὸ κακὸν λυπεῖται· ὁ γὰρ λυπούμενος δοκεῖ τινὰ διδόναι δίκην ὧν ἁμαρτάνει, καὶ διὰ τοῦτο ἧττον κακίζεται· ὁ ἄρα ἀτόποις ἀκολουθῶν ἐπιθυμίαις μᾶλλον κακίζεται δικαίως, ἢ ὁ θυμούμενος· χεῖρον ἄρα κακὸν ἡ περὶ τὴν ἐπιθυμίαν ἀκρασία τῆς τοῦ θυμοῦ· οἷς γὰρ ὀργίζεσθαι δικαιότερον, ταῦτ' ἀδικώτερα. Ὅτι μὲν οὖν αἰσχίων ἡ τῆς ἐπιθυμίας ἀκρασία τῆς τοῦ θυμοῦ, καὶ ὅτι ἐστὶν ἡ ἐγκράτεια καὶ ἀκρασία περὶ ἐπιθυμίας καὶ ἡδονὰς σωμα-

σωματικάς, δῆλον ἐκ τῶν εἰρημένων.

ΚΕΦ. ια'.

Τίσι διαφέρουσιν ἀλλήλων ἐγκράτεια καὶ σωφροσύνη, καὶ καὶ αἱ ἀντικείμεναι κακίαι.

Νῦν δὲ ἔτι θεωρήσωμεν τὰς διαφορὰς σωφροσύνης, καὶ ἐγκρατείας, καὶ καρτερίας καὶ τῶν ἀντικειμένων ταύταις, ἀκολασίας, ἀκρασίας καὶ μαλακίας· τῶν γὰρ σωματικῶν ἡδονῶν αἱ μὲν εἰσιν ἀνθρωπικαὶ, αἱ δὲ θηριώδεις, αἱ δὲ νοσηματώδεις. Ἀνθρωπικαὶ μὲν τοιαῦται, οἷαι τέρπειν φύσει τὸν ἄνθρωπον, τοσαῦται, ὅσαις χαίρει ἄνθρωπος ἢ ἀγαθὸς ἢ κακὸς τὴν ἀνθρωπίνην κακίαν· οἷον ἐπὶ πλούτῳ, ἢ δόξῃ, ἢ τροφῇ, ἢ γάμῳ· ὁ γὰρ ἡδόμενος καὶ διώκων, ἢ ὡς δεῖ, ἢ ἐλλείπων, ἢ ὑπερβάλλων τὸν λόγον, οὐ τὴν ἑαυτοῦ φύσιν, ὁ τοιοῦτος ἥδεται τὴν ἀνθρωπικὴν ἡδονήν. Θηριώδεις δὲ αἱ τῆς φύσεως τῆς ἀνθρωπίνης ἐκπίπτουσαι κατὰ τὴν ποιότητα, καὶ κατὰ τὴν ποσότητα. Καὶ αἱ ὑπερβολαὶ δὲ τῶν ἀνθρωπίνων ἡδονῶν, ὅταν ὑπερβάλλωσιν ἑαυτὰς, καὶ τῶν ἀνθρωπίνων ὅρων ἐκτὸς γίνωνται, θηριώδεις εἰσί· νοσηματώδεις δὲ αἱ διὰ νόσον, ἢ μανίαν, ὑπερβάλλουσαι τὴν ἀνθρωπίνην ἡδονὴν, καὶ αἱ παρὰ φύσιν· καὶ ὅλως, καθὼς ἐν τοῖς ἀνωτέρω διῄρηται περὶ τῆς θηριώδους ἡδονῆς, περὶ ταύτης τὰς ἡδονὰς

ſe, planum eſt ex iis quæ diximus. Ariſtot. l.7. c.6.

CAP. XI.

Quomodo continentia inter ſe differat & tolerantia: temperantia item & oppoſita vitia.

Iam temperantiæ porro & continentiæ, tolerantiæ item & quæ his opponuntur, intemperantiæ nimirum incontinentiæque & mollitiei videamus differentias. Voluptatum n. corporearum, aliæ humanæ, aliæ ferinæ, aliæ morboſæ ſunt. Et humanæ tales quidem, ut natura delectent hominem, tot vero quot ſunt quibus delectatur homo, vel bonus, vel vitioſitatis humanæ reſpectu non bonus. Ut, exempli gratia, divitiæ, gloria, cibus aut nuptiæ. Qui enim iis delectatur, eaſque proſequitur, vel ut oportet, vel minus, aut etiam magis, dummodo rectam rationem non naturam excedat ſuam, talis humana delectari voluptate dicitur. Ferinæ vero, quæ humanam qualitate ſua & quantitate excedunt naturam. Quare & humanarum exceſſus voluptatum, cum ſe ipſæ ſuperant, & humanos egrediuntur terminos, tum ſunt ferini. Morboſæ vero, quæ ob morbum aliquem aut inſaniam, humanam ſuperant voluptatem, & quæ præter naturam ſunt. Simpliciter ergo, quemadmodum ſupra, cum de ferina egimus voluptate, diſtinximus, ſimiles quoque in his volu-

Ἀυτῶν δὲ τούτων τὰς διαφοράς, &c.

voluptatibus ſunt habitus.

At in humanis tantum temperantia verſatur & intemperantia, ideoque nec temperantes aut intemperantes feras dicimus, niſi forte tranſlate, non autem proprie. Ac tum earum inter ſe reſpectu tantum loquimur. Nam & illæ, quod ad voluptates corporis, aliquo inter ſe differunt modo. Ita ut talibus aliæ minus, aliæ delectentur magis. Proprie autem neque temperantes neque intemperantes dicuntur, quia nullo modo ratione ſunt præditæ, ſed omnino ab ea ſeparatæ ſunt natura, quemadmodum homines inſani.

Ideoque minus malum, quam vitioſitas humana, eſt feritas, minuſque metuendum. Humana quippe id quod in homine optimum eſt corrumpit vitioſitas, rationem dico: feritas vero minime. Nec enim habet rationem. Sicut & inanimum malum animato malo minus eſt malum. Illud quippe, quod principium habet a quo impellitur, multo magis nocet malum. Tantoque magis tolerabile id quod non movetur, quam quod movetur eſt malum, quanto efficere minus poteſt. Sicut ergo id quod animatum eſt inanimo malo pejus eſt malum, quia principium in ſe à quo movetur, ipſam videlicet animam, habet, ita id quod ratione eſt præditum, quia magis quam id quod ratione caret principium habet, magis nocet, pejuſque eſt. Infinito enim plus mali homo improbus fecerit, quam fera. Et

παραπλήσιαί εἰσιν ἕξεις.

Ἀλλ' ἡ σωφροσύνη καὶ ἀκολασία, περὶ τὰς ἀνθρωπικὰς μόνον εἰσί· διὸ τὰ θηρία οὐ λέγομεν σώφρονα, οὐδὲ ἀκόλαστα, εἰ μή πού κατὰ μεταφορὰν, καὶ οὐ κυρίως. Καὶ τότε δὲ λέγομεν σώφρονα, ἢ ἀκόλαστα θηρία, συγκρίνοντες πρὸς ἄλληλα· ἔχουσι γάρ τινα διαφορὰν περὶ τὰς σωματικὰς ἡδονάς· καὶ τὰ μὲν μᾶλλον χαίρουσι τοῖς τοιούτοις, τὰ δὲ ἧττον, κυρίως δὲ οὐ λέγονται ἀκόλαστα ἢ σώφρονα, ὅτι οὐδαμῶς ἔχουσι λόγον, ἀλλὰ πάντη τῆς φύσεως ταύτης ἀφέστηκεν, ὥσπερ οἱ μαινόμενοι τῶν ἀνθρώπων.

Διὰ τοῦτο καὶ ἔλαττον κακὸν ἡ θηριότης τῆς ἀνθρωπίνης κακίας, ἢ καὶ φοβερώτερον· ἡ μὲν γὰρ ἀνθρωπίνη κακία τὸ βέλτιστον τῶν ἐν τῷ ἀνθρώπῳ διαφθείρει, δηλονότι τὸν λόγον, ἡ δὲ θηριότης οὐδαμῶς· οὐ γὰρ ἔχει λόγον· ὥσπερ καὶ τὸ ἄψυχον κακὸν ἔλαττον τοῦ ἐμψύχου κακοῦ. Τὸ γὰρ κακὸν τὸ ἔχον ἀρχὴν, ἥτις αὐτὸ κινεῖ, βλαβερώτερον τοῦ μὴ ἔχοντος. Τὸ γὰρ ἀκίνητον κακὸν ἀνεκτότερον τοῦ κινουμένου κακοῦ, καθόσον ἔλαττον δύναται δρᾶν· ὥσπερ οὖν τὸ ἔμψυχον κακὸν χεῖρον τοῦ ἀψύχου, ὅτι ἔχει ἀρχὴν ἐν αὐτῷ τὴν ψυχὴν, ἥτις αὐτὸ κινεῖ· οὕτω καὶ τὸ λογικὸν, ὅτι τοῦ ἀλόγου μᾶλλον ἀρχὴν ἔχει, βλαβερώτερον καὶ χεῖρον. Μυριοπλάσια γὰρ ἂν ποιήσειεν ἄνθρωπος κακὸς θηρίου.

Καὶ

Ariſtot. l.7.c.6. Τύπον δὲ περὶ τὰς, &c.

Ἔλαττον δὲ θηριότης, &c.

Καὶ ταῦτα μὲν εἰς τοσοῦτον. Ἐχώμεθα δὲ τῶν προκειμένων.

Ἔστι μὲν οὖν περὶ ἕκαστον γένος τῶν προειρημένων ἰδία τις ἕξις. Περὶ δὲ τὰς ἀνθρωπικὰς ἡδονὰς καὶ λύπας ἐστὶ μὲν σωφροσύνη, ὡς προείρηται, ἐστὶ δὲ ἡ ἐγκράτεια, καὶ καρτερία, καὶ αἱ ἀντικείμεναι ταύταις· λέγω δὲ ἀνθρωπικὰς ἡδονὰς καὶ λύπας, περὶ ἃς ἡ σωφροσύνη, ὅσαι ἁφῇ καὶ γεύσει προσήκουσι. Τούτων δὴ οἱ μὲν ἡττῶνται μᾶλλον ἢ οἱ πολλοὶ, καὶ πρὸς αὐτὰς φέρονται, ὡς ὀλίγοι μοχθηροί· οἱ δὲ κρατοῦσιν ὧν οἱ πολλοὶ ἡττῶνται. Ἐπεὶ δὲ λῦπαι εἰσὶ καὶ ἡδοναὶ ὧν ἡττῶνται καὶ κρατοῦσιν, οἱ μὲν τῶν ἡδονῶν κρατοῦντες ἐγκρατεῖς εἰσὶ, καὶ οἱ ἡττώμενοι ἀκρατεῖς. Οἱ δὲ τῶν λυπηρῶν κρατοῦντες, ὥστε μὴ κινεῖσθαι ὑπ' αὐτῶν, καρτερικοὶ, καὶ οἱ ἡττώμενοι καὶ ῥᾳδίως ὑπ' αὐτῶν κινούμενοι, μαλακοί· τὰ πλεῖστα δὲ οἱ ἄνθρωποι οὔτε καρτερικοί εἰσιν οὔτε μαλακοὶ, ἀλλὰ μεταξὺ, εἰ καὶ πρὸς τὸ χεῖρον ῥέπουσι μᾶλλον· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων ἕξεων ἔχει· πάλιν δὲ διοριστέον περὶ αὐτῶν ἀκριβέστερον.

Ἐπεὶ γὰρ αἱ μὲν τῶν ἡδονῶν ἀναγκαῖαί εἰσιν· αἱ δ' οὔ· ἐρρήθη δὲ περὶ αὐτῶν πρότερον τίνες ἡδοναὶ καὶ μέχρι τινὸς ἀναγκαῖαί εἰσιν· αἱ δ' ὑπερβολαὶ οὐκ εἰσὶν ἀναγκαῖαι, οὐδὲ ἐλλείψεις· ὁμοίως δὲ καὶ αἱ ἐπι-

hæc quidem hactenus. Reſtat, Ariſtot. l.7.c.7.
ut reliqua quæ propoſuimus, perſequamur porro.

In ſingulis ergo quæ ſupra Cap. 7. Περὶ δὲ τὰς ἀφὰς, &c.
commemoravimus generibus, ſinguli quoque ſunt habitus: In voluptatibus autem humanis & doloribus temperantia, quemadmodum diximus, ſed & continentia verſatur & tolerantia: & quæ his opponuntur. Humanas autem voluptates eas dico & dolores, in quibus temperantia verſatur, quæ tactui, dico, competunt & guſtui. Ab his autem, alii magis ſuperantur, quam vulgus, & ad eas feruntur, quemadmodum improbi pauci: alii vero ſuperant, à quibus vulgus ſuperatur. Cum autem dolores ſint & voluptates à quibus ſuperantur, & quas ſuperant, qui voluptates ſuperant, continentes, qui ab iis ſuperantur, ſunt incontinentes. Qui vero ita dolores & quæcunque adferunt dolorem ſuperant, ut ab iis non moveantur, tolerantes, & qui ſuperantur, facileque ab iis moventur, molles dicuntur. Plerunque tamen neque tolerantes neque molles ſunt homines, ſed in medio horum, licet ad pejorem magis vergant partem. Eodemq; modo in aliis habitibus ſe habet. Quæ tamen accuratius diſtinguenda erunt denuo.

Cum enim voluptatum aliæ Ἐπεὶ δ' ἔνιαι τῶν ἡδονῶν, &c.
ſint neceſſariæ, aliæ non item (jam ante enim, quæ & quatenus ſint neceſſariæ diximus) exceſſus autem non ſint neceſſarii, nec defectus, eodemque modo cupiditates

quoque

Ariſt. lib. 7. c. 7. quoque & dolores ſe habeant, qui voluptatum perſequitur exceſſus, & aut eas quæ natura magnæ ſunt, ſemper quærit, aut quæ natura ſunt mediocres ultra modum petit, ita tamen ut nec violenter ab illis trahatur, ſed conſulto ad eas ipſe tendat, neque alterius rei cauſa, gloriæ, puta, vel lucri, ſed ipſas per ſe petit, is eſt intemperans. Nunquam enim pœnitentia duci, talem neceſſe eſt: ideoque nec ſanari poſſe. Qui enim pœnitentia non ducitur, ne ſanari quidem poteſt. Talis autem eſt intemperans. Qui vero minus quam oportet hæc hujuſmodi quærit, is eſt qui directe opponitur, quem ſtupidum vocant. Medius autem, eſt temperans. Non ſolum autem qui corporeas, quemadmodum dictum eſt, perſequitur voluptates, eſt intemperans: ſed & qui corporeos dolores, non quod ab iis ſuperetur, ſed conſulto fugit, eodem quoque modo eſt intemperans. Eorum autem qui inconſulto ad voluptatem tendunt, alii voluptatis cauſa id faciunt, alii ut dolorem fugiant cupiditatis. Quare & hi inter ſe differunt. Ille autem, qui ut dolorem fugiat, ſequitur voluptates, mollis, qui vero voluptatis cauſa, incontinens vocatur. Porro continenti incontinens, molli opponitur tolerans. Etenim in reſiſtendo tolerantia, in ſuperando autem eſt continentia. Aliud autem reſiſtere eſt, quam ſuperare. Sicut aliud vincere, quam non vinci. Quare & melior & præfe-

θυμίαι καὶ αἱ λῦπαι ἔχουσιν, ὁ μὲν τὰς ὑπερβολὰς διώκων τῶν ἡδονῶν, καὶ ἢ τὰς φύσει μεγάλας ἀεὶ ζητῶν ἡδονὰς, ἢ τὰς φύσει μετρίας ὑπερβαλλόντως ζητῶν, οὐχ ἑλκόμενος βιαίως πως ὑπ᾽ αὐτῶν, ἀλλὰ μετὰ προαιρέσεως ἐπ᾽ αὐτὰς τρέχων, οὐ δι᾽ ἄλλό τι, δόξαν, φέρε εἰπεῖν, ἢ κέρδος, ἀλλὰ αὐτὰς δι᾽ ἑαυτὰς, ἀκόλαστος· τὸν τοιοῦτον γὰρ ἀνάγκη μὴ μεταμέλεσθαι μετὰ τὴν ἡδονὴν, καὶ διὰ τοῦτο ἀνίατον εἶναι· ὁ γὰρ ἀμεταμέλητος, ἀνίατος. Τοιοῦτος δὲ ὁ ἀκόλαστος. Ὁ δὲ ἔλαττον τοῦ δέοντος τὰ τοιαῦτα ζητῶν, ὁ ἐκ διαμέτρου ἀντικείμενος, ὅς ἐστιν ἀναίσθητος. Ὁ δὲ μέσος ὁ σώφρων ἐστὶν, οὐ μόνον δὲ ὁ διώκων τὰς σωματικὰς ἡδονὰς, ὃν εἴρηται τρόπον, ἀκόλαστός ἐστιν, ἀλλὰ καὶ ὁ φεύγων τὰς σωματικὰς λύπας, οὐχ ἡττώμενος αὐτῶν, ἀλλὰ προαιρούμενος, ὁμοίως ἀκόλαστός ἐστι. Τῶν δὲ ἀπροαιρέτως ἐπὶ τὰ ἡδέα φερομένων, ὁ μὲν φέρεται διὰ τὴν ἡδονὴν, ὁ δὲ ἵνα φύγῃ τὴν ἀπὸ τῆς ἐπιθυμίας λύπην. Ὥστε διαφέρουσιν οὗτοι ἀλλήλων, ἔστι δὲ ὁ μὲν διὰ τὸ φεύγειν τὴν λύπην τὰ ἡδέα διώκων, μαλακός· ὁ δὲ δι᾽ ἡδονὴν ἀκρατής· ἀντίκειται δὲ ὁ μὲν ἀκρατὴς τῷ ἐγκρατεῖ, ὁ δὲ καρτερικὸς τῷ μαλακῷ· ἡ μὲν γὰρ καρτερία ἐστὶν ἐν τῷ ἀντέχειν, ἡ δὲ ἐγκράτεια ἐν τῷ κρατεῖν· ἕτερον δὲ τὸ ἀντέχειν τοῦ κρατεῖν, ὥσπερ καὶ τοῦ μὴ ἡττᾶσθαι τὸ νικᾷν· διὸ βέλ-

τιον

πον καὶ αἱρετώτερον ἡ ἐγκράτεια τῆς καρτερίας· βέλτιον γὰρ νικᾶν ἢ μὴ ἡττᾶσθαι. Φαίνεται δὲ ὅτι καὶ ἡ ἀκολασία χείρων τῆς ἀκρασίας ἐστί. Φανερὸν γὰρ πᾶσιν ὡς χείρων ἐστὶν ὁ διώκων τὴν ἡδονὴν προαιρούμενος, καὶ ἢ μὴ ἐπιθυμῶν ἢ ἠρέμα καὶ οὐ τυραννούμενος, τοῦ ὑπὸ σφοδροτάτων ἐπιθυμιῶν τυραννουμένου· ἔστι δὲ ὁ μὲν πρῶτος ὁ ἀκόλαστος, ὁ δὲ δεύτερος ὁ ἀκρατής· ὥστε ἡ ἀκολασία χείρων τῆς ἀκρασίας ἐστίν. Ὁ μὲν οὖν ἐγκρατὴς καὶ καρτερικὸς οὕτω διαφέρουσιν, καὶ οὕτως αἱρετώτερον ἐγκράτεια καρτερίας, καὶ ἀκρασία ἀκολασίας ἀνεκτότερον.

renda tolerantiæ eſt continentia. Sicut melius, quam non vinci, eſt vincere. Pejor autem incontinentia, videtur intemperantia. Omnibus quippe manifeſtum eſt, deteriorem eſſe eum, qui conſulto, & vel ſine cupiditate, vel ita ſaltem ut non imperet violenter cupiditas, voluptatem ſequitur, quam qui ſub violento cupiditatum eſt imperio. Prior autem horum intemperans, alter vero eſt incontinens. Quare deterior quoque quam incontinentia eſt intemperantia. Continens ergo hoc modo differunt & tolerans: & hæ ſunt cauſæ, cur præferenda tolerantiæ ſit continentia, incontinentia item magis ſit intolerabilis quam intemperantia. Ariſtot. l. 7. c. 7.

ΚΕΦ. ιϐ´.

Τίς ἡ συγγνωστὴ ἀκρασία καὶ μαλακία.

Ἔτι δὲ διοριστέον περὶ αὐτῶν· ἐγκρατὴς μὲν οὖν ἐστὶν ὁ κρατῶν τῶν ἐπιθυμιῶν, καρτερικὸς δέ ἐστιν ὁ ἀντέχων πρὸς αὐτὰς καὶ μὴ ἡττώμενος· ὁ δὲ χαυνούμενος πρὸς ἃ οἱ πολλοὶ ἀντιτείνουσι καὶ δύνανται φέρειν, οὗτος μαλακὸς καὶ τρυφῶν· καὶ γὰρ ἡ τρυφὴ μαλακία τίς ἐστιν. Ὥσπερ ὃς οὐχ ἕλκει τὸ ἱμάτιον, ἵνα μὴ πονέσῃ τὴν ἀπὸ τοῦ αἴρειν λύπην, καὶ μιμούμενος τὸν ἐκλελυμένον ὑπὸ νόσου, οὐκ οἴεται ἄθλιος εἶναι, ἀθλίῳ ὅμοιος ὤν. Τὸν αὐτὸν δὲ τρόπον καὶ ἐπὶ ἐγκρατείας καὶ

CAP. XII.

Quæ incontinentia veniam mereatur & mollities.

SEd & pluribus hæc diſtinguenda ſunt. Eſt ergo continens qui ſuperat cupiditates, tolerans vero qui reſiſtit, nec ſuperatur. Qui vero molliter in iis ſe gerit quibus & reſiſtere multi poſſunt, & quæ poſſunt ferre, is mollis dicitur & delicatus. Quædam enim mollities, ſunt deliciæ. Sic, exempli gratia, qui veſtem non tollit, nè tollendi ſubeat laborem, ſimiliſque illi eſt, quem morbus aliquis diſſolvit plane & enervavit, cum miſerum ſe eſſe neſciat, miſero eſt ſimilis. Eodem modo in continentia ſe habet & incon- Ὁ δὲ ἐλλείπων πρὸς ἃ οἱ πολλοί, &c.

Ariſtot. l.7.c.7.

incontinentia. Sunt enim voluptates quædam & dolores, ita tum vehementes tum magni, ut qui ſuccumbat iis venia dignus videatur. A talibus enim ſuperari aliquem, nihil eſt mirum: quemadmodum Philoctetes ille quem in poematis ſuis introduxit poeta Theodectes: qui à ſerpente ictus, cum aliquamdiu dolori imperaſſet ſuo, tandem in clamores prorupit, aut ille qui à Carcino poeta introducitur Cercyon, qui in filiæ ſuæ Alopes aliquamdiu tacet contumelia, poſt tamen à dolore ſuperatur. Plane quod iis evenire ſolet, qui riſum conantur comprimere: ſit n. ut effuſe in cachinnum ſolvantur, quod Xenophanto accidit. Quare neque mirum eſt ſi à tam vehementibus ſuperentur affectibus: ſed ſi quis ab illis, quibus plerique poſſunt reſiſtere vel voluptatibus vincatur vel doloribus, neque ſuſtinere eorum poſſit impetum, nec natura hoc illi conferat aut genus (quemadmodum reges Scytharum natura ſunt molles, aut quemadmodum ſexus fœmineus mollior eſt maſculo) vel etiam morbus, ſed habitus tantum & improbitas, ille venia indignus eſt. Sed & is qui ludo nimium addictus eſt, mollis nihilominus eſt, licet intemperans videatur. Qui enim remiſſionem nimium ſequuntur, ſunt molles. Remiſſio enim quædam & quies, ludus videtur. Et qui nimium ludo indulget, in remiſſionis quodam genere modum excedit, & ludibundus vocatur.

ἀκρασίας ἐστίν. Εἰσὶ γὰρ ἡδοναὶ καὶ λῦπαι οὕτω μεγάλαι καὶ σφοδραὶ, ὥστε τὸν ἡττώμενον αὐτῶν συγγνώμης τινὸς ἀξιοῦσθαι. Τὸ γὰρ τούτων ἡττᾶσθαι οὐδὲν θαυμαστὸν, ὥσπερ Φιλοκτήτης, ὃν εἰσήγαγεν ἐν τοῖς ποιήμασι Θεοδέκτης ὁ ποιητὴς πεπληγμένον ὑπὸ ὄφεως, καὶ μέχρι τινὸς κρατοῦντα τῆς λύπης, εἶτα ἀναβοήσαντα. Ἢ ὃν εἰσάγει Καρκῖνος ὁ ποιητὴς Κερκύονα ἐπὶ τῇ ὕβρει τῆς θυγατρὸς Ἀλόπης καρτεροῦντα μέχρι τινὸς, εἶτα ἡττηθέντα τῆς ἀλγηδόνος. Ὥσπερ οἱ κατέχειν πειρώμενοι τὸν γέλωτα ἀθρόον ἐκκαγχάζουσιν· ὅπερ ὁ Ξενόφαντος ἐποίησεν· οὐ τοῦτο τοίνυν ἐστὶ θαυμαστὸν τὸ ἡττηθῆναι οὕτω σφοδροτάτων παθῶν· ἀλλ' εἴ τις ἡττᾶται πρὸς ἃς οἱ πολλοὶ δύνανται ἀντέχειν, ἡδονὰς καὶ λύπας, καὶ μὴ δύναιτο ἀντιτείνειν, μὴ διὰ φύσιν τινὰ τοῦ γένους· ὥσπερ οἱ Σκυθῶν βασιλεῖς φύσει εἰσὶ μαλακοὶ, ἢ ὥσπερ τὸ θῆλυ φύσει ἐστὶ τοῦ ἄρρενος μαλακώτερον· ἢ διὰ νόσον· ἀλλ' ὁ διὰ πονηρὰν ἕξιν καὶ μοχθηρίαν, ὁ τοιοῦτος ἀσύγγνωστος· ἔστι δὲ καὶ ὁ σφόδρα χρώμενος ταῖς παιδιαῖς μαλακὸς, εἰ καὶ δοκεῖ ἀκόλαστος εἶναι· οἱ γὰρ τὴν ἄνεσιν σφόδρα ζητοῦντές εἰσιν οἱ μαλακοί· ἡ γὰρ παιδιὰ ἄνεσίς τις καὶ ἀνάπαυσίς ἐστι· καὶ ὁ σφόδρα χρώμενος παιδιαῖς ὑπερβάλλει κατά τινα ἄνεσιν, καὶ παιδιώδης καλεῖται.

ΚΕΦ.

ΚΕΦ. ιγ'.

Περὶ τῶν εἰδῶν ἀκρασίας· καὶ ὅτι χεῖρον κακὸν ἡ ἀκολασία τῆς ἀκρασίας.

Τῆς δὲ ἀκρασίας δύο εἰσὶν εἴδη· καὶ τὸ μὲν προπέτεια, τὸ δὲ ἀσθένεια καλεῖται. Οἱ μὲν γὰρ προβουλευσάμενοι μὴ συγχωρῆσαι τῷ πάθει, εἶτα ἡττηθέντες αὐτοῦ, τὴν ἀσθενῆ ἀκρασίαν εἰσὶν ἀκρατεῖς· οἱ δὲ μὴ προβουλευσάμενοι, ἀλλ' εὐθὺς προσβάλλοντος ἡττηθέντες, τὴν προπετῆ ἀκρασίαν εἰσὶν ἀκρατεῖς· ἔνιοι γὰρ προαισθόμενοι, καὶ προϊδόντες, καὶ προεγείραντες ἑαυτοὺς, καὶ τὸν λογισμὸν, οὐχ ἡττῶνται ὑπὸ τοῦ πάθους, ὥσπερ τὰ προτριβέντα, καὶ προγαργαλισθέντα μέλη οὐ γαργαλίζεται· μάλιστα δὲ οἱ ὀξεῖς καὶ μελαγχολικοὶ τὴν προπετῆ ἀκρασίαν εἰσὶν ἀκρατεῖς· οἱ μὲν ὀξεῖς διὰ τὴν ταχύτητα οὐκ ἀναμένουσι τὴν τοῦ λόγου κρίσιν· οἱ δὲ μελαγχολικοὶ, διὰ τὸ σφόδρα φανταστικοὶ εἶναι, καὶ ἀκολουθεῖν τῇ φαντασίᾳ. Διὸ σφοδροτέρως κινοῦνται μὴ ἐπιστρεφόμενοι πρὸς τὸν λόγον.

Πᾶς δὲ ἀκρατὴς καὶ μεταμελητικός ἐστι, καθὼς εἴρηται. Τῆς γὰρ ἐπιθυμίας σβεσθείσης, ὁ λόγος ὑγιαίνων συνορᾷ τὴν ἀτοπίαν τοῦ πάθους, ᾧ ἕπεται μετάνοια. Ὁ δὲ ἀκόλαστος ἀμεταμέλη-

CAP. XIII. Ariſtot. l.7.c.8.

De incontinentiæ ſpeciebus: majus item malum eſſe intemperantiam, quam ſit incontinentia.

INcontinentiæ autem duæ ſunt ſpecies: quarum altera temeritas, altera imbecillitas vocatur. Qui .n. ante cum animo deliberarunt ſuo, non cedere affectui, & tamen poſtea ab eo ſuperantur, iis cauſa incontinentiæ eſt imbecillitas. Qui vero ſine ulla prius deliberatione à primo ſtatim ejus ſuperantur impetu, temeraria laborant incontinentia. Nonnulli vero cum præſenſerunt prius ac viderunt, animamque ſuam & rationem diu excitarunt ante, non ſuperantur ab affectu: ſicut in quibuſdam corporis videmus fieri partibus, quas cum ante fricuimus aut titillavimus, poſtea non titillantur amplius. Maxime autem ii qui præcipites & melancholici ſunt, temeraria laborant incontinentia. Præcipites quidem, quia feſtinant ſemper, rationis non expectant judicium: melancholici vero, quia in imaginatione toti ſunt, & eam ſequuntur: ideoque & vehementius moventur, neque reſpiciunt rationem. Ἀκρασίας δὲ τὸ μὲν προπέτεια, &c.

Omnis vero incontinens etiam pœnitentia facile ducitur, quemadmodum eſt dictum. Extincta quippe cupiditate, ratio, quæ valet, abſurditatem perſpicit affectus: unde conſequitur pœnitentia. Pœnitentiam vero non novit intem- Cap. 8. Ἔστι δὲ ὁ μὲν ἀκόλαστος, &c.

Ariſtot. l.7.c.8.

perans: quia neque ſana illi eſt ratio: quare nec videre poteſt turpitudinem. Ac propterea curari poteſt incontinens, nunquam vero poteſt intemperans. Nec enim quemadmodum ſupra, cum de iis ageremus, dictum à nobis fuit, ita ſe res habet. Exercitii quippe & diſputandi gratia, id quod probabile erat ibi dicebamus. Ipſa autem res ita ſe habet. Similis enim intemperantia aquæ intercuti eſt aut tabi, quæ aſſiduo fatigat ægrum: morbo vero comitiali incontinentia, quæ aliquod tempus intermittit, neque continenter eſt moleſta. Aſſiduum enim vitium intemperantia eſt, ſemper enim intemperanter agendum eſſe putat intemperans: non vero item incontinens: ſed cum à vehementioribus tantum oppugnatur cupiditatibus. Aliud denique intemperantiæ, aliud incontinentiæ genus eſt. Latet quippe turpitudo intemperantiæ, incontinentiæ vero non item. Novit enim turpe eſſe cedere affectui ſuo incontinens. Quare utraq; incontinentiæ ſpecie, fœdior intemperantia eſt.

Αὐτῶν δὲ τῶν βελτίους, &c.

Quod ad ipſas vero incontinentiæ ſpecies, fœdior temeritate eſt imbecillitas. Qui enim imbecilli laborant incontinentia, ab affectu minore, qui temeraria vero, à majore ſuperantur. Eos enim quibus deliberare adhuc licet, ſatis manifeſtum eſt, non ita vehementer ab affectu oppugnari. Temerarii autem hoc ipſo quod deliberare non poſſint, ab eximiis oſten-

τος· ὁ γὰρ λόγος αὐτῷ οὐχ ὑγιαίνει. Καὶ διὰ τοῦτο καλινδεῖν τὸ αἰσχρὸν οὐ δύναται· καὶ διὰ τοῦτο ὁ μὲν ἀκρατὴς ἰατός ἐστιν, ὁ δὲ ἀκόλαστος ἀνίατος· οὐ γάρ, ὥσπερ εἴπομεν ἐν τοῖς πρότερον ἐζητοῦμεν περὶ αὐτῶν, οὕτω καὶ ἔχει. Εἴρηται γὰρ ὡς τις ἔνδοξος λόγος γυμνάζουσι τὸ ζήτημα. Τὸ δὲ ἀληθὲς τοῦτό ἐστιν. Ἔοικε γὰρ ἡ μὲν ἀκολασία ὑδέρῳ καὶ φθίσει, ἣ συνεχῶς τοὺς νοσοῦντα λυπεῖ, ἡ δὲ ἀκρασία τοῖς ἐπιληπτικοῖς, ἃ διαλιμπάνοντα οὐ συνεχῶς ἐνοχλοῦσιν· ἡ μὲν γὰρ ἀκολασία συνεχὴς πονηρία ἐστίν· ἀεὶ γὰρ ἀκόλαστος οἴεται δεῖν ἀκολασταίνειν· ὁ δὲ ἀκρατὴς οὐκ ἀεί, ἀλλ' ὅτι σφόδραις περιπέσῃ ἐπιθυμίαις. Καὶ ὅλως δὲ ἕτερον τὸ γένος ἀκολασίας καὶ ἀκρασίας· ἡ μὲν γὰρ ἀκολασία λανθάνει ἔσω αἰσχρό, ἡ δὲ ἀκρασία οὐ λανθάνει· οἶδε γὰρ ὁ ἀκρατὴς ὅτι αἰσχρὸν τῷ πάθει συγχωρῆσαι. Ἡ μὲν οὖν ἀκολασία χείρων ἑκατέροις εἴδους τῆς ἀκρασίας.

Αὐτῶν δὲ τῶν τῆς ἀκρασίας εἰδῶν ἡ ἀσθένεια χείρων τῆς προπετείας. Οἱ γὰρ τὴν ἀσθενῆ ἀκρασίαν ἀκρατεῖς ὑπ' ἐλάττονος πάθους ἡττῶνται· οἱ δὲ τὴν προπετῆ ἀκρασίαν, ὑπὸ μείζονος· οἷς γὰρ δυνατὸν καὶ βουλεύσασθαι, φανερὸν ὅτι οὐ σφοδρῶς πολεμεῖ τὸ πάθος· οἱ δὲ προπετεῖς, δι' ὧν οὐ δύνανται βουλεύσασθαι, δῆλοί εἰσιν ὑπὸ μεγάλων ἐπιθυμιῶν βιαζόμενοι· καὶ

ἄλλως

ἄλλως δὲ αἰσχρότερον ἡττηθῆναι προβουλευσαμένους, ὥσπερ ὁπλισαμένους, ἢ ἀπροβουλεύτους· ὅμοιος γάρ ἐστιν ὁ κατὰ τὴν ἀσθενῆ ἀκρασίαν ἀκρατὴς τοῖς ταχέως μεθυσκομένοις, καὶ ὑπὸ ὀλίγου οἴνου καὶ ἐλάττονος, ἢ ὡς οἱ πολλοί.

Ὅτι μὲν οὖν κακία ἐστὶν ἡ ἀκρασία, φανερὸν, πλὴν οὐχ ἁπλῶς κακία, οἷα ἡ ἀκολασία, ἀλλά πῃ· καθ' ὅσον μὲν γὰρ προαιρεῖταί πως τὸ κακὸν ἐν τῷ πάθει ὢν, κακία ἐστί· καθ' ὅσον δὲ οὐ πάντῃ οἴεται δεῖν διώκειν τὸ πάθος, οὐκ ἔστι κακία. Καὶ ἔστιν ὁμοία τοῖς Μιλησίοις, οὓς Δημόδοκος ἔφη σκώπτων, Μιλήσιοι ἀσύνετοι μὲν οὐκ εἰσὶν, δρῶσι δὲ οἷάπερ οἱ ἀσύνετοι· τὸν αὐτὸν τρόπον καὶ οἱ ἀκρατεῖς ἀκόλαστοι μὲν οὐκ εἰσὶ, δρῶσι δὲ τὰ τῶν ἀκολάστων.

Ἐπεὶ δὲ ὁ μὲν ἀκρατὴς διώκει τὰς σωματικὰς ἡδονὰς παρὰ τὸν ὀρθὸν λόγον, οὐ πεπεισμένος ὅτι εἰσὶν ἀγαθαὶ καὶ δεῖ διώκειν, ὁ δὲ ἀκόλαστος πέπεισται ὡς δεῖ διώκειν, ὁ μὲν ἀκρατὴς εὐμετάπειστός ἐστιν, ὁ δὲ ἀκόλαστος οὔ. Τὴν γὰρ ἀρχὴν τῶν πράξεων, ἥτις ἐστὶ τὸ ἀγαθὸν καὶ τὸ τέλος οὗ ἕνεκα, ἡ μὲν ἀρετὴ σώζει, ἡ δὲ μοχθηρία φθείρει. Καὶ γὰρ διὰ μὲν τῆς ἀρετῆς ἀφικνούμεθα εἰς τὸ ἀγαθὸν, διὰ δὲ τῆς μοχθηρίας ἀποχωροῦμεν αὐτοῦ· τὸ δὲ τοιοῦτον τέλος οὐ διὰ λόγου καὶ ἀποδείξεως γινώσκεται, ὥσπερ οὐδὲ

dunt ſe cupiditatibus invadi. Jam vero ſimpliciter etiam turpius eſt poſt deliberationem, tanquam armatum ſuperari, quam ſine deliberatione victum eſſe. Qui enim imbecilli laborat incontinentia, iis qui facile & à parva vini copia, aut minore certe quam plerique, inebriantur, eſt ſimilis. *Ariſtot. l. 7. c. 8.*

Vitium ergo eſſe incontinentiam manifeſtum eſt. Licet non ſimpliciter quemadmodum intemperantia, ſed reſpectu quodam. Quatenus enim quamdiu in perturbatione illa verſatur, præeligit malum, eſt vitium: quatenus vero non omnino ſequendam eſſe putat illam perturbationem, non eſt vitium. Quare ſimilis eſt Mileſiis illis, de quibus Demodocus ait, qui perſtringit eos: Non quidem deſipientes ſunt Mileſii, ſed quæ deſipientes, agunt. Eodem quoque modo incontinentes, intemperantes quidem non ſunt, ſed quæ intemperantes, agunt. *Ὅτι μὲν οὖν κακία, &c.*

Cum præter rectam ergo rationem corporis voluptates ſequatur incontinens, non quod perſuaſerit ſibi bonas eas aut ſequendas eſſe, intemperans vero ſequendas eas eſſe ſibi perſuaſerit; facile mutari poteſt incontinens, minime autem poteſt intemperans. Actionum quippe principium, ipſum nimirum bonum, finemque cujus cauſa fit aliquid, conſervat virtus, corrumpit improbitas. Per virtutē quippe pervenimus ad bonum, improbitate vero ab eo recedimus. Finis autem ejuſmodi nec ratione cognoſcitur nec demonſtratione, *Ἐπεὶ δ' ὁ μὲν τοιοῦτός ἐστιν, &c.*

ſicut

Aristot. l.7.c.8.

ſicut nec demonſtratione mathematica cognoſcuntur principia. Sed virtus quædam potius eſt, vel natura comparata vel conſuetudine, ut rectam aliquis de fine habeat opinionem. Vel à natura enim, vel à bona conſuetudine talis nobis contingit cognitio.

Σώφρων μὲν οὖν ὁ τοιοῦτος, &c.

Quare qui bonum, quod tanquam finem actionum nobis proponere debemus, & noverit, & quæ eo tendunt, egerit, is temperans vocatur. Qui vero pro fine ſibi proponit malum eoque voluptates dirigit ſuas, intemperans dicetur. Qui vero finem proponit bonum, & eodem actiones dirigendas putat ſuas, & tamen nihilominus à recta ratione, perturbatione abſtrahitur quadam (non quod oportere aliquem ſequi hujuſmodi voluptates putet, ſed quod in ipſis tantum peccet actionibus) talis nec temperans dici nec intemperans poterit. Nam & temperante pejor propter actiones, & intemperante melior, propter rationem eſt. Alter enim aliquatenus, alter vero ſimpliciter eſt malus. Incontinenti vero alius opponitur, continens nimirum, qui perturbatione nulla à vera abſtrahitur ratione. Unde apparet, & honeſtum habitum continentiam, & malum habitum eſſe incontinentiam.

αἱ ἀρχαὶ τῶν μαθημάτων ἀποδείξει γινώσκονται· ἀλλὰ ἀρετή τίς ἐστι φυσικὴ, ἢ ἐθικὴ, τὸ ὀρθὴν δόξαν ἔχειν περὶ τοῦ τέλους. Ἡ γὰρ φύσει, ἢ ἀπὸ ἀγαθοῦ ἔθους ἡ τοιαύτη ἡμῖν περιγίνεται γνῶσις.

Ὁ μὲν οὖν εἰδὼς τὸ ἀγαθὸν, ὃ δεῖ ποιεῖσθαι τέλος τῶν πράξεων, καὶ πράττων ἃ πρὸς αὐτὸ φέρει, σώφρων· ὁ δὲ τὸ κακὸν ὑποτιθέμενος τέλος, καὶ πρὸς ἐκεῖνο τάττων τὰς ἡδονὰς, ἀκόλαστος. Ὃς δὲ ὑποτίθεται μὲν ἀγαθὸν τέλος, καὶ πρὸς τοῦτο τάττειν τὰς ἑαυτοῦ πράξεις οἴεται δεῖν, ἐξίσταται δὲ διὰ πάθος τοῦ ὀρθοῦ λόγου, οὐχ ὥστε νομίσαι δέον εἶναι διώκειν τὰς τοιαύτας ἡδονὰς, ἀλλ' ὥστε μόνον περὶ τὰς πράξεις ἐξαμαρτάνειν, ὁ τοιοῦτος οὔτε σώφρων, ἂν εἴη, οὔτε ἀκόλαστος· ἀλλὰ τοῦ μὲν σώφρονος χείρων διὰ τὰς πράξεις, τοῦ δὲ ἀκολάστου βελτίων, διὰ τὸν λόγον. Ὁ μὲν γὰρ πῇ φαῦλος, ὁ δὲ ἀκόλαστος ἁπλῶς. Τῷ δὲ ἀκρατεῖ ἄλλος ἐναντίος, ὁ ἐγκρατὴς, ὃς οὐκ ἐξίσταται τοῦ λογισμοῦ διὰ τὸ πάθος· ὅθεν φανερὸν, ὅτι ἡ μὲν ἐγκράτεια σπουδαία ἕξις ἐστίν· ἡ δὲ ἀκρασία, φαύλη.

Aristot. l. 7 c. 9.

ΚΕΦ. ιδ.

CAP. XIV.

Τίς καθ' αὑτὸ ἐγκρατὴς, καὶ τίς ὁ κατὰ συμβεβηκός.

Quis ſit continens per ſe, & quis per accidens.

ΖΗτητέον δὲ κἀκεῖνο, ὅπερ ἠπορήθη πρότερον· πότερον ὁποιᾳοῦν προαιρέσει ἐμμένων οὗτος ἐγκρατής ἐστιν, ἢ ὁ τῇ ὀρθῇ, καὶ περὶ τοῦ ἀκρατοῦς ὁμοίως. Κατὰ συμβεβηκὸς μὲν οὖν ἐγκρατὴς λέγεται ὁ ἐμμένων ὁποιᾳοῦν προαιρέσει, καθ' αὑτὸ δὲ ἐγκρατὴς, ὁ ἐμμένων τῇ ὀρθῇ προαιρέσει, καὶ τῷ ἀληθεῖ λόγῳ· καὶ ἀκρατὴς ὁμοίως κατὰ συμβεβηκὸς, ὁ μὴ ἐμμένων ὁποιᾳοῦν δόξῃ· καθ' αὑτὸ δὲ ὁ μὴ ἐμμένων τῇ ὀρθῇ· καὶ γὰρ εἴ τις ζητεῖ καὶ αἱρεῖταί τι οὐκ αὐτὸ δι' ἑαυτὸ, ἀλλὰ δι' ἄλλο, αὐτὸ μὲν κατὰ συμβεβηκὸς ζητεῖ, οὗ δὲ ἕνεκα τοῦτο ζητεῖ, ἐκεῖνο ζητεῖ καθ' αὑτό· ὁ γὰρ διὰ δόξαν χρήματα ζητῶν, κατὰ συμβεβηκὸς μὲν τὰ χρήματα ζητεῖ, καθ' αὑτὸ δὲ τὴν δόξαν. Τὸν αὐτὸν δὴ τρόπον καὶ ἐπὶ τούτων συμβαίνει· ὁ μὲν γὰρ τῇ ἀγαθῇ δόξῃ ἐμμένων καὶ τῇ ὀρθῇ προαιρέσει, αὐτὸ τὸ ἀγαθὸν αἱρεῖται, διότι ἀγαθόν. ὥστε καθ' αὑτὸ ἐγκρατής ἐστιν. Ὁ δὲ ἐμμένων τῇ μὴ ὀρθῇ προαιρέσει καὶ τῇ ψευδεῖ δόξῃ, ἐμμένει διὰ τὸ νομίζειν ὅτι ἀγαθόν ἐστιν ὃ αἱρεῖται· νομίζει δὲ ὅτι ἐστὶν ἐν αὐτῷ τοῦ ἀγαθοῦ τι ἀμυδρὸν ἴχνος· δι' ὃ ἔχεται τῆς μὴ ὀρθῆς προαιρέσεως καὶ τῆς ψευδοῦς δόξης, ὡς ὀρθῆς καὶ ἀληθοῦς· ἐπεὶ τοίνυν οὐ δι' ἑαυτὰ αἱρεῖται καὶ οἷς ἐμμένει, ἀλλὰ

SEd & illud quærendum eſt de quo dubitavimus prius. Utrum qui in omni manet propoſito, ſit continens, an qui in recto tantum. Eodemque modo & de incontinente. Per accidens ergo continens is dicitur qui in omni manet propoſito, per ſe vero qui in recto tantum, & vera ratione. Eodemque modo incontinens per accidens, qui in quavis non perſiſtit opinione, per ſe vero qui non in recta. Si quis enim quid petit aut eligit, non per ſe ipſum, ſed alterius cauſa, hoc quidem per accidens, illud vero cujus gratia id petit, per ſe petit. Nam qui gloriæ cauſa opes petit, per accidens quidem opes, per ſe autem gloriam petit. Eodem modo in his quoque. Nam qui in bona opinione & recto perſiſtit propoſito, ipſum quia bonum eſt, petit bonum: quare per ſe eſt continens. Qui vero in propoſito non recto, & in opinione falſa perſiſtit, ideo quia bonum arbitratur eſſe id quod eligit, perſiſtit (id autem arbitratur, quia obſcurum aliquod boni veſtigium in eo apparet) ideoque propoſitum non rectum, & opinionem falſam, tanquam rectam amplectitur veramque. Quia ergo non per ſe eligit quæ eligit, & in quibus perſiſtit, ſed propter bo-

Cap. 9. Πότερον ἐγκρατής ἐστιν, &c.

Ariſtot. l.7.c 9.

num illud, non per ſe, ſed per accidens eſt continens. Eodemque modo & in oppoſitis ſe habet. Quodammodo enim incontinens, qui in quacunque opinione non perſiſtit, ſimpliciter vero, qui non in recta. Simpliciter enim & per ſe pro eodem ſumuntur.

διὰ τὸ ἀγαθὸν, οὐ καθ' αὑτὸ ἐγκρατής ἐστιν, ἀλλὰ κατὰ συμβεβηκός. Ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἀντικειμένων ἔχει· πῶς μὲν ἀκρατὴς ὁ μὴ ἐμμένων ὁποιαοῦν δόξῃ, ἁπλῶς δὲ ὁ μὴ ἐμμένων τῇ ὀρθῇ· τὸ γὰρ ἁπλῶς καὶ τὸ καθ' αὑτὸ, ταὐτόν ἐστιν.

CAP. XV. — ΚΕΦ. ιε.

Eos quos pertinaces vocant, & qui ſuæ adhærent tantum opinioni, non eſſe continentes.

Ὅτι οἱ ἰσχυρογνώμονες καὶ ἰδιογνώμονες οὐκ εἰσὶν ἐγκρατεῖς.

Ἐπεὶ δέ τινες οἱ ἐμμενετικοί, &c.

QUos vero pertinaces vocant, ii in opinione quidem permanent aliqua, & in propoſito nonnunquam vero bonoque perſiſtunt, neque tamen ſunt continentes. Sed quemadmodum liberalibus ſimiles ſunt prodigi, fortibus audaces, eodem modo continentibus hi quoque. Suntque ſicut illi quibus difficulter perſuaderi aliquid poteſt, neque facile in aliam poſſunt traduci ſententiam. Quatenus ergo in ſententia manent, continentibus ſunt ſimiles. Hoc intereſt, quod ratione & perſuadendo mutantur continentes, nulla vero ratione pertinaces. Multi vero à cupiditatibus & voluptatibus trahuntur. Sunt autem pertinaces, & qui propriis opinionibus adhærent, & indocti agreſteſque. Indocti quidem agreſteſque quia principia, quibus perſuaderi poſſint, ignorant. Qui vero propriis adhærent opinionibus, voluptatis cauſa & doloris ut ſententiam mutent non

Οἱ δὲ καλούμενοι ἰσχυρογνώμονες, ἐμμένουσι μὲν δόξῃ τινὶ, ἐνίοτε καὶ ἀληθεῖ καὶ ἀγαθῇ προαιρέσει, ἐγκρατεῖς δὲ οὐκ εἰσίν· ἀλλ' ὥσπερ οἱ ἄσωτοι ἐοίκασι τοῖς ἐλευθερίοις, καὶ οἱ θρασεῖς τοῖς ἀνδρείοις, τὸν αὐτὸν τρόπον καὶ οὗτοι τοῖς ἐγκρατέσι· καὶ εἰσὶν οἷον δύσπειστοί τινες, καὶ οὐκ εὐμετάπειστοι· καθόσον μὲν οὖν ἐμμενετικοί εἰσιν, ἐοίκασι τοῖς ἐγκρατέσιν· ἀλλ' οἱ μὲν ἐγκρατεῖς μεταβάλλονται ὑπὸ λόγου τινὸς καὶ πειθοῦς, οἱ δὲ ἰσχυρογνώμονες ὑπὸ μὲν λόγου οὐ μεταβάλλονται, ὑπὸ δὲ ἐπιθυμίας καὶ ἡδονῶν πολλοὶ τούτων ἄγονται. εἰσὶ δὲ ἰσχυρογνώμονες καὶ οἱ ἰδιογνώμονες, καὶ οἱ ἀμαθεῖς καὶ οἱ ἄγροικοι· οἱ μὲν ἀμαθεῖς καὶ ἄγροικοι, διὰ τὸ μὴ εἰδέναι τὰς ἀρχὰς ὅθεν πεισθῆναι δυνατόν· οἱ δὲ ἰδιογνώμονες διὰ ἡδονὴν καὶ λύπην οὐ μεταπείθονται·

πείθονται· ἥδονται γὰρ μὴ ἡττώμενοι τῶν πείθειν ἐπιχειρούντων καὶ λυποῦνται, ἐὰν ἄκυρα γένωνται τὰ αὐτῶν ὥσπερ ψηφίσματα· καὶ διὰ τοῦτο μᾶλλον ἐοίκασι τοῖς ἀκρατέσιν οἱ ἰδιογνώμονες ἢ τοῖς ἐγκρατέσιν· οὐ γὰρ λόγῳ, ἀλλὰ πάθεσιν ἀκολουθοῦσιν, ὥσπερ ἐκεῖνοι.

Εἰσὶ δέ τινες, οἳ ἐμμένουσι τοῖς δεδογμένοις ἀληθέσιν, ἢ οὐκ ἐμμένουσι τοῖς ψευδέσι διὰ ἡδονὴν, οἳ οὐκ εἰσὶ φαῦλοι, ὅτι διὰ ἡδονὴν ἐπαινετὴν ἐμμένουσιν ἢ οὐκ ἐμμένουσιν. Ὥσπερ ὁ Νεοπτόλεμος ἐποίησεν. Οὐ γὰρ ἐνέμεινεν οἷς συνέθετο τῷ Ὀδυσσεῖ, καὶ οὐκ ἠπάτησε τὸν Φιλοκτήτην ψευσάμενος, διὰ ἡδονὴν καλὴν καὶ οὐ φαύλην· οὐ γὰρ ὁ δι' ἡδονήν τι ποιῶν ἁπλῶς, ἀκόλαστος, ἢ φαῦλος, ἢ ἀκρατὴς, ἀλλ' ὁ δι' αἰσχρὰν ἡδονὴν, οὗτος ψέγεται.

persuadentur. Hoc ipſo enim quod persuadere aliquid conantibus non ſuccumbant, delectari videntur: contraque dolent, ſi eorum reſcindantur quaſi decreta. Ideoque magis incontinentibus ſunt ſimiles quam continentibus, qui propriæ ſententiæ adhærent: non enim rationem, ſed affectus ſequuntur ut illi. Ariſtot. l.7.c.9.

Sunt autem quidam qui in opinionibus perſiſtunt veris, aut non perſiſtunt in falſis, idq; cauſa voluptatis qui non ſunt improbi, quia laudandæ voluptatis cauſa, aut perſiſtũt, aut non perſiſtũt. Sicut Neoptolemus, qui non perſiſtebat in iis quæ Ulyſſi receperat, neq; Philoctetem fallebat, idq; non improba inductus voluptate, ſed honeſta. Nec enim qui voluptatis cauſa ſimpliciter facit aliquid, intemperans improbuſve eſt aut incontinens dicendus, ſed qui fœdæ alicujus, is demum vituperatur. Ἐισὶ δέ τινες οἱ τοῖς δόξασι, &c.

ΚΕΦ. ιϛ'.

CAP. XVI.

Περὶ τῆς ἀκρατείας, πῶς ἔχει πρὸς τὴν σωφροσύνην· καὶ τίνα τρόπον ὁ ἀκρατὴς δοκεῖ φρόνιμος ἐνίοτε εἶναι.

De incontinentia, quomodo ad temperantiam ſe habeat: & quo pacto prudens aliquando videatur eſſe, qui incontinens eſt.

ΕΠεὶ δὲ ἡ ἐγκράτεια ἕξις ἐστὶν ἐπαινετὴ, μεσότης ἂν εἴη δύο κακιῶν· ὧν τῆς μὲν ἐλαττωθήσεται, τὴν δὲ ὑπερβαλεῖ· ἡ μὲν οὖν ἀκρασία ὑπερβάλλει τὴν ἐγκράτειαν· ἡ δὲ ἐλλείπουσα ἕξις ἀνώνυμος· ἔστι δὲ καθ' ἥν τινες ἧ-

CUm autem habitus laudandus ſit continentia, ſequitur duorum vitiorum eſſe medium: quorum ab altero quidem ſuperabitur, alterum vero ſuperabit. Incontinentia ergo ſuperat continentiam: qui vero ſuperatur habitus, caret nomine. Is Ἐπεὶ δ' ἐστί τις καὶ τοιοῦτος, &c.

Ariſtot. l.7.c.9.

autem eſt, quo minus quàm oportet, voluptatibus corporeis delectantur homines: qui & ipſi à recta diſcedunt ratione. In recta n. ratione non perſiſtit incontinens, quia plus quam oportet voluptatibus delectatur. Qui vero deficit, præter rectam & ipſe rationem facit, quia minus quam oportet ſequitur jucunda. Continens autem in recta perſiſtit ratione, neque ab ea, aut parvæ voluptatis cauſa abit, aut magnæ. Cum vero & laudanda & honeſta ſit continentia, neceſſe eſt eos qui utrimque ſunt habitus, improbos eſſe & cum continentia pugnare. Sed quia nomine caret, raroque contrarius evenit habitus (rari enim illi ſunt admodum, qui minus quam oportet corporeis delectantur voluptatibus) ideo ſola contraria videtur eſſe incontinentia: quia, dico, raro reperitur ſtoliditas.

Ἐπεὶ δὲ καθ' ὁμοιότητα, &c.

Temperans autem etiam qui continens eſt, & intemperans qui eſt incontinens, vice verſa, ob ſimilitudinem vocatur. Multa enim ſimilitudinis cauſa eodem appellantur nomine. In iiſdem quippe & temperans verſatur & continens, neque præter rectam rationem quicquam agit earum altera: licet temperanti quidem non adverſentur, continenti vero adverſentur cupiditates ſuæ: & præter rationem quidem non delectatur temperans, delectatur vero, non autem trahitur à voluptatibus continens. Eodemque modo, quatenus ab iiſdem ſuperantur voluptatibus, ſimiles

δονται ταῖς σωματικαῖς ἡδοναῖς ἔλαττον τοῦ δέοντος. Οἳ καὶ αὐτοὶ τοῦ ὀρθοῦ λόγου διαμαρτάνουσιν. Ὁ μὲν γὰρ ἀκρατὴς οὐκ ἐμμένει τῷ ὀρθῷ λόγῳ, διὰ τὸ μᾶλλον, ἢ προσήκει, χαίρειν ταῖς ἡδοναῖς· ὁ δὲ ἐλλείπων παρὰ τὸν ὀρθὸν ποιεῖ λόγον, διὰ τὸ ἔλαττον, ἢ δεῖ, τὰ ἡδέα ζητεῖν. Ὁ δὲ ἐγκρατὴς ἐμμένει τῷ ὀρθῷ λόγῳ, καὶ οὐκ ἐξίσταται αὐτοῦ, οὔτε διὰ μικρὰν ἡδονήν, οὔτε διὰ μεγάλην. Ἐπεὶ δὲ ἡ ἐγκράτεια τῶν ἐπαινετῶν καὶ σπουδαίων, ἀνάγκη τὰς παρ' ἑκάτερα ἕξεις φαύλας εἶναι, καὶ τῇ ἐγκρατείᾳ ἐναντίας· ἀλλ' ὅτι ἡ ἐλλείπουσα ἕξις ἀνώνυμος καὶ ἐλάχιστα συμβαίνει· σπάνιοι γὰρ οἱ ἧττον τοῦ δέοντος χαίροντες ταῖς σωματικαῖς ἡδοναῖς· διὰ τοῦτο μόνη ἡ ἀκρασία δοκεῖ ἐναντία εἶναι, ὅτι ἡ ἠλιθιότης ὀλιγάκις εὑρίσκεται.

Σώφρων δὴ ὁ ἐγκρατὴς λέγεται, καὶ ὁ ἀκρατὴς ἀκόλαστος, καὶ τὸ ἀνάπαλιν, καθ' ὁμοιότητα· πολλὰ γὰρ ὀνομάζομεν ἑνὶ ὀνόματι διά τινα ὁμοιότητα. Καὶ γὰρ περὶ τὰ αὐτά ἐστιν ὁ σώφρων καὶ ὁ ἐγκρατής, καὶ παρὰ τὸν λόγον οὐδὲν ποιοῦσιν ἀμφότεροι, εἰ καὶ τῷ σώφρονι μὲν αἱ ἐπιθυμίαι οὐ πολεμοῦσι. Τὸ ἐγκρατεῖ δὲ πολεμοῦσι. Καὶ ὁ μὲν σώφρων οὐδὲ ἥδεται παρὰ τὸν λόγον, ὁ δὲ ἐγκρατὴς ἥδεται μέν, οὐκ ἄγεται δὲ ὑπὸ τῶν ἡδονῶν. Καὶ ὁ ἀκόλαστος δὲ καὶ ὁ ἀκρατὴς ὁμοίως· ὅμοιοι μέν εἰσι, καθόσον τῶν αὐτῶν ἡδονῶν ἡττῶνται· διαφέρουσι

ρουσι δέ, ὅτι ὁ μὲν ἀκόλαστος οἴεται δεῖν διώκειν τὰς ἡδονάς, ὁ δὲ ἀκρατὴς οὔ.

Κατὰ τὸν αὐτὸν δὲ τρόπον καί τινας ἀκρατεῖς φρονίμους ὀνομάζουσι καθ᾽ ὁμοιότητά τινα πρὸς τὴν φρόνησιν· τινὲς γὰρ τῶν ἀκρατῶν δεινοί εἰσιν· ἡ δὲ δεινότης ἔοικε τῇ φρονήσει· καὶ γὰρ οἱ δεινοὶ κατὰ τὴν γνῶσιν τοῦ δέοντος ἐοίκασι τοῖς φρονίμοις. Ἀλλ᾽ οἱ μὲν γινώσκουσι μόνον τὸ δέον, οὐ προαιροῦνται δὲ πράττειν, οὐ δὲ πράττουσιν· οἱ δὲ φρόνιμοι γινώσκοντες τὸ δέον καὶ πράττουσι. Καὶ διὰ τοῦτο ὁ μὲν φρόνιμος σπουδαῖός ἐστιν· ἀκρατὴς δὲ κἂν δεινὸς ᾖ, φαῦλός ἐστι καὶ ψέγεται.

Καὶ γὰρ εἰ καὶ γινώσκει τὸ δέον, ἀλλ᾽ οὐχ ὥσπερ ὁ φρόνιμος ἐνεργείᾳ θεωρῶν καὶ χρώμενος τῇ ἐπιστήμῃ, ἀλλὰ καθάπερ εἴρηται, ὡς ὁ καθεύδων καὶ οἰνωμένος. Διὰ ταύτην δὴ τὴν ὁμοιότητα ὁ δεινὸς ἀκρατής, φρόνιμος ὀνομάζεται, καὶ ἔοικε φρονίμῳ· ἐπεὶ καὶ ὁ ἁπλῶς ἀκρατὴς οὐ πονηρὸς καθάπαξ, ἀλλ᾽ ἡμιπόνηρός τις· οὐδὲ ἄδικος· οὐ γὰρ ἐπίβουλος· ἐπεὶ γὰρ ἑκὼν ποιεῖ τὰ φαῦλα, καὶ εἰδὼς ὅτι φαῦλα καὶ ὅτι εἰς φαῦλον φέρουσι τέλος, καὶ ὅτι δεῖ τὰ βελτίω ποιεῖν, κατά τι μὲν πονηρός, κατά τι δὲ οὐ πονηρός. ἡ μὲν γὰρ πρᾶξις πονηρά, ἡ δὲ κρίσις ἐπιεικής· ἡ δὲ τοῦ πονηροῦ περὶ τὰς
improbus, ex parte non eſt.

quoque inter ſe ſunt, intemperans & incontinens. Hoc tamen differunt: quod petendas eſſe voluptates putat intemperans, non putat incontinens. Ariſt. l.7.c.10.

Eademque ratione à prudentiæ quadam ſimilitudine incontinentes aliquos prudentes vocant. Quidam enim incontinentes ſunt ſolertes: ſimilis autem prudentiæ eſt ſolertia. Solertes quippe, quatenus quod fieri oportet noverunt, ſimiles ſunt prudentibus. Hoc rurſus intereſt, quod illi id quod fieri oportet noverint tantum, non vero in agendo præeligant, aut agant: prudentes vero id quod fieri oportet non noverint tantum, ſed & agant. Ideoque prudens, vir bonus eſt: incontinens vero, licet ſit ſolers, improbus eſt tamen, & reprehenditur. Cap. 10. Οὐδ᾽ ἅμα φρόνιμον, &c.

Etenim, licet quid oporteat fieri, norit ſatis, non quemadmodum prudens tamen ad agendum contemplationem transfert ſuam, aut utitur ſcientia, ſed quemadmodum dictum eſt, ſicut qui dormit, aut eſt ebrius. Et ob hanc quidem ſimilitudinem, incontinens qui ſimul & ſolers eſt, & dicitur prudens, & ſimilis prudenti eſt. Siquidem & ille qui ſimpliciter incontinens eſt, non ſimpliciter quoq; improbus eſt, ſed ex altera parte tantum. Neqꝫ eſt injuſtus: non enim eſt inſidioſus. Quia enim ſponte quod improbum eſt, agit, novitq; eſſe improba quæ agit, ſed & improbum eſſe non ignorat quo tendunt finem, ut neque quæ meliora ſunt agenda eſſe, ex parte Actio quippe improba, judicium Οὐδὲ δὴ ὡς ὁ εἰδὼς, &c.

'Ariſto. l.7.c.10 vero eſt rectum. Ejus vero qui in corporeis improbus eſt voluptatibus, intemperantis nimirum, & actio improba eſt & judicium. Itaque in altero tantum peccat alter. Incontinens enim aut imbecilli incontinentia eſt incontinens, aut temeraria. Uterq; autem in actione peccat tantum. Temerarius quippe, nè deliberat quidem: imbecillis vero ita deliberat, ut putet fœdis non obtemperandum eſſe voluptatibus: in utroque vero corruptus eſt intemperans. Ideo civitati, quæ omnia quæ oportet decrevit, legeſque habet optimas, nihilque hac quidem in parte fecit reliquum, ſed nulla earum utitur, ſimilis eſt intemperantia. Planeq; quod Anaxandrides cavillabatur olim:

Urbs ſtatuit: at quæ deſtruit leges ſuas.

Contra vero urbi quæ legibus quidem utitur, ſed improbis, ſimilis eſt intemperans. Omnis autem tum continentia tum incontinentia in exceſſu eſt ejus habitus, qui eſt multorum. A quibus enim ſuperantur plerique, ea ſuperat continens: quæ vero ſuperant plerique, ab iis ſuperatur incontinens.

'Εὐιατώτερα δὲ τῶν ἀκρασιῶν, &c. Jam vero qua laborant melancholici difficilior ſanatu eſt, temeraria nimirum, quam imbecillis incontinentia: ita dico, qua deliberant quidem etiam incontinentes, ſed non perſiſtunt. Sicut & qui à natura ſunt incontinentes difficilius ſanantur, quam qui à conſuetudine, facilius enim conſuetudo mutatur, quam natura. Ideo enim difficilis mu-

σωματικὰς ἡδονάς, ὅς ἐστιν ὁ ἀκόλαστος, καὶ ἡ πρᾶξις πονηρά, καὶ ἡ κρίσις· ὁ δὲ περὶ τὸ ἕτερον μόνον ἁμαρτάνει· ὁ γὰρ ἀκρατὴς ἢ τὴν ἀσθενῆ ἀκρασίαν ἐστὶν ἀκρατής, ἢ τὴν προπετῆ· ἀμφότεροι δὲ κατὰ τὴν πρᾶξιν μόνον εἰσὶ πονηροί. Ὁ μὲν γὰρ προπετὴς οὐδὲ βουλεύεται· ὁ δὲ ἀσθενὴς βουλεύεται, ὡς οὐ δεῖ ταῖς αἰσχραῖς ἐπιθυμίαις ἀκολουθεῖν· ὁ δὲ ἀκόλαστος καθ' ἄμφω διέφθαρται. Διὰ τοῦτο ὁ μὲν ἀκρατὴς ἔοικε πόλει, ἣ ψηφίζεται μὲν ἅπαντα τὰ δέοντα, καὶ νόμους ἔχει σπουδαίους, καὶ ὑγιαίνει τοῦτο τὸ μέρος, χρῆται δὲ οὐδενί, ὥσπερ Ἀναξανδρίδης ἔσκωψεν·

Ἡ πόλις ἐβούλεθ', ᾗ νόμων οὐδὲν μέλει.

Ὁ δὲ ἀκόλαστος ἔοικε πόλει χρωμένῃ μὲν νόμοις πονηροῖς δὲ χρωμένῃ· πᾶσα δὲ ἐγκράτεια καὶ ἀκρασία ἐστὶ περὶ τὰς ὑπερβολὰς τῆς ἕξεως τῶν πολλῶν. Ὁ μὲν γὰρ ἐγκρατὴς νικᾷ ὧν οἱ πολλοὶ ἡττῶνται· ὁ δὲ ἀκρατὴς ἡττᾶται ὧν οἱ πολλοὶ κρατοῦσιν.

Ἔστι δὲ ἡ προπετὴς ἀκρασία, ἣν οἱ μελαγχολικοὶ ἀκρατεύονται, δυσχερεστέρα ἰαθῆναι τῆς ἀσθενοῦς, καθ' ἣν βουλεύονται οἱ ἀκρατεῖς καὶ οὐκ ἐμμένουσιν. Ὁμοίως δὲ καὶ οἱ φυσικῶς ἀκρατευόμενοι δυσιατότεροι τῶν δι' ἔθος ἀκρατῶν. Ῥᾷον γὰρ μετακινῆσαι ἔθος ἢ φύσιν· διὰ τοῦτο γὰρ καὶ τὸ ἔθος χαλεπόν,

πὸν, ὅτι ἔοικε φύσει· ὥσπερ Εὔηνος λέγει.

Φημὶ πολυχρόνιον μελέτην ἔμμεναι φίλε, καὶ δὴ
Ταύτην ἀνθρώποισι τελευτῶσαν φύσιν εἶναι.

Τί μὲν οὖν ἐστὶν ἐγκράτεια, καὶ τί καρτερία, καὶ ἀκρασία, καὶ μαλακία, καὶ πῶς ἔχουσιν αἱ ἕξεις αὗται πρὸς ἀλλήλας, εἴρηται.

tatu conſuetudo eſt, quia ſimilis naturæ eſt. Sicut Evenus ait: Ariſtot. l.7.c.11.

Temporis hanc multi curam aſſirmamus, amice.
Poſtremamque homini naturam dicimus eſſe.

Quid ergo ſit continentia, quid tolerantia, & incontinentia ac mollities, tum quomodo ad ſeſe invicem habeant ſe hi habitus, dictum eſt.

ΚΕΦ. ιζ.

Περὶ ἡδονῆς.

Περὶ δὲ ἡδονῆς καὶ λύπης ἤδη σκοπῶμεν· ἔστι γὰρ οἰκεῖον καὶ προσῆκον τῷ περὶ τῆς πολιτικῆς φιλοσοφοῦντι. Οὗτος γάρ ἐστι τοῦ τέλους ἀρχιτέκτων, καθὼς ἐν τοῖς προειρημένοις ἐφάνη. Τὸ δὲ τέλος ἐστὶ τὸ ἀγαθὸν, καὶ τὸ ἄριστον, ᾧ καθάπερ κανόνι, διακρίνομεν τῶν πρακτῶν τὰ ἀγαθὰ τῶν φαύλων, ἃ μὲν γὰρ πρὸς ἐκεῖνο φέρει τὸ τέλος, ἀγαθὰ νομίζομεν· ἃ δὲ τοῦ τέλους ἀπάγει, φαῦλα· ἐπεὶ τοίνυν ἡ ἡδονὴ τοῖς μὲν ἀγαθὸν δοκεῖ, τοῖς δὲ φαῦλον, ἐνίοις δὲ καὶ αὐτὸ τέλος τὸ ἄριστον, ἀκόλουθόν ἐστι πολιτικῷ ζητῆσαι περὶ αὐτῆς. Ἔτι δὲ καὶ ἀναγκαῖόν ἐστιν ἐν τῇ περὶ ἀρετῶν καὶ κακιῶν πραγματείᾳ· καὶ γὰρ ἡ ἀρετὴ καὶ ἡ κακία περὶ τὰς ἡδονάς ἐστι καὶ τὰς λύπας, ὡς εἴρηται πρότερον· καὶ δέον τὸν περὶ ἀρετῶν σκοπούμενον καὶ περὶ ἡδονῆς εἰπεῖν· καὶ ὅτι τὴν εὐδαι-

CAP. XVII.

De voluptate.

Jam autem de voluptate videamus & dolore: quæ quidem quæſtio propria illius eſt, qui in civili occupatur ſcientia. Cap. 11. Περὶ δὲ ἡδονῆς, &c. Hic enim quaſi finis ipſius eſt præcipuus, quemadmodum ex ſuperioribus liquebat. Finis autem eſt id quod bonum eſt & optimum, quo tanquam norma quadam, activa bona diſtinguimus à malis. Quæ enim ad finem ducunt illum, bona arbitramur: quæ vero abducunt, mala. Cum voluptas ergo aliis bonum, aliis malum: quibuſdam etiam finis ipſe videatur optimus, omnino ei de voluptate eſt agendum, qui civilem profitetur ſcientiam. Ut omittam, neceſſarium id eſſe, cum de virtute agitur ac vitio. In voluptatibus enim ac doloribus, virtus, ut ſupra dictum eſt, verſatur, & vitium. Quare requiritur, ut is qui de virtutibus agit, etiam de voluptate loquatur. Adde quod felicitatem quidam

Ariſtot. l.7.c.11.

cum voluptate conjunctam dicunt eſſe. Unde etiam Græci μακάριον ἀπὸ τοῦ χαίρειν, id eſt à gaudendo felicem vocant. Ante omnia autem, quæ aliis de his videantur, eſt dicendum.

μονίαν μεθ' ἡδονῆς τινὲς εἶναι φασί· διὸ καὶ τὸν μακάριον ὀνομάζουσιν ἀπὸ τοῦ χαίρειν. Ῥητέον δὲ πρότερον ἃ τοῖς ἄλλοις περὶ τούτου δοκεῖ.

Τοῖς μὲν οὖν δοκεῖ οὐδεμία &c.

Aliis ergo neutiquam, nec per ſe nec per accidens bonum videtur voluptas eſſe. Neq; enim arbitrantur idem & bonum eſſe & voluptatem poſſe. Aliis rurſus inhoneſtæ pleræque voluptates, quædam tamen etiam videntur bonæ. Rurſus alii, etiam ſi bonum omnis voluptas eſſet, minime tamen finem eſſe voluptatem poſſe putabant. Atque hæ quidem aliorum de voluptate ſunt opiniones.

Τοῖς μὲν οὖν οὐδαμῶς δοκεῖ ἀγαθὸν εἶναι ἡ ἡδονὴ οὔτε καθ' αὑτὸ οὔτε κατὰ συμβεβηκός. Οὐ γὰρ νομίζουσι δύνασθαι τὸ αὐτὸ καὶ ἀγαθὸν εἶναι καὶ ἡδονήν. Τοῖς δὲ φαῦλαι μὲν αἱ πλείους δοκοῦσι τῶν ἡδονῶν, ἔνιαι δὲ ἀγαθαί· ἄλλοις δὲ ἐδόκει, εἰ καὶ πᾶσα ἡδονὴ ἀγαθὸν, ἀλλ' οὐδαμῶς ἐνδέχεσθαι τὸ τέλος ἡδονὴν εἶναι. Τὰ μὲν οὖν δοκοῦντα περὶ τῆς ἡδονῆς ταῦτά ἐστι.

CAP. XVIII.

ΚΕΦ. ιή.

Nullam voluptatem bonum eſſe.

Ὅτι οὐδεμία ἡδονὴ ἀγαθόν.

Ὅλως μὲν οὖν οὐκ ἀγαθὸν, &c.

Jam vero cauſæ, cur ſingulis hoc aut illud videretur, explicandæ ſunt. Qui ergo nullam omnino voluptatem bonum putabant eſſe, ita argumentari ſolebant. Omnis voluptas generatio eſt in naturam ſenſibilis; plantarum enim in naturam generatio, ſi non ſit ſenſibilis, non eſt voluptas. Si ergo voluptas eſt generatio, generatio autem eſt imperfecta, illud autem quod imperfectum eſt, non eſt bonum, voluptas quoque non eſt bonum. Id quippe quod factum eſt, non vero ipſum fieri bonum vocamus. Neq; enim ejuſdem generis cum finibus ſuis in quos deſinit, poteſt eſſe generatio. Sicut nec ejuſdem generis cum ædificio eſt

Ῥητέον δὲ δι' ἃ ἑκάστοις ἐδόκει. Οἱ μὲν οὖν λέγοντες μηδεμίαν ἡδονὴν ἀγαθὸν εἶναι οὕτως ἐπιχείρουν· πᾶσα ἡδονὴ γένεσίς ἐστιν εἰς φύσιν αἰσθητή· ἡ γὰρ εἰς τὴν φύσιν γένεσις τῶν φυτῶν οὐκ οὖσα αἰσθητὴ, ἡδονὴ οὐκ ἔστιν· εἰ τοίνυν ἡ ἡδονὴ γένεσις, ἡ δὲ γένεσις ἀτελὲς, τὸ δὲ ἀτελὲς οὐκ ἔστιν ἀγαθὸν, ἡ ἡδονὴ ἄρα οὐκ ἔστιν ἀγαθόν· ἀγαθὸν γὰρ τὸ ἤδη γεγονὸς, οὐ τὸ γίνεσθαι. Οὐ γὰρ ἔστιν ἡ γένεσις ὁμογενὴς τοῖς τέλεσιν, εἰς ἃ τελευτᾷ. Οὐ γὰρ ἡ οἰκοδομία ὁμογενὴς τῷ οἴκῳ. Ἔτι ὁ σώφρων φεύγει τὰ ἡδέα.

φαυκτά. Σπουδαῖος γὰρ φεύγει δὲ τὰς ἡδονάς. Ἡ ἡδονὴ ἄρα οὐκ ἔστιν ἀγαθόν. Ἔτι ὁ φρόνιμος τὸ ἀγαθὸν διώκει· τὴν ἡδονὴν δὲ οὐ διώκει· τὸ γὰρ ἄλυπον διώκει, οὐ τὸ ἡδύ· οὐκ ἄρα ἡ ἡδονὴ ἀγαθόν. Ἔτι ἐμπόδιον ἡ ἡδονὴ τῇ φρονήσει, καὶ τοσούτῳ μᾶλλον, ὅσῳ μείζων ἡ ἡδονή. οὐδεὶς γὰρ δύναται ἐν ταῖς μεγίσταις ἡδοναῖς ὢν νοῆσαί τι. Ἔτι πᾶν ἀγαθὸν τέχνης ἔργον· οὐδεμιᾶς δὲ τέχνης ἔργον ἡ ἡδονή. Οὐκ ἄρα ἀγαθόν. Ἔτι τὰ θηρία διώκει τὰς ἡδονάς, καὶ τὰ παιδία ἀλόγως φερόμενα· ὃ δὲ ζητεῖ τὰ ἀλόγως κινούμενα, οὐκ ἔστιν ἀγαθόν· οὐκ ἄρα ἡ ἡδονὴ ἀγαθόν.

Ὅτι δὲ οὐ πᾶσα ἡδονὴ ἀγαθὸν ἐδόκει, διὰ τὸ ἔνια τῶν ἡδέων βλαβερὰ εἶναι καὶ νοσώδη, καὶ ἡδονάς τινας αἰσχρὰς καὶ ἐπονειδίστους.

Ὅτι δὲ οὐκ ἔστι τὸ τέλος ἡ ἡδονή, διότι γένεσίς ἐστι καὶ κίνησίς τις, τὸ δὲ τέλος ὅρος, εἰς ὃν ἡ κίνησις, τὰ μὲν οὖν λεγόμενα σχεδὸν περὶ ἡδονῆς ταῦτά ἐστι. Τούτων δὲ τὸ μὲν τῶν ἡδονῶν τὰς μὲν ἀγαθάς, τὰς δὲ φαύλας εἶναι ἀληθές· τὰ δὲ λοιπὰ ψεῦδος. Καὶ πειρατέον ἐλέγχειν· καὶ πρῶτον περὶ τοῦ πρώτου λέγωμεν.

ædificatio. Præterea: quæ fugienda ſunt, fugit vir temperans; eſt enim honeſtus: fugit autem voluptates: voluptas ergo non eſt bonum. Præterea: id quod bonum eſt ſequitur vir prudens, voluptatem autem non ſequitur (quod enim ſine dolore eſt potius, quam voluptatem ipſam ſequi ſolet) voluptas ergo non eſt bonum. Præterea: prudentiæ obſtat voluptas, eoq; magis, quo major eſt voluptas (nemo enim qui in maximis verſatur voluptatibus, contemplari poteſt aliquid.) Præterea: omne quod bonum eſt artis opus eſt: nullius autem artis opus eſt voluptas: voluptas ergo non eſt bonum. Præterea: voluptatem belluæ, & qui ſine ratione feruntur pueri, ſequuntur: quod vero ea quæ ſine ratione feruntur ſequi ſolent, non eſt bonum: voluptas ergo non eſt bonum. Ariſtot. l 7.c.11.

Jam vero non eſſe bonum, omnem voluptatem, idcirco videbatur: tum quia nonnulla quæ jucunda ſunt, ſimul noxia ſunt & morboſa: tum quia fœdæ nonnullæ ſunt voluptates & pudēdæ. Τῷ δὲ μὴ πάσας σπουδαίας, &c.

Sed nec finem eſſe voluptatem, quia generatio eſt & motus, finis vero terminus eſt, ad quem tendit motus. Et hæc quidem fere ſunt quæ de voluptate dicuntur. Quarum illa quidem quæ bonas alias, alias malas ſtatuit voluptates, vera eſt ſententia: reliquæ vero & falſæ ſunt, & à nobis quantum fieri poteſt, refutandæ. Ac primo quidem de primo agamus. Ὅτι δ' οὐκ ἄριστον, &c.

CAP.

Ariſtot. l.7.c.12.

CAP. XIX.

Reſpondetur ad ea argumenta quibus bonum negatur voluptas eſſe.

Cap. 12. Ὅτι δ' οὐ συμβαίνει διὰ ταῦτα, &c.

NOn ſequi ergo ex iis quæ diximus, aut bonum non eſſe, aut non eſſe optimum, voluptatem, ex his patet. Cum enim dupliciter dicatur bonum, alterum ſimpliciter per ſe & proprie, ſicut virtus, alterum vero non ſimpliciter, ſed alicui bonum, ſicut præmiari præmiatori bonum eſt, ſequetur etiam omnem naturam ac habitum, omnem item generationem ac motũ, partim ſimpliciter, partim alicui bonum eſſe. Similiterque in malo. Motus enim generationes & habitus, mali ſimpliciter ſunt quidam, quidam alicui tantum, ut puta cuidam malo. Rurſus alii ſemper alicui mali ſunt, alii certo quodam modo, parvoque tempore. Et ſimpliciter quidem mali, ſicut omne, exempli gratia, vitium: cuidam mali, ut intemperanti temperantia, & ſemper & omni modo. Cuidam mali, ſed non ſemper, ſicut intemperanter agere incontinenti. Extincta enim cupiditate, malum videtur: & quaſi cum perturbatione quoq; deſinit. Cum ergo omnis tum motus ita dividatur tum generatio, ſitque alia ſimpliciter mala, alia cuidam tantum, motus autem ſit voluptas quoque, ſequitur non omnem voluptatem eſſe malum. Quibus enim æquum eſt, delectari poteſt aliquis; ut, exempli gratia,

ΚΕΦ. ιθ'.

Λύσις τῶν λόγων, περὶ ὧν ἡ ἡδονὴ δοκεῖ μὴ ἀγαθὸν εἶναι.

ΟΤι γὰρ οὐκ ἀνάγκη διὰ τοὺς εἰρημένους λόγους μὴ εἶναι τὴν ἡδονὴν ἀγαθόν, μηδὲ τὸ ἄριστον, ἐκ τῶνδε δῆλον. Ἐπεὶ γὰρ τὸ ἀγαθὸν διχῶς λέγεται, τὸ μὲν ἁπλῶς καὶ καθ' αὑτὸ καὶ κυρίως, ὡς ἡ ἀρετή· τὸ δὲ οὐχ ἁπλῶς μὲν ἀγαθὸν, τινὶ δὲ ἀγαθὸν, ὡς τὸ λωποδυτεῖν τῷ λωποδύτῃ ἀγαθὸν, ἀκόλουθόν ἐστιν ὅτι καὶ φύσις πᾶσα, καὶ ἕξις, καὶ πᾶσα κίνησις, καὶ γένεσις, ἡ μὲν ἔσται ἁπλῶς ἀγαθὴ, ἡ δὲ τινι. Ὁμοίως καὶ ἐπὶ τοῦ κακοῦ. Κινήσεις γὰρ, καὶ γενέσεις, καὶ ἕξεις, αἱ μὲν φαῦλαι ἁπλῶς, αἱ δέ τινι, καὶ τῶν φαύλων τινί· καὶ αἱ μὲν καὶ ἀεὶ φαῦλαι τινὶ, αἱ δὲ κατά τινα τρόπον, καὶ ὀλίγον χρόνον· ἁπλῶς μὲν φαῦλαι πᾶσα κακία· τινὶ δὲ φαῦλον ἡ σωφροσύνη τῷ ἀκολάστῳ, καὶ ἀεὶ, καὶ πάντα τρόπον· τινὶ δὲ φαῦλον, καὶ οὐκ ἀεὶ, τὸ ἀκολασταίνειν τῷ ἀκρατεῖ. Τῆς γὰρ ἐπιθυμίας σβεσθείσης φαῦλον δοκεῖ, καθάπερ σὺν τῷ πάθει οὐκ ἔστι. Ἐπεὶ τοίνυν πᾶσα κίνησις καὶ γένεσις οὕτω διαιρεῖται, καὶ ἡ μὲν ἁπλῶς φαύλη, ἡ δὲ τινι, κίνησις δὲ καὶ ἡδονὴ, φανερὸν ὅτι οὐ πᾶσα ἡδονὴ φαῦλον. Ἔστι γὰρ ἥδεσθαι ἐφ' οἷς δεῖ ὅταν τις

ἥδε-

ἥδεται ἐπ᾽ ἀρετῇ ἢ σοφίᾳ, καὶ ἔστιν ἥδεσθαι ἐπὶ φαύλοις, καὶ ὅλως καθὼς καθόλου διωρισάμεθα. Ἔτι τοῦ ἀγαθοῦ τὸ μὲν ἐστὶν ἕξις, ὥσπερ ὁ ἔχων δικαιοσύνης ἕξιν· τὸ δὲ ἐνέργεια, ὥσπερ ὁ ποιῶν· ἡ δὲ ἐνέργεια τὴν ἐλλείπουσαν ἕξιν ἀναπληροῖ τῆς ἐνεργείας, σώζεται δὲ καὶ ἡ φυσικὴ ἕξις· ὥσπερ ἡ ὑγίεια ἔγκειται μὲν, σώζεται δὲ διὰ τῶν ὑγιεινῶν σιτίων. Αὕτη δὴ ἡ ἐνέργεια ἡ σώζουσα τὴν ἕξιν ὁποτέραν ἄν τις εἴποι, ἡδεῖα μέν· οὐ καθ᾽ αὑτὸ δὲ, ἀλλὰ κατὰ συμβεβηκός. Οὐ γὰρ αὐτὸ τὸ ἀναπληροῦν τὸ ἐνδέον τῆς ἕξεως αὕτη ἐστὶν ἡ ἡδονὴ, ἀλλὰ τούτῳ ἕπεται ἡδονή. Εἰ γὰρ τοῦτο ἦν ἡδονὴ, ἀναπλήρωσις τῆς φυσικῆς ἕξεως ἢ τῆς ἐθιστῆς, καὶ πᾶσα ἂν ἡδονή. Νῦν δὲ οὐχ οὕτως ἔχει· οὐκ ἄρα τοῦτό ἐστιν ἡδονὴ, γένεσις εἰς φύσιν αἰσθητή. Τοῦτο γάρ ἐστιν ἡ ἀναπλήρωσις τοῦ φυσικῶς ἐνδέοντος· καὶ οὕτω λύεται τὸ ἐπιχείρημα τῶν συναγόντων μηδεμίαν ἡδονὴν ἀγαθὸν εἶναι· ὅτι δὲ οὐ πᾶσα ἡδονὴ ἀναπλήρωσίς ἐστι, δῆλον ἀπὸ τοῦ καὶ ἄνευ λύπης καὶ ἐπιθυμίας ἡδονὰς εἶναι· τὴν δὲ τοιαύτην ἀναπλήρωσιν ἄνευ τούτων οὐκ εἶναι δύνασθαι. Αἱ γὰρ ἐν τῇ θεωρίᾳ τῶν ἐπιστημῶν ἡδοναὶ ἄνευ ἐνδείας εἰσὶ καὶ λύπης. Ἐπειδὰν γὰρ ἡ μήπω παροῦσα ἐπιστήμη ἐγγένηται τῇ ψυχῇ, ἡδονὴν μὲν ἐποίησε τῷ παρεῖναι, λύπην δὲ οὐδεμίαν ἀποῦσα δίδωσι, ἐπεὶ οὐδὲ

cum quis virtute delectatur, aut ſapientia. Sicut contra poteſt fieri ut rebus malis delectetur aliquis. Et ſimpliciter quemadmodum in univerſum diſtinximus. Præterea, in bono, aliud eſt habitus, ut qui juſtitiæ habitum habet, aliud eſt actus, ut qui facit. Porro actus deficientem actu ſuo ſupplet habitum. Sed & naturalis conſervatur habitus. Sicut ſanitas ineſt quidem, ſalubribus tamen conſervatur cibis. Actus ergo qui conſervat habitum, tam hic quam ille, eſt jucundus non per ſe tamen, ſed per accidens. Neque enim hoc ipſum ut defectus ſuppleatur habitus, eſt voluptas, ſed hoc ſequitur voluptas. Si enim hoc voluptas eſſet, vel naturalis nimirum vel conſuetudine comparati ſupplere defectum habitus, etiam omnis hoc faceret voluptas. Nunc vero non ita habet. Non ergo ſenſibilis in naturam generatio eſt voluptas. Hoc defectus naturalis enim eſt expletio. Atque ita argumentum ſolvitur eorum, qui nullam voluptatem bonum eſſe probant. Jam vero non omnem voluptatem eſſe expletionem, vel ex eo apparet, quod ſine dolore & cupiditate voluptates ſint nonnullæ: cum ſine illis talis non poſſit eſſe expletio. Sic, exempli gratia, quæ ex contemplatione ſcientiarum petuntur: ſine defectu aut dolore ſunt voluptates. Cum enim nondum adeſt, ſed adhuc animæ innaſcitur ſcientia, voluptatem quidem adfert ſua præſentia, nullum tamen abſentia ſua adfert dolorem: ſiquidem

Ariſtot. l.7.c.12.

Ariſtot. l.7.c.12.

quidem nec defectus eſt abſentia ſcientiæ: nec enim erat cum adeſſet ſcientia; nunc vero, periit. Sed & corporeæ quædam voluptates, ſine defectu tales & dolore ſunt. Non ſolum enim cum egemus cibo, nutrimento delectamur cibi, ſed & poſtquam ſupplevimus defectum, nonnullis delectamur cibis. Nec enim iiſdem cum egemus delectamur, & cum expleti ſumus. Verum poſtquam expleti ſumus, iis qui proprie jucundi ſunt delectamur, & illi grati ſunt omnibus: antequam vero expleti ſumus, quibuſlibet, & ſæpe contrariis delectamur. Unde apparet, alias ſimpliciter, alias quibuſdam, eſſe voluptates. Sicut enim ea quæ jucunda ſunt, ita & quæ ex iis oriuntur ſe habent voluptates. Non omnem ergo voluptatem naturalem eſſe expletionem, monſtratum eſt. Sicut nec omnis expletio eſt voluptas. Sanitatis quippe, qui naturalis eſt habitus, & certa quadam ratione fit ciborum, jucunda non eſt expletio. Quare nec recte dicitur, generationem in naturam ſenſibilem, eſſe voluptatem. Ideoque nec ex his neceſſario infertur voluptatem bonum non eſſe.

ἔνδειά ἐστιν ἡ ἀπουσία τῆς ἐπιστήμης· οὐ γὰρ ἦν ὅτε παρῆν ἡ ἐπιστήμη· νῦν δὲ ἀπώλετο. καὶ σωματικαὶ δὲ ἡδοναὶ εἰσιν οὕτως ἔχουσαι ἄνευ ἐνδείας καὶ λύπης. Καὶ γὰρ οὐ μόνον ἐνδεεῖς ὄντες τροφῆς ἡδόμεθα τρεφόμενοι, ἀλλὰ καὶ μετὰ τὸ πληρῶσαι τὸ ἐλλεῖπον, ἐστὶν οἷς σιτίοις ἡδόμεθα· οὐ γὰρ τοῖς αὐτοῖς χαίρομεν ἐνδεεῖς ὄντες καὶ πεπληρωμένοι· ἀλλὰ πληρωθέντες μὲν ἡδόμεθα τοῖς κυρίως ἡδέσι, καὶ πᾶσιν ἡδονὴν φέρει· πρὶν δὲ πληρωθῆναι, τοῖς τυχοῦσι καὶ τοῖς ἐναντίοις πολλάκις χαίρομεν· ὅθεν φαίνεται, καὶ ὅτι τῶν ἡδονῶν αἱ μὲν εἰσιν ἁπλῶς, αἱ δὲ τισίν· ὡς γὰρ ἔχουσι τὰ ἡδέα, τὸν αὐτὸν τρόπον καὶ αἱ ἡδοναὶ αἱ ἀπὸ τούτων. Ὅτι μὲν οὖν οὐ πᾶσα ἡδονὴ ἀναπλήρωσίς ἐστι φυσική, δέδεικται· καὶ μὴν οὐδὲ πᾶσα ἀναπλήρωσις ἡδονή. Τῆς γὰρ ὑγιείας πλήρωσις, ἥτις φυσική ἐστιν ἕξις διὰ τῆς διαίτης γινομένη, οὐκ ἔστιν ἡδεῖα· οὐκ ἄρα ὀρθῶς ἔχει λέγειν τὴν ἡδονήν, ὅτι ἐστὶ γένεσις εἰς φύσιν αἰσθητή. Καὶ διὰ τοῦτο οὐκ ἀνάγκη ἀπὸ τούτων τῶν λόγων μὴ εἶναι τὴν ἡδονὴν ἀγαθόν.

CAP. XX.

Reſpondetur ad argumentum, quo voluptas non eſſe optimum probatur.

Ἔτι οὐκ ἀνάγκη ἕτερόν τι, &c.

SEd & illi qui negant ipſum finem optimum eſſe volu-

ΚΕΦ. κʹ.

Λύσις τοῦ λόγου ὅθεν ἡ ἡδονὴ δοκεῖ μὴ τὸ ἄριστον εἶναι.

ΚΑὶ οἱ λέγοντες δὲ τὴν ἡδονὴν μὴ εἶναι αὐτὸ τὸ τέ-

λος

λος τὸ ἄριστον, οὐκ ἀναγκαίως συλλογίζονται· εἰ γὰρ οὐ δύναται ἡ ἡδονὴ τέλος εἶναι, ἀνάγκη ἀεὶ ἕτερόν τι βέλτιον αὐτῆς εἶναι, τὸ τέλος δηλονότι· τὸ γὰρ τέλος παντός ἐστι βέλτιον· αὐτὸ γάρ ἐστι τὸ ἄριστον καὶ τὸ βέλτιστον. Οὐκ ἀνάγκη δέ· οὐ γάρ ἐστι γένεσις ἡ ἡδονὴ, ἵνα ἐξ ἀνάγκης βέλτιον αὐτῆς ᾖ τὸ τέλος τῆς γενέσεως· οὐδὲ ἀεὶ ἐν τῇ γενέσει θεωρεῖται, ἀλλὰ ἐνέργειά ἐστι καὶ τέλος· θεωρεῖται δὲ οὐκ ἐν τῇ συστάσει τῶν ἕξεων· οἷον, φέρε εἰπεῖν, ὅταν τὰ δίκαιά τις ποιῇ, καὶ τὴν ἕξιν τῆς δικαιοσύνης ἐν τῇ ψυχῇ συντιθῇ, οὔπω δίκαιος ὤν, ἀλλ' ἐν τῇ χρήσει τῆς ἕξεως, ὅταν τις δίκαιος γινόμενος ἔπειτα χρῆται τῇ ἕξει τῆς δικαιοσύνης. Διὰ τοῦτο οὐδὲ πάσης ἡδονῆς ἐστι τέλος, ἀλλ' ἔνιαι αὐταί εἰσι τέλος. Καὶ γὰρ τῶν ἐνεργειῶν ὅσαι μὲν εἰς τελείωσιν ἄγουσι φύσεως, οὐκ αὐταί εἰσι τέλος, ὥσπερ ἡ καθ' ἕξιν ἰατρικὴν ἐνέργεια τέλος ἔχει τὴν ὑγίειαν· ὅσαι δὲ οὐκ ἄγουσιν εἰς φυσικὴν τελείωσιν, ἀλλ' αὐταὶ εἰσὶν ἡ φυσικὴ τελείωσις, δῆλον ὡς οὐκ ἔχουσιν ἄλλο τέλος, ἀλλὰ ἄλλων αὐταί εἰσι τέλη· ὥσπερ εἴ τις κατὰ τὴν τελείαν ἕξιν τῆς ἀρετῆς ἐνεργεῖ. Ἡ γὰρ τοιαύτη ἐνέργεια τέλος ἐστὶν ἄλλων, οὐκ αὐτή ἐστι πρὸς ἄλλο τεταγμένη τέλος· ὅθεν καὶ ἡ ἡδονὴ ἐνέργεια οὖσα οὐ πᾶσα τέλος ἔχει· ἐνέργεια γάρ ἐστι τῆς κατὰ φύσιν ἕξεως. Διὸ οὐ καλῶς ἔχει αἰσθητὴν γένεσιν

ptatem, non neceſſario argumentantur. Si enim finis eſſe nequit voluptas, neceſſe eſt ſemper ea melius aliquid reperiri, finem nimirum. Omnium enim optimus eſt finis: ipſe enim optimum eſt & præſtantiſſimum. Non neceſſe eſt vero. Nec enim generatio eſt voluptas: ut neceſſe ſit, meliorem in ea finem eſſe generatione. Neque ſemper in generatione conſideratur, ſed actus eſt & finis. Sed neque in conſtitutione conſideratur habituum: (ut, exempli gratia, cum ea quæ juſta ſunt agit aliquis, & juſtitiæ in animo habitum formát quaſi, cum tamen nondum ſit juſtus:) ſed in uſu potius ipſius habitus, cum jam juſtus aliquis factus, ipſo poſtea juſtitiæ utitur habitu. Ideoque nec omnium voluptatum eſt finis, ſed ipſæ interdum ſunt finis. Illi quippe actus, qui ad perfectionem ducunt naturæ, non ipſæ ſunt finis: ſicut actus ille qui ſecundum medicinæ inſtituitur habitum, finem habet ſanitatem. Eos vero qui non ad naturalem ducunt perfectionem, ſed ipſi naturalis ſunt perfectio, ſatis planum eſt finem non habere alium, ſed ipſos eſſe finem aliorum. Ut ſi quis ſecundum perfectum naturæ operetur habitum. Talis quippe actus, finis aliorum eſt, non vero ad alium ipſe dirigitur finem. Unde neque omnis voluptas, licet ſit actus, finem habet. Eſt enim actus illius qui ſecundum naturam eſt habitus. Quare neç vere dicitur, ſenſibilem generationem Ariſtot. l.7.c.12.

Ariſtot. l.7.c.12.

onem eſſe voluptatem, ſed potius actus illius qui ſecundum naturam eſt habitus, dicenda eſt. Pro eo enim quod ſenſibilis addunt, potius non impeditus addendum eſt. Atque ita erit voluptas, habitus ſecundum naturam non impeditus actus. In ſuperioribus autem oſtendimus, non omnem voluptatem generationem eſſe in naturam: quare nec plena eſt ejuſmodi definitio. Præterea, nec ſenſibilis eſt omnis. Ea quippe quæ in contemplando conſiſtit, non eſt ſenſibilis voluptas. Actus autem, ſenſibilem etiam habet generationem. Neq; ulla eſt quæ non ſit expedita voluptas. Cum autem ſecundum naturam dicimus, omnem tum naturalem tum qui à conſuetudine eſt, complectimur habitum. Nam & qui conſuetudine comparatur, ſecundum naturam eſt habitus: quia natura ad ejuſmodi naſcimur habitus, ideoque eos habemus. Qui ergo ſecundum aliquem non impedite operatur habitum, delectatur: & hoc ipſum eſt voluptas: Ideo autem generatio quibuſdam viſa eſt voluptas, quia voluptatem putabant eſſe, id quod bonum proprie & optimum vocatur: id autem quod proprie bonum eſt, actum eſſe. Sed nec quicquam actum inter ſe differre & generationem. Quod falſum eſt: neque enim idem generatio eſt & actus. Generatio quippe, à non eſſe ad eſſe via quædam ipſius eſt habitus. Actus vero, quod optimũ vocamus, poſtquã adepti habitum ſumus, ſecundum hunc ipſum jam perfectum, operatio.

εἶναι λέγειν τὴν ἡδονήν, ἀλλὰ ἐνέργειαν τῆς κατὰ φύσιν ἕξεως λεκτέον εἶναι τὴν ἡδονήν. Ἀντὶ δὲ τοῦ αἰσθητήν, ἀνεμπόδιστον· καὶ ἔσται ἡδονὴ ἐνέργεια τῆς κατὰ φύσιν ἕξεως ἀνεμπόδιστος. Δέδεικται δὲ ἐν τῷ ιή κεφαλαίῳ μὴ πᾶσαν ἡδονὴν γένεσιν εἶναι εἰς φύσιν· ὥστε ἐλλιπής ἐστιν ὁ τοιοῦτος ὁρισμός. Ἔτι δὲ οὐδὲ πᾶσα αἰσθητή ἐστιν. Ἡ γὰρ ἐν τῷ θεωρεῖν ἡδονὴ οὐκ ἔστιν αἰσθητή· ἡ δὲ ἐνέργεια καὶ τὴν γένεσιν ἔχει τὴν αἰσθητήν· καὶ οὐδεμία ἡδονή ἐστιν, ἥτις οὐκ ἔστιν ἀνεμπόδιστος· τὸ δὲ κατὰ φύσιν πᾶσαν ἕξιν περιέχει φυσικήν τε, καὶ ἐθιστήν. Καὶ γὰρ καὶ ἡ ἐθιστὴ ἕξις κατὰ φύσιν ἐστί· πεφύκαμεν γὰρ πρὸς τὰς τοιαύτας ἕξεις, καὶ διὰ τοῦτο κτώμεθα· ὁ γοῦν ἐνεργῶν κατά τινα ἕξιν ἀνεμποδίστως ἥδεται καὶ τοῦτό ἐστιν ἡ ἡδονή· γένεσις δὲ ἔδοξε τισιν εἶναι ἡδονή, ὅτι ᾤοντο τὴν ἡδονὴν εἶναι τὸ κυρίως ἀγαθὸν καὶ τὸ ἄριστον· τὸ δὲ κυρίως ἀγαθὸν ἐνέργειαν εἶναι· ἐνέργειαν δὲ καὶ γένεσιν μηδὲν ἀλλήλων διαφέρειν. Τὸ δὲ οὐχ οὕτως ἔχει· οὐ γὰρ ταυτόν ἐστι γένεσις ἐνεργείᾳ· γένεσις μὲν γάρ ἐστιν ἡ ἀπὸ τοῦ μὴ ὄντος ἐπὶ τὸ εἶναι ὁδὸς τῆς ἕξεως· ἐνέργεια δὲ ἡ τίς ἐστι τὸ ἄριστον, ἡ μετὰ τὴν ἀνάληψιν τῆς ἕξεως, κατ᾽ αὐτὴν τὴν τελείαν ἕξιν ἐνέργεια.

Ariſtot. l.7.c.12.

ΚΕΦ. κα´.

Λύσις τοῦ ἐπιχειρήματος, ὅθεν ἐδόκει μὴ πᾶσαν ἡδονὴν ἀγαθὸν εἶναι· καὶ ἔτι δι' ὧν δοκεῖ φαύλη εἶναι· καὶ ἀπόδειξις, ὅτι ἀνάγκη τὸ ἄριστον ἡδονὴν εἶναι.

Οὐδὲ φαύλην δὲ εἶναι ἀνάγκη τὴν ἡδονήν, ὅτι ἔνια ἡδέα νοσώδη. Εἰ γὰρ τοῦτο, ἔσονται καὶ τὰ ὑγιεινὰ φαῦλα, ὅτι τινὰ ὑγιεινὰ ἐμποδὼν ἵσταται τοῦ πλουτεῖν, ὅτι πολλῶν χρημάτων εἰσὶν ἀναλωτικά· ἀλλ' οὐ φαῦλα διὰ τοῦτο· οὐ γὰρ τὸ ἐναντιούμενον ὁπωσοῦν ἄλλῳ τινὶ ἀγαθῷ, φαῦλον· ἐπεὶ καὶ τὸ θεωρεῖν βλάπτει ποτὲ εἰς ὑγίειαν, ἀλλ' οὐ διὰ τοῦτο φαῦλον. Οὐκ ἄρα οὐδὲ ἡ ἡδονὴ φαῦλον, ὅτι τινὰ ἡδέα νοσώδη.

Καὶ μὴν οὐδὲ ὅτι ἐμποδίζουσιν ἔνιαι τῶν ἡδονῶν τῇ φρονήσει καὶ τῇ θεωρίᾳ, διὰ τοῦτο φαῦλον ἡ ἡδονή. Οὐ γὰρ ἡ ἡδονὴ τῆς φρονήσεως τῇ φρονήσει ἐνοχλεῖ, οὐδὲ ἡ ἡδονὴ τῆς τέχνης τῇ τέχνῃ· ἀλλὰ μᾶλλον αὔξει ἑκάστην ἕξιν ἡ οἰκεία ἡδονή· ἀλλ' αἱ ἐμποδίζουσαι ἡδοναὶ τὰς ἕξεις ἀλλότριαί εἰσι, καὶ ὡς μὴ προσήκουσαι ἐνοχλοῦσι· τοῦτο δὲ οὐκ ἔστι φαυλότητος σημεῖον, ἐπεὶ καὶ τῇ ὑγιείᾳ ἡ θεωρία ἐνοχλεῖ, καθὼς εἴρηται, ὅτι οὐκ ἔστι προσήκουσα ἐνέργεια τῇ ὑγιείᾳ· ἀλλ' οὐ διὰ τοῦτο φαῦλον ἡ θεωρία.

CAP. XXI.

Reſpondetur ad argumentum quo probatur non omnem voluptatem bonum eſſe: quare item mala videatur eſſe: poſtremo, neceſſe eſſe ut voluptas ſit optimum demonſtratur.

Τὸ εἶναι φαύλας, &c.

SEd neque malam eſſe voluptatem eſt neceſſe, quia nonnulla jucunda ſunt morborum cauſæ. Nam ſi illud eſſet, ſequeretur etiam ea quæ ſalubria ſunt, mala eſſe, quia interdum, nè quis diteſcat, impediunt, multiſque opes evertunt. Sed non propterea mala ſunt. Neque enim quod alii alicui adverſatur bono, continuo eſt malum. Sicut interdum ſanitati nocet contemplatio, nec propterea tamen eſt malum. Quare nec voluptas, licet morborum cauſæ nonnulla ſint jucunda, eſt malum.

Ἐμποδίζει δὲ οὔτε φρονήσει, &c.

Sed nec quia nonnullæ prudentiam ac contemplationem impediunt voluptates, propterea malum eſt voluptas. Nec prudentiæ enim prudentiæ, nec artis arti officit voluptas, ſed ſingulos potius auget habitus propria unicuique voluptas. Itaq; alienæ potius ſunt quæ habitum impediunt voluptates, & quia non pertinent ad eum, turbant eum quoque. Ex quo quidem non ſequitur, malum eum eſſe: ſicut contemplatio, quemadmodum jam dicebamus, nocet ſanitati, tanquam non conveniens ſanitati actus. Neque ex eo tamen ſequitur, malum contemplationem eſſe.

Sed

Ariſtot. l.7.c.12. Τὸ δὲ τέχνης μὴ εἶναι ἔργον, &c.

Sed nec quia nullius opus eſt artis, ideo malum ſequitur eſſe: ita enim malus eſſet omnis actus. Nullius enim artis perfectio eſt actus. Facultatem quippe ars, actum autem producit facultas. Sic, ut gubernare aliquis poſſit, cauſa eſt ars gubernatrix: hoc ipſum autem quod gubernare poteſt, actus illius qui ex eo procedit, eſt cauſa. Adde quod artis nonnunquam eſt voluptas, ſicut unguentaria ars & coquinaria, voluptatem inducunt.

Τὸ δὲ τὸν σώφρονα, &c.

Jam vero quod temperantes viri & prudentes voluptatem fugiunt, vitamque potius quæ ſine dolore eſt ſequuntur, pueri autem & belluæ ſequuntur voluptates, iis quæ decimo octavo dicta ſunt capite, ſolvitur ſatis. Cum enim aliæ voluptates ſimpliciter bonæ, aliæ non ſimpliciter ſint bonæ, eas quæ non ſimpliciter ſunt bonæ pueri ſequuntur & belluæ: eas autem fugit temperans, ſuntque hæ ſolæ quibus dolorem vitat. Eodem modo prudens quoque & quicunque eſt honeſtus. Intelligo autem eas, quæ cum cupiditate ſunt & dolore, corporis nimirum (nam hæ tales ſunt) earumque exceſſus, in quibus verſatur intemperans. Ideoque has fugit temperans quoque. Eas vero quæ ſimpliciter ſunt voluptates, temperans quoque perſequitur & prudens: quæ temperantes quoque ſunt voluptates, neque aliud quam laudabilium habituum ſunt actus. Ut exempli gratia, temperantiæ, juſtitiæ, ac contemplationis.

Καὶ μὴν οὐδὲ ὅτι οὐκ ἔστιν ἔργον τέχνης οὐδεμιᾶς, διὰ τοῦτο φαῦλον. Οὕτω γὰρ ἂν πᾶσα ἐνέργεια φαῦλον ἂν ἦν. Οὐδεμία γὰρ ἐνέργεια τέχνης ἐστὶν ἀποτέλεσμα· ἀλλὰ τὴν μὲν δύναμιν ἡ τέχνη, ἡ δὲ δύναμις προάγει τὴν ἐνέργειαν. Ἡ μὲν γὰρ περὶ τὴν κυβερνητικὴν τέχνη, αἰτία ἐστὶ τοῦ δύνασθαι κυβερνᾶν· τὸ δὲ δύνασθαι κυβερνᾶν αἴτιόν ἐστι τῆς κατὰ τὴν κυβερνητικὴν ἐνεργείας· καί τοι καὶ ἡ ἡδονὴ γίνεταί τινος τέχνης πολλάκις. Ἡ γὰρ μυρεψικὴ καὶ ἡ ὀψοποιητικὴ τέχναι εἰσὶν ἡδονῆς ποιητικαί.

Ὅτι δὲ οἱ σώφρονες, καὶ οἱ φρόνιμοι φεύγουσι τὴν ἡδονὴν, καὶ τὸν ἄλυπον διώκουσι βίον, οἱ δὲ παῖδες καὶ τὰ θηρία διώκουσι τὰς ἡδονὰς, λύεται τοῖς ἐν τῷ ιη κεφαλαίῳ εἰρημένοις. Ἐπεὶ γὰρ τῶν ἡδονῶν αἱ μέν εἰσιν ἁπλῶς ἀγαθαὶ, αἱ δὲ οὐχ ἁπλῶς ἀγαθαὶ, τὰς μὲν μὴ ἁπλῶς ἀγαθὰς τὰ παιδία καὶ τὰ θηρία διώκει, καὶ ὁ σώφρων φεύγει, καὶ κατὰ ταύτας βούλεται μόνον ἄλυπος εἶναι· καὶ ὁ φρόνιμος, καὶ εἴ τις σπουδαῖος, τὰς μετ᾽ ἐπιθυμίας καὶ λύπης, τὰς σωματικὰς (τοιαῦται γὰρ αὗται) καὶ τὰς τούτων ὑπερβολὰς, περὶ ἃς ὁ ἀκόλαστος στρέφεται. Διὸ δὲ ὁ σώφρων φεύγει ταύτας. Τὰς δὲ ἁπλῶς ἡδονὰς ὁ σώφρων καὶ ὁ φρόνιμος διώκει· αἵ εἰσι σώφρονος ἡδοναί· αἵ εἰσιν αἱ τῶν ἐπαινετῶν ἕξεων ἐνέργειαι· οἷον σωφροσύνης, ἢ δικαιοσύνης, ἢ θεωρίας.

Ἐπεὶ

Ἐπεὶ δὲ καὶ λύπη ἡ μὲν ἐστὶν ἀγαθὸν, ἡ δὲ φαῦλον καὶ φευκτὸν, καὶ τῆς φευκτῆς ἡ μὲν καθ' αὑτό ἐστι φευκτὴ, ὡς ἡ ἐπὶ ἀρετῇ λύπη, ἡ δὲ πῆ, ὡς ἡ ἐπὶ ζημίᾳ τινὶ λύπη, ἥτις φευκτή ἐστι κατά τι, ὅτι ἐμποδίζει τῇ θεωρίᾳ· φανερὸν ὅτι ἀνάγκη πᾶσα τὸ ἐναντίον τῇ λύπῃ τὴν ἡδονὴν, τὴν μὲν ἁπλῶς φευκτὴν εἶναι, τὴν δὲ πῆ· ἀνάγκη γὰρ τῷ ἁπλῶς κακῷ ἁπλῶς ἀγαθὸν εἶναι ἐναντίον, καὶ τῷ πῆ κακῷ τὸ πῆ ἀγαθόν· οὐ γὰρ ἡ τοῦ Σπευσίππου λύσις, καθ' ἣν ἐνιστάμενος λύειν ἐπιχειρεῖ τόν δε τὸν λόγον, συμβαίνει τῇ ἀληθείᾳ. Φησὶ γὰρ, ὅτι καθάπερ τὸ μεῖζον καὶ τὸ ἔλαττον ἐναντία ἐστὶ τῷ ἴσῳ, καὶ ἐπὶ τῶν ἀρετῶν τὰ παρ' ἑκάτερα ἐναντία, τὸν αὐτὸν δὴ τρόπον καὶ τῇ ἀλυπίᾳ ἀντίκειται ἡ ἡδονὴ καὶ λύπη, ἡ μὲν, ὡς μεῖζον, ἡ δὲ λύπη, ὡς ἔλαττον· καὶ ἔστιν ἡ μὲν ἀλυπία ἀγαθὸν, ἡ δὲ ἡδονὴ, καὶ ἡ λύπη, κακόν. Οὗτος γὰρ ὁ λόγος παντελῶς ἄδοξός ἐστιν. Οὐδενὶ γὰρ ἡ ἡδονὴ κακὸν δοκεῖ· οὐδεὶς γὰρ ἂν φαίη τὴν ἡδονὴν αὐτὴν, ὅπερ ἐστὶ, κακὸν εἶναι.

Οὐδὲν δὲ κωλύει ἡδονὴν εἶναι τὸ ἀγαθὸν καὶ τὸ ἄριστον, ὅτι ἔνιαι τῶν ἡδονῶν φαῦλαι· καὶ γὰρ πολλῶν φαύλων οὐσῶν ἐπιστημῶν οὐδὲν κωλύει τὸ ἄριστον εἶναι τὴν ἐπιστήμην. Ἴσως δὲ οὐ μόνον δυνατὸν, ἀλλὰ καὶ ἀναγ-

Quoniam autem & dolor, alius quidem bonus, alius vero malus eſt & fugiendus, rurſuſq; ejus qui fugiendus eſt, alius per ſe fugiendus eſt, ut, exempli gratia, is quem virtus adfert dolorem; alius ſecundum quid; ſicut pœnæ alicujus dolor aut damni, qui ſecundum quid eſt fugiendus quia contemplationem turbat: ſequitur quoq; id quod dolori eſt contrarium, voluptatem dico, neceſſario aliam ſimpliciter, aliam aliquatenus fugiendam eſſe. Neceſſe enim eſt ei quod ſimpliciter eſt malum; id opponi quod ſimpliciter eſt bonum: eique quod aliquatenus malum eſt, id quod aliquatenus eſt bonum. Neque enim revera illa Speuſippi, qua inſtando ſolvere hoc argumentum conatur, procedit ſolutio. Vult enim, quemadmodum majus & minus æquali ſunt contraria, & in virtutibus quæ utrinq; ſunt, inter ſe ſunt contraria, ita voluptatem quoq; indolentiæ opponi ac dolorem. Illam quidem ut majus, hunc vero ut minus. Eſtque bonum indolentia, malum vero voluptas ac dolor. Hæc enim nulla ex parte probabilis eſt ratio. Nemini enim malum videtur voluptas. Nemo enim ipſam dicet voluptatem, quatenus eſt, malum eſſe.

Sed nec quicquam vetat bonum eſſe voluptatem ac optimum, quia nonnullæ voluptates ſunt malæ. Sicut, nec quia multæ malæ ſunt ſcientiæ, quicquam obſtat quo minus optimum ſit ſcientia. Forte enim non fieri poteſt tantum, ſed & neceſſa-

Ariſtot. l. 7. c. 13. Cap. 13. Ἀλλὰ μὴν ὅτι καὶ ἡ λύπη, &c.

Ἄριστον δ' οὐδὲν κωλύει, &c.

Ariſtot. l.7.c.13.

rium eſt, optimum eſſe voluptatem, maximeque eligendum. Si enim omnis habitus eſt actus, felicitas vero & id quod eſt optimum, boni habitus ſive unius optimi ſive omnium non impeditus eſt actus: voluptas vero ejus qui ſecundum naturam eſt habitus, non impeditus eſt actus, neceſſe erit felicitatem, ipſumque id quod eſt optimum, eſſe voluptatem. Neque quicquam obſtat, quod nonnullæ malæ ſunt voluptates. Jam vero neceſſe eſſe, ut actus non impeditus ſit felicitas, eſt planum. Perfectam enim eſſe oportet. Nullus autem, qui impeditur, perfectus eſſe poteſt actus. Ideoque ſicut in ſuperioribus dicebamus, bonis quoque externis opus habet felix, nè ipſius impediatur actus. Qui vero eum qui inæqualiter vivit, magnaſque in calamitates incidit, felicem dicunt eſſe ſi ſit bonus, vel ignari vel volentes nihil dicunt. Bonis quippe corporeis, ut puta, ſanitate ac longævitate, opus quoque habet felix: ſicut & reliquis corpori neceſſariis, ut & aliquo à fortuna momento. Ideoq; quidam eundem fortunatum eſſe putarunt ac felicem: quia ſine fortunæ favore nemo plene poteſt felix eſſe. Non tamen idem eſt. Felicem enim eſſe oportet honeſtum: atqui non omnes felices ſunt honeſti. Sed & obſtat interdum virtuti, perturbatque virum honeſtum, ſi nimia ſit fortunæ benignitas, quæ quidem nè bona quidem fortuna appellari meretur. Si

χοῖον τὴν ἡδονὴν τὸ ἄριστον εἶναι καὶ τὸ αἱρετώτατον· εἰ γὰρ πάσης ἕξεώς ἐστιν ἐνέργεια, ἡ δὲ εὐδαιμονία καὶ τὸ ἄριστον ἐνέργειά ἐστιν ἕξεως ἀγαθῆς, ἢ μιᾶς τῆς ἀρίστης ἢ πασῶν, ἀνεμπόδιστος· ἡ δὲ ἡδονὴ ἐνέργειά ἐστι τῆς κατὰ φύσιν ἕξεως ἀνεμπόδιστος· ἀνάγκη δὴ τὴν εὐδαιμονίαν, καὶ τὸ ἄριστον, ἡδονὴν εἶναι· καὶ οὐδὲν προσίσταται τὸ τινὰς τῶν ἡδονῶν φαύλας εἶναι. Ὅτι δὲ τὴν εὐδαιμονίαν ἀνάγκη ἐνέργειάν τινα εἶναι ἀνεμπόδιστον, φανερόν· δεῖ γὰρ τελείαν εἶναι. Οὐδεμία δὲ ἐνέργεια ἐμποδιζομένη τελεία δύναται εἶναι. Διὰ τοῦτο, καθὼς ἐν τοῖς ἔμπροσθεν εἴρηται, δεῖται ὁ εὐδαίμων τῶν ἔξωθεν ἀγαθῶν, ἵνα μὴ ἐμποδίζηται ἡ ἐνέργεια αὐτοῦ. Οἱ δὲ τὸν ἀνωμάλως βιοῦντα καὶ δυστυχίαις μεγάλαις περιπίπτοντα εὐδαίμονα φάσκοντες εἶναι, ἐὰν ᾖ ἀγαθός, ἢ ἑκόντες ἢ ἄκοντες οὐδὲν λέγουσι. Προσδεῖται γὰρ ὁ εὐδαίμων καὶ τῶν σωματικῶν ἀγαθῶν· ὑγιείας δηλονότι καὶ μακροβιότητος, καὶ τῶν περὶ τὸ σῶμα τῶν ἀναγκαίων, καὶ τῆς ἀπὸ τῆς τύχης ῥοπῆς. Διὰ τοῦτο τινὲς ᾠήθησαν τὴν εὐτυχίαν ταὐτὸν εἶναι τῷ εὐδαίμονι, ὅτι ἄνευ εὐτυχίας οὐκ ἔνι καθαρῶς εὐδαιμονεῖν· οὐκ ἔστι δὲ ταὐτόν. Δεῖ γὰρ σπουδαῖον εἶναι τὸν εὐδαίμονα· οὐ πάντες δὲ εὐτυχεῖς σπουδαῖοι· καὶ βλάπτει δὲ ἐνίοτε εἰς τὴν ἀρετὴν ἡ εὐτυχία, καὶ συγχεῖ τὸν σπουδαῖον, ἂν ὑπερβάλλουσα ᾖ, ἥτις οὐδὲ εὐτυχία δικαίως ἂν καλοῖτο·

τὸ

τὸ γὰρ εἶναι τῆς εὐτυχίας ἐστὶν ἐν τῷ συμβάλλεσθαι πρὸς εὐδαιμονίαν· ἀκολούθως δὲ καὶ ὁ ὅρος ἀπὸ τούτου λαμβάνεται, καὶ διὰ τοῦτο καὶ τὸ ὄνομα. Δὶ ὃ οὐκ ἂν εὐτυχία δικαίως καλοῖτο, μὴ πρὸς εὐδαιμονίαν συμβαλλομένη· φανερὸν δὴ ὅτι τὸ ἀνεμπόδιστον ἀνάγκη προσκεῖσθαι τῇ ἐνεργείᾳ τοῦ εὐδαίμονος. Τοῦτο δέ ἐστιν ἡ ἡδονὴ, ἐνέργεια ἀνεμπόδιστος. Τὶς ἄρα ἡδονή ἐστιν ἡ εὐδαιμονία· ἔτι δὲ δῆλον καὶ ἀπὸ τοῦ θηρία καὶ ἀνθρώπους καὶ πάντα τὰ αἰσθητὰ διώκειν τὴν ἡδονὴν, ὅτι τὸ ἄριστον ἡδονή ἐστι. πάντα μὲν γὰρ βοῶσιν ἀγαθὸν εἶναι τὴν ἡδονὴν καὶ ἄριστον, δι᾽ ὧν εἰς αὐτὴν ἐπείγονται.

Φήμη δ᾽ οὔτι γε πάμπαν ἀπόλλυται, ἥν τινα πολλοὶ,
Λαοὶ φημίζουσιν.——

Οὐ πάντα δὲ διώκουσι τὴν ἀρίστην ἡδονὴν, ἐπεὶ οὐδὲ πάντα τὴν αὐτὴν ἕξιν ἔχει, ἢ τὴν αὐτὴν φύσιν. Πάντα δὲ ἡδονὴν διώκουσιν, εἰ καὶ τὰ μὲν ἀγαθὴν, τὰ δὲ φαύλην. Ἴσως δὲ οὐδὲ διώκει οὐδὲν φαύλην ἡδονὴν, οὐδὲ ζητεῖ, οὐδὲ ἐφίεται φαύλου τινός· οὐ γὰρ ἣν οἴεται ζητεῖν, καὶ ἣν ἂν εἴποι διώκειν, ταύτην διώκει, ἀλλὰ τὴν ἀρίστην διώκει πάντα· πάντα γὰρ τοῦ ἀγαθοῦ ἐφίεται φύσει, ὅτι φύσει τι θεῖον ἔγκειται πᾶσι, καὶ πρὸς τὴν ἀγαθὴν ἡδονὴν καὶ κυρίως ἅπαντα φέρεται· εἰ καὶ ἡδοναὶ κυρίως δοκοῦσιν εἶναι αἱ σωματικαὶ ἡδοναὶ, διὰ τὸ πλειστάκις παραβάλλειν εἰς αὐτὰς, καὶ πάντας μετέχειν αὐτῶν. Διὰ τὸ μόνας οὖν ταύτας γνωρίμους

quidem in eo ipſo, ut ad felicitatem aliquid conferat, bona fortuna conſiſtit. Unde etiam ex hoc ejus deſumitur deſinitio, quemadmodum & nomen. Neque enim, niſi ad felicitatem conduceret, merito hoc appellari poſſe videtur nomine. Unde apparet, illas voces, non impeditus, actui felicis addi debere. Hoc autem, actus nimirum non impeditus, eſt voluptas. Aliqua igitur voluptas, eſt felicitas. Sed & ex eo, quod & belluæ & homines, reliquaque omnia voluptatem ſequantur, apparet voluptatem eſſe optimum. Omnia enim uno quaſi ore clamant, bonum optimumq; voluptatem eſſe: unde etiam ad eam feruntur.

Ar. ſt. t. l. 7. c. 13.

At nunquam penitus fama intereit ulla, nec errat,
Quam multi celebrant populi.

Non omnia autem optimam ſequuntur voluptatem, ſicut nec ejuſdem habitus nec naturæ ſunt omnia. Voluptatem vero omnia ſequuntur, licet bonam alii, alii malam. Imo neque malam fortaſſe quicquam ſequitur voluptatem neq; malum petit ullum: neque enim quam putat ſe quærere, aut à ſe peti diceret, hanc petit quoque: ſed optimam omnia ſequuntur. Omnia enim natura appetunt bonum. Quia divinum quid innatum eſt, proprieque ad bonam cuncta feruntur voluptatem. Quamvis proprie voluptates videantur eſſe corporeæ: quod propterea accidit, quia quam plurimum ad eas ſe applicant, earumq; participes ſunt omnes. Atq; ita quia ſolæ

 hæ

Ariſtot. l.7.c.13.

hæ ſunt notæ, ſolas has eſſe arbitrantur voluptates. Quia vero hæ voluptates non proprie etiam ſunt bonæ, nullam voluptatem bonum eſſe dixerunt. Apparet ergo neceſſe eſſe, ut voluptas ſit bonum.

Φανερὸν δὲ ὅτι εἰ μὴ ἡδονὴ, &c.

Præterea ſi voluptas, iſque qui ſecundum voluptatem inſtituitur actus, non ſit bonum, nè jucunde quidem vivere poterit vir felix. Atqui neceſſe eſt, ut cum voluptate vivat is qui eſt felix. Quare nec fieri poteſt, ut non ſit bonum voluptas. Jam vero, quod ſi cum voluptate vivat qui eſt felix, hinc quoque effici ut voluptas ſit bona, vel ex eo apparet, quod felicitati nihil adeſſe poſſit, quod aut malum ſit, aut non proprie bonum. Quare enim ſi non eſt bona, petit eam vir felix? Quod ſi nec bonum ſit voluptas nec malum, ne dolor quidem aut bonum erit aut malum. Ex quo ſequitur nè fugiendum quidem eſſe. Quare ergo ſi fugiendus non eſt, fugit eum is qui eſt felix? Neque enim fugiendus eſt niſi ſimul ſit malus. Atqui non fugere dolorem non poteſt vir felix. Neceſſe enim eſt ſimul jucundiſſimam eſſe felicis vitam. Quod quidem fieri non poteſt, niſi ſimul jucundi ſint actus felicis. Quomodo enim jucundiſſima poſſet eſſe? Si autem neque malum eſt voluptas, neque non bonum, ſequitur bonum eſſe.

εἶναι, ταύτας μόνας οἴονται εἶναι ἡδονάς. ἐπεὶ δὲ αὗται αἱ ἡδοναὶ οὐκ ἀγαθαί εἰσι καὶ κυρίως, ἔλεγον μηδεμίαν ἡδονὴν ἀγαθὸν εἶναι. Φανερὸν δὲ ὅτι ἀνάγκη τὴν ἡδονὴν ἀγαθὸν εἶναι.

Εἰ γὰρ μὴ ἔστιν ἡ ἡδονὴ ἀγαθὸν καὶ ἡ κατ᾽ αὐτὴν ἐνέργεια, οὐ δυνατὸν ἡδέως ζῆν τὸν εὐδαίμονα. ἀλλὰ μὴν ἀνάγκη μεθ᾽ ἡδονῆς τὸν εὐδαίμονα ζῆν· οὐκ ἄρα δυνατὸν τὴν ἡδονὴν μὴ ἀγαθὸν εἶναι· ὅτι δὲ εἰ μεθ᾽ ἡδονῆς ὁ εὐδαίμων ζήσεται, ἀγαθὸν ἔσται ἡ ἡδονὴ, δῆλον ἀπὸ τοῦ τῇ εὐδαιμονίᾳ μηδὲν περιμεμίχθαι κακὸν, ἢ μὴ κυρίως ἀγαθόν· τίνος γὰρ ἕνεκα διώκει ταύτην ὁ εὐδαίμων, εἴπερ μὴ ἔστιν ἀγαθόν; εἰ δὴ μήτε ἀγαθὸν, μήτε κακὸν ἡ ἡδονὴ, οὐδὲ ἡ λύπη εἴη ἂν οὔτε ἀγαθὸν οὔτε κακόν· οὐκ ἄρα φευκτὸν ἡ λύπη. Διὰ τί οὖν φεύγει αὐτὴν ὁ εὐδαίμων, εἴπερ μὴ ἔστιν φευκτόν; οὐ γὰρ φευκτὸν εἰ μὴ κακόν· οὐ δύναται δὲ μὴ φεύγειν τὴν λύπην ὁ εὐδαίμων· ἀνάγκη γὰρ ἥδιστον εἶναι τὸν εὐδαίμονα βίον· τοῦτο δὲ οὐ δυνατὸν, εἰ μὴ ἡδεῖαι εἶεν αἱ ἐνέργειαι τοῦ εὐδαίμονος· πῶς γὰρ ἂν ἥδιστος γένοιτο; εἰ δὲ μήτε κακὸν ἡ ἡδονὴ, μήτε οὐκ ἀγαθὸν, εἴη ἂν ἀγαθόν.

Ariſtot. l.7.c.14.

ΚΕΦ. κβʹ.

Ἀπορία διὰ τί πᾶσα λύπη φευκτὸν, ἐπεὶ οὐ πᾶσα ἡδονὴ ἀγαθὸν, καὶ λύσις.

quia multo longoque tempore & perfecta explorata eſt conſuetudine. Neque e.n. facile fieri poteſt, ut de eo quem ita exploravit, ſiniſtrum aliquid credere poſſit is qui exploravit. Hujus præterea amicitiæ proprium eſt, ut & ſibi credant mutuo amici, & maxima quæque libere communicent, caveantq; ſedulo, nè injuriam faciant, reliquaque quæ in verorum amicorum requiri poſſunt amicitia. Cum in reliquis ſpeciebus nihil obſtet, quo minus calumniæ interveniant, & injuria alterum alter ſublata æquitate afficiat: & reliqua hujuſmodi. Unde neque proprie amici ſunt tales. Sed quia amicos etiam illos vocare ſolent homines, vel quod opus illis habeant, ſicut urbes ſocios belli amicos vocant, vel voluptatis cauſa, ſicut pueri qui una vivunt, ſe mutuo hoc nomine appellare ſolent, ideo & nos eos amicos dicimus. Non eo vero modo quo bonos. Neq; enim ejuſdem eſſe ſpeciei putamus, ſed à ſimilitudine amicos vocamus. Ideoq; multas amicitiæ eſſe dicimus ſpecies. Eſtq; amicitia, primo quidem proprieq; bonorum, qua ſunt boni: ad ſimilitudinem vero cæteræ. Etenim & jucundum, quatenus bonum quid eſt, tanquam jucundũ, conjungit eos qui hoc delectantur. Bonum enim aliquod eſt jucundum quoque, iis quos jucundum capit: ideoq; bono ſimile eſt, quia bonum illis videtur. Ita & utile bonum utenti videtur. Ideoq; ad veræ ſimilitudinem amicitiæ, tales amicitiæ dicuntur.

Ariſto. l.8.c.4.

Mixta

Ariſtot. l.8.c.5.

Mixta vero ex utili & jucundo amicitia, non facile invenitur: hoc eſt: ut alter amicorum jucundum, alter utile in amicitia ſpectet. Id quippe quod amicos conjungit, per accidens eſt in illis. Cum hoc potiſſimum eos conjungat, quod iiſdem delectentur, eademque ament. Ideo n. Socrates amat Platonem, quia ambo amant Socratem, Socratiſq; bonis ambo delectantur. Vel quia voluptatem amant, aut ambo id quod eſt utile. In mixta autem amicitia non eodem delectantur ambo. Alter jucundo enim, alter utili. Per accidens vero idem diligunt. Uterque enim utroque delectatur, & bona illi optat: non illius tamen cauſa, ſed jucundi & utilis. Ideoque non facile amicitia inſtituitur talis, quia commune utriuſque per accidens unum eſt: unum autem per accidens non facile conjungit.

νυ γίνεται, ὥστε τῶν φίλων τὸν μὲν διὰ τὸ ἡδὺ φιλεῖν, τὸν δὲ διὰ τὸ χρήσιμον· τὸ γὰρ συνάπτον τοὺς φίλους κατὰ συμβεβηκός ἐστιν ἐν αὐτοῖς· συνάπτει δὲ τοὺς φίλους τὸ τοῖς αὐτοῖς χαίρειν καὶ τὰ αὐτὰ φιλεῖν. Διὰ τοῦτο γὰρ ὁ Σωκράτης φιλεῖ τὸν Πλάτωνα, ὅτι τὸν Σωκράτην ἄμφω φιλοῦσι καὶ τοῖς Σωκράτους ἀγαθοῖς ἄμφω χαίρουσιν. Ἢ ὅτι τὴν ἡδονὴν ἄμφω φιλοῦσιν, ἢ τὸ χρήσιμον ἄμφω. Ἐπὶ δὲ τῆς μικτῆς φιλίας οὐ τῷ αὐτῷ χαίρουσιν· ὁ μὲν γὰρ ἡδεῖ, ὁ δὲ τῷ χρησίμῳ· κατὰ συμβεβηκὸς δὲ τὸ αὐτὸ φιλοῦσι. Συγχαίρει γὰρ ἑκάτερος ἑκατέρῳ, καὶ συνεύχεται τὰ ἀγαθά· οὐ δι᾽ αὐτὸν δὲ, ἀλλὰ διὰ τὸ χρήσιμον ἢ τὸ ἡδύ. Διὰ τοῦτο δὴ οὐ πάνυ ἡ τοιαύτη φιλία γίνεται, ὅτι τὸ κοινὸν κατὰ συμβεβηκός ἐστιν ἕν· τὸ δὲ κατὰ συμβεβηκὸς ἓν οὐ πάνυ συνάπτει.

CAP. VI.

Amicos ex eo quod ſimul vivunt aut ſimul verſantur, ipſo actu amicos fieri.

Cap.5. *ὥσπερ δὲ ἐπὶ τῆς ἀρετῆς, &c.

CUm in has ergo amicitia diſtinguatur ſpecies, illud apparebit, improbos voluptatis aut utilitatis cauſa amicos eſſe: qua in parte ſimiles videntur. Viri autem boni per ſe ſunt amici: quatenus enim boni ſunt ambo, ambo quoque alterum diligunt. Tales ergo & ſimpliciter & proprie & per ſe ſunt amici. Hi vero per acci-

ΚΕΦ. ϛʹ.

Ὅτι συζῆν καὶ συνεῖναι παρέχει τοῖς φίλοις τὸ ἐνεργείᾳ φίλοις εἶναι.

ΕἸς ταῦτα δὲ τὰ εἴδη τῆς φιλίας διῃρημένης, οἱ μὲν φαῦλοι ἔσονται φίλοι δι᾽ ἡδονὴν ἢ τὸ χρήσιμον, ταύτῃ ὅμοιοι ὄντες· οἱ δ᾽ ἀγαθοὶ δι᾽ ἑαυτοὺς ἔσονται φίλοι· ᾗ γὰρ ἄμφω ἀγαθοὶ, διὰ τοῦτο φιλοῦσιν ἀλλήλους· ἐκεῖνοι μὲν οὖν ἁπλῶς φίλοι, καὶ κυρίως, καὶ καθ᾽ αὑτό. Οὗτοι δὲ κατὰ συμβε-

συμβεβηκὸς· καὶ τῷ ὁμοιοῦσθαι τούτοις τὸ ὄνομα τῆς φιλίας ἔχουσιν.

Ὥσπερ δὲ ἐπὶ τῶν ἀρετῶν οἱ μὲν καθ' ἕξιν, οἱ δὲ κατ' ἐνέργειαν ἀγαθοὶ λέγονται· οἱ μὲν γὰρ ἕξιν ἔχουσι δικαιοσύνης, οὐκ ἐνεργοῦσι δὲ κατ' αὐτὴν ὑπὸ τῶν ἔξωθεν κωλυόμενοι· οἱ δὲ ἐνεργοῦσι καὶ τὰ δίκαια, κατὰ τὴν ἕξιν ἣν ἔλαβον τῆς δικαιοσύνης· τὸν αὐτὸν τρόπον καὶ ἐπὶ τῆς φιλίας συμβαίνει. Οἱ μὲν γὰρ συζῶντες ἀλλήλοις χαίρουσι τοῖς ἀλλήλων ἀγαθοῖς, καὶ πορίζουσιν ἑκάτερος ἑκατέρῳ τὰ δυνατὰ ἀγαθά. Οἱ δὲ καθεύδοντες ἢ κεχωρισμένοι τοῖς τόποις οὐκ ἐνεργοῦσι μὲν πρὸς ἀλλήλους τὰ φιλικά· οὕτω δὲ ἔχουσιν ὥστε ἐνεργεῖν φιλικῶς.

Οἱ γὰρ τόποι οὐ διαλύουσι τὴν φιλίαν ἁπλῶς, ἀλλὰ τὴν ἐνέργειαν.

Ἐὰν δὲ χρονίᾳ πολλῷ ἡ ἀπουσία γένηται τῶν φίλων, δοκεῖ καὶ τῆς φιλίας γίνεσθαι λήθην· ὅθεν εἴρηται.

Πολλὰς δὴ φιλίας ἀπροσηγορία διέλυσεν.

Οἱ δὲ πρεσβῦται καὶ στρυφνοὶ φαίνονται ὡς οἱ οὐ δύνανται φιλικοὶ εἶναι. Βραχὺ γὰρ ἐν αὐτοῖς τὸ τῆς ἡδονῆς· ᾧ δὲ οὐκ ἔστιν ἡδονή, οὐδὲ συνεῖναι καὶ συνημερεύειν δυνατόν· οὐδεὶς γὰρ ἂν ἕλοιτο συνδιάγειν τῷ λυπηρῷ ἢ τῷ μὴ ἡδεῖ. Φαίνεται γὰρ ὅτι ἡ φύσις φεύγει μὲν τὸ λυπηρόν, διώκει δὲ τὸ ἡδὺ ἀεί· ᾧ δὲ οὐ δυνατὸν συνεῖναι, τούτῳ οὐκ ἔνι φίλον γενέσθαι· ἡ γὰρ συ-

dens, & quatenus illis ſunt ſimiles, nomen amicitiæ habent. Ariſto. l.8.c.5.

Sicut autem in virtutibus, alii quidem habitu, alii vero actu boni dicuntur (alii enim habitum tantum juſtitiæ obtinent, non agunt vero re ipſa ex eo; quia ab externis impediuntur quibuſdam) Alii vero re ipſa agunt etiam quæ juſta ſunt, habitumque quem conſecuti ſunt juſtitiæ in vita exprimunt. Eodem modo fit in amicitia quoque. Qui enim una vivunt, alter alterius bonis gaudent; præbetque alter alteri quæ præberi poſſunt bona. Qui vero aut dormiunt, aut locis diviſi ſunt, non poſſunt amicitiæ ultro citroque munera re ipſa obire. Et tamen ita ſe habent, ut poſſint agere amice.

Neque enim amicitiam ſimpliciter diſſolvunt loci, ſed actum. Οἱ γὰρ τόποι, &c.

Quod ſi diuturnam eſſe contingat hanc abſentiam, videtur etiam aliqua amicitiæ obrepere oblivio. Unde illud: Ἐὰν δὲ χρόνιος, &c.

Diſſolvit multos ſermo intermiſſus amicos. Οὐ φαίνονται δ' οὔθ' οἱ πρεσβῦται, &c.

Non videntur autem nec ſenes, nec qui ſeveri ſunt, ad amicitiam idonei eſſe. Parum enim in illis voluptatis eſt. Vivere autem cum eo aut verſari, in quo voluptas locum non habet, nemo poteſt. Nemo enim cum triſti aut non jucundo optabit vivere. Videtur enim fugere omne id quod triſte eſt natura, ſequi autem quod eſt jucundum. Cum quo vero nemo poteſt vivere, huic ne amicus quidem eſſe poterit. Conſue-

tudo

Ariſt. t. l.8.c.5.

tudo quippe & mutua amicos facit converſatio.

Οἱ δ' ἀποδεχόμενοι, &c.

Qui enim animo ſe mutuo amplectuntur quidem, neq; ſimul vivunt tamen, benevoli magis inter ſe ſunt quam amici.

Οὐδὲν γὰρ οὕτως ἐστὶ φίλων, &c.

Nihil enim tam proprium amicorum eſt, quam verſari ſimul & vivere. Nam nec illi qui utilitatis cauſa amici dicuntur eſſe, non ſimul vivere poſſunt. Cum enim alter opus habeat altero: alter quoque altero uti poſtulat, quod non poſſunt, niſi qui ſimul vivunt. Multoq; minus quos voluptas conjungit. Sed nec qui proprie amici ſunt, ipſi nimirum felices. Licet enim alter altero non egeat, alter tamen alteri eſt jucundus. Ideoque ut non ſimul velint vivere, non poteſt fieri. Solitariam enim vitam hi præcipue agere non poſſunt, quos felices dicimus. Sed omnino neceſſe eſt ut ſimul vivant, cum iiſdem delectentur. Illud vero ut iiſdem quis gaudeat, ſocialem etiam quam vocant in juvenibus conſtituit amicitiam: quoties nimirum eadem ſtudioſe petunt.

Μάλιστα μὲν οὖν ἐστι φιλία, &c.

Maxime ergo amicitia eſt, quemadmodum ſæpe diximus, bonorum: videtur enim amabile & eligendum eſſe, id quod ſimpliciter proprieq: bonum eſt & jucundum. Rurſuſque ſinguli amabile judicant & eligendum, quod ipſis eſt bonum. Bonus autem bonum ob hæc duo diligit. Bonum quippe ipſius, & ſimpliciter proprieque, & amico eſt bonum. Unde ſequitur utraque de cauſa bonum virum eſſe amabilem. Ideoq; ut ſimul vivere

ἡδεῖα, καὶ τὸ συνδιάγειν τῆς φιλίας ποιεῖ.

Οἱ γὰρ ἀποδεχόμενοι ἀλλήλους, μὴ συζῶντες δὲ, εὔνοι εἰσὶν ἀλλήλοις μᾶλλον ἢ φίλοι.

Οὐδὲν γὰρ οὕτως ἐστὶ φίλων ὡς τὸ συζῆν. Οὔτε γὰρ οἱ διὰ τὸ χρήσιμον δύνανται μὴ συνοικεῖν· ἐνδεεῖς γὰρ ὄντες ἀλλήλων δέονται ἀλλήλοις χρῆσθαι, ὃ οὐ δυνατὸν ἄνευ τοῦ συνοικεῖν· οὔτε οἱ διὰ τὴν ἡδονὴν πολλῷ μᾶλλον· οὔτε οἱ κυρίως φίλοι, οἵτινές εἰσιν οἱ μακάριοι· ἀλλήλων μὲν γὰρ οὐκ εἰσὶν ἐνδεεῖς, ἡδεῖς δέ εἰσιν ἀλλήλοις. Καὶ διὰ τοῦτο μὴ συνδιάγειν ἐθέλειν, ἀμήχανον· οὐ γὰρ δὴ μονώτας τινὰς τοὺς μακαρίους εἶναι προσήκει, ἀλλὰ ἀνάγκη μετ' ἀλλήλων εἶναι τοῖς αὐτοῖς χαίροντας. Τοῦτο δὲ τὸ τοῖς αὐτοῖς χαίρειν καὶ τὴν ἑταιρικὴν φιλίαν ποιεῖ τὴν τῶν νέων, ὅταν περὶ τὸ αὐτὸ σπουδάζωσι.

Μάλιστα μὲν οὖν ἐστι φιλία ἡ τῶν ἀγαθῶν, καθάπερ πολλάκις εἴρηται. Δοκεῖ γὰρ φιλητὸν μὲν καὶ αἱρετὸν τὸ ἁπλῶς καὶ κυρίως ἀγαθὸν, ἢ ἡδύ· ἑκάστῳ δὲ φιλητὸν καὶ αἱρετὸν τὸ αὐτῷ ἀγαθόν. Ὁ δὲ ἀγαθὸς τὸν ἀγαθὸν φιλεῖ δι' ἄμφω ταῦτα. Τὸ γὰρ ἀγαθὸν αὐτοῦ καὶ ἁπλῶς καὶ κυρίως ἀγαθόν ἐστι, καὶ τῷ φίλῳ ἀγαθόν ἐστιν. Ὥστε ὁ ἀγαθὸς φιλητός ἐστι, καὶ κατ' ἀμφοτέρους τοὺς τρόπους. καὶ διὰ τοῦτο συζῆν ἀλλήλοις τοὺς σπουδαίους πᾶσι

ἀνάγκη

ἀνάγκη βούλεσθαι· χαίροντας ἀλλήλοις καὶ ὡς ὁμοίοις, καὶ ὡς ἀγαθοῖς ἁπλῶς, καὶ ἀλλήλοις ἀγαθοῖς.

boni optêt viri, plane eſt neceſſe: cum nimirum delectentur ſe mutuo, tum ut ſimilibus, tum ut ſimpliciter bonis, tum etiam ut ſibi mutuo bonis. Ariſtot. l. 8. c. 5.

ΚΕΦ. ζʹ.

Περὶ τῆς τε φιλίας, καὶ τῆς φιλήσεως.

Ἐπεὶ δὲ ἀρετή ἐστιν ἡ φιλία, ἐν πάσῃ δὲ ἀρετῇ πάθος τι θεωρεῖται καὶ ἕξις, ζητητέον τί ἐστιν ἐν τῇ φιλίᾳ πάθος, καὶ τί ἕξις. Ἔοικε τοίνυν ἡ μὲν φίλησις πάθει, ἡ δὲ φιλία ἕξει. Πάθος μὲν γάρ ἐστιν, ὃ καὶ μὴ προαιρουμένοις συμβαίνει· ἕξις δὲ, ὃ μετὰ προαιρέσεως γίνεται, καὶ καθ' ἣν μετὰ προαιρέσεως ἐνεργοῦμεν. Ἡ μὲν οὖν φίλησις καὶ ἡ πρὸς τὰ ἄψυχά ἐστιν ἀγάπη, καὶ ὅθεν οὐκ ἔστιν ἀντιφιλεῖσθαι· τὸ δὲ τοιοῦτον πάθος· οὐ γὰρ κρίναντες καὶ λογισάμενοι ἀγαπῶμεν οὐδὲ προαιρούμενοι, ἀλλ' ἐκεῖθεν κινούμενοι μόνον, ὅπερ ἐστὶ καθαρῶς πάθος· ἡ δὲ φιλία, ἡ πρὸς τοὺς φιλοῦντας ἀγάπη ἐστὶν, ὃ πάθος ἐστὶ μετὰ προαιρέσεως· κρίνομεν γὰρ ὡς δεῖ φιλεῖν τὸν φιλοῦντα, καὶ κινούμεθα οὐ μόνον ἔξωθεν, ἀλλὰ καὶ ἐξ ἡμῶν αὐτῶν καὶ τοῦ λογισμοῦ. ἡ δὲ μετὰ λογισμοῦ καὶ προαιρέσεως κίνησις, ἀφ' ἕξεως. Ἔστιν ἄρα ἡ μὲν φίλησις πάθος, ἡ δὲ φιλία ἕξις.

Ἔτι, οἱ φίλοι βούλονται τοῖς φιλουμένοις τὰ ἀγαθὰ, αὐτῶν ἕνεκα, οὐ κατ'

CAP. VII.

De amicitia & amatione.

Cum autem virtus ſit amicitia, in omni autem virtute aliquis ſpectetur affectus & habitus, quærendum quid in amicitia affectus ſit & quid habitus. Similis ergo amatio affectui eſt, amicitia vero habitui. Affectus quippe eſt, id quod inconſultis etiam accidit nobis: habitus vero, quod conſultis nobis accidit, & quo conſulto aliquid producimus in actum. Amatio ergo eſt, quia inanima etiam amamus, planeque talia, unde redamari non poſſumus. Hoc vero eſt affectus. Nec enim cum judicio aut ratione talia amamus, aut conſulto, ſed impulſu illius quod ſimpliciter eſt affectus. Amicitia vero quædam eſt, qua amicos proſequimur dilectio: qui affectus, eſt cum præelectione. Prius enim quomodo diligere oporteat amicum, judicamus: neq; ſolum exterius, ſed à nobis ipſis noſtraq; ratione movemur. Ille autem qui cum ratione & præelectione motus eſt, proficiſcitur ab habitu. Unde ſequitur amationem affectum, amicitiam vero eſſe habitũ.

Ἔοικε δ' ἡ μὲν φίλησις πάθει, &c.

Præterea, amici iis quos amant bona volunt evenire omnia, idque illorum cauſa: non

Καὶ φιλοῦντες τὸν φίλον, &c.

ex

Ariſtot. l.8.c.6.

ex affectu, ſed ex habitu. Non enim ſine ratione, ſed ita ut prius cauſam perpendant. Debere autem velle aliquem, ut bona eveniant amico, idque ipſius cauſa, in definitione amicitiæ ponitur. Habitus ergo eſt amicitia. Præterea, bonum amicum, quia ſibi bonus eſt, amandum putat aliquis: cum enim amicus ſit vir bonus, bonus quoque ſit amico. Uterque igitur utrumq; tanquam proprium amat bonum: ſed & bona evenire illi optat, & jucundus eſt viciſſim.

Καὶ τὸ ἴσον ἀνταποδιδῶσι, &c.

Æquum deniq; illi reddit: æqualitas enim amicitia vocatur. Sine præelectione autem hæc non fiunt. Præelectio autem ab habitu. Amicitia ergo eſt habitus. Amatio vero cum ſine præelectione ſit, purus putuſq; eſt affectus.

πάθος, ἀλλὰ καθ' ἕξιν· οὐ γὰρ ἀλόγως ἀλλὰ λογιζόμενοι τὴν αἰτίαν. τὸ δὲ βούλεσθαι τοῖς φιλουμένοις τἀγαθὰ ἐκείνων ἕνεκα, ἐν τῷ λόγῳ ἐστὶ τῆς φιλίας· ἡ ἄρα φιλία ἕξις ἐστίν. ἔτι, φιλεῖ τις τὸν ἀγαθὸν φίλον, ὅτι αὐτῷ ἀγαθός ἐστιν· ὁ γὰρ ἀγαθὸς φίλος γινόμενος, ἀγαθὸς γίνεται τῷ φίλῳ· ἑκάτερος οὖν φιλεῖ ἑκάτερον, ὡς ἀγαθὸν οἰκεῖον, καὶ βούλεται τὰ ἀγαθά, καὶ ἡδὺς ἐστὶν ὁμοίως.

Καὶ ὅλως τὸ ἴσον ἀνταποδιδῶσι· λέγεται γὰρ φιλότης ἡ ἰσότης. Ταῦτα δὲ οὐκ ἄνευ προαιρέσεως· ἡ δὲ προαίρεσις ἀφ' ἕξεως· ἡ ἄρα φιλία ἕξις ἐστίν· ἡ δὲ φίλησις ἄνευ προαιρέσεως οὖσα καθαρῶς ἐστὶ πάθος.

CAP. VIII.

Multis ſimul perfectum eſſe amicum poſſe neminem: quales item eorum qui in dignitatibus verſentur ſint amicitiæ.

ΚΕΦ.

Ὅτι πολλοῖς εἶναι τελείως φίλον οὐκ ἐνδέχεται, καὶ ποῖαι τῶν ἐν ἐξουσίαις φιλίαι.

Cap. 6. Ἐν δὲ τοῖς ϛρυφνοῖς καὶ πρεσβυτικοῖς, &c.

OMnia igitur quæ ſpectant ad amicitiam aut requiruntur in amicis, in ſola bonorum inveniuntur amicitia. In ſeveris v. & ſenioribus eo minus amicitia contrahitur, quo ſunt moroſiores, minuſque conſuetudine delectantur mutua. Conſuetudo quippe vitæque conjunctio, inducere quaſi & formare amicitiam videntur. Ideoque cito amici fiunt juvenes, ſeniores autem non item. Neque enim

non

ΠΑντα μὲν οὖν τὰ φιλικὰ καὶ ἃ προσήκει φίλοις, ἐν τῇ φιλίᾳ συμβαίνει τῶν ἀγαθῶν μόνῃ. ἐν δὲ τοῖς στρυφνοῖς καὶ πρεσβυτικοῖς ἧττον γίνεται ἡ φιλία, ὅσῳ δυσκολώτεροί εἰσι, καὶ ἧττον ταῖς ὁμιλίαις χαίρουσιν· ἡ γὰρ ὁμιλία καὶ τὸ συνεῖναι δοκοῦσιν εἶναι φιλίας ποιητικά. Διὰ τοῦτο νέοι μὲν ταχέως γίνονται φίλοι, πρεσβῦται δὲ οὐκ· οὐ γὰρ δυνατὸν φι-

λον

λον φαίνεσθαι τινὰ ᾧ οὐ χαίρει οὐδὲ ἡδέως συνών. Τοῦτο δὲ ἐν τοῖς πρεσβύταις οὐ πάνυ συμβαίνει· ὀλίγον γὰρ αὐτοῖς τὸ τῆς ἡδονῆς. Διὰ ταὐτὰ δὴ οὐδὲ οἱ στρυφνοὶ πάνυ γίνονται φίλοι, ἀλλ' οἱ τοιοῦτοι εὖνοι μὲν εἰσὶν ἀλλήλοις· βούλονται γὰρ ἀλλήλοις τὰ ἀγαθὰ διὰ τὴν χρείαν, καὶ λαμβάνουσι παρ' ἀλλήλων, ὧν ἑκάτερος ἑκατέρου δεῖται· φίλοι δὲ οὐ πάνυ εἰσὶ, διὰ τὸ μὴ συνημερεύειν μηδὲ χαίρειν ἀλλήλοις ἃ δὴ μάλιστα εἶναι δοκεῖ φιλικὰ, καὶ ποιητικὰ φιλίας.

Πολλοῖς δὲ φίλον εἶναι τὸν σπουδαῖον κατὰ τὴν τελείαν φιλίαν οὐκ ἐνδέχεται, ὥσπερ οὐδὲ τὸ ἐρᾶν πολλῶν ἅμα δυνατόν. Ὑπερβολὴ γάρ τις ἐστὶ φιλίας ἡ τελεία φιλία. Τὸ δὲ τοιοῦτον πρὸς ἕνα πέφυκε γίνεσθαι. Τὸ γὰρ τοῖς αὐτοῖς χαίρειν σφόδρα, οὐ ῥᾴδιον ἐν πολλοῖς εἶναι· ἔπειτα οὐδὲ ἀγαθοὺς καὶ σπουδαίους πολλοὺς εἶναι ῥᾴδιον. Ἄλλως τε τῇ τοιαύτῃ φιλίᾳ καὶ μακροῦ δεῖ χρόνου, καὶ συνηθείας καὶ πείρας ἀκριβοῦς ἀλλήλων. Τοῦτο δὲ χαλεπόν. Κατὰ δὲ τὰς ἄλλας φιλίας πολλοὺς ἐνδέχεται φιλεῖν· καὶ γὰρ διὰ τὸ χρήσιμον πολλοῖς ἀρέσκειν ἐνδέχεται τινὰ, καὶ διὰ τὴν ἡδονὴν πολλοὺς ἐφέλκεται· πολλοὶ γάρ οἱ τούτοις χαίροντες, καὶ διὰ τοῦτο φιλοῦντες, καὶ οὐδὲ πολλοῦ χρόνου δέονται πρὸς τὸ πεῖραν λαβεῖν ἀκριβῆ τῶν φίλων, ἀλλ' αὐτίκα διὰ τὴν χρείαν ἢ τὴν ἡδονὴν ὁμολογοῦσι φιλεῖν. Ἡ μὲν οὖν τελεία φιλία ἐστὶν, ἡ διὰ τὸ

quiſquam ei quo vel non delectatur, vel cum quo non libenter vivit, eſſe amicus poteſt. Quod in ſenioribus raro evenit: parum enim voluptatis eſt in illis. Unde ne ſeveri quidem facile amici fiunt: ſed benevoli potius tales inter ſe ſunt (bona enim ſibi mutuo evenire volunt, quibus opus habent) ſed & alter ab altero accipit quibus opus habet, amici tamen eſſe vix poſſunt, quia neque conſuetudine utuntur mutua, neque altero delectatur alter: quæ maxime ad amicitiam ſpectare eamque facere videntur. Ariſtot. l.8.c.6.

Ut autem multis amicus ſit perfecta amicitia vir bonus, non evenit. Sicut neque ut multos amet aliquis fieri poteſt. Exceſſus enim quidam amicitiæ eſt perfecta amicitia. Id autem cum uno eſſe poteſt. Iiſdem enim vehementer delectari, vix eſt multorum. Sicut neque boni facile & honeſti ſunt multi. Sed & in tali amicitia longum tempus ac conſuetudo, tum vero diligens amicorum inter ſe requiritur exploratio. Hoc vero eſt moleſtum. In reliquis vero amicitiis, multos amare poſſumus. Etenim & utilitatis cauſa multis placere poteſt aliquis, & voluptate multos allicit. Multi enim ſunt qui his delectentur, ac propterea amant: neque multo opus eſt tempore, ut tales explorent amicos. Sed ſtatim utilitatis cauſa aut voluptatis ſe amare fatentur. Quæ ergo boni cauſa inſtituitur amicitia, eſt perfecta. Ad ſimilitudinem autem hujus,

Πολλοῖς δ' εἶναι φίλον κατὰ τὴν τελείαν, &c.

Aristot. l. 8. c. 6. quæ utilitatis cauſa & voluptatis.

Τούτων δὲ μᾶλλον ἔοικε φιλία, &c. Earum vero quæ à ſimilitudine dicuntur, ea quæ voluptatis cauſa, magis ad veram accedit: quoties eadem ſibi mutuo reddunt amici. Aut alter delectatur altero, aut iiſdem. Quales adoleſcentum ſunt amicitiæ. Etenim in jucunda amicitia, magis quam in utili apparet liberalitas. Utilis n. forenſium & illiberalium quorundam eſt hominum. Sed & vera amicitia jucundo opus habet, utili nequaquam. Beati quippe utilibus non egent, ſed jucundis. Cum enim vivere velint cum aliquo, cum triſtibus tamen & moleſtis non poſſunt. Exiguo enim ferent tempore id, quod moleſtum eſt. Nemo enim diu ſuſtinebit moleſtiam. Sed nè bonum quidem quiſquam ferre poterit, ſi moleſtum ſit ipſi. Ideoque amicos boni viri quærunt jucundos, hoc eſt, ut cum boni ſint, ſibi quoque ſint tales. Ita enim illis erit quicquid adeſſe amicis oportet. Unde ſequitur amicitiam jucundam magis accedere ad perfectam, quam ea quæ utilis vocatur.

Οἱ δ' ἐν ταῖς ἐξουσίαις, &c. Qui vero in dignitatibus verſantur, non iiſdem amicis, tanquam utilibus utuntur & jucundis. Alii enim illis utiles ſunt, alii jucundi. Ut vero ambo ſint iidem, fit raro. Cujus rei cauſa eſt, quod utile ſimul & jucundum in perfecta amicitia eſt, quæ eſt bonorum. Illi vero tales non quærunt. Neque enim eos quos virtus jucundos

ἀγαθόν· αἱ δὲ καθ' ὁμοιότητα, ἡ τοῦ χρησίμου καὶ τοῦ ἡδέος.

Τῶν δὲ καθ' ὁμοιότητα ἡ τοῦ ἡδέος μᾶλλον ὁμοία ἐστὶ τῇ ἀληθινῇ φιλίᾳ, ὅταν ταὐτὰ παρ' ἀλλήλων τοῖς φίλοις γίνεται· καὶ χαίρουσιν ἀλλήλοις, ἢ τοῖς αὐτοῖς. Οἷαι τῶν νέων εἰσὶν αἱ φιλίαι. Καὶ γὰρ ἐν τῇ τοῦ ἡδέος φιλίᾳ μᾶλλόν ἐστι τὸ ἐλευθέριον, ἢ ἐν τῇ τοῦ χρησίμου. Ἡ γὰρ τοῦ χρησίμου ἀγοραίων τινῶν ἐστὶ καὶ ἀνελευθέρων. Ἔτι ἡ ἀληθὴς φιλία καὶ τοῦ ἡδέος δεῖται, τοῦ χρησίμου δὲ οὐδαμῶς. Οἱ γὰρ μακάριοι χρησίμων μὲν οὐ δέονται, ἡδέων δέ. Συζῆν μὲν γὰρ βούλονταί τισι, λυπηροῖς δὲ οὐ δύνανται συνεῖναι. Τὸ γὰρ λυπηρὸν ὀλίγον φέρουσι χρόνον. Συνεχῶς δὲ οὐδεὶς ἂν ὑπομεῖναι λυπούμενος, οὐδ' αὐτὸ τὸ ἀγαθὸν δυνήσεται φέρειν οὐδεὶς, εἰ λυπηρὸν αὐτῷ εἴη. Διὰ τοῦτο τοὺς φίλους οἱ σπουδαῖοι ἡδεῖς ζητοῦσιν εἶναι, ἀγαθοὺς ὄντας καὶ αὐτοῖς ἀγαθούς. Οὕτω γὰρ αὐτοῖς ὑπάρξει ὅσα δεῖ τοῖς φίλοις ὑπάρχειν· ἡ ἄρα καθ' ἡδονὴν φιλία μᾶλλον ἔοικε τῇ τελείᾳ φιλίᾳ, ἢ ἡ κατὰ τὸ χρήσιμον.

Οἱ δ' ἐν ταῖς ἐξουσίαις οὐ τοῖς αὐτοῖς χρῶνται φίλοις ὡς χρησίμοις καὶ ὡς ἡδέσιν. Ἄλλοι γάρ εἰσι αὐτοῖς χρήσιμοι, καὶ ἕτεροι ἡδεῖς. Ἄμφω δ' οἱ αὐτοὶ οὐ πάνυ. Τὸ δ' αἴτιον, ὅτι τὸ χρήσιμον, καὶ τὸ ἡδὺ ἐν τῇ τελείᾳ φιλίᾳ ἐστὶν, ἢ ἐστι τῶν σπουδαίων. Οἱ δὲ οὐ τοιούτους ζητοῦσιν. Οὔτε γὰρ τοὺς δι' ἀρετὴν ἡδεῖς ζητοῦσιν,

τοῦσιν, οὔτε τοὺς χρησίμους εἰς τὰ καλά. Ἀλλὰ τοῖς μὲν εὐτραπέλοις χρῶνται διὰ τὴν ἡδονήν, τοῖς δὲ δεινοῖς ὡς χρησίμοις, δυναμένοις πρᾶξαι τὸ ἐπιταχθέν· ταῦτα δὲ οὐ πάνυ συνέρχονται ἐν τῷ αὐτῷ. Ἡδὺς γὰρ καὶ χρήσιμος ἅμα, καθὼς εἴρηται, ὁ σπουδαῖός ἐστιν, ὃς οὐ γίνεται φίλος ὑπερέχοντι, ἂν μὴ κατ᾽ ἀρετὴν ὑπερέχηται, καὶ ὑπὸ τὸν σπουδαῖον ἑαυτὸν τάττῃ, καὶ κρείττονα ἑαυτοῦ ἡγεῖται. Οὕτω γὰρ ἐξισάσει ὁ σπουδαῖος τῷ κατ᾽ ἐξουσίαν ὑπερέχοντι, ἀνάλογον ὑπερέχων καὶ ὑπερεχόμενος. Ἐξισάζων δὲ ἔσται φίλος· ἂν δὲ μὴ οὕτως ἐξισάζῃ, οὐκ ἔσται· ἐπεὶ δὲ οἱ ἐν ἐξουσίαις οὐ πάνυ τοιοῦτοι γίνονται, διὰ τοῦτο οὐδὲ φίλοι αὐτοῖς οἱ σπουδαῖοι.

facit, quærunt illi, neque qui ad honeſtatem ſunt utiles. Sed facetis quidem voluptatis utuntur cauſa, ſagacibus vero, utilitatis: utpote qui quod imperatum fuerit, ſtrenue exequi ſolent. Hæc vero raro concurrunt in eodem. Jucundus enim ſimul utiliſque, ſicut dicebamus, eſt vir bonus: qui præſtantiori ſe non fit amicus, niſi virtute ſuperetur: ideoque tanquam bono viro ſe ſubmittat, quatenus ſe meliorem eum judicet. Ita enim æquabit eum qui dignitate præcellit vir bonus: ſi quemadmodum poſtulat proportio, & ſuperet & ſuperetur. Nam cum æquaverit, amicus erit, ſi vero non æquaverit hoc modo, non erit. Quia vero raro qui in dignitatibus verſantur, ſunt tales, ideo ne quidem amici illis ſunt viri boni.

Ariſtot. l. 8. c. 6.

ΚΕΦ. θ'.

Περὶ τῆς ἡδείας καὶ χρησίμου φιλίας, ὅτι κατά τι φιλίαι, κατά τι οὐ φιλίαι εἰσί· καὶ περὶ τῆς καθ᾽ ὑπεροχὴν φιλίας.

CAP. IX.

De utili amicitia, & jucunda; eas nimirum ex parte eſſe amicitias, ex parte non eſſe. Et de amicitia quæ in excellentia conſiſtit.

ΠΑσαι μὲν οὖν αἱ εἰρημέναι φιλίαι ἐν ἰσότητί εἰσι. Τὰ γὰρ αὐτὰ τοῖς φίλοις ἐξ ἀλλήλων γίνεται, καὶ τὰ αὐτὰ βούλονται ἀλλήλοις, ἢ καὶ ἕτερον ἀνθ᾽ ἑτέρου ἀντικαταλλάττονται, ἴσον ἴσου, οἷον ἡδονὴν ἀντὶ ὠφελείας.

Αἳ τινὲς ὅτι ἧττον εἰσὶ τῶν ἄλλων φιλίαι καὶ ὀλιγοχρονιώτεραι, εἴρηται. Τῶν δὲ

OMnes igitur, quas hactenus commemoravimus, in æqualitate conſiſtunt amicitiæ ſpecies. Eadem enim ſibi mutuo reddunt amici, eademq; optant: aut alterum cum altero commutant, æquum cum æquo. Ut, exempli gratia, cum utilitate voluptatem.

Ὅτι δὲ καὶ ἧττόν εἰσιν, &c.

Quas quidem ſpecies & minus eſſe amicitias quam cæteras, & minus eſſe diuturnas, jam diximus,

mus. Inter eas autem quæ utilitatis cauſa inſtituuntur, & quæ voluptatis ex parte amicitiæ videntur eſſe, ex parte non item. Quatenus enim ad perfectam accedunt amicitiam, amicitiæ dicuntur, quatenus vero ab ea recedunt, non ſunt amicitiæ. Similes autem ſunt, quatenus in perfecta & bonum eſt & jucundum: rurſus diſſimiles ſunt, quod illa quidem & culpa vacat & eſt ſtabilis, hæ vero cito mutantur. Sed & aliæ non paucæ ſunt differentiæ. Hæ ergo omnes in ſimilitudine & æqualitate ſpecies conſiſtunt.

Eſt vero & alia amicitiæ ſpecies, quæ in excellentia præſtantiaque conſiſtit: ſicut inter patrem & filium, omnemque eum qui provectior ætate eſt, & juniorem: virum præterea & uxorem, omnemque magiſtratum & ſubditum.

Sed & hæ inter ſe differunt. Neque enim eadem parentibus cum liberis, & magiſtratui eſt cum ſubditis. Sed nec patri cum filio, aut filio cum patre: nec marito cum uxore, nec uxori cum viro. Ut non tantum ipſa inter ſe amicitia, ſed & amatio hic differat & redamatio. Alia enim cuique horum eſt virtus & officium: nec non diverſæ, cur vel ament vel amentur, cauſæ. Quare & amicitiæ quoque & amationes ſunt diverſæ. Eæ autem, quas ſupra dicebamus, quia eadem ab altero accipit alter, propterea tantum ſunt ſtabiles. Hic vero non item. Neque enim eadem pater à filio, quæ filius petit à patre.

φιλικῶν ἡ διὰ τὸ χρήσιμον καὶ ἡδύ, κατά τι μὲν δοκοῦσι εἶναι φιλίαι, κατά τι δὲ οὔ· καθ' ὃ μὲν γὰρ ἐοίκασι τῇ τελείᾳ φιλίᾳ, φιλίαι εἰσί, καθ' ὃ δὲ ἀνόμοιοί εἰσι πρὸς αὐτήν, οὐκ εἰσὶ φιλίαι. Ἐοίκασι μὲν γάρ, ὅτι ἡ τελεία καὶ τὸ ἀγαθὸν ἔχει, καὶ τὸ χρήσιμον· οὐχ ἐοίκασι δὲ ὅτι ἡ μὲν ἀδιάβλητος καὶ μόνιμός ἐστιν· αἱ δὲ ταχέως μεταπίπτουσι, καὶ ἄλλοις διαφέρουσι πολλοῖς. Αὗται μὲν οὖν πᾶσαι καθ' ὁμοιότητα καὶ ἰσότητά εἰσιν.

Ἕτερον δὲ φιλίας εἶδος τὸ καθ' ὑπεροχήν· οἷον πατρὶ πρὸς υἱόν, καὶ ὅλως πρεσβυτέρῳ πρὸς νεώτερον, ἀνδρί τε πρὸς γυναῖκα, καὶ παντὶ ἄρχοντι πρὸς ἀρχόμενον.

Διαφέρουσι δὲ αὗται ἀλλήλων. Οὐ γὰρ ἡ αὐτὴ γονεῦσί τε πρὸς τέκνα, καὶ ἄρχουσι πρὸς ἀρχομένους· ἀλλ' οὐδὲ πατρὶ πρὸς υἱόν, καὶ υἱῷ πρὸς πατέρα, οὐδ' ἀνδρὶ πρὸς γυναῖκα, καὶ γυναικὶ πρὸς ἄνδρα. Ὥστε οὐχ αἱ φιλίαι μόνον διαφέρουσιν ἐνταῦθα, ἀλλὰ καὶ αἱ φιλήσεις πρὸς τὰς ἀντιφιλήσεις. Ἑτέρα γὰρ ἑκατέρου τούτων τῶν φίλων ἡ ἀρετὴ καὶ τὸ ἔργον, καὶ ἕτερα δι' ἃ φιλοῦσι καὶ δι' ἃ φιλοῦνται. Διὰ τοῦτο καὶ αἱ φιλήσεις καὶ αἱ φιλίαι ἕτεραι. Ἐν μὲν οὖν ταῖς προειρημέναις φιλίαις τὸ μόνιμον ἐποίει τὸ τὰ αὐτὰ ἑκατέρῳ τῶν φίλων παρ' ἑκατέρου γίνεσθαι. Ἐνταῦθα δὲ οὐχ οὕτως· οὐ γὰρ τὰ αὐτὰ ὁ πατὴρ τὸν υἱόν, καὶ ὁ υἱὸς τὸν πατέρα ἀπαιτήσει.

Ariſtot. l.8.c.7.

Cap.7.

Ἕτερον δὲ φιλίας εἶδος. &c.

Διαφέρουσι δ' αὗται καὶ ἀλλήλων, &c.

Οὐ γὰρ δεῖ τὴν ἰσότητα τοὺς τοιούτους κατὰ ταῦτα φυλάττειν, ἀλλ' ὅταν ἐκεῖνα ἑκάτερος παρ' ἑκατέρου λαμβάνῃ, ἃ δεῖ τὸν μὲν δοῦναι τὸν δὲ λαβεῖν, μόνιμος ἡ τῶν τοιούτων καὶ ἐπιεικὴς ἔσται φιλία.

Καὶ τὴν φίλησιν δὲ ἀνάλογον δεῖ γίνεσθαι ἐν ταῖς καθ' ὑπεροχὴν φιλίαις· τὸν γὰρ ἀμείνω δεῖ μᾶλλον φιλεῖσθαι ἢ φιλεῖν, καὶ τὸν ὠφελιμώτερον, καὶ τῶν ἄλλων ἕκαστον ὁμοίως. Δεῖ γάρ τινα γίνεσθαι καὶ ἐν τούτοις ἰσότητα. Τοῦτο γὰρ τὴν φιλίαν συνέχει.

Γίνεται δέ πως ἰσότης, ὅταν κατ' ἀξίαν ἡ φίλησις γίνηται, καὶ τὸ δίκαιον δὲ ἐν τῇ ἰσότητι σώζεται. Ἀλλ' οὐχ ὁμοίως ἔχει τὸ ἴσον ἔν τε τοῖς δικαίοις, καὶ ἐν τῇ φιλίᾳ. Ἐν μὲν γὰρ τοῖς δικαίοις πρώτως μὲν ἴσον ζητεῖται, τὸ κατ' ἀξίαν, καὶ ἀνάλογον τοῖς δεχομένοις· δευτέρως δὲ ζητεῖται τὸ κατὰ τὴν ποσότητα ἴσον· ἐὰν γὰρ κατ' ἀξίαν καὶ ἀνάλογον γίνηται ἡ διανομή, δικαία ἐστί· κἂν σφόδρα τῷ ποσῷ διαφέρει, οὐδὲν κωλύει τὸν τοῦ δικαίου σώζεσθαι λόγον· εἰ δὲ κατὰ τὸ ποσὸν ἴση εἴη καὶ μὴ ἀνάλογον, οὐ δύναται εἶναι δικαία· ἐπὶ δὲ τῆς φιλίας ἀνάπαλιν. Τὸ γὰρ ἴσον ἐν ταύτῃ ζητεῖται, πρῶτον μὲν κατὰ τὴν ποσότητα, δευτέρως δὲ κατὰ τὸ ἀνάλογον.

Ἐὰν γὰρ πολὺ διαφέρωσι, καὶ τὸ μεταξὺ διάστημα οὐκ ὀλίγον ἢ σφόδρα δὲ ἅτερος θατέρου ὑπερέχῃ ἀρετῇ, ἢ εὐπορίᾳ, ἢ τινι ἄλλῳ, οὐκ εἰσὶ

Neque in his eo modo eſt ſervanda æqualitas: ſed quoties ab altero ea accipit alter, quæ hunc dare, illum accipere æquum eſt, tum demum firma & qualis oportet eorum futura eſt amicitia.

Sed & proportioni quoque conſentaneam oportet eſſe amationem in iis, quæ in excellentia conſiſtunt, amicitiis. Magis amari enim quam amare debet præſtantior: ſicut & qui utilior eſt, eodemq; modo in reliquis. Nam & in his aliqua eſſe debet æqualitas. Hoc enim eſt id quod amicitiam ſuſtinet.

Fit autem aliquo modo æqualitas, cum pro dignitate fit amatio, & in æqualitate ſervatur juſtum: cum tamen non eodem modo ſe habeat æquum in amicitia & in juſto. In juſto quippe primum ſpectatur æquum quod pro dignitate eſt alicujus, & proportione ei reſpondet qui accipit. Secundo id quod ſecundum quantitatem eſt ſpectatur æquum. Si pro dignitate enim & proportione inſtituatur diſtributio, juſta eſt: & licet multum quantitate differat, nihil tamen obſtat, quo minus juſti conſtet ratio. Sin vero quantitate, non autem proportione ſit æqua, juſta eſſe non poteſt. In amicitia autem contra. Æquum ſiquidem in ea quæritur, primo quidem quantitate, ſecundo autem proportione.

Si enim multum differant, neque parum diſtent, ſed longe alterum virtute alter, aut opibus ſuperet, aut alio quocunque non ſunt amici.

Ariſtot. l. 8 c. 7. Ὅταν δ' γινῶσι, &c.

Ἀνάλογον δ' ἐν ἁπάσαις, &c.

Ὅταν γὰρ κατ' ἀξίαν, &c.

Δῆλον δ' ἐὰν πολὺ διάστημα, &c.

Ariſtot. l.8.c.7. Nam nec volunt eſſe nec poſſunt. Quod quidem in nobis manifeſtius eſt & in Deo. Quia enim longe magis quam nos omnibus excellit bonis, ideo locum ibi amicitia non habet. Idemque & in regib. videre eſt. Nam nec horum amicitia, qui multo inferiores ſunt, dignos ſe deputant. Ut nec optimis ſapientiſſimiſque, nullius precii homines. Qui ergo multum differunt, amici eſſe non poſſunt. In mediocri tamen fieri poteſt excellentia.

Ἀκριβὴς μὲν οὖν ἐν τοῖς τοιούτοις, &c. In quanta autem definite dicere, aut accuratam rationem reddere, nemo poterit. Nam ſi multa alteri eripiantur amicorum, ita ut excellat alter, manere nihilominus amicitia poteſt: ſicut contra ea ſolvitur, cum nimis magnum incipit diſcrimen eſſe: velut inter nos & Deum.

Ὅθεν δὲ ἀπορεῖται, &c. Unde etiam dubitatur, utrum maxima amicis bona velle debeant amici. Nam ſi debent, etiam ut Dii fiant optabunt: hoc autem amicitiam ſolvet. Itaque ſi maxima illis volunt bona, etiam ut non ſint amici volunt. Hoc autem cum amicitiæ pugnat ratione. Sed nè quidem illis boni erunt, ſi non ſint amici. Quare neque talia illis optabunt bona. Ad quod reſpondendum eſt: amicum amico optare bona, illius cauſa. Quod ſi illius cauſa, manere oportet amicum, ut bona evenire illi poſſint. Manebit autem ſi homo ſit, neque Deus fiat ex homine. Homini autem maxima quidem amicus optabit

φίλοι. Οὔτε γὰρ δύνανται, οὔτε βούλονται. Φανερώτερον δὲ γίνεται ἐφ' ἡμῶν καὶ τοῦ θεοῦ. Ὅτι γὰρ πλεῖστον ἡμῶν πᾶσι τοῖς ἀγαθοῖς ὑπερέχει, διὰ τοῦτο ἡ φιλία ἐνταῦθα χώραν οὐκ ἔχει. Δῆλον δὲ καὶ ἐπὶ τῶν βασιλέων. Οὐ γὰρ οὐδὲ τούτοις ἀξιοῦσιν εἶναι φίλοι οἱ πολὺ καταδεέστεροι, οὐδὲ τοῖς ἀρίστοις ἢ σοφωτάτοις οἱ μηδενὸς ἄξιοι. Οἱ μὲν οὖν σφόδρα διαφέροντες οὐ δύνανται εἶναι φίλοι· ἐν δὲ μετρίᾳ ὑπεροχῇ δυνατόν.

Ἐν πόσῃ δὲ ὡρισμένως εἰπεῖν, καὶ ἀκριβῆ δοῦναι λόγον, οὐκ ἔνι· καὶ γὰρ πολλῶν ἀφαιρουμένων ἔτι θατέρου τῶν φίλων, ὥστε θάτερον ὑπερέχειν, συμβαίνει μὲν τὴν φιλίαν ἔτι μένειν, συμβαίνει δὲ λύεσθαι, ὅταν πολὺ γίνηται μεταξὺ τὸ διάστημα, καθάπερ ἐφ' ἡμῶν καὶ τοῦ θεοῦ.

Διὰ τοῦτο καὶ ἀπορεῖται, μήποτε οὐ βούλονται οἱ φίλοι τοῖς φίλοις τὰ μέγιστα τῶν ἀγαθῶν. Εἰ γὰρ βούλονται, συνεύξονται αὐτοῖς καὶ θεοῖς γενέσθαι· τοῦτο δὲ λύσει τὴν φιλίαν. Ὥστε εἰ βούλονται αὐτοῖς τὰ μέγιστα τῶν ἀγαθῶν, βούλονται μὴ εἶναι αὐτοῖς φίλους· τοῦτο δὲ ἐναντίον ἐστὶ τῷ λόγῳ τῆς φιλίας, ἔτι δὲ οὐδὲ αὐτοῖς ἔσονται ἀγαθοί, μὴ ὄντες φίλοι. Οὐκ ἄρα συνεύξονται αὐτοῖς τὰ τοιαῦτα ἀγαθά· ῥητέον δὲ πρὸς τοῦτο, ὅτι ὁ φίλος τῷ φίλῳ συνεύχεται τὰ ἀγαθά, ἐκείνου ἕνεκα· εἰ δὲ ἐκείνου ἕνεκα δεῖ τὸν φίλον μένειν, καὶ αὐτῷ συμβῆναι τὰ ἀγαθά μένοι δ' ἄν, εἰ ἄνθρωπος εἴη, καὶ μὴ θεὸς γένοιτο ἐξ ἀνθρώπου· ἀνθρώπῳ δὲ ὄντι βουλήσεται ὁ φίλος τὰ μέγιστα

γενέσθαι

γίνεσθαι ἀγαθὰ, ἴσως δ' οὐ πάντα, καθάπερ οἱ πλείους τῶν φίλων ἔχουσιν. Αὑτῷ γὰρ μάλιστα ἕκαστος βούλεται τὰ ἀγαθά.

bona. Non tamen fortaſſe omnia, quemadmodum plerique faciunt amici. Sibi enim maxime bona evenire volunt. Ariſtot. l. 8 c. 8.

ΚΕΦ. ι.

Περὶ τοῦ ἐν τῷ μᾶλλον, ἢ ἐν τῷ φιλεῖσθαι, οὔσης φιλίας.

CAP. X.

Magis in eo, ut amet quis, conſiſtere amicitiam, quam ut ametur.

Οἱ πολλοὶ δὲ δοκοῦσι διὰ φιλοτιμίαν βούλεσθαι μᾶλλον φιλεῖσθαι ἢ φιλεῖν· διὸ φιλοκόλακες οἱ πολλοὶ, καὶ ἥδονται κόλαξι συνόντες, ὅτι ὑπερέχουσιν αὐτῶν, δοκούντων εἶναι φίλων. Τὸ δὲ ὑπερέχειν τῶν φίλων τοῖς φιλοτίμοις ἡδύ. Καὶ γὰρ οἱ κόλακες προσποιοῦνται πάντα τῶν συνόντων ἡττᾶσθαι, καὶ διὰ τοῦτο φιλεῖν μᾶλλον, ἢ φιλεῖσθαι. Τὸ δὲ φιλεῖσθαι ἐγγὺς εἶναι δοκεῖ τοῦ τιμᾶσθαι, οὗ δὴ οἱ πολλοὶ ἐφίενται.

Τὸ δὲ τιμᾶσθαι οὐ δι' ἑαυτὸ ζητοῦσιν οἱ ζητοῦντες, ἀλλὰ κατὰ συμβεβηκός· δι' ἄλλο γὰρ δοκεῖ αὐτοῖς ἀγαθὸν ἡ τιμή. Τοῖς μὲν πολλοῖς ὑπὸ τῶν ὑπερεχόντων τιμωμένοις, διὰ τὴν ἐλπίδα. Οἴονται γὰρ τυχεῖν ἂν ὧν δέονται παρὰ τῶν τιμώντων, καὶ ὡς σημείῳ τῆς εὐπαθείας χαίρουσι τῇ τιμῇ. Οἱ δὲ ἐπιεικέστεροι καὶ ὑπὸ τῶν ἐπιεικῶν ὀρεγόμενοι τιμᾶσθαι διὰ τοῦτο διώκουσι τιμὴν, ὅτι ἐφίενται βεβαίως περὶ ἑαυτῶν τὰ ἄριστα ὑπολαμβάνειν. Βεβαιοῦσι δὲ τὰς περὶ ἑαυτῶν ἀγαθὰς δόξας τῇ ψήφῳ τῶν τιμώντων. Χαίρουσι

Vulgus autem, quia ambitioſum eſt, amari videtur malle, quàm amare. Quare & amant adulatores plerique & libenter cum iis verſantur: quia ſuperiores illis ſunt, cum tamen amici videantur. Superiorem autem eſſe amicis, ambitioſis gratum eſt. Voluntq; videri cedere ubiq; amicis adulatores. Ideoq; amare magis quam amari. Amari autem idem fere quod honorari eſt: quod pleriq; ſequuntur. Cap. 8. Οἱ πολλοὶ δὲ δοκοῦσι, &c.

Honorari autem non per ſe petunt, ii qui id petunt, ſed per accidens tantum. Alterius enim cauſa bonum illis videtur honor eſſe. Sicut vulgo cum à ſuperioribus afficitur honore, ſpei cauſa. Quibus enim ſibi opus eſſe ſciunt, ea ſe ab iis à quibus honore afficiuntur, conſecuturos eſſe putant, ideoq; tanquam futuri beneficii ſigno, honore illo delectantur. Meliores vero & qui viciſſim à melioribus honore quoq; affici gaudent, ideo honorem conſectantur, quia libenter optima quæq; de ſe quam firmiſſime ſibi perſuadere volunt. Quas enim de ſe concepere opiniones bonas, eorum à quibus honore afficiuntur ſuffragio con- Οὐ δι' αὐτὸ δ' ἐοίκασι, &c.

 firmant;

Ariſtot. l.8.c.8.

firmant. Atq; hinc honore delectantur: bonos enim eſſe ſe confidunt. Honore ergo affici ob aliud, amari vero per ſe appetitur. Dulce quippe per ſe eſt & amabile. Unde etiam præſtantius quam honore affici & per ſe eligenda eſſe amicitia videtur. Cum enim in eo ut ametur aliquis & amet, conſiſtat, ſi utrumque per ſe eligendum eſt, ſequitur amicitiam etiam per ſe eligendam eſſe. At vero non tantum amari, ſed & amare per ſe eligendum eſt: & quidem multo magis, quanto eſt præſtantius.

Δοκεῖ δὲ ἐν τῷ φιλεῖν, &c.

Unde ſequitur amicitiam quoque magis in eo ut quis amet, quam ut ametur, eſſe. Exemplo ſunt matres, quæ amare gaudent, neque tamen contra amari à liberis quærunt. Quædam enim aliis ſuos ad tempus ſupponunt aut certe nutriendos dant liberos, à quibus cum ignorentur, amari non poſſint: ipſæ tamen quæ norunt eos amant, viciſſimq; amari, ſi utrumq; fieri non poſſit, non vehementer curant. Satiſq; iis videtur eſſe, ſi recte cum iis agi videant. Cum ergo magis in eo ut amet aliquis quam ut ametur ſit amicitia, ſique qui amant amicos ſoleant laudari, virtus amicorum videtur eſſe, amare.

Ὥστε ἐν οἷς τοῦτο γίνεται, &c.

Quare in quibus hoc eſt pro dignitate, firmi ſunt amici, firmaque eorum eſt amicitia. Atq; ita inæquales quoque, ſi pro dignitate alter alterum colat, amici fient. Ita enim æquales ſibi mutuo fient. Æqualitas autem eſt amicitia.

δὴ τῇ τιμιότητι ἐντεῦθεν. Πιστεύουσι δὲ ἑαυτοὺς ἀγαθοὺς εἶναι. Τὸ μὲν οὖν τιμᾶσθαι δι' ἄλλο ζητεῖται· τὸ δὲ φιλεῖσθαι, δι' ἑαυτό. Καὶ γὰρ ἡδὺ καὶ φιλητόν ἐστι καθ' ἑαυτό. Διὸ δόξειεν ἂν κρεῖττον εἶναι τοῦ τιμᾶσθαι, καὶ ἡ φιλία δὲ καθ' ἑαυτὴν αἱρετὴ εἶναι· ἐπεὶ γὰρ ἐν τῷ φιλεῖσθαι καὶ τῷ φιλεῖν συνίσταται, εἰ ἑκάτερον καθ' ἑαυτόν ἐστι αἱρετὸν, φανερὸν, ὅτι καὶ ἡ φιλία καθ' ἑαυτὴν αἱρετή ἐστιν· ἔστι δὴ οὐ μόνον τὸ φιλεῖσθαι δι' ἑαυτὸ αἱρετὸν, ἀλλὰ καὶ τὸ φιλεῖν, καὶ πολλῷ μᾶλλον, ὅσῳ καὶ βέλτιον.

Ὅθεν καὶ ἡ φιλία ἐν τῷ φιλεῖν ἐστὶ μᾶλλον ἢ ἐν τῷ φιλεῖσθαι· σημεῖον δὲ, αἱ μητέρες τῷ φιλεῖν χαίρουσαι, καὶ παρὰ τῶν τέκνων φιλεῖσθαι οὐ ζητοῦσαι. Ἔνιαι γὰρ ὑποποιοῦσιν ἄλλαις τὰ ἑαυτῶν, ἢ καὶ ἄλλαις διδόασιν ἐπὶ τῷ παρ' αὐτῶν τρέφεσθαι, καὶ ἀγνοούμεναι οὐ φιλοῦνται. Αὗται δὲ φιλοῦσι μὲν εἰδυῖαι, ἀντιφιλεῖσθαι δ' οὐ ζητοῦσιν, ἐὰν ἀμφότερα μὴ ἐνδέχηται· ἀλλ' ἱκανὸν αὐταῖς ἔοικεν εἶναι, ἐὰν ὁρῶσιν εὖ πράττοντας τοὺς παῖδας. Μᾶλλον δὲ τῆς φιλίας οὔσης ἐν τῷ φιλεῖν, καὶ τῶν φιλοφίλων ἐπαινουμένων, φίλων ἀρετὴ τὸ φιλεῖν ἔοικεν εἶναι.

Ὥστε ἐν οἷς τοῦτο γίνεται κατ' ἀξίαν, οὗτοι μόνιμοι φίλοι, καὶ ἡ τούτων φιλία βεβαία ἐστίν. Οὕτω δὲ γένοιντο ἂν καὶ οἱ ἄνισοι φίλοι, εἰ ἀξίως ἀλλήλους φιλοῦσιν. Ἴσοι γὰρ ἂν ἀλλήλοις οὕτω γένοιντο. Ἡ δὲ ἰσότης φιλότης.

ΚΕΦ.

Ariſtot. l.8.c.8.

ΚΕΦ. ιά.

Περὶ βεβαιότητος φιλίας, καὶ ὅθεν τό, τε φιλεῖν, καὶ τὸ φιλεῖσθαι.

Αὕτη δὴ ἡ ὁμοιότης ἐν μὲν τοῖς σπουδαίοις μάλιστα καὶ κυρίως εὑρίσκεται· ἐν δὲ τοῖς φαύλοις ἀμυδρῶς, ἐν δὲ τοῖς διὰ τὸ χρήσιμον καὶ ἡδὺ, μᾶλλον· οἱ μὲν γὰρ σπουδαῖοι καὶ ἑαυτοῖς ὅμοιοί εἰσιν· οὐ γὰρ εὐμετάβολοί εἰσιν, οὐδὲ ἄλλοτε ἄλλοις χαίρουσιν, ἀλλὰ τοῖς σπουδαίοις ἔργοις· μόνιμος γὰρ ἡ ἀρετὴ ὅτι ἕξις ἐστὶ, καὶ διὰ τοῦτο καὶ ἀλλήλοις ἀεὶ ὅμοιοί εἰσι, καὶ διαμένουσιν ἐν τῇ φιλίᾳ· καὶ οὔτε δέονται φαύλων, οὔθ᾽ ὑπηρετοῦσι τοιαῦτα, ἀλλ᾽ ὡς εἰπεῖν, καὶ διακωλύουσι. Τῶν ἀγαθῶν γὰρ μήτ᾽ αὐτοὺς ἁμαρτάνειν, μήτε τοῖς φίλοις ἐπιτρέπειν ὑπηρετεῖν. Οἱ δὲ μοχθηροὶ καὶ τούτῳ μοχθηροί εἰσιν, ὅτι οὐκ ἀεὶ τοῖς αὐτοῖς χαίρουσιν. Ὅθεν οὔτε ἑαυτοῖς ὅμοιοί εἰσιν ἀεὶ, οὔτε τοῖς φίλοις· καὶ διὰ τοῦτο ὀλίγον χρόνον μένουσιν ἐν τῇ φιλίᾳ, χαίροντες τῇ ἀλλήλων μοχθηρίᾳ· οἱ χρήσιμοι δὲ καὶ ἡδεῖς μᾶλλόν εἰσιν ἐν τῇ ὁμοιότητι. Μονιμωτέρα γὰρ ἡ τοῦ χρησίμου καὶ τοῦ ἡδέος ζήτησις, καὶ διὰ τοῦτο ὅμοιοί εἰσιν ἑαυτοῖς καὶ ἀλλήλοις, περὶ τὸ χρήσιμον ἀμφοτέρους ζητεῖν, ἢ τὸ ἡδὺ, ἕως ἂν πορίζωσιν ἡδονὰς ἢ ὠφελείας ἀλλήλοις. Αἱ μὲν οὖν ἐξ ὁμοιότητος φιλίαι τοιαῦται.

CAP. XI.

De ſtabilitate amicitiæ, & unde amare & amari.

HÆc autem ſimilitudo inter bonos maxime invenitur ac proprie. Inter improbos autem vix apparet. In iis autem qui utilitatis cauſa aut voluptatis amant, mag s. Probi enim ſibi quoque mutuo ſunt ſimiles: neque enim facile mutantur aut nunc his delectantur nunc illis, ſed bene agendo tantum. Stabilis enim eſt virtus, quia eſt habitus, ideoq; ſibi mutuo ſemper ſunt ſimiles, & in amicitia perſiſtunt. Sed neque quod turpe eſt poſtulant, neque in talibus miniſtros ſe præbent, ſed quodammodo vetant quoq; nè id fiat. Eſt enim bonorum, ut neque ipſi delinquant, neque amicis permittant ut adminiſtri ſint talium. Improbi vero, etiam eo ſunt improbi, quod non iiſdem ſemper delectentur. Unde neque ſibi ſemper neq; amicis ſunt ſimiles. Ideoque parvo admodum tempore in amicitia perſiſtunt, quia alterius improbitate delectatur alter. Utiles vero magis in ſimilitudine illa perſiſtunt & jucundi, quia diuturnius eſt id quod utrique quærunt. Ideoque ſimiles ſibi mutuo & inter ſe ſunt, quia id quod utile eſt aut quod jucundum uterq; quærit: donec utilitatem alter alteri ſuppeditare poteſt, aut voluptatem. Et eæ quidem quæ ex ſimilitudine inſtituuntur amicitiæ, ſunt tales.

Aristot. l 8. c 8 Ἐξ ἐναντίων δὲ μάλιστα, &c.

Videtur autem ex contrario ea amicitia maxime conſtare, quam utilitatis cauſa eſſe diximus. Ut, ſi quis, exempli gratia, pauper amicus eſſet diviti, vel imperitus perito. Qui.n, id petit quo ſibi opus eſſe videt, aliud reddit quod à ſe dari poteſt. Ad quam amicitiæ ſpeciem amator quoq; & amaſius referri poſſit, pulchriq; amicitia & turpis. Ideoq; ridiculi non raro amatores videntur, qui ab amaſiis ſuis formoſiſſimis æque amari poſtulant, cum ſint deformes. Si n. æque ſunt amabiles, non indigna petunt, neque amari minus merentur: ſin minus, ſunt ridiculi. Ideoque ex contrario conſtare hæc amicitia videtur: quia formoſos deformes, pauperes opulenti, indocti amant peritos. Sicut in natura rerum humida quoque appetuntur à ſiccis. Talis autem contrariorum amicitia non per ſe fit ſed per accidens. Neq; enim quatenus ſe mutuo amant ſunt contraria, ſed contra accidens in iis eſt quod ſunt contraria. Pauper n. amat divitem, quia & prodeſt illi & utilis eſt dives. Qui v. utilis eſt aut prodeſt, non contrarius illi cui uſum exhibet, ſui per ſe eſt. Omnis enim qui utilis eſt cuilibet utenti eſſet contrarius. Quin neque miles duci, neque præceptor eſt contrarius diſcipulo. Sic & amator amaſium, quia jucundus ſibi eſt, ampleſtitur. Qui delectat autem ei quem delectat non eſt contrarius, licet per accidens fiat ut ſint contrarii. Natura autem ſic-

*Videtur potius eſſe οἱ πένητες τῶν πλουσίων, ſicut paulo poſt ſeq.

Δοκεῖ δὲ καὶ ἐξ ἐναντιότητος συνεστάναι φιλία, ἥτις καὶ διὰ τὸ χρήσιμόν ἐστιν. Οἷον εἴ τις πένης πλουσίῳ γένοιτο φίλος, καὶ ἀμαθὴς εἰδότι. Τοῦ γὰρ τυγχάνει τις ἐνδεὴς, τούτου ἐφιέμενος, ἀντιδωρεῖται ἄλλο ὃ αὐτὸς δύναται δοῦναι. Εἰς ταύτην δὲ τὴν φιλίαν ἀνάγοιτο ἂν καὶ ὁ ἐραστὴς καὶ ἐρώμενος, καὶ ἡ τοῦ καλοῦ καὶ αἰσχροῦ φιλία. Διὰ τοῦτο καὶ γελοῖοι δοκοῦσιν οἱ ἐρασταὶ πολλάκις, ἀξιοῦντες ὁμοίως ὑπὸ τῶν ἐρωμένων ἀντιφιλεῖσθαι, αἰσχροὶ ὄντες, ὄντων καλῶν. Εἰ μὲν γὰρ ὁμοίως εἰσὶ φιλητοὶ, τὰ εἰκότα ἀξιοῦσι, καὶ δίκαιοί εἰσιν ὁμοίως φιλεῖσθαι· εἰ δὲ μὴ, γελοῖοι. Διὰ ταῦτα δοκεῖ καὶ ἐξ ἐναντίων συνεστάναι φιλίαν· ὅτι οἱ αἰσχροὶ τῶν καλῶν ἐρῶσι, * καὶ οἱ πλούσιοι τῶν πενήτων, καὶ οἱ ἀμαθεῖς τῶν ἐπιστημόνων· καὶ ἐν τῇ φύσει τὰ ξηρὰ τῶν ὑγρῶν ἐφίενται. Γίνεται δὲ ἡ τοιαύτη φιλία τῶν ἐναντίων οὐ καθ' αὑτὸ, ἀλλὰ κατὰ συμβεβηκός. Οὐ γὰρ καθὸ φιλοῦσιν ἄλληλα, ἐναντία ἐστὶν, ἀλλὰ συμβέβηκεν αὐτοῖς ἐναντίοις εἶναι. Καὶ γὰρ ὁ πένης ἐρᾷ τοῦ πλουσίου, ὅτι ὠφέλιμός ἐστιν αὐτῷ καὶ χρήσιμος· χρήσιμος δὲ καὶ ὠφέλιμος τῷ χρωμένῳ οὐκ ἔστιν ἐναντίος καθ' αὑτό· ἢ γὰρ ἂν πᾶς χρήσιμος τῷ χρωμένῳ ἦν ἂν ἐναντίος. Οὐκ ἔστι δὲ οὐδὲ ὁ στρατιώτης τῷ στρατηγῷ ἐναντίος, οὐδὲ ὁ διδάσκαλος τῷ μαθητῇ· καὶ ὁ ἐραστὴς δὲ τὸν ἐρώμενον φιλεῖ, ὅτι ἡδύς ἐστιν αὐτῷ. Ἡδὺς δὲ ἡδομένῳ οὐκ ἔστιν ἐναντίος, ἀλλὰ συμβαίνει αὐτοῖς ἐναντίοις εἶναι. Φύσει δὲ τὸ

ξηρὸν ἐφίεται οὐ τοῦ ἐναντίου ὑγροῦ, ἀλλὰ τοῦ μέσου. Ἡ γὰρ ὄρεξις τοῦ ἀγαθοῦ ἐστίν. Ἀγαθὸν δὲ τὸ μέσον. Ταῦτα μὲν οὖν ἀφείσθω· καὶ γὰρ οὐ πάνυ οἰκεῖά εἰσι τῇ παρούσῃ πραγματείᾳ.

cum, non contrarium petit humidum ſed medium. Boni enim illa appetitio eſt. Bonum autem eſt medium. Atque hæc quidem relinquamus. Cum præcipue non admodum ad præſens faciant ſubjectum. Ariſtot. l. 8. c. 9.

ΚΕΦ. ιβ'.

Περὶ τῆς πολιτικῆς φιλίας.

ΕΟικε δὲ, καθὼς εἴρηται πρότερον, ὅτι περὶ ταὐτά ἐστιν ἥ τε φιλία καὶ τὸ δίκαιον. Καὶ γὰρ τὸ δίκαιον ἐν ταῖς πρὸς ἀλλήλους τῶν ἀνθρώπων κοινωνίαις ζητεῖται, ἐν ταύταις δὲ καὶ ἡ φιλία γίνεται. Καὶ γὰρ καὶ σύμπλοι, καὶ στρατιῶται, καὶ ὅλως οἱ πράξεών τινων καὶ ἐπιτηδευμάτων κοινωνοῦντες ἀλλήλοις, καὶ τὰ δίκαια φυλάττειν πρὸς ἀλλήλους ζητοῦσι, καὶ φίλοι εἰσὶν ἀλλήλοις, καὶ καθ' ὅσον δὲ κοινωνοῦσι, κατὰ τοσοῦτον καὶ φιλοῦσιν ἀλλήλους, καὶ τὰ δίκαια πρὸς ἀλλήλους ποιοῦσιν. Ὅθεν καὶ ἡ παροιμία φησὶ, κοινὰ τὰ τῶν φίλων, ὀρθῶς. Ἐν κοινωνίᾳ γὰρ ἡ φιλία. Διαφέρουσι δὲ αἱ κοινωνίαι. Ἀδελφοῖς μὲν γὰρ καὶ ἑταίροις πάντα κοινὰ, τοῖς δὲ ἄλλοις οὐ πάντα, ἀλλ' ἔνια ὡρισμένα. Καὶ τούτων τοῖς μὲν πλείω, τοῖς δὲ ἐλάττω. Ἀναλόγως δὴ ταῖς κοινωνίαις καὶ αἱ φιλίαι ἔχουσιν. Αἱ μὲν γὰρ μᾶλλον, αἱ δὲ ἧττον γίνονται, ταῖς κοινωνίαις ἀκολουθοῦσαι. Ὁμοίως καὶ τὰ δίκαια ταῖς φιλίαις ἀναλο-

CAP. XII.

De amicitia civili.

VIdetur autem, quemadmodum & ſupra dictum eſt, in iiſdem amicitia cum jure verſari. In mutuis quippe hominum communionibus jus quoque ſpectatur: in quibus amicitia quoque conſiſtit. Nam & qui navigant & militant, aut quos denique vel actiones aliquæ communes vel inſtituta conjungunt, jus inter ſe mutuo conſervare conantur, & inter ſe ſunt amici: quantumque communione aliqua inter ſe ſunt conjuncti, tantum & amare ſe mutuo ſolent, & jus inter ſe conſervare. Unde illud, communia amicorum, recte vulgari dicitur proverbio. In communione enim amicitia eſt. Ipſæ autem communiones differunt. Fratribus enim ſodalibuſque communia ſunt omnia: aliis vero non omnia ſed certa quædam. Aliiſque horum plura, aliis pauciora. Communionibus autem proportione amicitiæ reſpondent. Aliæ enim magis, aliæ minus ſunt, quemadmodum proportiones ipſæ. Eodemque modo communionibus quoque jura proportione reſpondent.

Cap. 9. Ἔοικε δὲ καθάπερ ἐν ἀρχῇ εἴρηται, &c.

Ariſtot. l.8.c.9.

dent. Neque enim jus idem fratribus inter ſe, quod pat i cum filio, aut civibus inter ſe eſt & ſodalibus, ſed aliud majuſque illud & minus, pro amicitiarum ratione eſt. Neque enim ſimiliter injuſtum eſt, pecuniis ſodalem fraudare aut civem, fratri petenti non ſuccurrere aut peregrino, patrem denique pulſare, aut alium quemcunque. Creſcit enim cum amicitia jus quoque cum utrumque in iiſdem verſetur, & ad eadem ſe extendat. Unde & eum qui magis amicus fuerit, & qui majori nobis communione conjunctus eſt, afficere injuria magis indignum eſt, quam quem eum minor nobis aut communio aut amicitia conjungit.

Αἱ δὲ κοινωνίαι πᾶσι μορίοις, &c.

Quævis autem in qua vel jus vel amicitia eſt communio, civilis pars eſt. Civilis quippe utilitatis cauſa eſt communio. Quam ob cauſam & inſtituitur omnis à principio, & conſervatur Reſpublica. Omnis autem utilitatis cauſa eſt communio; alia quidem hujus, alia vero illius. Quæ enim conducere nobis putamus, hujuſmodi communione acquirimus; ideoque inſtituitur à nobis communio, ut ea quæ ad vitam nobis ſunt comparemus neceſſaria. Hanc autem etiam legiſlatores publicam utilitatem ſpectant, qui jus eſſe volunt id quod publice conducit. Quare & aliæ ſocietates, tum ipſæ ut ſunt integræ, tum vero partes earum, utilitatem quærunt. Sicut, exempli gratia, nautæ eam quæ in navigatione eſt utilitas: ut puta, pec

γοῦσιν. Οὐ γὰρ τὰ αὐτὰ δίκαια ἀδελφοῖς πρὸς ἀλλήλους, καὶ πατρὶ πρὸς υἱόν, ἢ πολίταις, ἢ ἑταίροις πρὸς ἀλλήλους, ἀλλ' ἕτερα· καὶ μᾶλλον καὶ ἧττον γίνεται ταῖς φιλίαις ἀκολουθοῦντα. Οὐ γὰρ ὁμοίως ἄδικον χρήματα ἀποστερῆσαι ἑταῖρον καὶ πολίτην, καὶ μὴ βοηθῆσαι δεομένῳ, ἀδελφῷ καὶ ὀθνείῳ· καὶ πατάξαι πατέρα, καὶ ὁντινοῦν ἄλλον. Αὔξεσθαι γὰρ πέφυκεν ἅμα τῇ φιλίᾳ καὶ τὸ δίκαιον, ὡς ἐν τοῖς αὐτοῖς ὄντα, καὶ ἐπ' ἴσον διήκοντα. Καὶ τὸν φίλτερον δεινότερον ἀδικεῖν, καὶ τὸν μᾶλλον κοινωνοῦντα καὶ φιλοῦντα, ἢ πρὸς ὃν ἧττον ἡ κοινωνία καὶ ἡ φιλία γίνεται.

Πᾶσαι δὲ κοινωνίαι, ἐν αἷς ἐστὶν ἡ φιλία καὶ τὸ δίκαιον, μέρη εἰσὶ τῆς πολιτικῆς. Ἡ γὰρ πολιτικὴ κοινωνία ἐστὶ τοῦ συμφέροντος ἕνεκα· δι' ὃ καὶ συνέστη τὴν ἀρχὴν ἡ πολιτεία, καὶ μένει. Πᾶσα δὲ κοινωνία τοῦ συμφέροντος ἐστὶν ἕνεκα· ἡ μὲν τοῦδε τοῦ συμφέροντος, ἡ δὲ ἐκείνου· διὰ γὰρ τῶν κοινωνιῶν τὰ συμφέροντα πορίζομεν ἑαυτοῖς, καὶ διὰ ταῦτα ἀλλήλοις κοινωνοῦμεν, ἵνα πορισώμεθά τι τῶν εἰς τὸν βίον. Τούτου δὴ τοῦ κοινῇ συμφέροντος καὶ οἱ νομοθέται στοχάζονται, καὶ δίκαιόν φασιν εἶναι τὸ κοινῇ συμφέρον. Αἱ μὲν οὖν ἄλλαι, καὶ αἱ ὅλαι, καὶ τὰ μέρη αὐτῶν, τοῦ συμφέροντος ἐφίενται· οἷον πλωτῆρες μὲν τοῦ κατὰ τὸν πλοῦν τοῦ συμφέροντος, οἷον χρημάτων, ἢ

ἄλλου

ἄλλου τινός· συστρατεύονται δὲ τοῦ κατὰ τὸν πόλεμον συμφέροντος ὀρεγόμενοι, οἷον χρημάτων, ἢ νίκης, ἢ πόλεως. Ὁμοίως δὲ καὶ φυλέται καὶ δημόται· τινὲς δὲ τῶν κοινωνιῶν τοῦ ἡδέος ἐφίενται, καὶ δι' ἡδονὴν δοκοῦσι γίνεσθαι, ὥσπερ ἡ τῶν θιασωτῶν κοινωνία, καὶ ἡ τῶν ἐρανιστῶν. Ἡ μὲν γὰρ θυσίας ἕνεκα γίνεται, ἡ δὲ συνουσίας, ἃ καὶ ἄμφω τοῦ ἡδέος ἐστὶ μᾶλλον. Καὶ αὗται δὲ μέρη εἰσὶ τῆς πολιτικῆς· τάττονται γὰρ καὶ αὗται πρὸς τὸ κοινῇ συμφέρον ὑπὸ τῆς πολιτικῆς. Καὶ γὰρ οὐ μόνον, ὃ νῦν ἐστι συμφέρον, ζητεῖ, ἀλλὰ καὶ, ὃ νῦν μὲν οὐ συμφέρει, συνοίσει δὲ, καὶ τοῦτο διώκει· οὐ γὰρ τοῦ παρόντος μόνον συμφέροντος ἐφίεται, ἀλλὰ τοῦ μέχρι βίου. Διὰ τοῦτο θυσίας τε εἰσήγαγε, καὶ συνόδους, καὶ συνουσίας μεθ' ἡδονῆς, καὶ πόνων ἀναπαύσεις. Μετὰ γὰρ τὰς τῶν καρπῶν συγκομιδὰς αἵ τε σύνοδοι ἐγίνοντο, καὶ αἱ θυσίαι, ἀπαρχαί τινες οὖσαι. Μάλιστα γὰρ ἐν τούτοις ἐσχόλαζον τοῖς καιροῖς. Διὰ δὴ τούτων τῶν κοινωνιῶν τό, τε θεῖον ἵλεων αὐτοῖς ἐγίνετο, ὃ συνοίσειν ἐδόκει, καὶ αὐτοὶ ἀναπαυόμενοι, νεαροὶ τῶν ὑπὲρ τοῦ συμφέροντος πόνων ἥπτοντο. Διὰ τοῦτο φαίνεται, ὅτι πᾶσα κοινωνία, καὶ ἡ ἡδέος ἕνεκα γινομένη, καὶ ἡ τοῦ συμφέροντος, τὸ συμφέρον ἔσχατον ἔχει τέλος. Καὶ διὰ τοῦτο πᾶσαι μέρη εἰσὶ

cunias, aut aliud quodcunque. Qui ſimul militant, utilitatem quæ in bello ſpectatur, pecunias nimirum, aut victoriam, aut urbem, ſolent ſibi proponere. Eodemque modo tribules & populares. Aliæ rurſus jucunditatem reſpicere ejuſque cauſa contrahi videntur ſocietates: quales ſunt quas ſodalitates vocant in urbibus, & qui de ſymbolis una vivunt. Illa enim ſacrificii, hæc vero convictus cauſa inſtituitur. Sicut jucunditatis cauſa magis utraque. Ipſæ autem civilis partes ſunt. Unde etiam publici boni cauſa à civili inſtituuntur ſcientia. Non enim tantum id quod nunc conducit, ſed & illud quod ut nunc non prodeſt, ita in poſterum prodeſſe poterit, quærit. Quia non præſens tantum, ſed vitæ potius totius ſpectat commodum. Ideoque & ſacrificia, & publicos conventus, & convictus jucundos introduxit, & remiſſiones laborum. Poſt collectas enim fruges, quidam indicti ſunt, conventus, ut ſacrificia, quæ primitiarum inſtar eſſent. Hoc enim maxime ociari ſolebant tempore. Quia talibus congreſſibus, & propitium ſibi reddebant numen divinum, quod è re ſua ſciebant eſſe, & ipſi tantiſper quieti indulgentes, rurſus de integro collectis viribus, utiles ſibi ſubibant labores. Unde apparet omnem, tam quæ voluptatis quam quæ utilitatis cauſa inſtituitur, communionem utilitatem tanquam ultimum ſpectare finem. Ideoque partes omnes ſunt civilis.

Ariſtot. l.8.c.9.

Has

Ariſtot. l.8.c.10. Has ergo amicitiæ etiam ſequentur communiones. Quare ſicut illæ, ita & hæ dividentur. Taleſque erunt amicitiæ, quales ſunt & communiones.

τῆς πολιτικῆς· ταύταις δὲ ταῖς κοινωνίαις καὶ αἱ φιλίαι ἀκολουθήσουσι, καὶ ὥσπερ αἱ κοινωνίαι, οὕτω καὶ αἱ φιλίαι διαιρεθήσονται, καὶ τοιαῦται ἔσονται αἱ φιλίαι, οἷαι αἱ κοινωνίαι.

CAP. XIII.

De tribus Reip. formis.

Cap. 10. Πολιτείας δ' ἐστὶν εἴδη τρία, &c. JAm de civili ſocietate dicendum eſt. Hujus autem tres ſunt formæ. Regnum nimirum, A iſtocratia, & Timocratia, quam Remp. ſolent plerique vocare: quæ cenſu comparatur. Qui enim pecunias dederint, imperium accipiunt. Unde etiam Timocratiam vocant proprie. Harum vero præſtantiſſima Regnum, deterrima vero eſt Timocratia. Atque hæ quidem Reip. formæ ſunt. Defectus vero harum & quaſi corruptelæ, Regni quidem Tyrannis: ambæ enim ſunt monarchiæ, multum licet differant. Tyrannus enim ſuum ſpectat commodum, ſicut rex ſubditorum: neque enim rex eſt qui non ſufficiens eſt ſibi, boniſque excellit omnibus. Talis autem opus non habebit, ut aliorum ad ſe pertrahat bona. Ideoque id quod ſibi conducit non ſpectat vir civilis & qui in Rep. verſatur, ſed tantum id quod ſubditis. Neque enim è publico, ſed è privato utilitatem procurat ſuam. Qui vero talis non erit, is ſorte potius creatus eſſe quam rex

ΚΕΦ. ιγ.

Περὶ τῶν τριῶν πολιτείας εἰδῶν.

Ῥητέον δὲ ἐστι περὶ τῆς πολιτικῆς. Ταύτης δὴ τρία εἰσὶν εἴδη· βασιλεία, ἀριστοκρατία, καὶ τιμοκρατία, ἣν καὶ πολιτείαν εἰώθασιν οἱ πλεῖστοι καλεῖν, ἥ τις ἐστὶν ἀπὸ τῶν τιμημάτων. Διδόντες γὰρ χρήματα τὸ ἄρχειν λαμβάνουσι· διὰ τοῦτο τιμοκρατικὴν οἰκεῖόν ἐστι καλεῖν. Τούτων δὲ τῶν πολιτικῶν βελτίστη μὲν ἡ βασιλεία, χειρίστη δὲ ἡ τιμοκρατία· αὗται μὲν οὖν αἱ πολιτεῖαι· αἱ δὲ παρεκβάσεις καὶ οἷον φθοραὶ πολιτειῶν, τῆς μὲν βασιλείας ἡ τυραννίς· ἄμφω γὰρ μοναρχίαι· διαφέρουσι δὲ πλεῖστον. Ὁ μὲν γὰρ τύραννος τὸ ἑαυτοῦ συμφέρον σκοπεῖ, ὁ δὲ βασιλεὺς τὸ τῶν ἀρχομένων. Οὐ γάρ ἐστι βασιλεὺς ὁ μὴ αὐτὸς ἑαυτῷ ἀρκῶν, καὶ πᾶσι τοῖς ἀγαθοῖς ὑπερέχων. Ὁ γὰρ τοιοῦτος οὐ δεήσεται τὰ τῶν ἀρχομένων εἰς ἑαυτὸν ἕλκειν. Διὰ τοῦτο τὰ μὲν ὠφέλιμα αὐτῷ οὐ προσκοπεῖ πολιτευόμενος καὶ τὰ κοινὰ πράττων, μόνα δὲ τὰ τῶν ἀρχομένων. Οὐ γὰρ ἀπὸ τῶν κοινῶν, ἀλλ' οἴκοθεν ποιεῖ τὰ συμφέροντα ἑαυτῷ. Ὁ δὲ μὴ οὕτως ἔχων κληρωτὸς μᾶλλον ἂν τις εἴη, ἢ βασι-

λεύς

λεύς. Ἔστι τοίνυν ἡ τυραννὶς ἐναντία τῇ βασιλείᾳ· ὁ γὰρ τύραννος τὸ ἑαυτοῦ ἀγαθὸν διώκει, καὶ πολὺ μᾶλλον, ἢ ὁ κληρωτός. Καὶ φανερωτέρα ἡ διαφορὰ ἡ πρὸς τὸν βασιλέα, ὅτι καὶ χείρων. Διὰ τοῦτο καὶ ἐναντίον ἐστὶ τῇ βασιλείᾳ ἡ τυραννὶς, ὅτι τὸ μὲν βέλτιστον, τὸ δὲ χείριστον. Τὸ γὰρ χείριστον ἐναντίον τῷ βελτίστῳ. Μεταβαίνει τοίνυν ἡ πολιτεία ἐκ βασιλείας εἰς τυραννίδα. Φαυλότης γάρ ἐστι μοναρχίας ἡ τυραννὶς, καὶ ὁ μοχθηρὸς βασιλεὺς τύραννος γίνεται. Τῆς μὲν οὖν βασιλείας παρέκβασις ἡ τυραννὶς, τῆς δὲ ἀριστοκρατίας ἡ ὀλιγαρχία. Ὅταν οἱ ταύτην πολιτευόμενοι τὴν πολιτείαν νέμωσι τὰ τῆς πόλεως ἑαυτοῖς παρὰ τὴν ἀξίαν. Καὶ πάντα ἢ τὰ πλεῖστα· οἱ καὶ τὰς ἀρχὰς τῆς πόλεως τοῖς αὐτοῖς ἀεὶ διδόασι διοικεῖν, ἵνα συνήθεις αὐτοῖς γενόμενοι δι' αὐτῶν χρηματίζωνται τὰ κοινά. Ὅθεν συμβαίνει ὀλίγους ... ἐπὶ τῶν πραγμάτων εἶναι, καὶ μοχθηροὺς ἀντὶ τῶν ἐπιεικ... Τῆς δὲ τιμοκρατίας παρέκβασις ἡ δημοκρατία. ...όμοροι γάρ εἰσιν αὗται· πλήθους γὰρ βούλεται ἡ καὶ τιμοκρατία εἶναι, καὶ ἴσοι πάντες οἱ ἐν τῷ τιμήματι. Ἥκιστα δὲ μοχθηρία ἐστὶν ἡ δημοκρατία. Μικρὸν γὰρ ὑπερβαίνει τὸ τῆς τιμοκρατείας εἶδος. Κοινωνεῖ γὰρ αὐτῇ μᾶλλον ἢ διαφέρει. Τῷ τιμήματι μὲν γὰρ διαφέρει, κοινωνεῖ δὲ κατά τε τὴν ἰσότητα, ἴσοι γὰρ πάντες οἱ ἐν τῷ τιμήματι, καὶ κατὰ τὸ πλῆθος.

videbitur. Quare regno contraria Tyrannis eſt. Id enim quod ſibi bonum eſt, Tyrannus ſpectat, multoque magis quam qui ſorte eſt creatus: eo autem longius differre à rege videtur, quod illo eſt deterior. Ideoque regno contraria eſt tyrannis, quia alterum optimum, alterum deterrimum eſt. Peſſimum enim contrarium eſt optimo. Solet autem à regno tranſire in tyrannidem Reſpublica: corruptela enim Monarchiæ Tyrannis eſt: fitque Tyrannus rex qui non bonus eſt. Regni igitur exceſſus eſt Tyrannis, ſicut Ariſtocratiæ Oligarchia eſt: quod fit quoties qui illam conſtituunt Rempublicam, quæ civitatis ſunt, contra quam oportet, ſibi vindicant: & vel omnia, vel pluiima. Iidemque magiſtratus urbis & imperia ſemper tribuunt iiſdem, ut familiares eos ſibi faciant, atque ita opera eorum res peculentur publicas. Unde fit ut & pauci rerum præſint ſummæ, & pro optimis viris, ſceleſti. Timocratiæ autem defectus, Democratia eſt. Finitimæ enim hæ duæ ſunt. Nam & plebis eſſe vult Timocratia, & pares ſunt omnes qui cenſu continentur. Minime autem corrupta Democratia eſt, quippe quæ parum à Timocratia forma recedit. Pluſque cum ea commune, quam ab ea diverſum habet. Cenſu enim differt, æqualitatem autem cum ea communem habet. Pares enim ſunt omnes qui cenſu continentur, etiam in plebe.

Ariſtot. l 8.c.10.

CAP.

Ariſtot. l.8.c.10.

CAP. XIV.

De illarum formarum ſimilitudine.

Ὁμοιώματα δ᾽ αὐτῶν καὶ οἷον παραδείγματα, &c.

ET civilis quidem formæ ſocietatis in has potiſſimum mutantur. Ad minimum enim ſingulæ earum quas diximus formarum, in contrariam ſibi ſolent tranſire, facillimeque in eam mutantur. Sunt tamen & in domeſtica re imagines illius & exempla quaſi. In familia enim regni imaginem & Ariſtocratiæ, reliquarumque invenire eſt formarum. Quæ enim patri eſt cum liberis ſocietas, regni formam habet. Liberorum enim curam gerit pater. Unde & Homerus patrem vocat Jovem. patrium enim imperium videtur regnum eſſe, quod Perſæ dum excedunt, Tyrannidem efficiunt, liberis enim imperant ut ſervis. Tyrannis enim eſt imperium in ſervos. Domini quippe commodum ſemper ſpectant ſervi. Quare vitioſum eſt, cum in liberos exercetur tale imperium: ſicut rectum eſt, quod ad regnum accedit. Cum enim differat filius à ſervo, differre quoque imperium neceſſe eſt. Quare quæ patri eſt cum liberis, ſimilis regno eſt, ſocietas: ſicut Ariſtocratia, quæ viro cum fœmina. Pro dignitate enim, & tanquam præſtantior vir imperat. Eritque vera Ariſtocratia, quoties quæ viro conveniunt, ſibi vir tribuit: ſicut fœminæ, quæ fœminis. Hanc autem for-

ΚΕΦ.

Περὶ τῶν ὁμοιωμάτων τούτων τῶν εἰδῶν.

ΤΑ μὲν οὖν εἴδη τῆς πολιτικῆς εἰς ταῦτα μεταβάλλουσι μάλιστα. Τὸ ἐλάχιστον γὰρ ἑκάστη τῶν εἰρημένων πολιτειῶν εἰς τὴν ἀντικειμένην αὐτῇ μεταβάλλει, καὶ εἰς ταύτην ῥᾷστα μεταβαίνει. Εἰσὶ δὲ καὶ ἐν τῇ οἰκονομικῇ ὁμοιώματα αὐτῶν, καὶ οἷον παραδείγματα. Ἐν γὰρ ταῖς οἰκίαις καὶ βασιλείας εἰκόνα ἴδοι τις ἂν καὶ ἀριστοκρατίας, καὶ τῶν ἄλλων. Ἡ μὲν γὰρ πατρὸς πρὸς υἱοὺς κοινωνία βασιλείας ἔχει σχῆμα. Τῶν τέκνων γὰρ τῷ πατρὶ μέλει. Ἐντεῦθεν δὲ καὶ Ὅμηρος τὸν Δία πατέρα προσαγορεύει. Πατρικὴ γὰρ ἀρχὴ βούλεται ἡ βασιλεία εἶναι, ἣν οἱ Πέρσαι ὑπερβαίνοντες τυραννίδα ποιοῦσι. Τῶν γὰρ υἱῶν ὡς δούλων ἄρχουσι. Τυραννὶς δὲ ἡ τῶν δούλων ἀρχή. Τὸ γὰρ τοῦ δεσπότου συμφέρον ζητεῖται ἀεὶ παρὰ τῶν δούλων. Ἔστι δὴ τοιαύτη τῶν τέκνων ἀρχὴ ἡ μαρτημένη. Ἡ δὲ βασιλεία ἐοικυῖα τοῦ δέοντος ἔχεσθαι. Δεῖ γὰρ, ἐπεὶ υἱὸς διαφέρει δούλου, καὶ τὰς ἀρχὰς αὐτῶν διαφόρους εἶναι. Ἡ μὲν οὖν πατρὸς πρὸς υἱοὺς κοινωνία τῇ βασιλείᾳ ἔοικεν, ἀριστοκρατία δὲ ἡ τοῦ ἀνδρὸς πρὸς τὴν γυναῖκα. Κατ᾽ ἀξίαν γὰρ, καὶ ὡς βελτίων, ὁ ἀνὴρ ἄρχει· καὶ ἔσται δὴ ἀριστοκρατία, ὅταν ἃ μὴ προσήκει ἀνδρί, ἑαυτῷ ἀποδιδῷ ὁ ἀνήρ, ἃ δὲ γυναιξὶν ἁρμόζει τῇ γυναικὶ παραχωρῇ. Ὑπερ-

βήσεται

βαίνεται δὲ τὴν ἀριστοκρατίαν ἡ τοιαύτη κοινωνία, καὶ εἰς ὀλιγαρχίαν μεταβάλλει, ὅταν ὁ ἀνὴρ ἁπάντων κυριεύῃ. Παρὰ τὴν ἀξίαν γὰρ αὐτὸ ποιεῖ, καὶ οὐχ ᾗ ἀμείνων. Ἐνίοτε δὲ ἄρχουσιν αἱ γυναῖκες, ὅταν ἐπίκληροι ὦσι, καὶ διὰ τοῦτο πλούτῳ καὶ δυνάμει τῶν ἀνδρῶν ὑπερέχωσιν. Οὐ γὰρ γίνεται ἡ τοιαύτη ἀρχὴ δι' ἀρετήν, ἀλλὰ καθάπερ ἐν ταῖς ὀλιγαρχίαις, διὰ πλοῦτον καὶ δύναμιν. Τοιαύτη μὲν οὖν ἡ ἐν οἰκίᾳ ἀριστοκρατία, καὶ ὀλιγαρχία. Τιμοκρατία δὲ ἡ τῶν ἀδελφῶν κοινωνία. Ἴσοι γὰρ πλὴν ἐφ' ὅσον ταῖς ἡλικίαις διαλλάττουσι. Διόπερ, ἂν πολὺ ταῖς ἡλικίαις διαφέρουσιν, οὐκ ἔτι ἀδελφικὴ γίνεται ἡ φιλία, ἀλλὰ πατρικῇ τινὶ ἔοικε πρὸς παῖδας. Δημοκρατία δὲ μάλιστα μὲν ἐν ταῖς ἀδεσπότοις τῶν οἰκήσεων γίνεται. Ἐνταῦθα γὰρ πάντες ἐξ ἴσου. Γίνεται δὲ καὶ ἐν αἷς ὁ ἄρχων ἀσθενής, καὶ διὰ τοῦτο ἕκαστος ἑαυτοῦ ἐξουσιάζει.

mam excedet, & in Oligarchiam mutabitur, cum in omnibus imperium ſibi vir vindicat. Ariſtot. l. 8. c. 11. Præter dignitatem enim ſuam, neque quatenus eſt melior, hoc facit. Interdum tamen mulieres imperant, cum bonorum paternorum ſunt hæredes. Ideoque opulentia viros excedunt & potentia. Neque à virtute eſt hoc imperium, ſed quemadmodum in Oligarchiis, à divitiis potentiaque. Talis ergo Ariſtocratia & Oligarchia eſt in familiis. Sicut Timocratia, fratrum ſocietas, Pares enim ſunt, niſi quatenus ætate aut ſuperant aut ſuperantur. Quo fit, ut ſi multum differant ætate, non amplius fraterna ſit amicitia, ſed potius paternæ ſimilis fiat & quæ cum liberis. Democratia autem in iis potiſſimum, quæ ſine hero ſunt, familiis. Ibi enim pares ſunt omnes. Sicut & ubi qui præeſt, viribus deficitur, ideoque quilibet præeſt ſibi.

ΚΕΦ. ιϛ.

Περὶ τῆς καθ' ἑκάστην τῶν πολιτειῶν φιλίας.

Αὗται μὲν οὖν αἵ τε ἐν πολιτικῇ καὶ ἐν οἰκονομικῇ κοινωνίαι. Πάσαις δὲ ταύταις ταῖς κοινωνίαις φαίνεται ἡ φιλία ἀκολουθοῦσα, καὶ ἐπὶ τοσοῦτον, ἐφ' ὅσον καὶ τὸ δίκαιον.

Τῇ μὲν ἐν βασιλικῇ κοινωνίᾳ ὑπεροχικὴ φιλία εἰ ὁ βασιλεὺς ὑπερέχει ταῖς εὐεργεσίαις, καὶ εὖ ποιεῖ τοὺς βα-

CAP. XV.

De ea quæ in ſingulis Reb. pub. eſt amicitia.

HÆ ergo & civiles communiones ſunt & domeſticæ, Cap. 11. Καθ' ἑκάστην, &c. quas omnes ſequi amicitia videtur, & in tantum quidem, quantum jus ipſum.

Ac Regiam quidem, quæ in Βασιλεῖ μὲν πρὸς τοὺς βασιλευομένους, &c. excellentia conſiſtit. Siquidem bene faciendo rex excellit, beneque de ſubditis meretur ſuis: & eorum curam gerit, ut

Ariſtot. l.8.c.11.

ut bene ſit illis, bonus ipſe: plane ſicut ovium paſtor. Unde & Homerus paſtorem populorum Agamemnonem vocat. Talis autem & paterna eſt amicitia: nam & hæc in excellentia conſiſtit: quamvis beneficiorum differat magnitudine. Majora .n. ſunt quæ confert pater. Cauſa n. eſt ut ſit filius: quod quidem omnium videtur maximum. Tum ut alatur & erudiatur. Quæ eadem etiam tribuuntur majoribus. Natura enim pater filiis, minoribus majores, rex imperat ſubditis. Sunt ergo omnes tales amicitiæ in excellentia: unde etiam honore afficiuntur parentes. Eodemque modo cum amicitia jus quoque non idem eſt, ſed in excellentia conſiſtit. Quod enim patri eſt in filium longe majus eo eſt, quod in patrem eſt filio: id enim pro dignitate eſt reddendum. In quo & amicitia conſiſtit.

Καὶ ἀνδρὸς δὲ πρὸς γυναῖκα, &c.

Non vero regiam communionem tantum, ſed & eam quam Ariſtocraticam vocant, amicitia ſequitur. Cum majore enim major quoque requiritur dilectio. Talis autem viri & uxoris amicitia eſt. Ea quippe Ariſtocratia eſt in familia. Virtutis enim reſpectu vir præeſt. Tum præſtantiori quoque plus dilectionis tribuendum eſt. Similiter autem in excellentia hic quoque jus conſiſtit.

Ἡ δὲ τῶν ἀδελφῶν, &c.

Eam vero quam Timocratiam vocant communionem, qualis eſt fratrum, ſodalitia ſequitur amicitia quæ in æqualitate

ευλομένους, καὶ ἐπιμελεῖται αὐτῶν, ἀγαθὸς ὢν ἵν' εὖ πράττωσιν, ὥσπερ νομεὺς προβάτων. Ὅθεν καὶ Ὅμηρος τὸν Ἀγαμέμνονα ποιμένα προσηγόρευσε λαῶν. Τοιαύτη δὲ καὶ ἡ πατρικὴ φιλία: ὑπεροχῇ γάρ ἐστι καὶ αὐτή. Διαφέρει δὲ τῷ μεγέθει τῶν εὐεργετημάτων. Μείζω γὰρ ὁ πατὴρ εὐεργετεῖ. Αἴτιος γὰρ τῷ παιδὶ τοῦ εἶναι, ὃ μέγιστον ἁπάντων δοκεῖ. Καὶ ἔτι τροφῆς, καὶ παιδείας. Καὶ τοῖς προγόνοις δὲ ταῦτα ἀπονέμεται. Φύσει γὰρ ἀρχικὸν, ὅ, τε πατὴρ τῶν υἱῶν, καὶ ὁ πρόγονος τῶν ἐγγόνων, καὶ βασιλεὺς βασιλευομένων. εἰσὶ δὴ πᾶσαι αἱ τοιαῦται φιλίαι ἐν ὑπεροχῇ. Διὸ καὶ τιμῶνται οἱ γονεῖς· καὶ τὸ δίκαιον δὲ ἀκολούθως τῇ φιλίᾳ οὐ τὸ αὐτὸ, ἀλλ' ἐν ὑπεροχῇ. Τὸ γὰρ πρὸς πατέρα δίκαιον ὑπερέχει τοῦ πρὸς υἱόν. Τὸ γὰρ κατ' ἀξίαν ἀποδοῦναι δεῖ. Τοῦτο καὶ ἡ φιλία συνίσταται.

Οὐ τῇ βασιλικῇ δὲ μόνον κοινωνίᾳ ἡ ὑπεροχικὴ φιλία ἀκολουθεῖ, ἀλλὰ καὶ τῇ ἀριστοκρατικῇ. Πρὸς γὰρ τὸν ἀμείνω μείζων γίνεται ἡ φίλησις. Τοιαύτη δὲ καὶ ἡ τοῦ ἀνδρὸς πρὸς γυναῖκα φιλία. Ἡ γὰρ τοιαύτη κοινωνία ἀριστοκρατία ἐστὶν ἐν οἰκίᾳ. Κατὰ τὴν ἀρετὴν γὰρ ὁ ἀνὴρ ἄρχει, καὶ τῷ ἀμείνονι δεῖ πλέον ἀπονέμειν φιλήσεως. Ὁμοίως δὲ καὶ τὸ δίκαιον κἀνταῦθα ἐν ὑπεροχῇ.

Τῇ δὲ τιμοκρατικῇ κοινωνίᾳ, οἵα ἐστὶ καὶ ἡ τῶν ἀδελφῶν, ἡ ἑταιρικὴ φιλία ἀκολουθεῖ, ἥ τις ἐν ἰσότητι ἐστίν.

ἐστιν. Οἱ γὰρ ἑταῖροι ἴσοι καὶ ἡλικιῶται. Οἱ δὲ τοιοῦτοι ὁμομαθεῖς καὶ ὁμοηθεῖς ὡς ἐπὶ τὸ πολύ, οἷοί εἰσι καὶ οἱ ἐν τιμοκρατικῇ. Ἴσοι γὰρ οἱ πολῖται βούλονται, καὶ ἐπιεικεῖς εἶναι· καὶ ἄρχουσιν ἕκαστος ἐξ ἴσου, καὶ ἄρχονται ἐν τῷ μέρει. Ἐξ ἴσου δὴ καὶ ἡ φιλία, καὶ τὸ δίκαιον. Ταῖς μὲν οὖν ὑγιέσι πολιτείαις, καὶ κοινωνίαις οὕτως ἡ φιλία ἀκολουθεῖ, καὶ τὸ δίκαιον.

Ταῖς δὲ παρεκβάσεσι τῶν κοινωνιῶν, ὥσπερ καὶ τὸ δίκαιον ἐπὶ μικρὸν ἐστιν, οὕτω καὶ ἡ φιλία.

Ἐπεὶ δὲ τῶν παρεκβάσεων χείριστη ἐστὶν ἡ τυραννίς, διὰ τοῦτο οὐδαμῶς ἐν αὐτῇ φιλία εὑρίσκεται, ἢ πάνυ μικρόν. Ἐν οἷς γὰρ μηδὲν κοινωνόν ἐστι τῷ ἄρχοντι καὶ ἀρχομένῳ, οὐδὲ φιλία. Οὐδὲ γὰρ οὐδὲ δίκαιον· ἀλλ' ὥσπερ ὁ τεχνίτης ἔχει πρὸς τὸ ὄργανον, καὶ ἡ ψυχὴ πρὸς τὸ σῶμα, οὕτω δεσπότης ἕξει πρὸς δοῦλον, καὶ τύραννος πρὸς ἀρχόμενον. Ὠφελεῖται μὲν γὰρ τό, τε ὄργανον ὑπὸ τοῦ τεχνίτου, καὶ τὸ σῶμα ὑπὸ τῆς ψυχῆς, φιλία δὲ πρὸς αὐτὰ οὐκ ἔστιν. Οὐ γὰρ πρὸς τὰ ἄψυχα φιλία δύναται εἶναι· οὐδὲ δίκαιόν τι πρὸς αὐτὰ ἐστὶν ἀπὸ τῶν χρωμένων, ὥσπερ οὐδὲ πρὸς βοῦν, ἢ πρὸς κύνα. Τὸν αὐτὸν δὴ τρόπον οὐδὲ πρὸς δοῦλόν ἐστι φιλία δεσπότου, ἢ πρὸς ἀρχομένους τυράννῳ, καθόσον εἰσὶ δοῦλοι. Οὐδὲν γὰρ κοινὸν δεσπόταις καὶ δούλοις. Ὁ γὰρ δοῦλος ἔμψυχον ὄργανον, καὶ τὸ ὄργανον

conſiſtit. Æquales enim ſunt ſodales & ætate ſunt pares. Tum ſtudiorum quoque & morum plerumque ſimilitudine conjunguntur: quales etiam ſunt qui in Timocratia verſantur: In hac enim æquales eſſe cives & honeſti volunt. Tum viciſſim & imperant ſinguli æqualiter & parent. Ex æquo igitur & amicitia illorum & jus eſt. In bene conſtitutis ergo vel Rebuſpublicis, vel ſocietatibus hoc modo & jus ſequitur, & amicitia. Ariſtot. l.8.c.11.

Quæ autem aberrant ab iis & recedunt, in iis & jus parvum eſt, & amicitia. Ἐν δὲ ταῖς παρεκβάσεσι, &c.

Cum autem omnium quæ aberrant, Tyrannis ſit peſſima, ideo vel omnino non in ea reperitur amicitia, vel quam minime. In quibus .n. nihil commune habet qui paret & qui imperat, ne amicitia quidem eſt: ſiquidem nec jus eſt: ſed ſicut ad inſtrumentum artifex, ad corpus ſe habet anima, ita ad famulum dominus, & ad ſubditos ſe habebit Tyrannus. Juvatur enim ab artifice inſtrumentum, corpus ab anima. Nulla tamen intercedit amicitia. Siquidem inter inanima amicitia eſſe poteſt nulla. Sicut nec jus inter ea eſt & qui utuntur: quemadmodum nec cum bove eſt aut cane. Eodemque modo nulla cum ſervo amicitia intercedit hero, aut cum ſubditis Tyranno: quatenus ſunt ſervi. Nihil .n. heris commune eſt & ſervis. Animatum enim inſtumentum eſt ſervus, ſicut inſtrumentum ſine anima eſt Ἐν τυραννίδι γὰρ οὐδέν, &c.

Ariſtot. l.8.c 12.

ſervus. Qua ergo ſervus eſt, nulla cum eo amicitia eſſe poteſt: qua vero homo, poteſt. Cuilibet enim homini jus aliquod cum quolibet videtur eſſe homine: qui modo legis eſſe alicujus particeps poteſt aut pacti. Illud quippe jus, quod intercedit inter homines, legum facit communio: quæ autem ex juſto eſt, hæc quoque amicitiam introducit communio. Quare amicitia erit cum ſubditis Tyranno, quatenus ſunt homines. Unde obſcurum admodum & jus in his eſt & amicitia.

Αἱ δ' ἐν ταῖς, &c.

Sicut in Democratia plurimum. Iis enim qui æquales ſunt, multa quoque ſunt communia.

ἄψυχος δοῦλος. ᾗ μὲν οὖν δοῦλος, οὐκ ἔστι φιλία πρὸς αὐτόν· ᾗ δ' ἄνθρωπος, δύναται εἶναι. Δοκεῖ γὰρ εἶναί τι δίκαιον παντὶ ἀνθρώπῳ πρὸς πάντα ἄνθρωπον τὸν δυνάμενον κοινωνῆσαι νόμων τινῶν καὶ θεσμῶν· ἡ γὰρ κοινωνία τῶν νόμων τὸ πρὸς ἀλλήλους ποιεῖ δίκαιον, ἡ δὲ κατὰ τὸ δίκαιον, κοινωνία, καὶ τὴν φιλίαν εἰσάγει. Ἔσται τοίνυν τυράννῳ πρὸς ἀρχομένους φιλία, καθόσον εἰσὶν ἄνθρωποι. Διὰ τοῦτο ἀμυδρόν τι ἐνταῦθα καὶ τὸ δίκαιον, καὶ ἡ φιλία.

Ἐν δὲ τῇ δημοκρατίᾳ ἐπὶ πλεῖστον. Πολλὰ γὰρ τὰ κοινὰ ἴσοις οὖσιν.

CAP. XVI.

De ſodalitia, conſanguinia, amicitia, & œconomica.

ΚΕΦ. ιϛʹ.

Περὶ ἑταιρικῆς φιλίας, καὶ συγγενικῆς, καὶ οἰκονομικῆς.

Cap. 12. Ἐν κοινωνίᾳ μὲν οὖν πᾶσα φιλία, &c

OMnis ergo amicitia in communione, quemadmodum dictum eſt, conſiſtit. Sola autem cognatorum amicitia & ſociorum, non videtur in communione conſiſtere. In communione autem eæ quæ convento conſtant aut pacto, conſiſtunt: quales inter ſe tribules exercent, aut qui una navigant, & ſimiles. Quibus adjungi etiam recte hoſpitalis poſſit.

Καὶ ἡ συγγενικὴ δ' ἔοικεν, &c.

Cognatorum vero ac ſociorum neque convento conſtat nec pacto, ſed alios natura conjunxit, alios ætas eadem, eademq; in quibus verſantur ſtudia.

Ac primo quidem de cogna-

ΠΑσα μὲν οὖν φιλία ἐν κοινωνίᾳ ἐστί, καθάπερ εἴρηται· μόνη δ' ἡ συγγενικὴ καὶ ἑταιρικὴ φιλία οὐ δοκοῦσιν ἐν κοινωνίᾳ εἶναι. Κοινωνικαὶ γὰρ εἰσι φιλίαι αἱ καθ' ὁμολογίαν καὶ συνθήκην τινὰ συνεστάμεναι, τοιαῦται εἰσὶν αἱ φυλετικαί, καὶ συμπλοϊκαὶ καὶ ὅσαι τοιαῦται· εἰς ταύτας δὲ τάξειεν ἄν τις καὶ τὴν ξενικήν.

Ἡ δὲ συγγενικὴ φιλία καὶ ἡ ἑταιρικὴ οὐ καθ' ὁμολογίαν, ἢ συνθήκην τινὰ συνίσταται· ἀλλὰ τοὺς μὲν ἡ φύσις συνέδησε, τοὺς δὲ τὸ τυχεῖν ἡλικιώτας εἶναι, καὶ περὶ τὰ αὐτὰ ἐπιτηδεύματα σπουδάζειν.

Ῥητέον δὴ περὶ τῆς συγγενικῆς.

γεννικῆς. Ἔστι δὴ πολυειδὴς ἡ συγγενικὴ φιλία, καὶ τῆς πατρικῆς πᾶσα ἐξήρτηται, διὰ γὰρ τὴν πρὸς τὸν κοινὸν πατέρα, ἢ πρόγονον οἰκειότητα, οἵ τε ἀδελφοί, καὶ ἄλλως συγγενεῖς ἀλλήλους φιλοῦσιν, οἱ γονεῖς μὲν γὰρ στέργουσι τὰ τέκνα, ὡς ἑαυτῶν τι ὄντα, τὰ δὲ τέκνα τοὺς γονεῖς, ὡς ἀπ' ἐκείνων ὄντα, ἀδελφοὶ δὲ ἀδελφούς, τῷ ἐκ τῶν αὐτῶν πεφυκέναι. Μᾶλλον δὲ ἴσασιν οἱ γονεῖς τὰ τέκνα ὅτι ἐξ αὐτῶν εἰσὶν, ἢ τὰ γεννηθέντα, ὅτι ἐκ τούτων. Καὶ μᾶλλον συνῳκείωται τὸ αἴτιον καὶ τὸ γεννῶν τῷ γεννηθέντι, ἢ τῷ ποιηθέντι, ἢ τὸ γενόμενον τῷ ποιήσαντι, καὶ τὸ γεννηθὲν τῷ γεννήσαντι. Τὸ γὰρ ἔκ τινος οἰκεῖον τῷ, ἐξ οὗ ἐστὶν, ὥσπερ ὀδοὺς ἢ θρὶξ τῷ ἔχοντι οἰκεῖόν ἐστι, τριχὶ δὲ καὶ ὀδόντι οὐκ ἔστιν οἰκεῖον ὁ ἔχων. Ἢ τοίνυν οὐδαμῶς ἐστὶν οἰκεῖον τῷ αἰτιατῷ τὸ αἴτιον, καὶ τῷ ἔκ τινος τὸ ἐξ οὗ, οὐδὲ τινα σχέσιν ἔχει πρὸς αὐτὸ, ἤ, εἰ ἔχει ἐλάττω ἔχει, ἢ ἐκεῖνο πρὸς αὐτὸ ἔχει. Καὶ τὰ τέκνα δὴ τοὺς γονεῖς ἧττον φιλοῦσιν, ἢ ὑπ' ἐκείνων φιλοῦνται· ἔτι δὲ καὶ ἀπὸ τοῦ χρόνου φανερόν. Οἱ μὲν γὰρ εὐθὺς γεννώμενα στέργουσι, τὰ τέκνα δὲ αὐτοὺς χρόνῳ ὕστερον κατὰ τὸ λαβεῖν σύνεσιν, ἢ αἴσθησιν. Διὰ τοῦτο καὶ μητέρες μᾶλλον φιλοῦσι τὰ τέκνα, ἢ οἱ πατέρες, ὅτι πρότερον αὐτὰ στέργουσι. Γονεῖς μὲν οὖν τὰ τέκνα φιλοῦσιν ὡς ἑαυτούς. Τὰ

torum dicendum eſt. Eſt autem multiformis ea, & ex paterna dependet. Quia enim patrem communem habent, aut generis autorem cum quo conjunguntur, tum fratres ſe mutuo tum alii amant cognati. Liberos enim tanquam partem ſui, amant parentes. Liberique contra parentes, ut qui à parentibus ſunt oriundi. Fratres autem fratres, ut qui ex iiſdem ſunt oriundi. Magis autem norunt parentes ex ſe oriundos eſſe liberos, quam liberi ſe à parentibus oriundos eſſe. Magis enim conjungitur cauſa, & id quod producit, cum eo quod fit aut producitur: quam id quod factum eſt, cum eo quod fecit, & quod productum eſt, cum eo quod produxit. Quod enim ex aliquo, proprium ei ex quo eſt: ſicut dens aut capillus eſt habenti proprius. Cum tamen neque capillo ipſi nec denti proprius ſit qui habet. Quare vel omnino non eſt propria cauſa ſuo effecto, & id quod ex aliquo, ei ex quo, neque ullam cum eo relationem habet: aut ſi habet, minorem quam illud ad ipſum. Ideoque minus amant parentes ſuos, quam ab iis amantur liberi. Quod quidem etiam ex tempore apparet. Illi enim ſtatim ut nati ſunt amant liberos, liberi vero ipſos poſtea, cum jam intellectu præditi fuerint & ſenſu. Quare matres quoque magis amant liberos quam patres: quia prius eos diligunt. Ideoque ſicut ſeipſos amant parentes liberos: qui enim ex ipſis, tan-

Ariſtot. l.8.c.12.

Ariſtot. l.8.c.12.

quam alii ſunt ipſi; niſi quod ſeparati ſint, non alio diſcrimine liberos ergo tanquam ex ſe natos amant parentes.

Ἀδελφοὶ δ' ἀλλήλους τῷ ἐκ τῶν αὐτῶν, &c.

Fratres vero quod ex iiſdem nati ſint amant ſe mutuo. Quia enim ex iiſdem nati ſunt parentibus, hoc ut iidem quoque inter ſe ſint, efficit. Plane ſicut ramos eadem radix conjungit. Ideoque dici ſolet, idem ſanguinem & radicem, ac ſimilia. Utrumque .n. in multis & quæ ſunt diviſa unum eſt idemque. Ad amicitiam etiam non parum confert educatio eadem, eademque ætas. Æqualis namque æqualem diligit. Sed & conſuetudo ſodales efficit. Unde etiam fraternam, ſodalitiæ dicunt ſimilem. Conſobrini vero reliquique cognati, ex fratribus conjunguntur: quia enim ex iiſdem ſunt, quodammodo etiam iidem inter ſe ſunt. Sunt autem alii è cognatis magis propinqui; alii minus: prout vel minus ab autore diſtant generis vel magis. Quibus enim longe petita eſt communio, ſenſim quaſi evaneſcit, minor quippe ſemper fit procedendo. Eſtque ea qua parentes liberos, homines Deum amant, tanquam ad bonum & excellens amicitia. Maxima enim contulerunt beneficia: nam & hoc quod ſunt, & educationem iis debent ac diſciplinam. Quæ vero cognatis inter ſe, in æqualitate conſiſtit. Habet vero voluptatem quoque, & utilitatem talis amicitia tanto magis, quam eorum qui genere alieni ſunt: quanto magis com-

γὰρ ἐξ αὐτῶν, οἷον ἄλλοι αὐτοί, τῷ χωρὶς εἶναι μόνον διαφέροντες· τέκνα δὲ φιλοῦσι γονεῖς, ὡς ἀπ' ἐκείνων πεφυκότα. Ἀδελφοὶ δ' ἀλλήλους τῷ ἐκ τῶν αὐτῶν πεφυκέναι. Ἡ γὰρ πρὸς τοὺς γονεῖς ταυτότης καὶ αὐτοῖς ταυτότητα ποιεῖ πρὸς ἀλλήλους, ὥσπερ τοὺς κλάδους ἡ τῆς ῥίζης ταυτότης συνάπτει· διό φασιν ταυτὸν αἷμα καὶ ῥίζαν, καὶ τὰ τοιαῦτα. Ἔστι γὰρ ἑκάτερον ταυτὸ καὶ ἐν πολλοῖς καὶ διῃρημένοις. Μέγα δὲ πρὸς φιλίαν καὶ τὸ συντεθράφθαι, καὶ ἥλικας εἶναι. Ἧλιξ γὰρ ἥλικα φιλεῖ· καὶ οἱ συνήθεις, ἑταῖροι. Διὸ καὶ ἡ ἀδελφικὴ τῇ ἑταιρικῇ ὁμοιοῦται. Ἀνεψιοὶ δ', καὶ οἱ λοιποὶ συγγενεῖς ἐκ τῶν ἀδελφῶν συνῳκειῶνται. Τῷ γὰρ ἀπὸ τῶν αὐτῶν εἶναι καὶ αὐτοὶ οἱ αὐτοί πως ἀλλήλοις εἰσίν. Γίνονται δ' οἱ μὲν οἰκειότεροι τῶν συγγενῶν, οἱ δ' ἀλλοτριώτεροι, τῷ σύνεγγυς, ἢ πόρρω τὸν ἀρχηγὸν εἶναι τοῦ γένους. Οἷς γὰρ πόρρωθεν ἡ κοινωνία, ἀμυδρὰ γίνεται, τῷ περιέναι ἐλαττουμένη. Ἔστι δ' ἡ μὲν τῶν τέκνων πρὸς τοὺς γονεῖς φιλία, καὶ τῶν ἀνθρώπων πρὸς τὸν θεόν, ὡς πρὸς ἀγαθὸν καὶ ὑπερέχον, εὐεργέται γάρ εἰσι τὰ μέγιστα εὐεργετοῦντες, τὸ εἶναι, καὶ τεθράφθαι, καὶ παιδευθῆναι, ἡ δὲ τῶν συγγενῶν πρὸς ἀλλήλους ἐν ἰσότητι. Ἔχει δὲ καὶ τὸ ἡδὺ καὶ χρήσιμον ἡ τοιαύτη φιλία μᾶλλον, ἢ ἡ τῶν ἀλλοτρίων κατὰ γένος, ὅσῳ καὶ κοινό-

τερος

πέρος ὁ βίος ἐστὶν αὐτοῖς, κατὰ πλείονα κοινωνοῦσιν ἀλλήλοις. Μάλιστα δὲ ἡ ἀδελφικὴ φιλία. Συμβαίνει γὰρ αὐτῇ πάντα, ἃ καὶ τῇ ἑταιρικῇ, καὶ μᾶλλον αὐτῇ, ἢ ἐκείνῃ. Καὶ διὰ τοῦτο εἰ ἐπιεικεῖς εἶεν οἱ ἀδελφοὶ καὶ ὅμοιοι μᾶλλον φιλήσουσιν ἀλλήλους, ἢ οἱ ἑταῖροι· οἰκειότεροι γάρ εἰσιν ἀλλήλοις καὶ ὁμοιότεροι, καὶ γενετῆς ἀλλήλους στέργουσι, καὶ ὁμοηθέστεροί εἰσιν, ὅτι καὶ ἐκ τῶν αὐτῶν ἔφυσαν, καὶ ὁμοίως ἐπαιδεύθησαν· καὶ ἡ κατὰ τὸν χρόνον δοκιμασία μείζων ἐνταῦθα, καὶ βεβαιοτέρα. Ἡ μὲν οὖν μεγίστη ἐν ταῖς συγγενικαῖς φιλία ἡ ἀδελφική ἐστιν. Αἱ δὲ ἄλλαι ἀνάλογον ἔχουσι τῇ κατὰ γένος οἰκειότητι.

Ἀνδρὶ δὲ, καὶ γυναικὶ φιλία δοκεῖ κατὰ φύσιν ὑπάρχειν. Ἄνθρωπος γὰρ τῇ φύσει τεκνοποιητικὸν μᾶλλον, ἢ πολιτικὸν, ὅσῳ πρότερον καὶ ἀναγκαιότερον οἰκία πόλεως, καὶ ὅσῳ κοινότερον ζώοις τεκνοποιΐα, ἢ πολιτεία. Τὸ μὲν γὰρ πᾶσι ζώοις ἔνεστιν, ἡ δὲ πολιτεία μόνοις τοῖς ἀνθρώποις. Τοῖς μὲν οὖν ἄλλοις ζώοις ἐπὶ τοσοῦτον μόνον ἡ κοινωνία ἐστὶν, ἐφ' ὅσον ἔνι τεκνοποιῆσαι, τοῖς δὲ ἀνθρώποις οὐ τῆς τεκνοποιΐας χάριν μόνον ἡ κοινωνία ἐστὶν, ἀλλὰ καὶ τῶν εἰς τὸν βίον. Εὐθὺς γὰρ διῄρηται αὐτῶν τὰ ἔργα, καὶ ἄλλα τὰ ἔργα τοῦ ἀνδρὸς, καὶ ἕτερα γυναικός. Ἐπαρκοῦσιν οὖν ἀλλήλοις εἰς τὸ κοινὸν τιθέντες τὰ ἴδια. Διὰ ταῦτα καὶ τὸ χρήσιμον, καὶ τὸ ἡδὺ ἐν ταύτῃ τῇ φιλίᾳ εἶναι δοκεῖ,

munis eorum vita eſt, ut qui plurimorum inter ſe ſint participes. Et fraterna quidem maxime. Omnia .n. illi quæ ſodalitiæ accedunt: magiſq; huic quam illi. Ideoque ſi honeſti ſint fratres & ſimiles, magis ſe mutuo amabunt quam ſodales. Quippe cum & familiares ſint magis, magiſque ſimiles, & ex quo nati ſunt alter alterum dilexerit, majorq; accedat conſuetudo & neceſſitas: ut qui ex iiſdem ſint nati, eademque imbuti diſciplina. Sed & experientia à tempore hic major eſt & firmior. Cognatarum ergo amicitiarum maxima eſt fraterna. Aliæ vero rurſus pro ratione ſanguinis, proportionem quoque habent.

Ariſtot. l.8.c.12.

Viri vero & uxoris à natura videtur eſſe amicitia. Magis enim proprium eſt homini liberorum procreatio, quam Reip. inſtitutio: quanto prior magiſque neceſſaria familia quam urbs eſt: quantoque magis animalibus hæc propria eſt quam illa. Alterum enim omnibus animalibus, alterum ſolis adeſt hominibus. Reliquis enim animalibus eatenus tantum ſua eſt communio, quatenus procreare poſſunt: hominibus vero non procreandi tantum cauſa ſua eſt communio, ſed & communis vitæ cauſa. Statim enim à principio, diviſa videmus eſſe eorum opera. Alia enim viri, alia mulieris ſunt opera. Alter enim alteri ſuccurrit, & inter ſe communicant propria. Ideoque utilitas quoque in hac amicitia videtur eſſe & voluptas,

Ἀνδρὶ δὲ καὶ γυναικὶ φιλία δοκεῖ, &c.

Ariſtot. l.8.c.13.

Sicut bonum quoque & virtus, ſi ſint honeſti. Utrique enim ſua eſt virtus. Et ſi uterq; conveniente ſibi præditus ſit virtute, hoc quoq; eos magis conjunget. Videntur autem quaſi vinculum amicitiæ talis, eſſe quoque liberi. Quare facilius qui liberis deſtituuntur ſolent diſſolvi. Commune enim utriuſq; bonum ſunt liberi. Quod autem commune eſt, conjunctum tenet ea quæ communicant.

εἴη δ' ἂν ϗ τὸ ἀγαθόν. Καὶ ἡ ἀρετὴ, εἰ ἐπιεικεῖς εἶεν. Ἔστι γὰρ ἑκατέρου ἀρετή. Καὶ εἰ σπουδαῖος εἴη ἑκάτερος τὴν προσήκουσαν ἀρετὴν, χαίροιεν ἂν ϗ διὰ τοῦτο ἀλλήλοις. Σύνδεσμος δὲ τῇ τοιαύτῃ φιλίᾳ ϗ τὰ τέκνα δοκεῖ εἶναι. Διὸ θᾶττον οἱ ἄτεκνοι διαλύονται. Τὰ γὰρ τέκνα κοινὸν ἀγαθὸν ἀμφοῖν. Τὸ δὲ κοινὸν συνέχει τὰ κοινωνοῦντα.

CAP. XVII.

ΚΕΦ. ιζʹ.

De iis quæ in utili amicitia oriuntur querelis.

Περὶ τῶν ἐν τῇ κατὰ τὸ χρήσιμον φιλίᾳ ἐγκλημάτων.

QUomodo autem viro cum uxore, fratri cum fratre, amico denique ſit cum amico vivendum, velle quærere, nihil aliud eſt, quam quomodo juſte ſit vivendum. Sequitur enim quamvis communionem pro proportione amicitiæ etiam jus: ſicut dictum eſt ſæpius. Neque enim idem jus amico cum amico, neque cum extraneo, neque cum fratre aut ſodale videtur eſſe aut condiſcipulo.

Πῶς δὲ συμβιωτέον ἀνδρὶ πρὸς γυναῖκα, ϗ ἀδελφῷ πρὸς ἀδελφὸν, ϗ ὅλως φίλῳ πρὸς φίλον, ταυτόν ἐστι τῷ πῶς δίκαιον. Ἕπεται γὰρ πάσῃ κοινωνίᾳ ἀναλόγως τῇ φιλίᾳ ϗ τὸ δίκαιον, ὥσπερ εἴρηται πολλάκις. Καὶ οὐ ταυτὸν φαίνεται εἶναι δίκαιον φίλῳ πρὸς φίλον, ϗ τὸν ὀθνεῖον, ἢ τὸν ἀδελφὸν, ἢ τὸν ἑταῖρον, ϗ τὸν συμφοιτητήν.

Cap. 13. Τριττῶν δ' οὐσῶν φιλιῶν, &c.

Cum ergo tres ſint amicitiæ ſpecies: quæ boni, quæ voluptatis, & quæ utilitatis cauſa inſtituitur, & in ſingulis, alii in æqualitate, alii in excellentia amici conſiſtant (Nam & qui ſimiles ſunt, vel boni, vel voluptatis, vel utilitatis cauſa, amici fiunt quemadmodum & deterioribus meliores.)

Τριῶν δὴ οὐσῶν τῶν φιλιῶν, διὰ τὸ ἀγαθὸν, διὰ τὸ ἡδὺ, ϗ διὰ τὸ χρήσιμον, ϗ καθ' ἑκάστην τῶν μὲν ἐν ἰσότητι φίλων ὄντων, τῶν δὲ καθ' ὑπεροχήν· ϗ γὰρ γίνονται φίλοι ϗ οἱ ὅμοιοι, ἢ κατὰ τὸ ἀγαθὸν, ἢ κατὰ τὸ ἡδὺ, ἢ κατὰ τὸ χρήσιμον· γίνονται φίλοι ϗ ἀμείνους χείροσι.

Τὰς ἴσας μὲν καθ' ἰσότητα, &c.

Pares quidem æqualiter amare oportet, & in cæteris

Τοὺς δὲ ἴσους μὲν κατ' ἰσότητα δεῖ φιλεῖν, ϗ τὰ ἄλλα

ἀλλὰ πάντα ἰσάζειν· τοὺς δὲ ἀνίσους ἀναλόγως τῇ ὑπεροχῇ καὶ ἐλλείψει φιλεῖν καὶ φιλεῖσθαι.

Μόνη δὲ ἐν τῇ κατὰ τὸ χρήσιμον φιλίᾳ, ἢ ταύτῃ μάλιστα, τὰ ἐγκλήματα, καὶ αἱ μέμψεις τῶν φίλων γίνονται πρὸς ἀλλήλους εἰκότως. Οἱ μὲν γὰρ δι᾽ ἀρετὴν φίλοι ὄντες εὖ ποιεῖν ἀλλήλους προθυμοῦνται. Τοῦτο γὰρ ἀρετῆς καὶ φιλίας. Πρὸς τοῦτο δὲ τῶν φίλων ἁμιλλωμένων οὐκ ἔστιν ἐγκλήματα οὐδὲ μάχαι. Τὸν γὰρ φιλοῦντα καὶ εὖ ποιοῦντα οὐδεὶς δυσχεραίνει. Ἀλλ᾽ ἐὰν ᾖ χαρίεις, ἀμείβεται καὶ οὗτος εὖ ποιῶν. Ὁ δὲ ταῖς εὐεργεσίαις τὸν ἕτερον ὑπερβάλλων, τυγχάνων οὗ ἐφίεται, οὐκ ἂν ἐγκαλοίη τῷ φίλῳ. Ἐφίεται γὰρ ἑκάτερος τοῦ ἀγαθοῦ, καὶ τοῦ εὖ ποιεῖν.

Οὐδὲ δὴ οἱ δι᾽ ἡδονὴν φιλοῦντες πάνυ δυσχεραίνειν ἀλλήλους δύνανται. Ἅμα γὰρ ἀμφοῖν γίνεται οὗ ὀρέγονται, εἰ τῷ συνδιάγειν χαίρουσι. Γελοῖος γὰρ ἂν εἴη ὁ ἐγκαλῶν τῷ μὴ τέρποντι φίλῳ, ἐξὸν ἄλλῳ συνδιάγοντα τέρπεσθαι. Οὔτε τοίνυν ἡ διὰ τὸ ἀγαθὸν φιλία ἐγκλήματα ἔχει καὶ μέμψεις, οὔτε ἡ δι᾽ ἡδονήν.

Μόνη δὲ ἡ διὰ τὸ χρήσιμον ἐγκληματική ἐστιν. Ἐπ᾽ ὠφελείᾳ γὰρ χρώμενοι ἀλλήλοις ἀεὶ τοῦ πλείονος δέονται, καὶ ἔλαττον ἔχειν οἴονται τοῦ προσήκοντος, καὶ μέμφονται, ὅτι οὐχ ὅσων δέονται, τοσούτων τυγχάνουσιν, ἄξιοι ὄν-

quoq; æquari omnibus. Impares vero pro ratione vel defectus vel excellentiæ, amare oportet aut amari. Ariſtot. l.8.c 13.

In ſola autem ea, quæ utilitatis cauſa inſtituitur amicitia, aut hac certe maxime, accuſationes & querelæ inter ſe amicorum reperiuntur. Et quidem merito: qui enim virtutis cauſa ſunt amici, libenter beneficia alter conferunt in alterum. Hoc autem proprium virtutis & amicitiæ eſt. In hac enim contentione nec querelæ oriuntur, nec pugnæ. Eum quippe qui amat, & qui beneficia confert, nemo odit. Imo niſi inhumanus ſit, benefaciendo refert gratiam. Qui vero beneficiis alterum ſuperat, ſi conſequatur id quod petit, nunquam amicum accuſabit. Uterque enim bonum appetit, & beneficium conferre. Γίνεται δὲ τὰ ἐγκλήματα, &c.

Sed nec in ea quæ voluptatis cauſa inſtituitur, mutuis offenſionibus locus eſſe admodum poteſt. Simul enim contingit ambobus quod petunt, ſi quidem conſuetudine delectantur. Ridiculus enim eſſet, qui accuſaret alterum ex quo voluptatis nihil perciperet, cum voluptatem ex alterius quærere poſſit conſortio: quare neque quæ boni inſtituitur cauſa, neque quæ voluptatis, accuſationibus locum relinquit aut querelis. Οὐ πάνυ δ᾽ οὐδ᾽ ἐν ταῖς, &c.

Sola vero quæ utilitatem ſpectat, accuſationum plena eſt. Cũ enim emolumenti cauſa, alter altero utatur, ſemper plus petunt, minuſq; quam oportet habere ſe arbitrantur. Neq; quantum deſiderant ſe conſequi queruntur, cũ ſe Ἡ δὲ διὰ τὸ χρήσιμον, &c.

Ariſtot. l. 8 c. 13. ſe dignos judicent qui conſequã-tur. Qui enim beneficia conferunt, ſuppeditare iis omnia quibus opus habent nequeunt. Semper enim pluribus opus habent quibus bene fit, quam conferre qui benefaciunt, poſſint.

Ἔοικε δὲ καθάπερ τὸ δίκαιον, &c. Videtur autem quemadmodum jus duplex eſt, (unum non ſcriptum, alterum vero legibus conſtitutum) ſic & illius quæ ſecundum utilitatem inſtituitur amicitiæ, utilitatem aliam moralem eſſe, aliam legitimam. Et legitima quidem utilitas, cum quis aliquid dat alicui, ut aliquid accipiat: idque certum ac definitum. Moralis vero, cum aliquis alicui tanquam amico aliquid dederit: pro quo tantum vel amplius accipiat, non certum tamen neque definitum. In utraque autem utilitate hac, accuſationes amicitiam ſequuntur & querelæ. Maxime vero cum alter legitimam, alter vero moralem utilitatem introducit amicorum. Facile enim diſſolvuntur tales. Si enim alter pecuniis proſit, eodemque modo alterum prodeſſe velit ſibi, ac tantundem accipere, quantum contulit; ille vero alio proſit modo, non poſſunt in amicitia perſiſtere. Rurſus ea quam legitimam dicunt, utilitas, alia circumforanea plãe, alia eſt liberalior. Nolle enim dare niſi ſtatim recipias, de manu in manũ, quod aiunt, circumforaneum eſt omnino. Multóque, ut qui dat recipere differat, eſt liberalius. Ex conventione enim hoc fit: quid pro quo debeatur. Definitũ enim hic debitum minimeque controver-

τες τυγχάνειν. Οἱ γὰρ εὖ ποιοῦντες οὐ δύνανται ἐπαρκεῖν αὐτοῖς τοσαῦτα, ὅσων δέονται. Ἀεὶ γὰρ οἱ εὖ πάσχοντες πλειόνων δέονται, ἤπερ εὖ ποιεῖν οἱ εὐεργέται δύνανται.

Ἔοικε δὲ, ὅτι καθάπερ τὸ δίκαιον διττόν ἐστι, τὸ μὲν γὰρ ἄγραφον, τὸ δὲ κατὰ νόμον, οὕτω καὶ τῆς κατὰ τὸ χρήσιμον φιλίας τὸ μὲν ἠθικόν ἐστι, τὸ δὲ νομικόν. Νομικὸν μὲν χρήσιμον, ὅταν τίς τινι διδῷ ἐφ' ᾧ λάβοι τι ῥητὸν καὶ ὡρισμένον. Ἠθικὸν δὲ, ὅταν τίς τινι ὡς φίλῳ δωρῆται, κομίζεσθαι δὲ ἀξιοῖ τὸ ἴσον, ἢ πλέον, οὐ ῥητὸν οὐδὲ ὡρισμένον. Κατ' ἄμφω δὲ τὰ χρήσιμα, ταῖς φιλίαις ἐγκλήματα καὶ μέμψεις ἀκολουθοῦσι. Μάλιστα δὲ, ὅταν τὴν φιλίαν ὁ μὲν τὸ νόμιμον χρήσιμον εἰσάγῃ, ὁ δὲ τὸ ἠθικόν. Οἱ τοιοῦτοι γὰρ ταχέως διαλύονται. Εἰ γὰρ ὁ μὲν εἰς χρήματα ὠφελεῖ, καὶ ἀξιοῖ ὁμοίως ὠφελεῖσθαι, καὶ τοσαῦτα λαβεῖν, ὅσα δέδωκεν, ὁ δὲ ἄλλῃ τινὰ ὠφελεῖ, οὐ δύνανται ἐν τῇ φιλίᾳ μένειν. Ἔστι δὲ καὶ τοῦ νομίμου χρησίμου τὸ μὲν πάντῃ ἀγοραῖον, τὸ δὲ ἐλευθέριον. Τὸ μὲν γὰρ μὴ [illegible]ναι εἰ μὴ αὐτίκα εἴη λαβεῖν, ἐκ χειρὸς εἰς χεῖρα, πάντῃ ἀγοραῖον. Τὸ δὲ δόντα ἀναβάλλεσθαι τὴν λῆψιν, ἐλευθεριώτερον. Καὶ τοῦτο δὲ καθ' ὁμολογίαν γίνεται, τί ἀντὶ τίνος ὀφείλει. Ὡρισμένον γὰρ τὸ ὀφείλημα, καὶ οὐκ ἀμφίλογον.

λόγον. Ἡ δὲ ἀναβολὴ τῆς κομιδῆς ἐλευθεριώτερόν πως καὶ φιλικώτερον ποιεῖ τὸ συνάλλαγμα· διὸ παρ᾽ ἐνίοις τούτων οὐκ εἰσὶ δίκαι, οὐδὲ δικάζονται ἀλλήλοις περὶ τῶν χρεῶν, ἀλλ᾽ οἴονται δεῖν στέργειν τοὺς κατὰ πίστιν συναλλάξαντας. Ὁ δὲ κατὰ τὸ ἠθικὸν χρήσιμον ὠφελῶν, οὐκ ἐπὶ ῥητοῖς, ἀλλ᾽ ὡς φίλῳ δωρεῖταί τι, ἢ ἄλλην τινὰ ὠφέλειαν ὠφελεῖ. Κομίζεσθαι δὲ ἀξιοῖ τὸ ἴσον ἢ πλέον, ὡς οὐ δεδωκὼς, ἀλλὰ χρήσας· μὴ λαβὼν δὲ, οὐχ ὥσπερ χρήσας οὕτως ἐγκαλεῖ τῷ μὴ δόντι, ἀλλ᾽ ὡς φίλῳ. Τοῦτο δὲ συμβαίνει, διὰ τὸ βούλεσθαι μὲν πάντας ἢ τοὺς πλείστους τὰ καλὰ, προαιρεῖσθαι δὲ τὰ ὠφέλιμα. Τὸ δὲ εὖ ποιεῖν, μὴ ἵνα ἀντιπάθῃ, καλόν. Ὠφέλιμον δὲ τὸ εὐεργετεῖσθαι. Διὰ τοῦτο τὸ μὲν ὠφέλιμον ζητοῦσι, μὴ τυχόντες δὲ βούλονται καλοὶ δοκεῖν.

Τοὺς δὲ τοιούτους φίλους, καὶ ἵνα εὖ πάθωσιν, εὖ ποιοῦντας, πάσῃ σπουδῇ εὖ ποιητέον. τοὺς δυναμένους, καὶ τὴν ἀξίαν εὐεργεσίαν ἀποδοτέον. Οὐ γὰρ ἕλκειν δεῖ βίᾳ πρὸς τὴν ἀληθῆ φιλίαν μὴ βουλομένους, ἀλλὰ δυσχεραίνειν, ὅτι ἔλαθον εὖ παθόντες ὑφ᾽ οὗ οὐκ ἔδει. Οὐ γὰρ ὑπὸ φίλου, καὶ ζητεῖν ὅπως ἑκόντες ἀποτείσωνται τὰς αἰσχρὰς εὐεργεσίας, ἃς ἄκοντες ἐδέξαντο, τῷ ἀγνοεῖν τὸν εὐερ-

ſum. Dilatio vero perceptionis, liberalius multoq; amicius pactum facit. Quamobrem de his alicubi actiones nullæ dantur. Neq; de debito inter ſe contendunt: quod cenſeant amandos eos potius, qui bona fide contraxerint. Utilitas vero moralis, omnino certis præſcriptiſq; conditionibus non conſtat, ſed ut amico aliquid dat, aut aliud aliquid confert. Ita tamen, ut qui dedit vel tantundem expectet, vel amplius, ut qui non proprium ſed mutuum dederit. Si vero non accipiat, non quaſi mutuo dederit, tum demum accuſat eum, qui non reddit, ut amicum tamen. Idq; uſu venit propterea, quod omnes aut certe plurimi, voluntate quidem ad honeſta deferantur, utilia tamen poſtea præferant & commoda. Honeſtum autem eſt, ita benefacere, ut nihil viciſſim beneficii exſpectes, utile vero & commodum beneficium accipere. Ideoque id quod utile eſt, quærunt, quod cum non conſequuntur, honeſti videri volunt.

His vero amicis, qui ut beneficium recipiant, beneficium conferunt, bene viciſſim facere debent qui poſſunt, quantumq; merentur reddendum eſt. Nec enim vi ad veram amicitiam aut nolentes debent pertrahere: ſed potius dolere, quod ab alio quam oportebat beneficium acceperint: neque enim ab amico. Quare dabunt operam, ut prompto animo fœda diſpungant beneficia quæ inviti admiſerunt: quia à quo ea acciperent non ſatis pervidebant.

Ariſtot. l. 8 c. 13.

Δυναμένοις δ᾽ ἀνταποδοτέον τὴν ἀξίαν, &c.

Aristot. l. 8, c. 13.

debant. Quod facient, ſi tantundem reddant, modo poſſint, & quemadmodum ſi certa eſſet præfixa conditio, debitum confeſtim diſſolvant. Aut ſi ſtatim non poſſint, ſimul ac potuerint ſe reddituros eſſe promittant. Quod ſi omnino reddere non poſſint, nè illi quidem qui contulerunt, quippiam ab iis exigent. Itaque ſi poſſint, ſtatim reddent. Priuſquam vero beneficium accipiant, conſiderare debent ſinguli à quo & qua de cauſa accipiant: ut nimirum cognoſcant, utrum admittendum id ſit, an ſecus.

χοῦσιν. Ἀποτείσοντα δ' οἱ μὲν δυνάμενοι, καὶ αὐτοὶ ἀποδόντες, γὰρ καθάπερ ἐπὶ ῥητοῖς εὐθὺς διαλυθέντες. Εἰ δὲ μὴ δύνανται τηνικαῦτα, ὁμολογήσαντες δυνηθέντες ἢ μὴν εὐθὺς ἀποδώσειν. Εἰ δὲ πάντως ἀδυνάτως ἔχουσιν ἀμείψασθαι, οὐδὲ οἱ δόντες ἀπαιτήσουσιν οὐδὲν παρ' αὐτῶν. Ὥστε εἰ δύνανται, ἀποδοτέον εὐθύς. Πρὶν δ' εὐεργετηθῆναι, σκεπτέον ἕκαστον, ὑπὸ τίνος εὐεργετεῖται, καὶ ἐπὶ τίνι, ὡς ἂν εἰδείη, εἰ δεῖ δέξασθαι, ἢ μή.

CAP. XVIII.

ΚΕΦ. ιη.

De menſura retributionis in utilis: tum in iis quæ in excellenti amicitia exiſtunt querelis.

Περὶ μέτρου ἀποδόσεως ἐν τῇ χρησίμῃ· καὶ ἔτι περὶ τῶν ἐν τῇ καθ' ὑπεροχὴν φιλίᾳ μέμψεων.

Ἀμφισβήτησιν δ' ἔχει πότερον δεῖ, &c.

IN reddendis autem inter ſe mutuo amicorum beneficiis, reſtat difficultas. Cum enim parum ſæpe magna proſint beneficia iis qui accipiunt, contraque multum parva (fit enim ſæpe ut aliquis multo vel labore vel ſumptu parum juvet amicum, ac viciſſim) videndum eſt, utrum in reddendo beneficio, utilitas, an vero beneficii ſpectanda ſit menſura. Sæpe enim qui acceperunt beneficium, talia ſe ab iis qui dederunt accepiſſe aiunt, quæ illis parva eſſent, quæque ab aliis ſumi potuiſſent: atque ita ex deprimunt. Contra qui dederunt, dediſſe ſe ex ſuis maxima, &

ΕΝ δὲ ταῖς πρὸς ἀλλήλους τῶν φίλων ἀμοιβαῖς ἀπορία ἐστίν. Ἐπεὶ γὰρ ἀπὸ μεγάλων εὐεργεσιῶν μικρὰ ὠφελεῖσθαι γίνονται τοῖς εὐεργετουμένοις, καὶ ἀπὸ μικρῶν μεγάλαι πολλάκις· ἐνδέχεται γὰρ πολλὰ ποιήσαντα καὶ ἀναλώσαντα μικρὰ τὸν φίλον ὠφελῆσαι, καὶ τὸ ἀνάπαλιν· πότερον ἀμειβομένους τὴν ὠφέλειαν δεῖ σκοπεῖν, ἢ τῆς εὐεργεσίας τὸ μέτρον. Καὶ γὰρ οἱ μὲν εὖ παθόντες τοιαῦτα φασὶ λαβεῖν παρὰ τῶν εὐεργετῶν, ἃ μικρὰ ἦν ἐκείνοις δοῦναι, καὶ ἐξῆν παρ' ἑτέρων λαβεῖν, τούτῳ κατασμικρύνοντες τὰς εὐεργεσίας. Οἱ δὲ εὖ ποιήσαντες

τὸ ἀνάπαλιν, τὰ μέγιστα ὧν εἶχον εὐεργετῆσαι λέγουσι, καὶ ἃ παρ' ἄλλων οὐκ ἦν λαβεῖν, καὶ κινδύνοις, καὶ χρείαις κινδύνων ἐγγύς. Ἀμφισβητεῖται δὲ, πότερα δεῖ μετρεῖν τὴν ἀμοιβὴν, τῇ τοῦ παθόντος ὠφελείᾳ, ἢ τῇ τοῦ δράσαντος εὐεργεσίᾳ· ἔστι δὲ οὐχ ὁμοίως ἐπὶ πάσης φιλίας, ἀλλ' ἐπὶ μὲν τῆς διὰ τὸ χρήσιμον φιλίας ἡ ἀμοιβὴ ἀναλογήσει τῇ τοῦ εὖ παθόντος ὠφελείᾳ, ἢ καὶ ὑπερβαλεῖ ταύτην. Οὗτος γὰρ κάλλιον. Καὶ γὰρ οὗτός ἐστιν ὁ δεόμενος, καὶ ἐπαρκεῖ αὐτῷ, ὡς κομιούμενος τὴν ἴσην. Τοσαύτη οὖν γεγένηται ἐπικουρία ὅσον ὠφελήθη, ἢ καὶ πλέον. Ὅλως δὲ τῇ ὠφελείᾳ ἑαυτοῦ μετρεῖν ἄξιον τὴν ἀμοιβὴν, ὅτι διὰ ταύτην φίλος ἐστίν. Ἐπὶ δὲ τῆς δι' ἀρετὴν φιλίας οὔτε ἐγκλήματά εἰσιν, ὥσπερ ἐπὶ ταύτης, ἑκατέρου βουλομένου τὰς εὐεργεσίας ἕλκειν ἐπὶ τὸ ὠφέλιμον ἑαυτῷ, οὔτε τῇ ὠφελείᾳ τῶν εὖ παθόντων αἱ ἀμοιβαὶ μετροῦνται, ἀλλὰ τῇ προαιρέσει τῶν εὖ ποιούντων· τῆς ἀρετῆς γὰρ, καὶ τοῦ ἤθους ἐν τῇ προαιρέσει τὸ κύριον. Ἐπεὶ τοίνυν διὰ τὴν ἀρετὴν φιλοῦσιν ἀλλήλους καὶ τὰς ἀμοιβὰς τῇ προαιρέσει μετρήσουσι, διὰ τοῦτο παντὸς ἐγκλήματος καθαρά ἐστιν ἡ τοιαύτη φιλία. Αἱ δὲ ἄλλαι ἀεὶ ἐν ἐγκλήμασίν εἰσιν.

Οἵα ἐστὶ καὶ ἡ καθ' ὑπεροχὴν, ὅταν ὁ μείζων τὸν ἐλάττω φιλῇ, ἢ ὠφελιμώτερος τὸν ἧττον ὠφέλιμον· ἀξιοῖ γὰρ ὁ ὑπερέχων πλέον ἔχειν· ὁ μὲν, ὅτι βελτίων,

quæ ab aliis ſumi non potuiſſent: tum in periculis, aliiſque ea contuliſſe neceſſitatibus. Aristot. l.8.c.14. Quare dubitatur, utro metiri retributionem quis debeat, an accipientis commodo, an vero conferentis beneficio. Quod quidem non eodem modo in omni faciendum eſt amicitia. Sed in ea, quæ utilitatis inſtituitur cauſa, ejus qui beneficio afficitur, utilitati reſpondebit: aut etiam eam ſuperabit: quod quidem præſtat. Hic enim eſt, qui ope indiget, alterque ei ſuppeditat, tantundem recepturus. Tanti ergo fuit hoc ſubſidium, quanti emolumentum quod percepit, aut pluris. Suo denique ipſius metiri retributionem debet commodo, quia amicus eſt propterea. In ea autem quæ virtutis inſtituitur cauſa, nullæ ſicut hic querelæ exiſtunt, ubi utrique ad commodum quam maxime ſuum beneficia referre conantur: neque ejus qui beneficium accipit emolumento, retributionem metimur, ſed conferentis inſtituto. Virtutem quippe & mores in animi proprie inſtituto ſpectamus. Quia erga virtutis cauſa alterum amat alter, beneficii retributionem etiam inſtituto metientur: ideoque omni querela amicitia vacat ejuſmodi: cum aliæ contra querelarum plenæ ſint ſemper.

Qualia ea quoque eſt quæ in excellentia conſiſtit: quoties nimirum major minorem, vel qui plus prodeſt, eum amat, qui minus. Plus habere enim petit qui excellit: alter quia præſtantior eſt, alter quia

Cap. 14. Διαφέρουσι δὲ καὶ ἐν ταῖς, &c.

Ariſtot. l.8.c.14.

quia plus prodeſt. Si enim, inquiet, uterque amicorum quantum poteſt tribuat, & non quantum debet accipiat, onus quoddam amicitia futura eſt. Ideoque volunt non paria tantum, ſed majora aliquem debere ex amicitia conſequi. Putant n. quemadmodum in mercatura qui plus conferunt pecuniæ, plus quoque accipiunt, ita in amicitia quoque habere. Et ita quidem qui excellunt. Contra autem qui excellentia vincuntur, negant hoc iis qui excellunt convenire amicis, ſed contra. Boni enim amici eſſe, indigentibus ſuccurrere. Quid enim, aiunt, profuerit magno ac potenti amicum eſſe homini, ſi nihil ad nos ex ejus perveniat bonis? Hoc modo, dum uterque accuſat alterum, partemque uterque ſibi potiorem vindicat, facillime diſſolvuntur.

Ἔοικε δ' ἑκάτερος ὀρθῶς ἀξιῶν, &c.

Videtur autem æquum poſtulare uterque: oportet enim plus quodammodo ex amicitia tribuere utrique: non ejuſdem rei tamen. Verum excellentiori plus honoris, egeno plus eorum quibus eget. Præmium virtutis quippe ac beneficiorum, honor eſt. Egeſtatis vero ſubſidium lucrum eſt, aut aliud quodcunq; quo quis eget. Eodemq; modo & in rebus publicis habere ſe res videtur. Semper enim iis qui beneficium conferunt aliquod, honor perſolvitur. Neq; enim honore, qui non aliquid contulerit in publicum, affici ſolet. Publicum enim præmium ei redditur, qui bene de publico meritus fuerit: publicum autem eſt honor. Neque

ὁ δ', ὅτι ὠφελιμώτερος. Εἰ γὰρ ἑκάτερος, φησὶ, τῶν φίλων κατὰ τὴν δύναμιν εἰσενέγκοι, καὶ οὐ κατ' ἀξίαν λήψεται, λειτουργία τις ἔσται ἡ φιλία. Διὰ τοῦτο φασὶ δεῖν οὐχ ὁμοίων τυγχάνειν τῶν ἐκ τῆς φιλίας, ἀλλὰ μειζόνων. Ἀξιοῦσι γὰρ, καθάπερ οἱ κατ' ἐμπορείαν συνεισφέροντες χρήματα, οἱ πλέονς πλέον ἔχουσιν, οὕτω καὶ ἐπὶ τῆς φιλίας ἔχειν. Καὶ ταῦτα μὲν οἱ ὑπερέχοντες. Οἱ δ' ὑπερεχόμενοι οὐ ταῦτά φασι προσήκειν τοῖς ὑπερέχουσι φίλοις, ἀλλὰ τὸ ἀνάπαλιν. Φίλου γὰρ ἀγαθοῦ εἶναι τὸ ἐπαρκεῖν τοῖς ἐνδεέσι. Τί γὰρ φασὶν, ὄφελος σπουδαίῳ ἢ δυνάστῃ φίλον εἶναι, μηδέν γε μέλλοντα ἀπολαβεῖν τῶν τοῦ φίλου ἀγαθῶν; οὕτω δ' ἐγκαλοῦντες ἀλλήλοις, καὶ ἀξιοῦντες ἑκάτερος πλέον ἔχειν, ῥᾷστα διαλύονται.

Ἔοικε δ' ὀρθῶς καὶ ἑκάτερος ἀξιῶν· δεῖ γὰρ ἑκατέρῳ τὸ πλέον νέμειν ἐκ τῆς φιλίας, οὐ τοῦ αὐτοῦ δ', ἀλλὰ τῷ μὲν ὑπερέχοντι δεῖ πλέον νέμειν τιμῆς, τῷ δ' ἐνδεεῖ πλέον ἀποδιδόναι ὧν δεῖται. Τῆς μὲν γὰρ ἀρετῆς καὶ εὐεργεσίας ἡ τιμὴ γέρας, τῆς δ' ἐνδείας ἐπικουρία τὸ κέρδος, ἢ ἄλλο ὁτιοῦν, οὐκ ἐνδεὴς ἐστι. Τὸν ἴσον δὲ τρόπον καὶ ἐν ταῖς πολιτείαις φαίνεται ἔχον. Ἀποδίδοται γὰρ ἀεὶ τοῖς εὐεργέταις ἡ τιμὴ. οὐ γὰρ τιμᾶται ὁ μηδὲν ἀγαθὸν τῷ κοινῷ ποριζων. Τὸ κοινὸν γὰρ δίδοται τῷ τὸ κοινὸν εὐεργετοῦντι· ἡ τιμὴ δὲ κοινόν.

κοινόν. Οὐ γάρ ἐστιν ἅμα χρηματίζεσθαι ἀπὸ τῶν κοινῶν, καὶ τιμᾶσθαι. Ἀλλ' ὁ ἐνδεὴς τοῦ κοινοῦ χρήματα μὲν λαμβάνει, τιμᾶται δὲ οὐδαμῶς. Οὐδεὶς γὰρ δέχεται κατ' ἄμφω ἐλαττοῦσθαι, καὶ κατὰ τὴν τιμὴν, καὶ κατὰ τὰ χρήματα. Ἀλλὰ τὸ ἕτερον διδοὺς, τὸ ἕτερον λήψεται. Διὰ τοῦτο τῷ μὲν περὶ χρήματα ἐλαττουμένῳ ὑπὲρ τοῦ κοινοῦ τὴν τιμὴν νέμουσι, τῷ δὲ δωροδόκῳ, χρήματα. Τὸ κατ' ἀξίαν γὰρ ἐπανισοῖ καὶ σώζει τὴν φιλίαν, καθάπερ εἴρηται. Τοῦτον δὴ τὸν τρόπον καὶ τοῖς ἀνίσοις φίλοις ὁμιλητέον, καὶ τῷ εἰς χρήματα ὠφελουμένῳ, ἢ εἰς ἀρετὴν, τιμὴν ἀνταποδοτέον τῷ τελοῦντι. Ἀνταποδώσει δὲ τὸ ἐνδεχόμενον.

Τὸ δυνατὸν γὰρ ἡ φιλία ἐπιζητεῖ, οὐ τὸ κατ' ἀξίαν. Οὐ γὰρ δύνανται πάντες τὰ κατ' ἀξίαν ὧν ὀφείλουσιν ἀποδιδόναι. Οὐ γὰρ δυνατὸν ἐπὶ πάντων τὸ κατ' ἀξίαν εὑρεῖν, ὥσπερ ἐν ταῖς πρὸς τοὺς θεοὺς καὶ γονέας τιμαῖς οὐδεὶς τὴν ἀξίαν ἀποδοῦναι δύναται. Ὁ δὲ θεραπεύων κατὰ τὴν δύναμιν, καὶ ὅσον ἔξεστιν, ἐπιεικὴς εἶναι δοκεῖ. Διὰ τοῦτο δοκεῖ μὴ ἐξεῖναι υἱῷ πατέρα ἀπείπασθαι, καὶ μὴ ὑπακοῦσαι περὶ ὁτουοῦν ἀξιοῦντα· ἀεὶ γὰρ ὀφείλει, καὶ διὰ τοῦτο ἀνταποδοτέον ἀεί· οὐδὲν γὰρ ἄξιον ὧν εὐεργετήθη δέδρακε πρὸς τὸν πατέρα· τῷ πατρὶ δὲ ἀπείπασθαι τὸν υἱόν. Ἔξεστι γὰρ τοῖς εὐεργέταις τοὺς ὀφείλοντας ἀποπέμ-

enim fieri poteſt ut & lucretur ſimul e publico aliquis, & honorem conſequatur. Sed qui egent, pecunias quidem accipiunt e publico, honorem vero minime. Nemo enim utriuſque damnum vult pati, & pecuniarum & honoris videlicet: ſed cum alterum dedit, alterum accipit. Ideoque ei qui pecuniarum Reipublicæ cauſa damnum ſubivit, reddunt honorem, ſicut ei qui pecunias præfert, has conferunt. Dignitatis enim & meriti ratio exæquat, ut dictum eſt, amicitiam, & conſervat. Eodem autem modo cum inæqualibus etiam agendum eſt amicis: & is qui vel pecuniis ab aliquo augetur vel virtute, honorem viciſſim ei reddere debet à quo ea accipit. Sic enim reddet quod poteſt.

Quod enim poteſt non quod dignitati debetur aut merito, amicitia requirit. Neq; enim poſſunt omnes pro dignitate ejus reddere quod debent aut merito: quia id in omnibus invenire non poteſt. Sicut in Deorum, exempli gratia, aut parentum honoribus, nemo pro dignitate poteſt perſolvere aut merito quod debet. Qui vero quantum poteſt & pro viribus eos colit, probus atque honeſtus videtur eſſe. Ideoque videtur non licere filio abdicare patrem, aut quicquam eorum quæ petierit negare: ſemper enim debet. Quare etiam ſemper reddendum: nihil enim unquam paternis dignum beneficiis præſtitit. Contra vero patri licet abdicare filium: licet enim eis qui contulerunt beneficium abdicare debi-

Ariſtot. l.8.c.14.

Τὸ δυνατὸν γὰρ ἡ φιλία ἐπιζητεῖ, &c.

tores.

Ariſtot. l.8.c.14.

tores. Quamvis fortaſſe nullus pater filium relinquat ſuum niſi eximio quodam modo ſit improbus. Præterquam enim quod naturalis eo impellit amicitia, humanum quoq; eſt, ſubſidium non averſari aut rejicere. Filius autem ſi ſit improbus, plane aut odit aut certe non admodum ſtudet patri ferre auxilium. Pleriq; enim affici beneficiis volunt: ea vero conferre tanquam rem fugiunt inutilem. Ac de his hactenus quidem.

ἀφιᾶσθαι. Ἴσως δ' οὐδεὶς πατὴρ ἀφίσαιτο τοῦ υἱοῦ, εἰ μὴ ὑπερβαλλόντως εἴη μοχθηρός· ἥ τε γὰρ φυσικὴ φιλία εἰς τοῦτο ἐπείγει, καὶ ἅμα ἀνθρώπινόν ἐστι τὴν ἐπικουρίαν μὴ διωθεῖσθαι. Τῷ δ' υἱῷ μοχθηρῷ ὄντι μισητὸν, ἢ οὐ λίαν σπουδάζεται τῷ πατρὶ ἐπαρκεῖν. Οἱ γὰρ πολλοὶ εὖ πάσχειν βούλονται, τὸ δ' εὖ ποιεῖν φεύγουσιν ὡς ἀλυσιτελές. Περὶ μὲν οὖν τούτων ἐπὶ τοσοῦτον εἰρήσθω.

ARISTO-

ARISTOTELIS ETHICORUM LIBER IX.

ΚΕΦ. α.

Ποῖα τὰ τὴν φιλίαν σώζοντα.

Ἔτι δὲ λέγωμεν περὶ φιλίας, καὶ ἃ δεῖ προσθῶμεν τοῖς εἰρημένοις. Ἐν μὲν οὖν ταῖς κατ᾽ ἰσότητα φιλίαις τὰ ἴσα ἀνταποδοτέον ἀλλήλοις τοὺς φίλους, ἐν δὲ ταῖς ἀνομοιοειδέσι φιλίαις, καθὼς εἴρηται, τὸ ἀνάλογον. Ἡ γὰρ ἀναλογία ἰσάζει τοὺς φίλους ἐν ταῖς πολιτικαῖς κοινωνίαις. Ὁ γὰρ σκυτοτόμος ἀντὶ τῶν ὑποδημάτων οὐχ ὑποδήματα, ἀλλὰ τὸ κατ᾽ ἀξίαν καὶ τὸ ἀνάλογον λήψεται, ὡς ἐν τῷ πέμπτῳ βιβλίῳ διὰ πλειόνων εἴρηται. Ὁμοίως δὲ καὶ ὁ ὑφάντης, καὶ οἱ ὅμοιοι. Τοῦτο γὰρ σώζει τὰς πολιτικὰς κοινωνίας,

CAP. I.

Ariſtot. l. 9. c. 1.

Quæ ſint quæ amicitiam conſervent.

Cap. 1. Ἀπίοισι δ᾽ τοῖς ἀνομοιοειδέσι, &c.

ADhuc de amicitia dicamus, & quæ opus eſt ſuperioribus addamus. In iis ergo quæ æqualitate conſtant amicitiis, æqualia quoque ſibi mutuo reddere amici debent. In iis vero quæ ſunt inæquales, proportionis tantum, ſicut dictum eſt, habenda eſt ratio. In civili quippe ſocietate, æquare amicos ſolet proportio. Sutor enim pro calceis, non calceos, ſed precium, & quod proportione iis reſpondet, accepturus eſt: quemadmodum in quinto pluribus diximus. Eodemque modo textor quoque & alii. Hoc enim eſt quod civilem ſuſtinet ſocietatem, ut cum pro-

proportione dentur & accipiantur omnia, quibus vel egent vel abundant ſinguli. Et in civili quidem ſocietate communis menſura, quo omnia referantur, & quo tam ea quæ damus, quam quæ accipimus, metiri ſolemus, eſt nummus. In morali vero & quæ amicitia conſtat, nihil habemus, quo ea quæ ſunt diſſimilia metiri poſſimus. Quamobrem querelarum atque accuſationum plenæ ſunt hujuſmodi amicitiæ: qualis quoque eſt amatoria.

Interdum enim amator accuſat eum quem amat, quod cum vehementer amet, ab illo viciſſim non ametur: cum fortaſſe amore dignus non ſit. Sæpe qui amatur amantem accuſat, quod cum prius omnia promiſerit, nunc nihil præſtet. Solet autem hoc fieri, cum alter voluptatis, alter utilitatis cauſa amat: poſtea vero neque hic admodum jucundus, neque ille admodum eſt utilis. Cum enim horum cauſa contracta ſit amicitia, ſi non adſint ea, neceſſario amicitia diſſolvitur: quia non alter alterum, ſed alterius bona amat alter: quæ cum ſtabilia non ſint, amicitia quoque ruinam ſecum trahunt. Qui vero ſe mutuo, moreſque alter alterius diligunt, quales ſunt honeſti viri, in amicitia perſiſtunt. Amicos enim propter ipſos, non alia de cauſa, amant. Ipſi vero cum maneant qui ſunt, ſecum quoque amicitiam conſervant. Suboriuntur inter diſſimiles quoque amicos ſimultates, quoties alia ab amicis, quæ non petebant,

τὸ ἀναλόγως διδόναι καὶ λαμβάνειν, ὧν ἕκαστος ἢ δεῖται ἢ εὐπορεῖ. Ἀλλ' ἐν μὲν ταῖς πολιτικαῖς κοινωνίαις ἐστὶ κοινὸν μέτρον τὸ νόμισμα, πρὸς ὃ πάντα ἀναφέρεται, καὶ ᾧ τὰς δόσεις, καὶ τὰς λήψεις μετροῦμεν. Ἐν δὲ ταῖς ἠθικαῖς τε καὶ φιλικαῖς οὐκ ἔστιν ᾧ μετρῆσαι δυνατὸν τὰ ἀνομοιειδῆ. Διὰ τοῦτο ἐν ἐγκλήμασιν ἀεί εἰσιν αἱ τοιαῦται κοινωνίαι, οἷα ἐστὶν ἡ ἐρωτική.

Καὶ γὰρ ἐνίοτε μὲν ὁ ἐραστὴς ἐγκαλεῖ τῷ ἐρωμένῳ, ὅτι ὑπερφιλῶν οὐκ ἀντιφιλεῖται, οὐκ ἄξιος ὢν φιλεῖσθαι, εἰ οὕτως ἔτυχε. Πολλάκις δὴ ὁ ἐρώμενος τῷ ἐρῶντι μέμφεται, ὅτι πρότερον ἐπαγγειλάμενος πάντα, νῦν οὐδὲν ἐπιτελεῖ. Συμβαίνει δὲ τὰ τοιοῦτα, ὅταν ὁ μὲν δι' ἡδονὴν ἐρῶν, ὁ δὲ διὰ τὸ χρήσιμον, εἶτα μήτε οὗτος πάνυ ἡδὺς ᾖ, μήτε ἐκεῖνος χρήσιμος. διὰ ταῦτα γὰρ τῆς φιλίας οὔσης, ἐπειδὰν μὴ παρῶσι, διάλυσις γίνεται. Οὐ γὰρ ἀλλήλους ἔστεργον, ἀλλὰ τὰ ἀλλήλων, ἃ μὴ ὄντα μόνιμα καὶ τὴν φιλίαν συναπόλλυσιν. Οἱ δὲ ἀλλήλους στέργοντες καὶ τὰ ἀλλήλων ἤθη, δίοι εἰσιν οἱ σπουδαῖοι, μόνιμοί εἰσιν ἐν τῇ φιλίᾳ. Φιλοῦσι γὰρ ἀλλήλους δι' αὐτοὺς, καὶ δι' οὐδὲν ἄλλο. Αὐτοὶ δὲ μένοντες ἐφ' ἑαυτῶν, καὶ τὴν φιλίαν διασώζουσι. Διαφέρονται δὲ οἱ ἀνομοιοειδεῖς φίλοι, καὶ ὅταν ἕτερα γίνηται αὐτοῖς παρὰ τῶν φίλων, καὶ

μὴ ὧν ὀρέγονται. Ὅμοιον γὰρ τῷ μηδὲν γίνεσθαι, ὅταν οὗ ἐφίεται μὴ τυγχάνῃ. Ὥσπερ ὁ τῷ κιθαρῳδῷ ἐπαγγειλάμενος, ὅσον ἄμεινον ᾄσει, τοσούτῳ πλεῖον δώσειν· εἰς ἕω δὲ ἀπαιτοῦντι τὰς ὑποσχέσεις, ἀνθ' ἡδονῆς ἡδονὴν ἀποδεδωκέναι ἔφη. Εἰ μὲν οὖν ἑκάτερος ἡδονὴν ἐβούλετο λαβεῖν, ἱκανῶς ἂν εἶχεν ἡ κοινωνία· εἰ δὲ ὁ μὲν τέρψιν ἐζήτει, ὁ δὲ κέρδος, καὶ ὁ μὲν ὃ ἐζήτει ἔλαβεν, ὁ δὲ μή, οὐκ ἂν εἴη τὸ κατὰ τὴν κοινωνίαν καλῶς. Ὧν γὰρ ἕκαστος δεῖται, τούτων ἕνεκα δίδωσιν ἃ τυγχάνει κεκτημένος αὐτός.

conſequuntur. Propemodum enim nihil accipere videtur, qui non accipit id quod petebat. Sicut ille, exempli gratia, qui promittebat citharœdo, quanto melius caneret, tanto ſe plus illi daturum: mane autem cum promiſſum exigeret, voluptatem voluptate remuneraſſe ſe dicebat. Si ergo uterq; voluptatem petiiſſet, recte conſtitiſſet ſocietatis ratio. Sin autem delectationem alter, alter vero lucrum petebat, & hic quidem quod petebat acceperat, ille autem non item, non potuit ſarta tecta conſervari ſocietatis ratio. Singuli enim ut accipiant quibus opus habent, dare ea ſolent quæ habent. Ariſtot. l. 9. c. 1.

ΚΕΦ. β'.

CAP. II.

Περὶ τοῦ τίνος ἐστὶν ἐν τῇ ἄνευ διομολογίας γινομένῃ εὐεργεσίᾳ τὴν ἀμοιβὴν τάττειν. Καὶ ἔτι περὶ τῆς κατ' ἀρετήν, καὶ τῆς κατὰ τὸ χρήσιμον φιλίας, ἐν ᾗ διομολογία οὐ γίνεται.

Cujus ſit in iis quæ ſine pacto inferuntur beneficiis, precium ponere: item de ea quæ virtutis & quæ utilitatis cauſa ſine pacto contrahitur amicitia.

ΕΝ μὲν οὖν ταῖς ἀνομοίοις φιλίαις τὸ ἀνάλογον καὶ κατ' ἀξίαν ζητεῖται. Ἀπορεία δὲ ἐστι, πότερος κύριος τάττειν ἀξίαν ἀμοιβήν· ὁ προϊέμενος, ἢ ὁ λαμβάνων· ὁ γὰρ προϊέμενος ἔοικεν ἐπιτρέπειν τῷ λαμβάνοντι τάξαι τὴν ἀξίαν ἀμοιβήν, ὥσπερ Πρωταγόρας ἐποίει. Τοὺς γὰρ φοιτητὰς τῆς διδασκαλίας τὸν μισθὸν οὐκ αὐτὸς ὁριζόμενος ἀπῄτει, ἀλλ' αὐτοὺς ἐκέλευε τιμᾶν ὅσου νομίζου-

IN diſſimilibus ergo amicitiis proportio & dignitatis requiritur ratio. Quæſtio autem movetur: utrius ſit remunerationem ponere, an qui prius dedit, an vero qui accepit. Qui enim prius dedit, videtur ei qui accipit permittere, ut de remunerationis dignitate ipſe ſtatuat, quemadmodum Protagoras ſolebat. Neq; n. aut certam diſcipulis ſuis præfiniebat, aut quã præfinierat exigebat inſtitutionis mercedem: ſed ipſos æſtimare jubebat, quanti Τὴν ἀξίαν δὲ ποτέρου τάξαι, κτ.

Ariſtot. l.9.c.1. ea eſſent quæ didiciſſent: ac deinde quod illis videbatur accipiebat. In ejuſmodi autem communionibus quibuſdam ea ſufficit quæ in proportione conſiſtit remuneratio, quibus Heſiodi illud ſatis eſt:

Merces nempe viro ſatis eſt &c.

Οἱ δὲ ἀγοραῖοι, &c. Forenſes autem quidam, & quorum in mercatura conſiſtit ſocietas, plura quærunt. Fit enim nonnunquam ut ante pecunias acceperint, quas ſtatim ſe reddituros eſſe promiſerant, eas autem cum non reddant, neq; quicquam eorum quæ promiſerant faciant, non immerito accuſantur: quia nimirum quicquid præſtant minus eſt promiſſis. Ideoq; & ſophiſtæ non niſi accepta prius mercede ſolent docere quoniam nemo pecuniis ea emere vellet quæ docet, quia nullius ſunt precii. Jam vero cum magna quædam & præclara ſe docturos eſſe promittant, mercedem quidem accipiunt, ac poſtea ineptiſſima quædam eos docent. Hi ergo cum precium acceperint, neq; tamen id quod promiſerant præſtiterint, merito accuſantur.

Ἐν οἷς δὲ μὴ γίνεται διομολογίας, &c. Ubi autem pactum non intercedit conventum retributionis aut operæ, ſi qui amicis per ſe ſubſidium tulerunt, ſuaq; amicorum cauſa dimiſerunt, ut honeſti ſolent homines, eos accuſari non poſſe diximus. Talis enim eſt quæ virtutis cauſa inſtituitur amicitia. Atque ibi ex conſilio propoſitoque reddenda eſt remuneratio. Illa quippe amici & virtutis eſt, ut in ſuperioribus oſtendimus. Talis autem eſt & philoſophica commu-

σιν ἄξια μεμαθηκέναι, καὶ τοσοῦτον ἐλάμβανεν. Ἐν ταῖς τοιαύταις δὲ κοινωνίαις ἔνιοι ταῖς ἀναλόγοις ἀμοιβαῖς ἀρκοῦνται, καὶ ἀγαπῶσι τοῖς Ἡσιόδου·

Μισθὸς δ' ἀνδρὶ ἄρκιος εἴη.

Οἱ δὲ ἀγοραῖοι, καὶ κατ' ἐμπορείαν ταῖς κοινωνίαις χρώμενοι πλείω ζητοῦσιν, οἱ καὶ προλαβόντες ἐνίοτε τ' ἀργύριον, καὶ αὐτίκα δώσειν ἐπαγγειλάμενοι, οὐκ ἀποδιδόασιν, οὐδὲ ποιοῦσιν οὐδὲν ὧν ἔφασαν. Καὶ ἐγκαλοῦνται δικαίως, ὅτι τὰ ἔργα ταῖς ἐπαγγελίαις ὑπερβάλλουσι· διὰ τοῦτο καὶ οἱ σοφισταὶ οὐ διδάσκουσι πρὶν μισθὸν λαβεῖν τῆς διδασκαλίας, διὰ τὸ μηδένα ἂν δοῦναι ἀργύριον ὧν μεμάθηκεν ἕνεκα, ὅτι φαῦλα· ἐπαγγελλόμενοι δὲ μεγάλα διδάξειν, λαμβάνουσι μὲν τὸν μισθὸν, διδάσκουσι δὲ τὰ φαυλότητα. Οὗτοι μὲν οὖν ὧν ἔλαβον τὸν μισθὸν μὴ ποιοῦντες, εἰκότως ἐν ἐγκλήμασίν εἰσιν.

Ἐν οἷς δὲ κοινωνίαις οὐ γίνεται διομολογία τῆς ἀμοιβῆς ἢ τῆς ὑπουργίας, οἱ μὲν ὠφελοῦντες τοὺς φίλους δι' αὐτοὺς, καὶ προϊέμενοι τὰ ἑαυτῶν τῶν φίλων ἕνεκα, οἷοί εἰσιν οἱ σπουδαῖοι, εἴρηται ὅτι ἀνέγκλητοι. Τοιαύτη ἡ κατ' ἀρετὴν φιλία· τὴν ἀμοιβήν τε ποιητέον κατὰ τὴν προαίρεσιν. Αὕτη γὰρ τοῦ φίλου καὶ τῆς ἀρετῆς, ὡς ἐν τοῖς προειρημένοις ἐδείχθη. Τοιαύτη δέ ἐστι καὶ ἡ κατὰ φιλοσοφίαν κοινωνία. Ὁ

γὰ

γὰρ διδάσκαλος τῆς φιλοσοφίας τὸν μαθητὴν οὐ χρήματα ἀπαιτεῖ, ἢ τιμὴν ὡρισμένως. Μηδὲ ἐστιν ἀξιόν τι τῆς φιλοσοφίας οὔτε ἐν χρήμασιν οὔτε ἐν τιμῇ, ἀλλὰ τὴν προαίρεσιν σκοπεῖ. Ἔργον δὲ καὶ ἀμοιβὴν ἱκανὸν ἡγεῖται τὸ ἐνδεχόμενον, καθάπερ καὶ τὸ πρὸς θεοὺς καὶ πρὸς γονεῖς ἔχει δίκαιον. Οἱ μὲν οὖν τοῖς φίλοις χαριζόμενοι δι' αὐτοὺς οὕτω μετροῦσι τὴν ἀξίαν τῶν ἀμοιβῶν.

Αἱ δὲ ἐπί τινι, ἢ διὰ χρήσιμον, ἢ διὰ ἡδονὴν, οὕτω δώσουσι καὶ λήψονται τὴν ἀμοιβὴν, ὡς ἀμφοτέροις δοκεῖ ἄξιον εἶναι. Οὕτω γὰρ ἂν γένοιτο καθαρὰν ἐγκλημάτων τὴν κοινωνίαν γενέσθαι. Εἰ δὲ μὴ συμβαίνει τοῦτο, μηδὲ δύνανται καὶ ἄμφω κρίνειν τὴν προσήκουσαν ἀμοιβὴν, ἀλλὰ ἢ ὁ ἕτερος μόνον, ἢ μηδέτερος, ἀνάγκη κατὰ τὴν κρίσιν τοῦ δεξαμένου τὰς εὐεργεσίας, τὰς ἀμοιβὰς γίνεσθαι. Εἰ γὰρ ὁ μὲν ἀντὶ τοσούτων τοσαῦτα διδόναι βούλεσθαι λέγοι, ὁ δὲ ἐπὶ τούτοις παρέχοι, ὁ μὲν, ἃ δοῦναι συνέθετο, δώσει, καὶ ἀμείψεται ἢ ἡδονὴν, ἢ ἄλλην τινὰ ὠφέλειαν ἀποδιδούς. Ὁ δὲ οὐκ ἐγκαλέσει λαβὼν, ἃ λαβεῖν ἐκεῖνον ἄξιον εἶναι. Τοῦτο δὲ οὐ μόνον ἀναγκαῖόν ἐστι, καὶ τὴν κοινωνίαν ἀπαλλάττει πραγμάτων, ἀλλὰ καὶ δίκαιον. Εἰ γάρ τις ὧν βούλεται τύχοι, οὐκ ἀδικεῖται. Διὰ τοῦτο καὶ ἐν τοῖς ὠνίοις οὕτω φαίνεται

nio. Neq; enim qui docet eam, aut pecunias à diſcipulis ſuis aut honorem definitum exigit, cum neq; in hoc neq; in illis quicquam illa dignum ſit. Quare conſilium tantum propoſitumq; reſpicit: id vero opus, aut remunerationem quam præſtare quiſque poteſt, judicat ſufficere: ſicut illud quod cum Dis nobis jus eſt & parentibus. Qui ergo cauſa amicorum benefaciunt amicis, ita remunerationis ſolent æſtimare precium. Ariſtot. l.9.c.1.

Qui vero alicujus cauſa, utilitatis, dico, aut voluptatis hoc faciunt, ita dabunt remunerationem & accipient, quemadmodum uterque dignum eſſe exiſtimat. Eo enim modo demum pura ab omnibus querelis amicitia futura eſt. Quod ſi non contingat, neq; uterq; de ea quam meretur remuneratione judicare poſſit, ſed aut alter tantum, aut fortaſſe neuter, neceſſe eſt pro ejus qui beneficio accepit judicio, inſtitui remunerationem. Si enim alter pro tot tantiſq; quæ accipiat beneficiis, tot viciſſim tantaq; reddere ſe velle promittat, alter vero hac conditione ei hæc tradat: alter quidem quæ daturum ſe promiſerat dabit, & quod acceperat compenſabit, ſive voluptate, ſive alio quoq; beneficio paria cum eo faciendo: alter vero de quo queratur non habebit, ut qui acceperit, quod deberi pro iis ſibi judicabat. Hoc vero non neceſſarium modo eſt, & omni moleſtia humanum liberat conſortium, ſed & juſtum. Si quis enim quæ velit conſequatum injuriam ſibi fieri dicere non poteſt. Ideoq; & in mercimo- Μὴ ποιήσαντος δ' ὅσης τῆς δόσεως, &c.

Ariſtot. l.9.c.2. niis hoc fieri ſolet. Qui enim emit precium inſtituit, ſuaq; ipſius aut utilitate aut voluptate rem illam metitur, tantiq; eſſe dicit mercem quam empturus eſt. Unde & alibi leges ſunt, quæ judicia de voluntaria in contrahendis rebus obligatione fieri prohibent, neq; volunt alium quæri in tali negotio judicem, aliaſve leges: quod oporteat cum eo cui quis credidit & cum quo communicav t ſua, ex pacti ratione decidi. Cenſent enim æquius eſſe, ut ille cui ab initio commiſſa res eſt, de remuneratione judicet, quam qui commiſit. Aliter enim qui commiſit ei qui accepit, ſe et ſententiam. Jam vero in ſuis nemo fide dignus judex eſt. Propria enim pleriq; & quæ dant ipſi magno æſtimare ſolent. Cui vero permiſſum eſt, ut remunerationem eorum quæ accipit ſtatuat beneficiorum, ſi moleſtiam illi exhibuerit poſtea, qui participem ſuorum fecit ipſum, quod nimirum minus quam oportet, referat, atq; ille ad prius pactum recurrat, de quo inter utrumq; convenit, recte judicabit; quod nimirum alter accepit, alter vero tulit. Neque enim quanti ea nunc æſtimat, poſtquam accepit, ſed quanti ea æſtimabit prius quam accepiſſet: tantum pro iis reddet.

γινόμενον. Ὁ γὰρ ὠνούμενος τάττει τὴν τιμὴν, καὶ μετρεῖ τῇ ἑαυτοῦ ὠφελείᾳ, ἢ τῇ ἡδονῇ, καὶ τοσούτου ἄξιον εἶναι λέγει τὸ ζητούμενον ὤνιον. Καὶ νόμος δὲ παρά ποι κεῖται τῶν ἑκουσίων συμβολαίων δίκας μὴ εἶναι, μηδὲ ζητεῖν δικαστὴν ἕτερον ἐν ταῖς τοιαύταις κοινωνίαις, μηδὲ νόμους ἑτέρους, ἀλλ' ᾧ τις ἐπίστευσε, καὶ κεκοινώνηκε τῶν αὑτοῦ, καὶ ταῖς συνθήκαις χρησάμενον, διαλύεσθαι. Δικαιότερον γὰρ οἴονται κρίνειν τὸν ἐπιτραπέντα ἐξ ἀρχῆς τάξαι τὴν ἀμοιβὴν, ἢ τὸν ἐπιτρέψαντα· ὁ μὲν γὰρ ἐπιτρέψας τὸ δεχομένῳ ψηφίσεσθαι· περὶ τῶν ἑαυτοῦ δὲ οὐδεὶς ἀξιόπιστός ἐστι κριτής. Ὡς γὰρ ἐπὶ τὸ πλεῖστον τὰ οἰκεῖα, καὶ ἃ δίδωσιν ἕκαστος, πολλοῦ ἄξια νομίζει. Ὁ δὲ ἐπιτραπεὶς τάξαι τὴν ἀμοιβὴν ὧν δέχεται εὐεργεσιῶν, ἐὰν ὕστερον πράγματα αὐτῷ παρέχῃ ὁ κοινωνήσας τῶν ἑαυτοῦ ὡς οὐκ ἀξίως ἀμειψάμενος, δύναται κρίνειν ὀρθῶς, χρησάμενος ταῖς ἐξ ἀρχῆς συνθήκαις, ἃς οὗτός τε διωμολόγησε, κἀκεῖνος συνέθετο. Οὐ γὰρ ὅσου νῦν ἄξια νομίζει μετὰ τὸ λαβεῖν, τοσαῦτα παρέξει, ἀλλ' ὅσου ἐτίμα μήπω λαβών.

CAP. III. — ΚΕΦ. γʹ.

Cap. 2. *Quæ quibus ſint tribuenda.* — Τίνα τίσιν ἀποδοτέον.

Ἀπορίαν δ' ἔχει καὶ τὰ τοιάδε &c.

ET hæc quidem hactenus. Eſt autem & illud quæren-

ΚΑὶ ταῦτα μὲν εἰς τοσοῦτον. Ζητητέον δὲ

κἀκεῖνο· πότερον τοῖς τιμιωτάτοις καὶ φιλτάτοις πάντα ἀποδοτέον καὶ πειστέον, ἢ ἔστιν ἃ τοῖς ἧττον τιμίοις καὶ φιλουμένοις μᾶλλον ἀποδώσομεν ἢ τοῖς τιμιωτάτοις καὶ φιλτάτοις· οἷον τῷ πατρὶ πάντα πειστέον, ὅ, τι ἄν, καὶ ἡνίκα κελεύοι, ἢ οὐκ ἀεί, ἀλλὰ κάμνοντα μὲν ἰατρῷ πειστέον, πολεμοῦντα δὲ στρατηγῷ· καὶ στρατηγὸν χειροτονεῖν ἄξιον οὐ τὸν φίλον ἢ τὸν πατέρα, ἀλλὰ τὸν πολεμικόν. Ὁμοίως δὲ δεῖ ὑπηρετεῖν ποτέρῳ μᾶλλον, τῷ φίλῳ, ἢ τῷ σπουδαίῳ, καὶ χάριν δοῦναι τῷ ἑταίρῳ ἢ τῷ εὐεργέτῃ, καὶ ᾧ τυγχάνομεν ὀφείλοντες, ἐάν γε ἀμφοτέροις εὖ ποιῆσαι οὐκ ἐνδέχηται.

Ταῦτα μὲν οὖν πάντα κατὰ μέρος καὶ ἀκριβῶς διορίσασθαι οὐ ῥᾴδιον. Πολλὰς γὰρ καὶ παντοίας ἔχει διαφορὰς, καὶ ποικίλως· διαφέρουσιν ἀλλήλων καὶ μεγέθει, καὶ μικρότητι, καὶ τῷ καλῷ, καὶ τῷ ἀναγκαίῳ. Οὐ γὰρ ὁμοίως πάντα μικρὰ ἢ μεγάλα ἢ καλὰ ἢ ἀναγκαῖα εἰσίν. Ἀλλ' ἐνίοτε τὸ θεραπεύειν τὸν φίλον, ἀναγκαιότερον δοκεῖ τοῦ τὸν σπουδαῖον θεραπεύειν. Ἐνίοτε δὲ τὸν εὐεργέτην κάλλιον εὖ ποιεῖν ἢ τὸν φίλον, καὶ τὸ ἀνάπαλιν. Διὰ τοῦτο λόγον ἀκριβῆ περὶ τούτων ἑκάστου δοῦναι οὐ δυνατόν.

Τοῦτο δὲ φανερόν, ὅτι οὐ πάντα τῷ αὐτῷ ἀποδοτέον·

dum: utrum illis qui maximis à nobis colendi ſunt honoribus maximeq; cari ſunt, tribuenda ſint omnia, & in omnibus mos ſit gerendus: an ſint quædam quæ aliis, qui minus nobis colendi ſunt, minuſq; ſunt cari, tribuenda ſint potius quam aliis, quibus & maximus honor à nobis debetur, quiq; maxime ſunt cari. Ut, exempli gratia, Patrine in omnibus gerendus mos ſit; quoties & cum juſſerit: an vero non ſemper: ſed potius qui æger eſt medico parere, qui militat imperatori morem gerere debeat. Rurſuſque, uter pro imperatore eligendus ſit, amicuſne aut pater, an vero qui militiæ laude excellit. Uti item, amicone an viro bono magis ſit inſerviendum: & an amico magis, quam ei à quo beneficium accepimus, & cui hoc debemus potius ſit gratificandum: quoties de utroque bene mereri res non ſinit. Ariſtot. 9 c. 1.

Hæc ergo omnia ſigillatim accurateq; definire admodum difficile eſt. Cum multas præſertim variaſq; admittant differentias, neq; eodem inter ſe varient modo, ſed pluribus: magnitudine nimirum, exilitate, honeſto, & neceſſario. Non eodem enim modo parva omnia, aut magna, aut honeſta deniq; ac neceſſaria videntur eſſe. Interdum enim inſervire amico magis videtur neceſſarium, quam viro honeſto: interdumq; ei à quo benificium acceperis, honeſtius eſt benefacere quam amico: & contra. Ideoq; ratione ſingulorū reddere accuratam, nemo omnino poteſt, Ἀρ. οὖν πάντα τὰ τοιαῦτα, &c.

Illud certe, non omnia eidem danda eſſe, manifeſtum eſt. Ὅτι δὲ οὐ πάντα, &c.

Ariſtot. l 9.c.2

Etenim iis à quibus beneficium acceperis, beneficium viciſſim reponere, juſtius plerumq; eſt, quam ſodalibus gratificari. Quemadmodum debitum creditori potius perſolvendū eſt quam ſodali.

Ἴσως δ' οὐ τοῦτο ἀεί, &c.

Plerumq; autem propterea dico quia interdum fit, ut contra magis ſit juſtum. Ut, exempli gratia, ſi quem captum à latronibus aliquis redemit, nunquid hic viciſſim illum redimere debeat, quicunq; tandem fuerit? aut, an alii non capto, ſed impenſam repetenti pecuniam, perſolvere eam potius debeat, quam redimere patrem: cum præ ſeipſo quoq; unuſquiſq; liberare patrem debere, videatur? Ideoq; plerumque, non vero ſemper, reddendum potius id eſſe quod debetur diximus, quam amico gratificandum eſſe. Sin vero gratificari amico ita vehementer vel honeſtum ſit vel neceſſarium, ut jus illud quod ei à quo beneficium accepimus debetur, excedat, potius eo inclinandum. Præſertim cum neq; ſemper jus poſtulet, ut beneficium ei à quo accepimus reponamus, ſi improbus ſit à quo beneficium accepimus. Ponamus enim hominem improbum aliquid credidiſſe viro bono: non enim propterea improbo cogetur credere vir bonus. Alter enim quod ſciret ſe id recepturum eſſe à viro bono, id credidit: vir autem bonus cum ſciat ſe non recepturum eſſe ab improbo, injuſte non facit, ſi non credit. Sive ergo verum eſt quod de improbo illo ſuſpicatur vir bonus, cum nimirum hac quoque in parte improbum futurum neq;

ἀλλὰ τὰς μὲν εὐεργεσίας τοῖς εὐεργέταις ἀνταποδιδόναι δικαιότερον, ὡς ἐπὶ τὸ πολὺ μᾶλλον, ἢ χαρίζεσθαι τοῖς ἑταίροις. Καθάπερ δάνειον τῷ χρήσαντι μᾶλλον ἀποδοτέον, ἢ τῷ ἑταίρῳ.

Ὡς δὴ τὸ πολὺ δὲ λέγω, ὅτι συμβαίνει καὶ τὸ ἀνάπαλιν δικαιότερον εἶναι. Οἷον τῷ λυτρωθέντι παρὰ λῃστῶν, πότερον τὸν λυσάμενον ἀντιλυτρωτέον, κἂν ὁστισοῦν ᾖ, ἢ μὴ ἑαλωκότι μὲν, ἀπαιτοῦντι δὲ αὐτῷ ἀποδοτέον, ἢ λυτρωτέον τὸν πατέρα. Δόξειε γὰρ ἂν καὶ ἑαυτοῦ μᾶλλον τὸν πατέρα. Διὰ τοῦτο εἴρηται, καθόλου μὲν καὶ ὡς ἐπὶ τὸ πολὺ ἀνταποδοτέον τὸ ὀφείλημα μᾶλλον ἢ χαριστέον τῷ φιλουμένῳ. Ἐὰν δὲ τὸ χαρίσασθαι τοῖς φίλοις οὕτω σφόδρα ἀναγκαῖον ἢ καὶ καλὸν, ὡς ὑπερβάλλειν τὸ πρὸς τοὺς εὐεργέτας δίκαιον, πρὸς τοῦτο ἀποκλιτέον, ἐπεὶ οὐδὲ ἀεὶ δίκαιόν ἐστι τὸν εὐεργέτην ἀμείψασθαι, εἰ μοχθηρὸς εἴη ὁ εὐεργέτης. Οἷον εἴ τις ἀγαθῷ δεδάνεικε μοχθηρὸς, οὐ γὰρ ὁ ἀγαθὸς δανείσει τῷ μοχθηρῷ. Ὁ μὲν γὰρ εἰδὼς, ὅτι λήψεται παρὰ τοῦ ἀγαθοῦ, δεδάνεικεν, ὁ δὲ ἀγαθὸς οὐκ ἐλπίζων ἀπολήψεσθαι οὐκ ἀδικεῖ μὴ δανείζων. Εἴτε τοίνυν ἀληθὲς περὶ τοῦ μοχθηροῦ νομίζει ὁ ἀγαθὸς, ὡς καὶ τοῦτο μοχθηρὸς ἔσται, καὶ οὐκ ἀποδώσει, εἰκότα ποιεῖ

μὴ

μὴ δανείζων· εἴτε μὴ οὕτως ἔσται, οἴεται δὲ, καὶ διὰ τοῦτο οὐκ ἀμείβεται τοῖς ἴσοις, καὶ οὕτως οὐ πόρρω ποιεῖ τοῦ δικαίου. Οὐ γάρ ἐστι δίκαιον, ἃ δίδωσιν ὁ φαῦλος τῷ σπουδαίῳ, ταῦτα καὶ παρ' ἐκείνου λαμβάνειν. Οὐ γάρ ἐστιν ἴσον τὸ παρὰ τοῦ φαύλου τῷ παρὰ τοῦ ἀγαθοῦ, ὅταν τὸ αὐτὸ γίνεται παρ' ἀλλήλων ἀμφοτέροις. Μεῖζον γὰρ γίνεται τῷ ἀξιώματι τοῦ διδόντος. Διὰ τοῦτο εἴρηται, ὅτι οὐκ ἀεὶ τοῖς εὐεργέταις μᾶλλον ἀνταποδοτέον, ἢ χαριστέον τοῖς φίλοις. Ὃ γὰρ πολλάκις εἶπον ἐν τοῖς ἔμπροσθεν, οἱ περὶ τῶν παθῶν καὶ τῶν πράξεων λόγοι, τοῖς πάθεσι καὶ ταῖς πράξεσιν ἀκολουθοῦσιν, ἄλλοτε ἄλλως ἔχοντες, ὥσπερ ἐκεῖνα· καὶ ὡρισμένως περὶ ἑκάστου καὶ ἀκριβῶς ἀποδοῦναι οὐ δυνατόν.

Ὅτι μὲν οὖν οὐ ταυτὰ πᾶσιν ἀποδοτέον, οὐδὲ τῷ πατρὶ πάντα, καθάπερ οὐδὲ τῷ Διῒ πάντα θύομεν, φανερόν. Ἐπεὶ δὲ ἄλλα μὲν ὀφείλομεν τοῖς γονεῦσιν, ἕτερα δὲ τοῖς ἀδελφοῖς, καὶ ἄλλα τοῖς εὐεργέταις ἢ ἑταίροις, ἀπονεμητέον ἑκάστοις τὰ οἰκεῖα, καὶ τὰ ἁρμόζοντα. Ταῦτα καὶ φαίνονται σχεδὸν ποιοῦντες πάντες. Εἰς γάμους μὲν γὰρ καλοῦσιν οὐ τοὺς εὐεργέτας, ἢ τοὺς ἑταίρους, ἀλλὰ τοὺς συγγενεῖς. Τούτοις γὰρ κοινὸν τὸ γένος, καὶ αἱ περὶ τοῦτο δὴ πρά-

redditurum id eſſe, æquum facit, ſi non credat: ſin autem aliter ſe habet, ille vero id ſuſpicatur tantum, ideoq; par pari non reddit, nè ſic quidem admodum à juſto recedere videtur. Neq; enim juſtum eſt quæ in bonum virum confert homo improbus, eadem ab illo ut accipiat viciſſim: quia neque æquale eſt id quod dat improbus ei quod dat vir bonus: licet idem ſit quod uterque confert utrique. Quippe cum à dignitate dantis precium ſuum mutuetur: ideoq; & majus fit. Quare diximus, non ſemper iis è quibus beneficium accepimus, id reddendum eſſe potius, quam gratificandum amicis. Quod enim ſæpe in ſuperioribus dictum eſt à nobis, ea quæ de actionibus affectibuſq; inſtituitur agendi ratio, ipſos affectus atq; actiones ſequitur, ideoq; ſemper alio atq; alio modo, quemadmodum & illa, habere ſe ſolet. Quare ut definite quis de ſingulis atq; accurate agat: fieri omnino non poteſt. Ariſt. l.9.c.2.

Ex his itaque nec eadem danda eſſe omnibus, neq; patri omnia, quemadmodum nec omnia ſacrificamus Jovi, ſatis manifeſtum eſt. Cum vero alia parentibus, alia fratribus, alia iis qui beneficium dederunt, aut ſodalibus debeantur: ea quæ ſingulis ſunt propria, maximeque conveniunt, ſingulis tribuemus. Quod quoq; fieri ab omnibus propemodum videmus. Ad nuptias enim non tam eos à quibus beneficium acceperunt, aut ſodales, quam propinquos vocant. His quippe & genus & generis Ὅτι μὲν οὖν οὐ ταυτὰ πᾶσιν ἀποδοτέον, &c.

Ariſtot. l.9.c.2.

actiones ſunt communes. In funera quoque cognatos potiſſimum prodire eadem de cauſa debere, pleriquе arbitrantur. Ideoque parentibus, ut victus potiſſimum ſuppetat, & magis quidem quam ſibi, curandum eſſe aliquis exiſtimaverit. Vitam enim parentum, unde ipſi ſuam acceperunt, conſervare debent liberi. Honor quoque iis tanquam Dis tribuendus eſt. Non omnis tamen, neque quilibet. Neque enim patri idem ac matri. Sicut neque utrique ſapientis & imperatoris tribuendus eſt: hoc eſt, quem ſapienti aut imperatori tribuimus. Sed qui patris eſt, patri, qui matri vero convenit, matri. Cunctis quoque ſenioribus, pro ratione ætatis, honor exhibendus eſt: qualem videlicet juniorem exhibere ſeniori æquum eſt: ut aſſurgat videlicet, locoque cedat, & ſimilia. Sodalibus vero ac fratribus, orationis libertas, omniumque rerum concedenda eſt communio: ut & propinquis, tribulibuſque ac civibus, aliiſque omnibus. Danda denique opera eſt, ut ſuum cuique tribuatur. Qua in re conſideranda eſt ſingulorum qua nos tangunt propinquitas, uſuſque, ac virtus: quibus honores qui illis debentur ac communionem metiemur. Ac de propinquis quidem facilius eſt judicium. Facile n. quæ propinquis, civibus, tribulibus, aliiſq; quos mores nobis conjungunt, tribuenda ſint, intelligemus: quæ vero extraneis, iiſque qui multum à nobis diſferunt, invenire eſt operoſius.

ξεις, καὶ εἰς τὰ κήδη δὲ μάλιστα οἴονται δεῖν τοὺς συγγενεῖς ἀπαντᾷν τῆς αὐτῆς ἕνεκα. Δόξειε δ' ἂν τοῖς μὲν γονεῦσιν τροφὴν ἐπαρκεῖν, καὶ τούτοις μᾶλλον, ἢ ἑαυτοῖς. Τὸ γὰρ εἶναι δεῖ συντηρεῖν τοῖς γονεῦσιν, ὅθεν ἐστὶν αὐτοῖς τὸ εἶναι· καὶ τιμὴν δὲ ἀπονεμητέον αὐτοῖς, καθάπερ θεοῖς. Οὐ πᾶσαν δὲ τιμὴν καὶ παντοίαν. Οὐ γὰρ τὴν αὐτὴν πατρὶ καὶ μητρί, οὐδὲ ἀμφοτέροις τὴν τοῦ σοφοῦ τιμὴν ἀποδοτέον, ἢ τὴν τοῦ στρατηγοῦ, ἣν δηλαδὴ τιμῶμεν τὸν σοφὸν, ἢ τὸν στρατηγόν· ἀλλὰ τὴν πατρικὴν μὲν τῷ πατρί, τῇ δὲ μητρὶ τὴν προσήκουσαν. Ἀπονεμητέον δὲ καὶ παντὶ πρεσβυτέρῳ τιμὴν τὴν καθ' ἡλικίαν, οἵαν δηλονότι προσήκει νέον ἀποδοῦναι γέροντι, ὑπαναστάσει καὶ κατακλίσει, καὶ τοῖς τοιούτοις· ἑταίροις δ', καὶ ἀδελφοῖς ἀποδοτέον παῤῥησίαν καὶ κοινότητα, καὶ συγγενέσι, καὶ φυλέταις, καὶ πολίταις, καὶ τοῖς λοιποῖς ἅπασι· καὶ πειρατέον τὸ οἰκεῖον ἀπονέμειν ἑκάστῳ, θεωροῦντα τὴν ἑκάστου πρὸς αὐτὸν οἰκειότητα, ἢ χρῆσιν, ἢ τὴν ἀρετὴν, καὶ τούτοις μετροῦντα τὰς πρὸς αὐτοὺς τιμὰς καὶ κοινωνίας. Τῶν μὲν οὖν ὁμογενῶν ῥάων ἡ κρίσις· τοῖς γὰρ συγγενέσιν, ἢ πολίταις, ἢ φυλέταις, ἢ καὶ ἄλλως ὁμοτρόποις, ἃ δεῖ ἀποδιδόναι, ῥᾳδίως ἐπιγνωσόμεθα· τοῖς δὲ ἀλλοτρίοις καὶ διαφέρουσιν εὑρεῖν ἃ δεῖ ἀπονέμειν, ἐργωδέστερον.

δέστερον. Οὐ μὴν διὰ τοῦτο ἀποστατέον τῶν εἰκότων, ἀλλ' ὡς ἐνδέχεται διοριστέον, περὶ ἑκάστου, καὶ περὶ πάντα τὰ κατὰ τὸ δέον γινόμενα τηρητέον.

Quamvis nec propterea eſt deſiſtendum neq; minus quid fieri ſit æquum eſt definiendum, ſed prout argumentum permittit, ſingula definienda ſunt, & in omnibus decori eſt habenda ratio. Ariſtot. l. 9. c. 3.

ΚΕΦ. δ'.

Περὶ τοῦ διαλύεσθαι τὰς φιλίας, ἢ μή.

ΕΤι δὲ κἀκεῖνο ζητητέον ἐστὶν, εἰ δεῖ διαλύεσθαι τὰς φιλίας, ἢ μή· ἔχει γὰρ ἀπορίαν, εἰ δέον ἐστὶν ἐνίοτε τοῦ φίλου στέργοντος ἔτι καὶ φιλοῦντος, αὐτόν τινα παύεσθαι τῆς φιλίας.

Λέγομεν τοίνυν, ὅτι πρὸς μὲν τοὺς διὰ τὸ χρήσιμον ἢ ἡδὺ φιλουμένους, ὅταν μηκέτι ταῦτ' ἔχωσιν, οὐδὲν ἄτοπον διαλύεσθαι· τοῦ ἡδέος γὰρ, ἢ τοῦ χρησίμου διαλιπόντος, ὧν ἦσαν φίλοι, εὔλογον μὴ φιλεῖν. Ὅταν δὲ οἱ διὰ τὸ χρήσιμον ἢ ἡδὺ φιλοῦντες, προσποιῶνται διὰ τὸ ἦθος φιλεῖν, καὶ τοῦ ἀγαθοῦ ἕνεκα, καὶ διὰ τοῦτο διαλυόμενοι ἐλέγχωνται, ἀδικοῦσι· καὶ δικαίως ἐν ἐγκλήμασιν εἰσιν. Ὥσπερ γὰρ ἐν ἀρχῇ εἴπομεν, ἐγκλημάτων αἱ τοιαῦται φιλίαι γέμουσιν, ὅταν μὴ διὰ τὸ αὐτὸ καὶ ὁμοίως φιλῶνται καὶ φιλῶσιν ἀλλήλους, μηδὲ οἴωνται φιλεῖσθαι ὥσπερ φιλοῦνται, ἀλλὰ ἀπατῶνται. Τηνικαῦτα γὰρ ἐλεγχομένης τῆς ἀπάτης ἐγκα-

CAP. IV.

An diſſolvi ſoleant, nec ne, amicitiæ.

SEd & illud quærendum eſt, utrum diſſolvendæ, nec nè, ſint amicitiæ: dubitari enim poteſt, an aliquis dum ab amico vehementer adhuc amatur ac diligitur, deſiſtere ab amicitia debeat. Cap. 3. Ἔχει δ' ἀπορίαν, &c.

Dicimus ergo, cum iis qui aut utilitatis cauſa aut voluptatis ab aliquo amantur, ſi iis deſtituantur, diſſolvi ſine reprehenſione amicitiam poſſe. Quoties enim aut voluptas eos deficit aut utilitas, quorum amici erant, mirum non eſt ſi non ament. Quoties autem illi qui utilitatis cauſa amant aut voluptatis, morum cauſa & honeſti ipſius amare ſe ſimulant, poſteaque diſſolvuntur, ac propterea in reprehenſionem incurrunt, injuſte agunt, meritoque accuſantur. Plenæ enim querelarum ſunt, quod initio dicebamus, amicitiæ ejuſmodi, cum non eadem de cauſa atque eodem modo amantur ac inter ſe amant: neque amari ſe intelligunt quemadmodum amantur, ſed falluntur. Tunc enim cum detegitur fraus, alter alterum accuſat. Si quis ergo Ἡ πρὸς μὲν τοὺς διὰ τὸ χρήσιμον, &c.

Ariſtot. l.9.c.3.

ergo falſa ducitur credulitate, morumq; ſuorum gratia amari ſe exiſtimat, cum alter tamen nihil tale agat aut dicat, quod illi ſolent qui morum gratia aliquem amant, tum ſe ipſe merito accuſare poteſt. Cum vero ſimulatione decipitur alterius, merito illum à quo deceptus eſt accuſat: eoq; id quidem magis quam ſi quis nummos adulteret: qua in re majoris precii hoc maleficium verſatur. Atq; ii quidem qui utilitatis cauſa amicitiam aut voluptatis colunt, hoc modo diſſolvi ſolent.

Ἐὰν δὲ ἀποδέχηται ὡς ἀγαθὸν, &c.

Si quis vero morum gratia amat aliquem, & ut virum amplectitur bonum, ille vero improbus poſtea aut evadat, aut amico talis videatur, quæritur, utrum amandus porro, an potius diſſolvi amicitia debeat. Reſpondendum autem eſt: fieri nè quidem poſſe, ut qui non bonus videatur, amabilis eſſe poſſit (id enim quod amabile eſt, eſt bonum: quod vero improbum eſt, ne juſtum quidem eſt) Neminem enim aut amare malum, aut ſimilem fieri malo oportet. Nam ſi amet, omnino neceſſe eſt, ut ſimilis illi fiat quoque. Jam enim ante diximus, ſimili ſimile gratum & acceptum eſſe.

Ἆρ' οὖν εὐθὺς διαλυτέον, ἢ οὐ πᾶσιν, &c.

Nunquid igitur repente talis diſſolvenda eſt amicitia? An non omnium, ſed eorum modo, quorum inſanabilis eſt improbitas, quia modum excedit. Si qui vero ita ægri ſunt, ut curari poſſint tamen, & correctionem admittant, minime ea quidem diſſolvenda videtur. Quin potius omni ſtudio ac diligentia ſubveniendum eſt talibus, moreſque eorum ſunt emendandi; ut potius

λύωσιν ἀλλήλοις. Ὅταν μὲν οὖν διαψευσθῇ τις καὶ ὑπολάβῃ φιλεῖσθαι διὰ τὸ ἦθος, μηδὲν τοιοῦτον ἐκείνου πράττοντος, ἢ λέγοντος, ὃ προσήκει τῷ διὰ τὸ ἦθος φιλοῦντι, ἑαυτὸν ἂν αἰτιῷτο δικαίως. Ὅταν δὲ ὑπὸ τῆς ἐκείνου προσποιήσεως ἀπατηθῇ, δίκαιον ἐγκαλεῖν τῷ ἀπατήσαντι, καὶ μᾶλλον ἢ τοῖς τὸ νόμισμα κιβδηλεύουσιν, ὅσῳ περὶ τὸ τιμιώτερον ἡ κακουργία. Τοῖς μὲν οὖν διὰ τὸ χρήσιμον, καὶ ἡδὺ φίλοις, οὕτω δικαίως συμβαίνει διαλύεσθαι.

Εἰ δέ τις διὰ τὸ ἦθος φιλεῖ, καὶ ὡς ἀγαθὸν ἀποδέχεται, γένοιτο δὲ μοχθηρὸς, ἢ καὶ δοκεῖ τῷ φιλοῦντι, ἆρα φιλητέον ἔτι, ἢ διαλυτέον; ῥητέον δὴ, ὅτι οὔτε δυνατὸν ἐπεὶ τὸν μὴ ἀγαθὸν δοκοῦντα φιλητὸν εἶναι. Τὸ γὰρ φιλητὸν, ἀγαθὸν, τὸ δὲ πονηρὸν οὔ. δίκαιον. Φιλοπόνηρον γὰρ οὐ χρή τινα εἶναι, οὐδ' ὁμοιοῦσθαι φαύλῳ. Εἰ δὲ φιλοῖ, πᾶσα ἀνάγκη ὁμοιοῦσθαι. Εἴρηται γὰρ, ὅτι τὸ ὅμοιον τῷ ὁμοίῳ φίλον.

Ἆρ' οὖν εὐθὺς διαλυτέον; ἢ οὐ πᾶσιν εὐθὺς διαλύεσθαι χρὴ, ἀλλὰ τοῖς ἀνιάτοις δι' ὑπερβολὴν μοχθηρίας; τοῖς δὲ ἰάσιμα νοσοῦσι καὶ δυναμένοις ἐπανόρθωσιν δέξασθαι, οὐ διαλυτέον, ἀλλὰ δεῖ βοηθῆσαι πάσῃ σπουδῇ, καὶ τὸ ἦθος ἐπανορθῶσαι, καὶ σῶσαι αὐτοῖς τὴν ἀρετὴν μᾶλλον ἢ τὴν οὐσίαν· ἐπεὶ

βέλτιον

βέλτιον τῆς οὐσίας ἡ ἀρετὴ, καὶ τὸ εἰς ταύτην βοηθεῖν τοῖς φίλοις φιλικώτερον, ἢ τὸν πλοῦτον διασώσασθαι· εἰ δὲ πενίαν ἀπελαύνειν δεῖ τῆς τοῦ φίλου οἰκίας τὸν δυνάμενον, πόσῳ δικαιότερον τὴν ἀρετὴν ἐπανάγειν, ἄλλως τε καὶ οἰκειότερον ὄν, ὅτι διὰ τὴν ἀρετὴν εἰσὶ φίλοι· τὸ μὲν οὖν βέλτιον, τὸ καὶ μοχθηρὸν γενόμενον τὸν φίλον φιλεῖν ἔτι, καὶ ζητεῖν ἐπανορθοῦν, εἰ δέ τις εὐθὺς διαλύοιτο, οὐ δοκεῖ ποιεῖν ἔξω λόγου. Οὐ γὰρ τοῦ μοχθηροῦ φίλος ἦν, ἀλλὰ τοῦ ἀγαθοῦ. Τὸν δ' ἀγαθὸν μηκέτι ὄντα μὴ φιλῶν οὐδένα ἀδικεῖ· τὸν τοίνυν ἀγαθὸν ἀλλοιωθέντα ἀδυνατῶν ἀνασῶσαι, ἀφίσταται τῆς πρὸς αὐτὸν φιλίας. Εἰ μὲν οὖν ὁ φίλος ἐξ ἀγαθοῦ πονηρὸς γένοιτο, οὕτω χρηστέον τῇ διαλύσει.

Εἰ δὲ τῶν φίλων ὁ μὲν ἐπιεικέστερος ἑαυτοῦ γένοιτο, καὶ πολὺ διαλλάττοι τῇ ἀρετῇ, ὁ δὲ ὡς εἶχε μένοι, ἆρα χρηστέον τὸν σπουδαῖον τῷ μὴ τοιούτῳ, ἢ οὐκ ἐνδέχεται, ἀλλὰ διαλυτέον; ἐν μεγάλῃ δὲ διαστάσει μάλιστα δῆλον γίνεται. Εἰ γὰρ δύο παίδων φίλων ὄντων, διὰ τὴν ἡλικίαν, καὶ τῶν διατριβῶν καὶ παιδιᾶς κοινωνεῖν, ὁ μὲν εἰς ἄνδρας ἐλθὼν σπουδαῖος γένοιτο. καὶ ἀνὴρ εἴη τοῖς ὅλοις, ὁ δὲ νεαρὸν ἔτι

eorum virtus à nobis, quam facultates aut opes ſartæ tectæque conſerventur: ſi quidem opibus ac facultatibus virtus eſt præſtantior, multoq; magis dignum eſt amicis, ibi ſubſidium inferre iis, quam eorum opes conſervare. Quod ſi paupertatem à familia amici propulſare is tenetur qui poteſt, quanto magis virtutem illi addere, cum præcipue hoc magis amicitiæ conveniat? Virtutis enim cauſa ſunt amici. Eſt igitur magis quidem laudandum, ſi quis amicum, quamvis jam improbus evaſerit: amare tamen non deſinat, ſed potius emendationi ejus incumbat: ſi vero ſtatim ab eo ſe disjungat, nihil præter rationem facere videtur. Neq; enim improbo amicus erat, ſed honeſto. Cum vero eum qui honeſtus eſſe deſinit, amare quoq; deſinit, nemini injuriam facit. Cum enim eum qui ex bono improbus evaſit, conſervare ſe non poſſe videat, ab illius divortium amicitia facit. Atq; ita quidem, ſi ex honeſto bonoq; viro amicus improbus evadat, diſſolvi amicitia debet. Ariſtot. l.9.c.3.

Jam vero, utrum, ſi eodem in ſtatu manente altero, alter probior ſe ipſo evadat, multumq; virtutibus excellat, utrum, dico, ille qui tanto eſt probior, altero qui talis amplius non eſt, uti porro, an contra renunciare potius amicitiæ debeat? Quod quidem in magno potiſſimum apparet diſcrimine. Ut, exempli gratia, Si duo inter ſe pueri mutuo amarent, tum quod ætate pares, tum quod ſtudiis iiſdem eodemq; luſu delectatur uterque, atq; eorum alter cum virilem attigiſſet ætatem, homo gravis, ac plane omnibus quæ ætatem illam decent, Εἰ δ' ὁ μὲν διαμένῃ, &c.

conſum-

Ariſtot. l.9 c.4. conſummatus virtutibus evaderet, alter vero pueriles illos mores retineret: quomodo tantum amici hi poſſent eſſe: cum neq; eadem probarent, neq; ex iiſdem voluptatẽ moleſtiamq; caperent? Neq; enim amplius alter quoque alteri gratificari poſſet. Quia neuter quo conciliaret ſibi alterum ei oblectaret, quicquam poſſet facere. Sed nè vivere quidem una poterunt: ſine quibus tamen conſiſtere, ut diximus, amicitia non poteſt.

μϑύοι τὸ ἦθος ἔχων, πῶς ἂν εἶεν φίλοι, μήτε τοῖς αὐτοῖς ἀρεσκόμϑυοι, μήτε τοῖς αὐτοῖς χαίροντες ἢ λυπούμενοι; οὐδὲ γὰρ χαίρουσι οὐδέτερος οὐδετέρῳ· οὐδὲ γὰρ ἔχει ὃ ποιήσας ἡδέα ποιήσει τὸν φίλον. Ἔτι δὲ οὐδὲ συζῆν δυνήσονται, ὧν χωρὶς οὐκ ἔνι φιλίαν συςῆναι, καθὼς εἴρηται.

Ἆρ᾽ οὖν ἔτι ἀλλοιότερον, Num autem ita erga eum affectus eſſe debebit vir bonus, ut ſi amicus non fuiſſet unquam, an vero præteritæ aliqua amicitiæ conſervanda erit memoria? & quemadmodum amicis potius quam exteris gratificandum putamus, ita iis, qui aliquando amici fuerunt, amplius tribuere, quam quibus nunquam uſi ſumus, oportet? Videtur certe aliquid præteritæ iis deberi amicitiæ cauſa: niſi forte quia modum omnem eorum improbitas excedit, inſtituatur diſſolutio.

Ἆρ᾽ οὖν οὕτω πρὸς αὐτὸν διακεῖσθαι δεῖ τὸν σπουδαῖον, ὥσπερ εἰ μηδέποτε γέγονε φίλος, ἢ δεῖ μνείαν ἔχειν τῆς γενομένης συνηθείας, καὶ καθάπερ φίλοις μᾶλλον, ἢ ὀθνείοις οἰόμεθα δεῖν χαρίζεσθαι, οὕτω καὶ τοῖς ποτὲ γενομένοις φίλοις πλέον δεῖ νέμειν, ἢ οἷς οὐδέποτε ἐχρησάμεθα· δοκεῖ τοίνυν ὀφείλεσθαί τι αὐτοῖς, διὰ τὴν προγενομένην φιλίαν, ἐὰν μὴ δι᾽ ὑπερβολὴν μοχθηρίας ἡ διάλυσις γένηται.

CAP. V. — ΚΕΦ. ϛ.

De officiis amicorum, & amicum eodem modo erga ſe & amicum, improbum autem neq; erga ſe neque amicum eſſe animo amico.

Περὶ φιλικῶν ἔργων, καὶ ὅτι φίλος ὁμοίως εἰς ἑαυτόν τε καὶ τὸν φίλον· φαῦλος δὲ οὔτε εἰς ἑαυτόν πως, οὔτ᾽ εἰς ἄλλον φιλικῶς διάκειται.

Cap.4. Τὰ φιλικὰ δὲ πρὸς τοὺς, &c. Atque ita quidem commode diſſolventur amicitiæ. Reſtant tamen & alia nonnulla, quæ de amicitia nobis ſunt dicenda. Officia autem amicitiæ, & in quibus conſiſtit illa, tanquam normam aliquam & prin-

Καὶ οὕτω μὲν γίνοιντο ἂν ἐπιεικῶς αἱ τῶν φιλιῶν διαλύσεις. Ἔτι δὲ περὶ αὐτῆς τῆς φιλίας λέγωμεν. Τὰ τοίνυν φιλικὰ καὶ ἐν οἷς ἡ φιλία συνίσταται δοκοῦσιν ὥσπερ κανόνα τινὰ ἔχειν καὶ ἀρχὴν

τὰ παρ᾽ ἑκάστου ἑαυτῷ ὀφειλόμενα. Ταῦτα γὰρ ζητοῦσι παρ᾽ ἀλλήλων οἱ φίλοι, ἃ παρ᾽ ἑαυτῷ.

Καὶ διὰ τοῦτο φίλον ὁρίζονται ἐκεῖνον εἶναι, τὸν βουλόμενον τὰ ἀγαθὰ τῷ φίλῳ καὶ πράττοντα ἐκείνου ἕνεκα, ἢ τὸν βουλόμενον εἶναι καὶ ζῆν τὸν φίλον αὐτοῦ χάριν, ὅπερ αἱ μητέρες πρὸς τὰ τέκνα πεπόνθασι. Βούλονται γὰρ τὰ τέκνα ζῆν καὶ εὖ πράττειν αὐτῶν ἕνεκα τῶν τέκνων, ἐπεὶ καὶ μὴ φιλούμεναι πολλάκις ὑπὸ τῶν τέκνων, ἢ μηδὲ γινωσκόμεναι, τὰ ἀγαθὰ καὶ τὴν εὐδαιμονίαν αὐτοῖς συνεύχονται. Τοῦτο δὲ πάσχουσι καὶ τῶν φίλων οἱ προσκεκρουκότες μὲν καὶ παροφθέντες, μένοντες δὲ αὐτοὶ ἐν τῷ φιλεῖν· βούλονται γὰρ τοῖς φίλοις πάντα τὰ ἀγαθά, μηδὲν ἐλπίζοντες κοινωνήσειν αὐτοί, ἀλλὰ αὐτῶν ἕνεκα· ἔτι δὲ φίλον ὁρίζονται εἶναι καὶ τὸν συναλγοῦντα καὶ συγχαίροντα τῷ φίλῳ· ὅπερ καὶ αὐτὸ μάλιστα περὶ τὰς μητέρας συμβαίνει. Ἀπὸ τούτων δὲ καὶ ὁ τῆς φιλίας ὁρισμὸς ἀπὸ τοῦ ὁρισμοῦ τῶν ἐχόντων· καὶ ὁ ὁρισμὸς τοῦ σώφρονος τὸν τῆς σωφροσύνης ὁρισμὸν παρέχει. Οὗτοι μὲν οὖν οἱ τῆς φιλίας καὶ τῶν φίλων ὁρισμοί. Ἐλήφθησαν δὲ ἀπὸ τῶν ὀφειλομένων παρ᾽ ἑκάστου πρὸς ἑαυτόν, καθὼς εἴρηται.

Καὶ γὰρ ὁ ἐπιεικὴς ταῦτα πάντα πρὸς ἑαυτόν ἐστιν, ὅπερ ὁ ἀληθὴς φίλος πρὸς

cipium, ea quæ quiſque noſtrum debet ſibi, habere videntur. Ea enim quiſque ab amicis petit, quæ à ſe ipſo. Ariſtot. l. 9. c. 4.

Ideoq; amicum definiunt eſſe eum, qui bona omnia amico contingere cupiat, ipſeq; ea in amicum conſerat, quæ bona eſſe judicat, idque illius cauſa. Aut qui ſupereſſe & vivere amicum cupiat ipſius cauſa: quemadmodum ergo liberos afficiuntur matres. Nam & ſupereſſe & felices eſſe optant eos, idq; eorum cauſa. Si quidem frequenter, licet non amentur aut ne à liberis cognoſcantur quidem, bona tamen omnia illis & felicitatem optant. Quod in amicis quoque illis fieri videmus, inter quos quædam interceſſerunt offenſiunculæ, aut qui ab aliis neglecti fuerunt: cum ipſi propterea amare non deſinant. Omnia enim bona optant amicis, cum eorum nullam ipſi partem exſpectent, ſed eorum cauſa tantum. Sicut & amicum definiunt, qui iiſdem cum amico aut delectetur aut doleat. Quod ipſum quoq; maxime in matribus videmus. Unde & definitionem amicitiæ, ab eorum nimirum qui ea præditi ſunt definitione, deſumunt. Sicut temperantis definitio, temperantiæ ipſius definitionem præbet. Atque hæc quidem amicitiæ atque amicorum definitiones ſunt. Quæ quidem ab iis quæ quiſque ſibi debet, deſumptæ, ſicut diximus, & mutuatæ ſunt.

Τιθέασι γὰρ φίλον τὸν βουλόμενον, &c.

Quicquid enim verus amicus eſt amico, vir bonus eſt ſibi: maximeque is amicus eſt ſibi, qui

Πρὸς ἑαυτὸν δὲ τούτων ἕκαστον, &c.

Ariſtot. l. 9 c. 4.

qui vir bonus eſt, aut talem eſſe ſe arbitratur. Quod ſi non omnes, & exempli gratia, improbi, ea quibus conſtat amicitia tribuunt ſibi, nihilo tamen minus procedit quod dicimus. Etenim quæ boni & honeſti faciunt viri, hæc ſunt quæ in hominibus & in communi maxime excellunt natura. Etenim vir bonus, atque ipſa virtus, humanorum tum affectuum tum actionum quaſi menſura eſt. Quæ vero improbus ſpectat, ne ad communem quidem referuntur naturam. His enim de rebus non ab iis qui ægri ſunt, ſed qui ſunt ſani, deſumemus ſententiam. Virum autem bonum, omnia quæ in amicitia requiruntur ſibi tribuere, planum eſt. Ille enim & conſentit ſecum, eademque petit: ſive rationalem, ſive eam, quæ ratione deſtituitur animæ videas partem. Neq; quemadmodum qui judicio deſtituuntur, contrarium quærit: aut partes in eo quæ affectibus ſunt deſtinatæ, pugnant cum iis in quibus eſt ratio. Sed & quæ bona ſunt optat ſibi vir bonus: bona dico, tum proprie ita dicta, quæ ad virtutem ducunt: tum quæ bona videntur, & virtuti quaſi aliquod adferunt ſubſidium. Quin & ſui ipſius causa bona optat ſibi. Quod non facit improbus, qui non ſui ipſius cauſa optat illa. Ea quippe pars in qua vis mentis eſt, humanã conſtituere naturam putatur: cujus cauſa omnia facit vir bonus, bonaq; quærit omnia: ſicut contra nihil improbus. Neq; enim contemplationem ſi-

τὸν φίλον. Καὶ ὁ φίλος ἑαυτῷ μάλιστα ὁ ἐπιεικής ἐστι, καὶ ὃς οἴεται ἐπιεικὴς εἶναι. Εἰ δὲ μὴ πάντες, καὶ οἱ φαῦλοι τὰ φιλικὰ ἀπονέμουσιν ἑαυτοῖς, οὐδὲν προσίσταται τῷ λόγῳ. Καὶ γὰρ ἃ οἱ σπουδαῖοι καὶ ἐπιεικεῖς ποιοῦσι, ταῦτά εἰσι τὰ διαφέροντα τοῖς ἀνθρώποις, καὶ τῇ κοινῇ φύσει· καὶ γὰρ μέτρον ἐστὶν ἡ ἀρετὴ καὶ ὁ σπουδαῖος τῶν ἀνθρωπίνων παθῶν, καὶ τῶν πράξεων. Ἃ δὲ ὁ φαῦλος ζητεῖ, οὐκ εἰς τὴν κοινὴν ἀνάγεται φύσιν. Τὴν γὰρ περὶ ταῦτα ψῆφον οὐκ ἀπὸ τῶν νοσούντων; ἀλλ' ἀπὸ τῶν ὑγιαινόντων ληψόμεθα. Ὅτι δὲ ὁ ἐπιεικὴς τὰ φιλικὰ ἑαυτῷ πάντα ἀπονέμει, δῆλον. Οὗτος γὰρ ὁμογνωμονεῖ ἑαυτῷ, καὶ τῶν αὐτῶν ὀρέγεται, κατά τε λογικὴν ψυχὴν, καὶ κατὰ τὴν ἄλογον. Καὶ οὐ καθάπερ ὁ ἀ- κρατὴς τἀναντία ζητεῖ, καὶ τὸ παθητικὸν αὐτῷ τῷ λογιστικῷ πολεμεῖ. Καὶ βούλεται δὴ ὁ σπουδαῖος τὰ ἀγαθὰ ἑαυτῷ, τά τε κυρίως ἀγαθὰ, ὅσα εἰς ἀρετὴν φέρει, καὶ τὰ φαινόμενα ἀγαθὰ, καὶ αὐτῇ τῇ ἀρετῇ βοηθοῦντα, καὶ βούλεται ἑαυτῷ ἀγαθὰ ἑαυτοῦ ἕνεκα. Ὁ γὰρ φαῦλος οὐχ ἑαυτοῦ ἕνεκα. Τὸ γὰρ διανοητικόν ἐστι τὸ ἀνθρώπινον εἶναι, οὗ ἕνεκα ὁ μὲν σπουδαῖος πάντα ποιεῖ, καὶ τὰ ἀγαθὰ πάντα ζητεῖ, ὁ δὲ φαῦλος, οὐδέν. Οὐ γὰρ τὴν θεωρίαν ὁ φαῦλος ἔ-

χει

χει τέλος τῆς ἑαυτοῦ πράξεων, ἀλλὰ τὴν ἡδονὴν τὴν φαύλην· ὅθεν οὐ βούλεται τὰ ἀγαθὰ ἑαυτῷ ἑαυτοῦ ἕνεκα· ἔτι δὲ καὶ ζῆν βούλεται ἑαυτὸν ὁ σπουδαῖος καὶ σώζεσθαι, καὶ μάλιστα κατὰ τὸ διανοητικὸν, καὶ πάντα πράττει, ἃ οἴεται ἀγαθὰ εἶναι ἑαυτῷ, καὶ ἃ πρὸς τὸ ζῆν φέρει καὶ τὸ σώζεσθαι. Τῶν δὲ ἄλλων οἱ μὲν μὴ πάνυ ἐκτετραμμένοι τοῦ ὀρθοῦ, ἀλλ' οὕτως ἔχοντες, ὥστε δύνασθαι οἴεσθαι ἐπιεικεῖς εἶναι, τὰ δοκοῦντα ἀγαθὰ καὶ αὐτοὶ ζητοῦσι. καὶ βούλονται ἑαυτοῖς καὶ ζῆν καὶ σώζεσθαι. Οὕτω δὲ ἔχουσιν, ὅτι τρόπον τινὰ ἐοίκασι τοῖς σπουδαίοις. Οἱ δὲ σφόδρα φαῦλοι καὶ ἀνόσιοι οὐδὲν τούτων ἔχουσιν· οὔτε γὰρ τὰ δοκοῦντα ἀγαθὰ διώκουσιν, ἀλλὰ ἄλλα μὲν βούλονται, ἑτέρων δὲ ἐπιθυμοῦσιν, οἷοί εἰσιν οἱ ἐγκρατεῖς, καὶ οἱ διὰ δειλίαν καὶ ἀργείαν ἀφίστανται τοῦ πράττειν, ἃ οἴονται ἑαυτοῖς βέλτιστα εἶναι. Οὔτε τοίνυν τὰ δοκοῦντα ἀγαθὰ διώκουσιν, οὔτε βούλονται ἑαυτοῖς τὸ ζῆν καὶ σώζεσθαι. Ἔνιοι γὰρ τοι πολλὰ καὶ δεινὰ πράξαι μισηθέντες διὰ μοχθηρίας ὑπερβολὴν, φεύγουσι τὸ ζῆν, καὶ ἀναιροῦσιν ἑαυτούς. Ὁ δὲ σπουδαῖος βούλεται ἑαυτῷ ζῆν. Ἀγαθὸν γὰρ τῷ σπουδαίῳ τὸ εἶναι. Τὴν γὰρ θεωρητικὴν διώκει ζωήν. Ἐν γὰρ τῷ νοεῖν ἡ ἑκάστου οὐσία συνίσταται, ἢ ἐν τούτῳ

nem ſuarum actionum ponit improbus, ſed improbam contra voluptatem. Quo fit, ut nulla ſibi bona, ſui optet cauſa. Vitam vult etiam diuturnam, & ſe ſalvum atq; incolumen eſſe vir bonus, eaq; ſui potiſſimum parte, in qua vis eſt mentis. Sed & omnia agit, quæ conducere ſibi exiſtimat, & ad vitam atq; incolumitatem ſuam ſpectare videntur. Ex aliis autem ii qui non plane à bono ſunt averſi, ſed qui ita ſe gerunt, ut videri poſſint viri boni eſſe, ea quæ videntur bona, ipſi quoq; quærunt, tum vitam atq; incolumitatem optant ſibi. Id autē faciunt, quia quodammodo bonis adhuc viris ſunt ſimiles. Qui vero improbi omnino ſunt & ſceleſti, nihil tale habent. Nam neque illa quæ videntur bona ſequuntur: ſed alia quidem volunt, alia vero concupiſcunt. Quales ſunt continentes, aut qui vel timiditate ab actione eorum abſtinent, quæ ſibi optima eſſe putant vel ignavia. Quare nè ea quidem ſequuntur, quæ bona eſſe judicant: ſed neque vitam ſibi, aut incolumitatem cupiunt contingere. Multos enim qui quamplurima & quidem ſceleſta egerunt, poſtquam propter ſummam ſcelerum ſuorum vim, alienum in ſe concitarunt odium, vitæ ſuæ piget, mortemque ſibi conſciſcunt. Contra vero vir bonus, vitam ſibi cupit contingere: bonum enim viro bono eſt, eſſę. Contemplativam enim ſequitur vitam. In mente autem & cogitatione omnium natura conſiſtit: aut certe in ea maxime.

Ariſtot. 1 9. c. 4.

Ariſtot. l.9.c.4 maxime. Qui vero partem illam in ſe quæ ratione caret, & vivere vult & incolumem eſſe, ſibique bona vult contingere, quatenus naturam ſuam, & proprie, hoc quod eſt mutavit, non amplius ſibi vult bona, ſed illi quod eſſe cœpit. Neque quiſquam eſt qui non ſibi bona vult contingere, quam diu ſe manere exiſtimat id quod eſt. Quod ſi alium ſe eſſe factum videat, nunquam optabit ut omnia bona contingant illi, quod eſt factus. Nihil enim differt, utrum alii velit bona contingere, poſtquam jam mutavit, an ſibi. Nemo enim contentus eſt, ſi alii eveniant bona. Deo enim, exempli gratia, bona adſunt omnia: eſtque tamen ille quicquid eſt tandem. Ideoque eo nos contenti non ſumus: quo minus nobis ipſis aut amicis, qui quaſi pars noſtri ſunt, bona optemus. Sed & ſecum ipſe ſolus degere ætatem vult vir bonus, quia ſe ipſo eſt contentus, ſibique eſt acceptus. Partim enim eorum quæ egit ſecum ipſe delectatur memoria, partim etiam bona ſe acturum ſperat, & quæ bona ſunt inventurum eſſe. Sed & plurimas præclaras mente cogitationes concipit. Quæ quidem omnia ut ipſe ſit acceptus ſibi efficiunt: libenterque ſolus ipſe ſecum otioſe verſatur.

Contra vero alios cum quibus verſentur quærunt improbi, ſeq; ipſi vitant. Multa enim ac moleſta iis in mentem, cum ſoli ſunt, venire ſolent: ſed & multa ſperant ejuſmodi, quorum ſi

μάλιστα. Ὃς δὲ τῷ ἀλόγῳ βούλεται τὸ εἶναι καὶ σώζεσθαι, καὶ ἑαυτῷ βούλεται τὰ ἀγαθὰ τῷ οἰκείῳ εἶναι παρατραπέντι, οὐχ ἑαυτῷ βούλεται τὰ ἀγαθὰ, ἀλλ' ἐκείνῳ, εἰς ὃ μετεβλήθη, καὶ ἕκαστος δὲ ἑαυτῷ βούλεται γίνεσθαι τὰ ἀγαθὰ, οἰόμενος μένων ὅπερ ἐστίν. Εἰ δὲ συνίδοι ἑαυτὸν ἄλλον γινόμενον, οὐκ ἂν ἕλοιτο πάντα τὰ ἀγαθὰ ἔχειν ἐκεῖνο τὸ γινόμενον. Οὐδὲν γὰρ διαφέρει ἄλλῳ τινὰ βούλεσθαι τὰ ἀγαθὰ, ἢ ἑαυτῷ μεταβληθέντι. Οὐδεὶς δὲ ἀγαπᾷ, ἐὰν ἄλλῳ τινὶ γένηται τὰ ἀγαθά. Καὶ γὰρ τῷ Θεῷ πάντα πρόσεστι τὰ ἀγαθὰ, ἀλλ' ἔστιν αὐτὸς ὅ, τι ποτὲ ἐστι. Διὰ τοῦτο οὐκ ἀγαπῶμεν, ἀλλ' ἡμῖν αὐτοῖς, ἢ τοῖς φίλοις, συνδεχόμεθα τὰ ἀγαθὰ, ὅτι ἡμῶν τι εἰσι καὶ οἱ φίλοι. Καὶ μὴν καὶ συνδιάγειν ἑαυτῷ μόνος ὁ σπουδαῖος βούλεται, ὅτι αὐτάρκης ἐστὶ, καὶ ἡδύς ἐστιν ἑαυτῷ. Ἡδεῖαι γὰρ ὧντε ἔπραξε μεμνημένος ἐφ' ἑαυτοῦ, καὶ ἐλπίζων ἔτι ποιήσειν ἀγαθὰ καὶ ἀγαθοῖς ἐντεύξεσθαι, καὶ γυναίων εὐπορεῖ· θεωρημάτων τῇ διανοίᾳ. Ταῦτα δὲ πάντα ἥδιστον αὐτὸν ἑαυτῷ ποιεῖ, καὶ ἥδεται κατὰ σχολὴν αὐτὸς ἑαυτῷ συνὼν καὶ συνδιάγων.

Οἱ δὲ μοχθηροὶ ζητοῦσι μεθ' ὧν συνημερεύσουσιν, ἑαυτοὺς δὲ φεύγουσιν. Ἀναμιμνήσκονται γὰρ καθ' ἑαυτοὺς ὄντες πολλῶν καὶ δυσχερῶν, καὶ τοιαῦτα ἕτερα ἐλπίζουσι, [illegible]

μεθ᾽ ἑτέρων ὄντες ἐπιλανθάνονται. Ἔτι δὲ συναλγεῖ καὶ συνήδεται ἑαυτῷ μάλιστα ὁ σπουδαῖος, ὅτι τὰ αὐτὰ βούλεται καὶ τῶν αὐτῶν ἐπιθυμεῖ, καὶ οὐ μάχεται τὸ λογικὸν τῷ παθητικῷ· καὶ διὰ τοῦτο τὸ αὐτὸ ἀεὶ λυπηρόν ἐστιν αὐτῷ, καὶ τὸ αὐτὸ ἡδύ. Ἀμετάβολος γάρ, ὡς εἰπεῖν· οἱ δὲ μοχθηροὶ οὐκ ἔτι. Οὐδὲν γὰρ φιλητὸν ἔχοντες, οὐδὲν φιλικὸν πάσχουσι πρὸς ἑαυτούς· διὰ τοῦτο οὐδὲ συγχαίρουσιν ἑαυτοῖς, οὐδὲ συναλγοῦσι. Στασιάζει γὰρ αὐτῶν ἡ ψυχή, καὶ πολεμεῖ τῷ λογικῷ τὸ ἄλογον. Καὶ τὸ μὲν ἄλογον ἀλγεῖ τῶν μοχθηρῶν ἀπεχόμενον, τηνικαῦτα δὲ οὐ συναλγεῖ τὸ λογικόν, ἀλλὰ χαίρει. Καὶ τὸ ἀνάπαλιν· καὶ ὅλως τὸ μὲν δεῦρο τὸ δὲ ἐκεῖσε ἕλκει, καθάπερ διασπῶντα. Εἰ δὲ μὴ οἷόν τε κατὰ ταυτὸν καὶ λυπεῖσθαι καὶ ἥδεσθαι, ἀλλὰ μετὰ μικρόν γε λυπεῖται, ὅτι πρότερον ἥδετο· οὐ γὰρ ἐβούλετο τὴν τοιαύτην αὐτῷ γενέσθαι ἡδονήν. Μεταμελείας γὰρ οἱ φαῦλοι γέμουσι. Φαίνεται τοίνυν ὅτι οὐδὲ πρὸς ἑαυτὸν φιλικός ἐστιν ὁ μοχθηρός, ὅτι οὐδὲν φιλητὸν ἔχει.

Εἰ δὲ τὸ οὕτως ἔχειν λίαν ἐστὶν ἄθλιον, φευκτέον τὴν μοχθηρίαν πάσῃ σπουδῇ, καὶ πειρατέον ἐπιεικῆ καὶ σπουδαῖον ἕκαστον εἶναι. Οὕτω γὰρ ἂν καὶ πρὸς ἑαυτὸν φιλικῶς ἔχοι, καὶ ἑτέρων γένοιτο φίλος.

cum aliis verſentur, obliviſci ſolent. Rurſus vero dolet gaudetque ſecum ipſe quam maxime vir bonus. Quia vult eadem, eademq; concupiſcit ſemper, neq; pars in eo quæ ratione prædita eſt, cum ea pugnat quæ ratione caret: ideoq; idem illi moleſtum ac jucundum eſt ſemper. Nunquam enim propemodum mutatur. Quod de improbis dici non poteſt. Cum enim nihil quod amore dignum ſit habeant, nullo modo ut amici erga ſe ipſi affecti eſſe poſſunt. Quare neq; gaudere ſecum ipſi neq; dolere poſſunt. Semper enim quaſi ſeditionibus eorum agitatur animus, pugnatq; id quod ratione caret, cum eo quod ratione eſt præditum. Quod enim ratione in iis deſtituitur, dolet cum ab improbis abſtinendum eſt: ſicut tum non dolet una ſed gaudet, quod ratione eſt præditũ & contra. Alterum deniq; huc, alterum illuc, & quaſi in diverſas partes animum divellit. Licet enim fieri non poſſit ut doleat ſimul ac gaudeat eodem aliquis tempore, nihilominus tamen paulo poſt dolet, quia gaudebat prius: illamq; ſibi eveniſſe nollet voluptatem. Pœnitentia enim abundant improbi. Unde apparet, nullo modo amice erga ſe affectum eſſe poſſe improbũ, quia nihil quod amari poſſit habet.

Ariſtor. l.9.c.4.

Quod ſi ita affectum eſſe admodum eſt miſerum, omni fugienda ratione eſt improbitas, imprimiſque ut probi ſint ac honeſti ſingulis videndum eſt. Ita enim & amice erga ſe affectus erit quiſque, & amicus erit aliorum.

Εἰ δὲ τὸ οὕτως ἔχειν, &c.

Ariſtot. l. 9. c. 5. Τῷ δὲ πρὸς αὐτόν, &c.

Quoniam ergo ea quæ ſibi vir bonus tribuit, ea quoq; tribuenda ſunt amico: (erga amicum n. quemadmodum erga ſe affectus eſſe debet quilibet: alter n. ipſe, eſt amicus) ſequitur ea quæ ſibi vult fieri & tribuit vir bonus, amicitiæ eſſe officia, & in his amicitiam conſiſtere.

Περὶ αὐτὸν δὲ πότερον, &c.

Quærere autem utrum hæc ſit amicitia, qua ſinguli ſe ipſos diligunt, an ſecus, hoc prætermittatur loco. Duorum enim aut trium, quemadmodum ex ſuperioribus apparet, eſt amicitia. Quod ſi quis hoc quoq; quo ſe ipſe aliquis diligit, vocare amicitiam velit, amicitia quidem erit eatenus, quatenus à ſe ipſe differt, parſq; ea quam affectus tenent, cum altera ea conciliatur, quæ ratione eſt prædita. Præterea quia omnis quæ excellit, maxime illi, qua quiſq; ſe ipſe diligit, ſimilis eſt amicitia, etiam illa vocari amicitia poterit.

Ἐπεὶ τοίνυν, ἅπερ ὁ ἐπιεικὴς ἑαυτῷ ἀπονέμει, ταῦτα δεῖ καὶ τῷ φίλῳ ἀπονέμειν· δεῖ γὰρ πρὸς τὸν φίλον ἔχειν ὥσπερ πρὸς ἑαυτόν. Ὁ γὰρ φίλος ἄλλος αὐτός· φανερὸν, ὅτι ἅπερ ὁ ἐπιεικὴς ἑαυτῷ βούλεται καὶ ἀπονέμει, ταῦτά εἰσι τὰ φιλικὰ, καὶ ἐν τούτοις ἡ φιλία συνίσταται.

Τὸ δὲ ζητεῖν πότερον φιλία ἐστὶν ἡ πρὸς ἑαυτὸν ἑκάστου ἀγάπη, ἢ μὴ, ἀφείσθω ἐπὶ τοῦ παρόντος. Ἡ γὰρ φιλία δύο, ἢ τριῶν, ὡς δῆλον ἐκ τῶν εἰρημένων. Καὶ εἴ τις καὶ τὰ πρὸς ἑαυτὸν φιλίαν καλεῖ, εἴη ἂν φιλία, καθόσον ἐστὶν αὐτὸς πρὸς ἑαυτὸν διαφέρων, καὶ τῷ λογιστικῷ τὸ παθητικὸν συνδέεται. Καὶ διότι δὲ ἡ ὑπερβολὴ τῆς φιλίας ἔοικε τῇ ἑκάστου πρὸς ἑαυτὸν ἀγάπῃ, καὶ αὐτὴ καλοῖτο ἂν φιλία.

CAP. VI.

De benevolentia.

Cap 5. Ἡ δὲ εὔνοια, &c.

Eſt autem ſimilis quidem amicitiæ benevolentia, nondum amicitia tamen. Sæpe enim benevolentia eos complectimur, quibus nondũ amici ſumus. Sed & ignotum ſæpe benevolentia amplectimur, quæ tamen eum cui bene volumus latet. Quod cõvenire amicitiæ nõ poteſt, quemadmodum pluribus ante diximus.

Ἀλλ' οὐδὲ φίλησις ἐστιν, &c.

Quare nec amicitia eſt benevolentia, neq; dilectio videtur eſſe. Dilectio enim impetu quodam &

ΚΕΦ. ϛ΄.

Περὶ εὐνοίας.

Ἡ δὲ εὔνοια φιλίᾳ μὲν ἔοικεν, οὐ μήν ἐστί γε φιλία. Καὶ γὰρ εὐνοοῦμεν καὶ οἷς οὐκ ἐσμὲν φίλοι· καὶ γίνεται εὔνοια καὶ πρὸς ἀγνῶτα, καὶ λανθάνουσα τὸν φιλούμενον. Φιλία δὲ οὐκ ἔτι, καθὼς καὶ πρότερον διὰ πλειόνων εἴρηται.

Οὔτε τοίνυν φιλία ἐστὶν ἡ εὔνοια, καὶ οὐδὲ φίλησις ἔοικεν εἶναι. Καὶ γὰρ ἡ μὲν φίλησις ὁρμήν τινα καὶ κίνησιν

κίνησιν εἰς τὸ φιλούμενον ἔχει, καὶ ὄρεξιν αὐτοῦ, καὶ ζητεῖ ὁ φιλῶν ἀεὶ τὸ φιλούμενον. Ἡ δὲ εὔνοια οὐ τοιαύτη. Οἱ γὰρ εὖνοι βούλονται μὲν τὰ ἀγαθὰ οἷς εἰσὶν εὖνοι· συνεῖναι δὲ οὐ πάνυ ζητοῦσιν. Ἔτι δὲ ἡ μὲν φίλησις μετὰ συνηθείας, χρόνῳ γάρ τινι καὶ συνηθείᾳ ἡ φίλησις γίνεται. Ἡ δὲ εὔνοια ἀθρόον, ὡς εἰπεῖν, οἷς ἐπιγίνεται, συμβαίνει· καθάπερ οἱ θεώμενοι πρὸς τοὺς ἀγωνιζομένους διατίθενται. Εὖνοι γὰρ γίνονται πρὸς αὐτοὺς εὐθὺς νικῶντας ὁρῶντες, καὶ συνθέλουσιν αὐτοῖς τὰ ἀγαθά· συμπράξαιεν δ' ἂν οὐδέν. Οὐ γὰρ φίλησιν ἔχουσιν εἰς αὐτούς, χρόνῳ τινὶ καὶ συνηθείᾳ στέρξαντες· ἀλλ' ἅμα τε εἶδον καὶ ἥσθησαν αὐτοῖς· καὶ διὰ τοῦτο ἐπιπολαίως στέργουσιν, ὅπερ ἐστὶν ἡ εὔνοια.

Φαίνεται τοίνυν ἀρχὴ φιλίας ἡ εὔνοια εἶναι, καθάπερ τοῦ ἐρᾶν ἀρχὴ γίνεται ἡ διὰ τῆς ὄψεως ἡδονή· καὶ ὥσπερ οὐ δυνατὸν ἐρᾶν μὴ πρότερον ἡσθέντα τῷ εἴδει τοῦ ἐρωμένου, δυνατὸν δὲ ἡδόμενον μὴ ἐρᾶν· τότε γάρ τις ἐρᾷ ὅταν καὶ ἀπόντα ποθῇ καὶ τῆς παρουσίας ἐπιθυμῇ· οὕτω δὴ καὶ φίλους οὐχ οἷόν τε εἶναι, μὴ εὔνους γενομένους· εὔνους δὲ μὴ φίλους εἶναι δυνατόν. Οἱ γὰρ εὖνοι βούλονται μὲν τὰ ἀγαθὰ οἷς εἰσὶν εὖνοι, συμπράξαιεν δ' ἂν οὐδὲν οὐδ' ὀχληθεῖεν ὑπὲρ αὐτῶν. Διὰ τοῦτο με-

motu ad id quod diligit pertrahitur, & appetitu quodam fertur, ſemperq; qui ita amat, illud quærit quod amat. Talis autem non eſt benevolentia. Benevoli enim bona iis cupiunt contingere quibus ſunt benevoli: verſari autem cum iis non admodum deſiderant. Eſt præterea cum conſuetudine quadam conjuncta dilectio. Tempore enim paulatim creſcit ac conſuetudine benevolentia. Simul vero & ſubito in quibus eſt ſuboritur benevolentia. Quemadmodum ſpectatores erga eos qui certant afficiuntur. Continuo enim benevolentia eos proſequuntur, quos vincere vident: omniaq; iis bona cupiunt contingere: neq; propterea tamen auxilium iis ferunt. Non enim diligunt eos, neq; tempore aut conſuetudine crevit hic affectus: ſed ſimul ac viderunt eos, delectari iis cœperunt. Ideoque leviter tantum, & quaſi ſuperficie tenus amãt: quod eſt benevolẽtiæ. Ariſtot. l.9.c.5.

Principium ergo amicitiæ videtur eſſe benevolentia, quemadmodmodum amoris ea quæ videndo concipitur voluptas. Et quemadmodum nemo amare poteſt, quem non primo delectaverit illius quem amat facies, poteſtq; tamen fieri ut delectetur aliquis & non amet tamen (quia tum demum amat aliquis, cum abſentem etiam diligit, ejuſque præſentiam deſiderat) ita fieri non poteſt, ut amici ſint qui non prius fuerint benevoli. Fieri tamen poteſt, ut qui benevoli ſunt, non ſint amici. Benevoli enim bona iis cupiunt contingere, quibus ſunt benevoli: neq; unquam Ἔοικε δ' ἀρχὴ φιλίας εἶναι, &c.

Ariſtot. l.9.c.6.

tamen eos opera juvabunt, aut aliquam eorum cauſa moleſtiam ſubibunt. Quare tranſlate aliquis eā otioſam vocare amicitiā poſſet. Si enim tempus accedat & conſuetudo, fieri amicitiā ſolet.

Ὁ τὴν διὰ τὸ χρήσιμον, &c.

Amicitia dico, non quæ utilitatis aut voluptatis, ſed quæ honeſtatis cauſa inſtituitur. Benevolus enim aliquis fit alicui virtutis cauſa aut probitatis: quoties aut fortis ei videtur eſſe, aut ſimili aliquo prædictus bono. Qui vero aut voluptatis aut utilitatis cauſa bene de aliquo vult mereri, non illi eſt benevolus, ſed ſibi: ſicut neq; amicus eſt, qui eſt talis. Quemadmodum nec ille qui, quia beneficium ab aliquo accepit, bene illi vult à quo accepit, benevolus dici poteſt proprie, ſed juſtus potius. Nam qui viciſſim illi à quo beneficium accepit gratificatur pro iis quæ accepit, non virtute illius, ſed ſuo gaudere bono videtur.

Quare nec amicitia nec dilectio, ſed amicitiæ principium eſt benevolentia. Si autem tempus ac conſuetudo, reliquaque quæ ad amicitiam requiri ſolent, accedant, fiet amicitia: & ea quidem, quam honeſti virtutiſque cauſa dicimus inſtitui.

ταφορικῶς τις καλέσειεν ἂν αὐτὴν ἀργὴν φιλίαν· χρονιζομένη γὰρ, καὶ εἰς συνήθειαν ἀφικνουμένη, φιλία γίνεται.

Φιλία δ᾽ οὐχ ἡ διὰ τὸ χρήσιμον, ἢ τὸ ἡδὺ, ἀλλὰ τοῦ ἀγαθοῦ ἕνεκα. Εὔνους γάρ τις τινὶ γίνεται δι᾽ ἀρετὴν καὶ ἐπιείκειαν, ὅταν αὐτῷ καλὸς εἶναι δόξῃ, ἢ ἀνδρεῖος, ἤ τι τοιοῦτον. Ὁ δὲ διὰ τὸ ἡδὺ, καὶ χρήσιμον βουλόμενός τινα εὐπραγεῖν, οὐκ ἐκείνῳ ἐστὶν εὔνους, ἀλλ᾽ ἑαυτῷ, καθάπερ οὐδὲ φίλος ἐστὶν ὁ τοιοῦτος. Ὁμοίως δ᾽ οὐδ᾽ διότι ἔλαβε βουλόμενος τῷ εὐεργέτῃ τἀγαθὰ, εὔνους ἂν εἴη κυρίως, ἀλλὰ τὰ δίκαια δρῶν, καὶ ἀποδιδοὺς τῷ εὐεργέτῃ τὴν χάριν ὧν εὖ πέπονθεν αὐτὸς, οὐ τῇ ἐκείνου ἀρετῇ, ἀλλὰ τῷ ἑαυτοῦ ἀγαθῷ φαίνεται χαίρων.

Ἔστι τοίνυν ἡ εὔνοια οὔτε φιλία, οὔτε φίλησις, ἀλλὰ φιλίας ἀρχὴ, χρόνον δὲ καὶ συνήθειαν, καὶ τἄλλα φιλικὰ προσλαβοῦσα, φιλία γίνεται ἡ διὰ τὸ ἀγαθὸν καὶ τὴν ἀρετήν.

CAP. VII.

De concordia.

Cap.6. Φιλικὸν καὶ ἡ ὁμόνοια, &c.

Videtur ad amicitiam referri quoq; poſſe concordia: quæ amicitiam ſequitur quoque. Eſt autem concordia, non ut aliquis idem ſentiat, quaſi opinio-

ΚΕΦ. ζ'.

Περὶ ὁμονοίας.

Ἡ δὲ ὁμόνοια φιλικόν τι καὶ αὐτή ἐστι, καὶ τῇ φιλίᾳ ἀκολουθεῖ. Ἔστι δ᾽ ὁμόνοια οὐ τὸ τὰ αὐτὰ δοξάζειν, ὅπερ ὁμοδοξία τις

H

Ἡ μὲν γὰρ ὁμοδοξία γένοιτο ἂν καὶ τοῖς ἀγνοοῦσιν ἀλλήλους. Οὐδὲν γὰρ κωλύει περὶ τῶν αὐτῶν τὰ αὐτὰ δοξάζειν, καὶ ἐπιστήμην ἔχειν τῶν αὐτῶν τὴν αὐτὴν μηδὲ εἰδότας ἀλλήλους.

Ἡ δὲ ὁμόνοια τῶν ἐν κοινωνίᾳ τινὶ καὶ φιλίᾳ ὄντων ἐστί.

Καὶ γὰρ τὰς πόλεις ὁμονοεῖν φασίν, ὅταν περὶ τῶν συμφερόντων ὁμογνωμονῶσι, καὶ τὰ αὐτὰ καὶ πράττωσι τὰ κοινῇ δόξαντα.

Ἔστι τοίνυν ὁμόνοια τῶν φίλων ὁμογνωμοσύνη, οὐκ ἐν τοῖς θεωρητοῖς, ἀλλ' ἐν τοῖς πρακτοῖς, καὶ τούτων τοῖς ἀξιολόγοις, καὶ ἐν μεγέθει τινὶ οὖσι. Περὶ γὰρ τῶν ἐν τῷ βίῳ μικρῶν οὐ λέγονται ὁμονοεῖν ἀλλήλοις οὔτε πόλεις οὔτε φίλοι, οἷον οἴκοι μένειν, ἢ βαδίζειν εἰς ἀγοράν, ἢ τόδε εἰπεῖν, ἢ δρᾶσαι, δι' ὧν οὔτε ὠφέλειά τις μεγάλη, οὔτε βλάβη ἀκολουθεῖ. Περὶ τούτων γὰρ καὶ τῶν τοιούτων οὐ λέγονται ὁμόνοιαν ἔχειν. Ἀλλὰ τῶν μεγάλων, καὶ συμφερόντων ἢ τοῖς φίλοις ἀμφοῖν, ἢ τῇ πόλει κοινῇ· οἷον, ὅταν πάσῃ τῇ πόλει κοινῇ δοκῇ τοὺς ἄρχοντας μὴ κληρωτοὺς εἶναι διαδοχῇ τινὶ κτωμένους τὴν ἀρχήν, ἀλλὰ αἱρετούς, ἢ συμμαχεῖν Λακεδαιμονίοις, ἢ ἄλλο ὁτιοῦν, ὅπερ ἀξιόλογόν τι ἐστὶ καὶ τῇ πόλει πάσῃ διαφέρει. Καὶ τοὺς φίλους ὁμοίως ὁμονοεῖν λέγομεν, ὅταν τὸν αὐτὸν ἑλων-

num aliquis conſenſus. Cum inter eos etiam qui ſe mutuo ignorant, conſenſus eſſe poſſit talis; Nihil enim vetat, quo minus de iiſdem idem ſentiant, eandemq; eorundem habeant ſcientiam, licet ſe mutuo non norint. Ariſto. l. 9. c. 6.

Concordia vero in iis quæ ad vitæ communionem amicitiamq; ſpectant verſatur. Οὐδὲ τοὺς περὶ, &c.

Unde & civitates concordes eſſe dicimus, cum de iis quæ conducunt & è re ſua ſunt eandem habent ſententiã, eademq; agunt quoque quæ omnibus videntur. Ἀλλὰ τὰς πόλεις, &c.

Eſt ergo concordia amicorum communis ſententia, non in iis quæ ad contemplationẽ, ſed quæ ad actionem pertinent: idq; in iis qui magni alicujus ſunt momenti, & in magnitudine aliqua conſiſtunt. In parvis enim quibuſdam quæ ad vitam ſpectant noſtram, neq; urbem neq; amicos dicimus concordes eſſe. Ut, exempli gratia, utrum domi ſit manendum, an in forum abeundum, illudne dicendum ſit aut faciendum: quæ quidem neque utilitas quædam ſingularis neq; damnum excipit: unde in ejuſmodi neminem concordem eſſe dicimus. Sed in magnis, & quæ aut utriq; amicorum ſimul, aut civitati publice conducunt. Ut, exempli gratia, cum tota urbs ſentit, magiſtratus ſorte creandos non eſſe, nec ſuccedere debere, ſed eligendos eſſe, aut belli cum Lacedæmoniis ſocietatem ineundam eſſe. Aut aliud deniq; quid ſimile, quod alicujus eſt momenti, aut in quo Reip. vertitur ſalus. Eodemq; modo concordes quoq; amicos eſſe dicimus, quo- Οἷον αἱ πόλεις ὅταν πᾶσι δοκῇ, &c.

Ariſtot l.9.c.6

ties aut eandem eligunt vitam, vel quæ in vita ſunt maxima, aut ad utilitatem utriuſq; vel damnum faciunt, uterque ſimul vel ſequitur vel fugit. Neque enim idem ſentire tantum debent concordes, ſed ſimiliter quoque in toto. Ut, exempli gratia, ſi utrique videatur amicorum, ut dux vitæ alteri ſit alter, neque eundem tamen eſſe uterq; velit, ſed uterque ſe proponat: ibi enim idem quærunt quidem, non in eodem tamen, ſed uterq; ſibi: quod non eſt concordem eſſe. Sic & in urbium comitiis tum concordes dicuntur eſſe, cum eidem omnes magiſtratum deferunt, aut ſaltem optimum omnes, non ſe quiſque. Quemadmodum in Phæniſſis ſuis Euripides poeta fecit. Neque enim id quod omnibus placet eo modo fieri poteſt: quod concordia dici non poteſt, ſed cum omnes id quod petunt conſequuntur, tum demum ſunt concordes.

Πολιτικὴ δ᾽ φιλία, &c.

Quare civilis quædam amicitia eſt concordia: itaque appellatur. Nam in iis quæ ad actiones ſpectant & quæ conducunt, quæque ad vitam pertinent humanam, ſpectatur: quæ omnia civilis ſunt diſciplinæ.

Ἔστι δ᾽ ἡ τοιαύτη ὁμόνοια, &c.

Eſt autem inter honeſtos concordia: hi enim & ſecum & cum aliis conſentiunt, cum in iiſdem ſint, ut ita dicam. Horum enim permanent, neque quemadmodum Euripus refluunt voluntates. Nam & quæ juſta ſunt, & quæ utilia, volunt, & hæc communiter quidem.

Τοὺς δ᾽ φαύλους οὐχ οἷόν τε ὁμονοεῖν, &c.

Improbi vero concordes eſſe non poſſunt homines: niſi ad

τὸν βίον, καὶ τὰ μέγιστα τῶν ἐν τῷ βίῳ, καὶ ἀμφοῖν ἢ πρὸς βλάβην ἢ πρὸς ὠφέλειαν φέροντα ἀμφότεροι ὁμοίως ἢ φεύγουσιν, ἢ διώκουσιν. Οὐ γὰρ τὰ αὐτὰ δεῖ ζητεῖν μόνον τοὺς ὁμονοήσοντας ἀλλήλοις, ἀλλὰ καὶ ὁμοίως τοῖς ὅλοις· οἷον εἰ δοκεῖ τοῖς φίλοις ἀμφοῖν ἡγεμόνα βίου θατέρου τὸν ἕτερον γενέσθαι, βούλοιντο δ᾽ οὐ τὸν αὐτὸν, ἀλλ᾽ ἑκάτερος ἑαυτόν. Τηνικαῦτα γὰρ τὸ αὐτὸ μὲν ζητοῦσιν, ἀλλ᾽ οὐκ ἐν τῷ αὐτῷ, ἀλλ᾽ ἑαυτῷ ἑκάτερος, ὅπερ οὐκ ἔστιν ὁμονοεῖν. Καὶ ἐν ταῖς πόλεσι δ᾽ ὁμονοήσουσιν ἐν ταῖς ἀρχαιρεσίαις, ὅταν τὸν αὐτὸν ἕλωνται πάντες, καὶ μὴ ἑαυτὸν ἕκαστος, καθάπερ Εὐριπίδης ἐν ταῖς Φοινίσσαις ἐποίησεν. Οὕτω γὰρ οὐ τὸ πᾶσιν ἀρέσκον γίνεται. Τὸ δ᾽ οὐκ ἔστιν ὁμόνοια· ἀλλ᾽ ὅταν τύχωσι πάντες, οὗ ἐφίενται, τηνικαῦτα ὁμονοοῦσιν.

Ἔστι τοίνυν ἡ ὁμόνοια πολιτική τις φιλία, καὶ οὕτω λέγεται. Καὶ γὰρ περὶ τὰ πρακτὰ, καὶ τὰ συμφέροντά ἐστι, καὶ πρὸς τὸν βίον ἀνήκοντα. Ταῦτα δ᾽ τῆς πολιτικῆς.

Ἔστι δ᾽ ἐν τοῖς ἐπιεικέσιν ἡ ὁμόνοια. Οὗτοι γὰρ καὶ ἑαυτοῖς ὁμονοοῦσι, καὶ ἀλλήλοις ἐπὶ τῶν αὐτῶν ὄντες, ὡς εἰπεῖν. Τῶν τοιούτων γὰρ ἴσανται τὰ βουλήματα, καὶ μένει, καὶ οὐ μεταρρεῖ, καθάπερ Εὔριπος, βούλονταί τε τὰ δίκαια καὶ τὰ συμφέροντα· τούτων δ᾽ καὶ κοινῇ ἐφίενται.

Τοὺς δ᾽ φαύλους οὐχ οἷόν τε ὁμονοεῖν πλὴν ἐπὶ μικρόν,

κερδῶν· καθάπερ καὶ φίλοι βέβαιοι οὐ δύνανται εἶναι πλεονεξίας ἐφιέμενοι, καὶ μεῖζον ἔχειν ἑκάτερος ἑκατέρου ζητοῦντες ἐν τοῖς συμφέρουσιν· ἐν γὰρ τοῖς πόνοις καὶ ἐν ταῖς ὑπὲρ ἀλλήλων λειτουργίαις ἀεὶ ζητοῦσι τὸ ἔλαττον ἔχειν, καὶ ἑαυτὸν ἑκάτερος ἄξιον νομίζων ὀλίγα μὲν πονεῖν, μεγάλα δὲ ὠφελεῖσθαι, τὸν ἕτερον εὐθύνει, περὶ τῶν λειτουργιῶν ἀκριβολογούμενος, καὶ κωλύων τῶν συμφερόντων ἀπολαύειν, ὅσον ἐθέλει, ὡς μεγάλων, φαύλων ἀπονεμομένων πόνων. Διὰ τοῦτο μὴ τηροῦντες τὸ κοινόν, ἀλλ' ἑκάτερος τὸ ἑαυτοῦ, τάχιστα διαλύονται· τὸ γὰρ συνάπτον διασπῶσιν, ὅπερ ἐστὶ τὸ κοινὸν καὶ ἡ ὁμόνοια. Τοῦ συνάπτοντος δὲ διαλυθέντος, οὐ δύνανται συνημμένοι εἶναι. Συμβαίνει τοίνυν αὐτοῖς στασιάζειν, ἀπαιτοῦσι μὲν παρ' ἀλλήλων τὰ φιλικά, αὐτοῖς δὲ οὐ βουλομένοις τὰ δίκαια ποιεῖν· ὅθεν ἐν τοῖς φαύλοις οὐ δυνατὸν ὁμόνοιαν εἶναι, ἀλλ' ἐν τοῖς ἐπιεικέσι μόνοις.

tempus fortaſſe parvum: quemadmodum neque amici eſſe ſtabiles poſſunt, cum uterque plus ſibi vindicare, & majorem altero partem conſequi velit in iis quæ utilia eſſe arbitrantur. Sicut in laboribus contra, iiſque quæ alterius cauſa miniſteriis ſubire ſolet alter, minus habere quærunt ſemper: cumque uterque ſe dignum exiſtimet, ut labores habeat quam minimos, utilitatis vero conſequatur plurimum, in miniſteria alterius, diligenter nimis atque accurate inquirit: cumque eum vetet frui quanta vult utilitate, tamen quam maximos ſubire patitur labores. Quare quia quod commune utriuſq; eſt non conſervant, cito diſſolvuntur. Conjunctionis enim ſolvitur vinculum: quod quidem communio eſt, & concordia, eo autem ſoluto, conjungi diutius non poſſunt. Unde inter eos ſeditiones oriuntur: cum amicitiæ officia ab utroque exigat uterque, neque ipſi tamen quæ juſta ſunt velint agere. Quo fit ut inter improbos concordia eſſe non poſſit, ſed inter probos tantum.

Ariſtot. l.9.c.7.

ΚΕΦ. η.

Περὶ εὐεργεσίας.

Ἐκεῖνο δὲ ζητητέον, ἀνθ' ὅτου τοὺς εὖ πάσχοντας οἱ εὐεργέται φιλοῦσι μᾶλλον, ἢ ὑπ' ἐκείνων φιλοῦνται. Καὶ γὰρ ὡς παράλογον γινόμενον ἐπιζητεῖται. Οἱ μὲν οὖν

CAP. VIII.

De beneficiorum collatione.

EST & illud quærendum, cur qui beneficia conferunt magis eos ament in quos contulerunt, quam ab iis amantur. Quia enim præter rationem fieri videtur, quæri ſolet. Et vulgus

Cap. 7. Οἱ δ' εὐεργέται τοὺς εὐεργετηθέντας, &c.

Ariſtot. l.9.c.7.

gus quidem eadem de cauſa fieri autumat, ut magis ament qui beneficium contulerunt, quemadmodum creditores debitores amant ſuos, cum à debitoribus viciſſim non amentur. Qui enim crediderunt, ſaluti debitorum conſulunt, omnique iis ſubveniunt modo, ut redire ad eos pecuniæ ſuæ poſſint: debitores vero creditoribus non item. Vellent enim non eſſe eos: quia felicius diſſoluto ære victuri videntur. Eodem ergo modo & hic dicunt fieri: eos nimirum qui beneficia contulerunt, optare vitam eorum & ſalutem in quos ea contulerunt, quod eo modo beneficiorum perſolutionem ſuorum ab iis conſecuturos ſe exiſtiment. Eos vero in quos collata ſunt, non admodum eorum, qui contulerunt, ſalutem optare. Quod non ita curæ ſit hominibus ut reddant, quam ut accipiant. Atque hæc quidem ea eſt, quam vulgus eſſe arbitratur, cauſa. Quæ quidem credere & exiſtimare coacti ſunt, quod ingratos tantum atque improbos reſpiciant homines: & quod apud Epicharmum eſt, è malo ſpectantes. Quod quidem homini proprium videtur eſſe: immemores enim ſunt plerique, magiſq; affici beneficiis quam conferre ea deſiderant. Videri autem poſſit magis phyſica eſſe cauſa, minimeque ſimile illi quod de creditoribus diximus. Inter eos quippe qui afficiunt beneficio & qui afficiuntur, quædam intercedit dilectio, quæ inter creditores debitoreſq; intercedit nulla.

πολλοὶ διὰ τοῦτο φασὶ φιλεῖν μᾶλλον τοὺς εὐεργέτας, δι᾽ ὃν καὶ οἱ δανεισταὶ φιλοῦσιν οἷς ἐδάνεισαν, μὴ φιλούμενοι ὑπὸ τῶν ὀφειλόντων. Οἱ μὲν γὰρ χρήσαντες βούλονται τοῖς ὀφείλουσι τὴν σωτηρίαν, καὶ πάντα τρόπον βοηθοῦσιν, ἵνα αὐτοῖς τὰ χρήματα ἐπανέλθῃ: οἱ δὲ ὀφείλοντες, οἷς ὀφείλουσιν οὐκ ἔτι. Βούλοιντο γὰρ ἂν αὐτοὺς μὴ εἶναι, ὡς ἄμεινον οὕτω πράξοντες τοῦ δανείου λυθέντος. Τὸν αὐτὸν δὴ τρόπον φασὶ καὶ ἐπὶ τούτων, τοὺς μὲν εὐεργέτας βούλεσθαι εἶναι καὶ σώζεσθαι τοὺς εὖ παθόντας, ὡς οὕτω κομιουμένους τὰς ἀμοιβάς· τοὺς δὲ εὖ παθόντας οὐ σφόδρα φιλεῖν τὴν τῶν εὐεργετῶν σωτηρίαν. Οὐ γὰρ οὕτως ἐπιμελὲς τοῖς ἀνθρώποις τὸ ἀνταποδοῦναι, ὡς τὸ ἀπολαβεῖν. Ἡ μὲν οὖν δοκοῦσα τοῖς πολλοῖς αἰτία αὕτη ἐστὶ, καὶ ταῦτα προήχθησαν νομίζειν, πρὸς τοὺς ἀγνώμονας καὶ πονηροὺς ἀποβλέποντες τῶν ἀνθρώπων· καὶ ὃ φησιν Ἐπίχαρμος, ἐκ πονηροῦ θεώμενοι. Ἔοικε δὲ ἀνθρωπικὸν τὸ τοιοῦτον εἶναι. Ἀμνήμονες γὰρ οἱ πολλοὶ, καὶ μᾶλλον εὖ πάσχειν, ἢ ποιεῖν ἐφίενται. Δόξειε δ᾽ ἂν φυσικώτερον εἶναι τὸ αἴτιον, καὶ οὐχ ὅμοιον τῷ περὶ τοὺς δανείσαντας. Ἐν μὲν γὰρ τοῖς εὐεργέταις, καὶ τοῖς εὖ πάσχουσι φίλησις ἐστιν, ἐν δὲ τοῖς δανειζομένοις, καὶ δανεισταῖς οὐ φίλησις. Οὐ

γὰρ

γὰρ φιλεῖ ὁ δανείσας τὸν ὀφείλοντα, ἀλλ' αὐτὸ τοῦτο μόνον σώζεσθαι αὐτὸν βούλεται τῆς κομιδῆς ἕνεκα, καὶ ἵνα τὸ δάνειον ἀπολάβῃ· οἱ δ' εὖ πεποιηκότες φιλοῦσι καὶ ἀγαπῶσι τοὺς εὖ πεπονθότας, κἂν μὴ ὦσι χρήσιμοι, μηδὲ δύνωνται γενέσθαι. Τοῦτο δὲ καὶ ἐπὶ τῶν τεχνιτῶν συμβέβηκε. Πᾶς γὰρ τὸ οἰκεῖον ἔργον ἀγαπᾷ μᾶλλον, ἢ ἀγαπηθείη ἂν ὑπὸ τοῦ ἔργου ἐμψύχου γενομένου. Μάλιστα δὲ τοῦτο περὶ τοὺς ποιητὰς συμβαίνει· ὑπεραγαπῶσι γὰρ οὗτοι τὰ οἰκεῖα ποιήματα, στέργοντες ὥσπερ τέκνα. Τοιοῦτο δὲ ἔοικεν εἶναι καὶ τὸ τῶν εὐεργετῶν. Οἱ γὰρ εὖ πάσχοντες ὑπ' αὐτῶν κατὰ τοῦτο ἔργα αὐτῶν εἰσὶ, καὶ διὰ τοῦτο ἀγαπῶσι μᾶλλον αὐτοὺς, ἢ τὰ ἔργα αὐτοὺς ἀγαπᾷ. Τούτου δὲ αἴτιον, ὅτι τὸ μὲν εἶναι πᾶσιν αἱρετὸν καὶ φιλητόν· ἐσμὲν δὲ κυρίως ὅταν ἐνεργείᾳ ὦμεν. Ἐσμὲν δὲ ἐνεργείᾳ ἐν τῷ ζῆν καὶ πράττειν. Ὁ δὲ πράττων ἐνεργείᾳ ἐστὶν ἐν τῷ ἔργῳ. Ἡ γὰρ οἰκοδομικὴ, ὁ λόγος ἐστὶ τῆς οἰκοδομίας, ἐνεργείᾳ ἐστὶν ἐν τῇ οἰκίᾳ. Καὶ ἔστιν αὐτὴ ἡ οἰκία, καθὸ οἰκία, ὁ τεχνίτης ἐνεργείᾳ, καθὸ τεχνίτης. Ὁμοίως καὶ πᾶς ἐνεργῶν ἐνεργείᾳ ἐστὶ τὸ ἔργον αὐτοῦ. Εἰ τοίνυν φυσικὸν μὲν ἐφίεσθαι τοῦ εἶναι, τὸ εἶναι δέ ἐστιν ἐν τῷ πράττειν, τὸ ἔργον δέ ἐστιν αὐτὸς ὁ πράττων ἐνεργείᾳ, φανερὸν ὅτι καθόσον ζητεῖ τις τὸ ἑαυτοῦ εἶναι, κατὰ τοσοῦτον ζητεῖ καὶ τὸ ἔργον εἶ-

Nec enim amat debitorem creditor: ſed ſaluti ejus ſtudet tantum, ut recipiat quod dederat, debitumque conſequatur ſuum. Qui vero contulerunt beneficium, eos in quos contulerunt amant, licet illis utiles non fuerint, ac nè eſſe poſſint quidem. Quod ipſum quoque in artificibus fieri videmus. Quilibet enim opus magis amat proprium, quam amari ab eo opere ſuo poſſet, quamvis viveret atque animaretur. Quod quidem in poetis fieri potiſſimum videmus: qui ſupra modum ſua amant poemata, neque aliter quam parentes amant liberos. Cui ſimilis eſt eorum qui beneficia dederunt affectio. Qui enim eorum ſunt experti beneficia, opera eorum ſunt hoc reſpectu: ideoque magis eos amant, quam ab operibus amantur ſuis. Hujus autem rei cauſa eſt, quia eſſe omnes volunt ac diligunt. Proprie autem tum ſumus, cùm actu ſumus. Actu autem, vivendo ſumus atque agendo. Qui vero agit, actu eſt in opere. Sic ars ædificandi, quæ ædificii eſt ratio, actu eſt in ædificio. Eſtque ipſum ædificium quatenus eſt ædificium: ſicut artifex actu, quatenus eſt artifex. Atque ita in reliquis, quicunque operatur, actu opus ſuum eſt. Si ergo naturale eſt, ut quis eſſe amet, eſſe autem eſt in agendo, opus autem ipſe eſt qui agit actu, manifeſtum eſt, quatenus quis ſeipſum deſiderat eſſe, eatenus quoque opus ſuum ut deſideret eſſe.

Ariſtot. l. 9. c. 7.

Natura

Ariſtot. l.9.c.7.

Natura autem aliquis ſe amat ipſe & eſſe vult. Natura ergo aliquis opus amat ſuum eſſe. Cum autem maxime ſemet amet aliquis, maximeque opus ſuum amet, etiam eum quem beneficio affecit, quatenus opus ipſius eſt, maxime amabit. Ideoque magis etiam quam à quo beneficio eſt affectus. Maxima enim, qua aliquis ſe diligit dilectio eſt. Præterea, quia is qui dat beneficium, ſe ipſo, dum dat, benefaciendo fit melior, bonumque illi eſt benefacere, ideo quoque eo qui beneficium accipit delectari ſolet, quia in eo bonum videt ſuum. Cum contra qui beneficium accipit, non fiat melior ſe ipſo, qua accipit: neque in eo qui dat beneficium ullum habeat bonum. Ex iis enim quæ ipſe agit, melior ſolet fieri aliquis. In operando enim, quemadmodum ſupra dictum eſt, humanum conſiſtit bonum. Quare, ſi quid ille cui beneficium datur, in eo à quo accipit voluptatis habet, id non bonum eſt illi, ſed utile. Id autem quod utile eſt, non ita aut jucundum eſt aut amabile, ut id quod eſt bonum, Id enim quod bonum eſt, finis eſt ejus quod eſt utile: eaque de cauſa quia bonum eſt, amabile quoque eſt & jucundum, id quod eſt utile. Magis ergo qui beneficio afficit eum amat qui beneficio afficitur, quam ab illo amatur. Præterea boni ipſius jucunda & functio & ſpes eſt ac memoria. Functio quidem præſentis & dum adhuc fit: ſpes, futuri;

ναι. Φύσει δέ τις φιλεῖ ἑαυτὸν καὶ βούλεται εἶναι. Φύσει ἄρα φιλεῖ τις τὸ ἑαυτοῦ ἔργον. Ἐπεὶ δὲ μάλιστα τις φιλεῖ ἑαυτὸν, καὶ μάλιστα φιλεῖ ἕκαστος τὸ ἑαυτοῦ ἔργον, καὶ τὸν εὐεργετούμενον, καθόσον ἔργον ἐστὶν αὐτοῦ, μάλιστα φιλήσει· καὶ διὰ τοῦτο καὶ μᾶλλον, ἢ τὸν εὐεργέτην. Ἡ γὰρ μεγίστη φίλησις ἐστὶν, ἢ τις φιλεῖ ἑαυτόν. Ἔτι δὲ καὶ ὅτι ὁ μὲν εὐεργέτης ἑαυτοῦ γίνεται βελτίων εὐεργετῶν, καὶ ἀγαθὸν αὐτῷ ἐστι τὸ εὐεργετεῖν, καὶ διὰ τοῦτο χαίρει τῷ εὖ πάσχοντι, ὅτι ἐν αὐτῷ θεωρεῖ τὸ ἑαυτοῦ ἀγαθόν. Ὁ δὲ εὖ πάσχων οὐ γίνεται βελτίων ἑαυτοῦ τῷ πάσχειν· οὐδὲ ἐν τῷ εὐεργέτῃ ἔχει τι ἀγαθόν. Βελτίων γάρ τις δύναται γενέσθαι ἐξ ὧν αὐτὸς ποιεῖ. Ἐν τῷ ἐνεργεῖν γάρ ἐστι τὸ ἀνθρώπινον ἀγαθὸν, ὥσπερ ἐν τοῖς ἔμπροσθεν εἴρηται. Διὰ τοῦτο εἴ τι ἐστὶν ἡδὺ τῷ εὖ πάσχοντι παρὰ τῷ εὐεργέτῃ, οὐκ ἀγαθόν ἐστιν αὐτοῦ, ἀλλὰ συμφέρον. Τὸ δὲ συμφέρον οὐχ οὕτως ἡδὺ καὶ φιλητόν ἐστιν, ὡς τὸ ἀγαθόν. Τὸ γὰρ ἀγαθὸν τέλος ἐστὶ τοῦ συμφέροντος, καὶ διὰ τὸ ἀγαθὸν, καὶ τὸ συμφέρον, φιλητόν ἐστι καὶ ἡδὺ. Μᾶλλον ἄρα φιλεῖ ὁ εὐεργέτης τὸν εὖ πάσχοντα, ἢ ὑπ' ἐκείνου φιλεῖται. Ἔτι τοῦ ἀγαθοῦ ἡδεῖά ἐστι καὶ ἡ ἐνέργεια, καὶ ἡ ἐλπὶς, καὶ ἡ μνήμη· ἐνέργεια μὲν παρόντος, καὶ γινομένου, ἐλπὶς δὲ μέλλοντος, μνήμη

δὲ παρεληλυθότος. Ἥδιον δὲ παρὸν τὸ ἀγαθὸν, ἢ μέλλον, καὶ παρεληλυθός. Ἔστι δὲ ὁ μὲν εὐεργετηθεὶς παρὸν ἀγαθὸν τοῦ εὐεργετηκότος. Μένει γὰρ τὸ ἀγαθὸν καὶ πολυχρόνιόν ἐστιν, ὃ ἐν τῷ εὖ παθόντι ὁ εὐεργέτης θεωρεῖ. Τοῦ δὲ εὖ παθόντος τὸ ἀγαθὸν οὔτε μένει· καὶ γὰρ χρήσιμον ἦν, καὶ ἅμα τῇ χρήσει παρελήλυθεν· οὔτε ἀγαθόν ἐστι κυρίως. Καὶ διὰ τοῦτο εἰ καὶ ἄμφω παρῆσαν, ἥδιον ἂν ἦν τὸ τοῦ εὐεργέτου ἀγαθόν· εἴτε καὶ ἄμφω παρῆλθον, ἡδίων ἂν ἦν ἡ μνήμη τοῦ εὐεργετουμένου ἢ τοῦ εὐεργέτου, καθόσον ἡ τοῦ ἀγαθοῦ μνήμη ἡδίστη ἐστὶ μάλιστα, ἡ δὲ τοῦ χρησίμου οὐ πάνυ, ἢ ἧττον. Εἰ γὰρ ἡ προσδοκία τῶν χρησίμων ἀνάπαλιν ἔχει, καὶ ἡδίων ἐστὶ τῆς μνήμης παρεληλυθότων ἀγαθῶν· φαίνεται τοίνυν καὶ διὰ ταῦτα μᾶλλον φιλεῖν τὸν εὐεργέτην τὸν εὖ πάσχοντα, ἢ ὑπ᾽ ἐκείνου φιλεῖσθαι. Ἔτι ἡ μὲν φίλησις ἐνεργείᾳ ἔοικε, τὸ δὲ φιλεῖσθαι πάθει. Τοῖς τοίνυν ἐνεργοῦσι τὰ φιλικὰ, δηλονότι τοῖς εὐεργέταις, μᾶλλον προσήκει φιλεῖν, ἢ τοῖς πάσχουσιν. Ἔτι τὰ πόνῳ κτηθέντα στέργομεν μᾶλλον καὶ φιλοῦμεν τῶν ῥᾳδίως κατορθωθέντων· ὅθεν καὶ τὰ χρήματα οἱ κτησάμενοι τῶν διαδεξαμένων μᾶλλον φιλοῦσιν. Ἔστι δὲ ἄπονον μὲν τὸ εὖ πάσχειν, ἐργῶδες δὲ τὸ εὖ ποιεῖν· ἔστι δὲ τὸ μὲν πάσχειν ἐν τῷ εὐ-

memoria, præteriti. Jucundius autem eſt bonum, dum eſt præſens, quam aut futurum, aut præteritum. Eſt autem qui beneficium accepit præſens bonum ejus qui dedit. Manet enim ac diuturnum eſt bonum, quod in accipiente contemplatur is qui confert. Ejus vero bonum qui beneficium accepit, neq; manet (erat enim utile, unaq; cum utilitate abit) neq; proprie eſt bonum. Ideoque, ſive utrumq; eſt præſens, jucundius ejus qui beneficium dedit, bonum eſt: ſive utrumq; præteriit, tamen aliquem à ſe beneficio affectum eſſe, quam ab aliquo beneficium ſe accepiſſe, jucundior eſt recordatio. Quatenus boni maxime, utilitatis vero non admodum aut minus certe jucunda eſt recordatio. Licet utilitatis contra ſe habeat expectatio: quæ præteritorum bonorum recordatione eſt jucundior. Ideo & hanc quoque ob cauſam magis amare videtur, quem beneficio affecit is qui beneficio afficit, quam ab eo amatur. Præterea functioni actionis ſimilis eſt dilectio, cum amare contra paſſioni ſit ſimile. Iis ergo qui amicitiæ officia agunt, qui dant nimirum beneficia, magis amare convenit, quam qui accipiunt. Præterea, ea quæ labore nobis comparavimus, magis amamus, magiſq; amplectimur, quam quæ ſine moleſtia aut negotio. Unde & opes ſuas majores illi faciunt, qui pepererunt, quam qui à parentibus eas acceperunt. Jam vero ut quis bene fieri ſibi patiatur, ſine labore eſt, benefacere autem cum labore con-

Ariſtot. l.9.c.7.

Ariſtot. l.9.c.7.

conjunctum. Bene autem fieri, ei competit qui accipit: ſicut benefacere ei qui confert. Ideoque magis qui accipit beneficium amatur, quam qui confert. Neque alia eſt cauſa, cur liberos ſuos magis ament matres, (quia nimirum labore eos pariunt) quam matres liberi; quia nimirum nullos in partu experiuntur dolores. Magiſque norunt è ſe eſſe liberos ſuos matres, quam ſe è matribus illis oriundos eſſe liberi. Quæ quidem illis quoque qui beneficia conferunt, competere videntur. Neq; enim ſolum in dando labores aliquos perferre beneficio videntur: ſed & magis ſciunt ſe in eos beneficia contuliſſe, quam ii ſe à talibus accepiſſe. Fieri enim poteſt, ut qui beneficium confert, non ipſe inſtinctu proprio, ſed alterius cui inſervit, beneficium conferat, ideoq; ut non ſit ipſe qui beneficium contulit: vel ut ipſe ſua ſponte beneficium conferat, ſed non illius cauſa, in quem confert, ſed ſua & utilitatis ergo: atq; ita ipſe non ſit à quo beneficium confertur. Quæ faciunt, ut qui beneficium accipit, non ſatis certo eum cognoſcat qui dedit: Sicut contra nihil eſt, quod obſtet, quo minus ille qui beneficium confert, eum noſcat qui accipit: quia ſe accurate novit, ſed & beneficium revera ſe conferre non ignorat. Ac propterea qui dat beneficium magis eum amat qui accipit, quam ab eo amatur.

εργετουμένῳ, τὸ δὲ εὖ ποιεῖν ἐν τῷ εὐεργέτῃ· καὶ διὰ τοῦτο ὁ εὐεργετούμενος μᾶλλον, ἢ ὁ εὐεργέτης, φιλεῖται. Καὶ διὰ τοῦτο καὶ αἱ μητέρες φιλοτεκνότεραι μᾶλλον, ὅτι πόνῳ γεννῶσιν, ἢ οἱ παῖδες φιλομήτορες, τῷ μηδὲν ὑπὲρ τοῦ τεχθῆναι ποιῆσαι. Καὶ μᾶλλον ἴσασιν αἱ μητέρες, ὅτι ἐξ ἐκείνων οἱ παῖδες, ἢ οἱ παῖδες, ὅτι αὐταὶ παρήγαγον εἰς τὸν βίον. Ταῦτα δὲ δόξειεν ἂν εἶναι καὶ τοῖς εὐεργέταις οἰκεῖα. καὶ γὰρ οὐ μόνον ἐπίπονόν τι ποιοῦσιν ὑπὲρ τῶν εὖ πασχόντων, ἀλλὰ καὶ μᾶλλον ἴσασιν ὅτι εὐεργετοῦσιν, ἢ ἐκεῖνοι γινώσκουσιν ὅτι ὑπὸ τούτων εὐεργετοῦνται. Καὶ γὰρ ἐνδέχεται τὸν εὖ ποιοῦντα οὐκ αὐτὸν οἴκοθεν, ἀλλ᾽ ἑτέρῳ ὑπηρετοῦμενον εὐεργετεῖν, καὶ διὰ τοῦτο μὴ αὐτὸν εἶναι τὸν εὐεργέτην ἢ αὐτὸν μὲν οἴκοθεν εὐεργετεῖν, οὐκ αὐτοῦ δὲ ἕνεκα τοῦ εὖ πάσχοντος, ἀλλ᾽ ἑαυτοῦ, καὶ διὰ τὸ χρήσιμον. Ταῦτα δὲ ποιεῖ τὸν εὖ πάσχοντα μὴ πάνυ βεβαίως τὸν εὐεργετοῦντα γινώσκειν. Τὸν μέντοι εὐεργέτην οὐδὲν κωλύει τὸν εὖ πάσχοντα γινώσκειν, ὅτι ἑαυτὸν ἀκριβῶς γινώσκει, ὅτι εὐεργέτης ἐστὶν ἀληθῶς. Διὰ ταῦτα ὁ εὖ ποιῶν τὸν εὖ πάσχοντα φιλεῖ μᾶλλον, ἢ ὑπ᾽ ἐκείνου φιλεῖται.

Ariſtot. l.9.c.8.

ΚΕΦ. Θ'. | CAP. IX.

Περὶ τῆς φιλαυτίας. | *De amore ſui.*

Καὶ ταῦτα μὲν εἰς τοσοῦτον. Ζητητέον δὲ κἀκεῖνο, πότερον ἑαυτὸν δεῖ φιλεῖν μάλιστα, ἢ ἄλλον τινά. Δοκεῖ γὰρ τὸ ἑαυτὸν μάλιστα φιλεῖν οὐκ ἀγαθῶν ἀνδρῶν εἶναι· καὶ διὰ τοῦτο ἐπιτιμῶνται οἱ ἑαυτοὺς μάλιστα ἀγαπῶντες, καὶ ὡς ἐν αἰσχρῷ φίλαυτοι ἀποκαλοῦνται. ἔτι δὲ καὶ ὅτι ὁ μὲν φαῦλος δοκεῖ πάντα πράττειν ἑαυτοῦ χάριν, καὶ τοσούτῳ μᾶλλον, ὅσῳ φαυλότερος. Καὶ ἐγκαλεῖται διὰ τοῦτο, ὅτι οὐδὲν πλέον τῶν ἰδίων ἐπιζητεῖ, ἀλλ' ἑαυτοῦ χάριν πάντα ποιεῖ. Ὁ δὲ ἐπιεικὴς διὰ τὸ καλὸν πάντα πράττει, καὶ τοσούτῳ μᾶλλον, ὅσῳ βελτίων καὶ ἐπιεικέστερος. Καὶ διὰ τὸν φίλον, καὶ ἵνα δῷ τοῖς ἄλλοις τυχεῖν, ὧν δέονται, παρίησι τὰ ἑαυτοῦ· διὰ ταῦτα μὲν οὖν δοκεῖ μὴ δεῖν μάλιστα πάντων φιλεῖν ἑαυτόν. Τούτοις δὲ τὰ ἔργα διαφωνεῖ, καὶ οὐκ ἀλόγως. Φασὶ γὰρ δεῖν εἶναι μάλιστα φιλεῖν τὸν μάλιστα φίλον, μάλιστα δὲ φίλος ὁ σώζων πάντα τὰ φιλικὰ περὶ τὸν φιλούμενον. Φιλικὰ δέ ἐστι τὸ βούλεσθαι τὰ ἀγαθὰ τῷ φίλῳ ἐκείνου ἕνεκα, καὶ εἰ μηδεὶς εἴσεται τοῦτο, καὶ τὸ συζῆν μάλιστα ζητεῖν, καὶ τὸ συναλγεῖν καὶ συγχαίρειν. Ταῦτα δὲ πάντα αὐτός τις ἑαυτῷ ἀπονέμει, καὶ ἀπὸ τῶν περὶ ἑαυτὸν καὶ τὰ

Et hæc quidem huc uſque. Jam vero & illud quærendum eſt, utrum ſe ipſe maxime aliquis amare debeat, an alium. Videtur enim ſe amare maxime, bonorum non eſſe hominum: ideoq; vituperantur qui ſe amant maxime, &, tanquam ignominioſo nomine, amatores ſui vocantur. Præterea quia omnia ſui cauſa facere videtur improbus, eoq; magis, quo aliquis eſt improbior, ideo quoq; accuſatur, quod nihil præter propria quærat, ſuaq; unius cauſa agat omnia, Vir autem probus honeſtatis cauſa facit omnia, eoq; magis quo & melior eſt & honeſtior. Qui & amici cauſa, & ut aliquid in alios quos egere videt, poſſit conferre, propria etiam prætermittit. Atq; hæc quidem ſunt, quorum cauſa videtur non debere aliquem ſe amare maxime. Ab his autem opera diſſentiunt, nec ſine cauſa. Dicunt enim maxime amandum eſſe qui maxime ſit amicus, maxime autem eſt amicus, qui omnia amicitiæ in eo quem amat, officia conſervat. Ea autem ſunt, ut quis bona alicui & illius quidem cauſa velit contingere, licet clam hoc ſit futurum: tum ut ſimul vivere quærat quam maxime, eademque de cauſa aut gaudeat aut doleat. Hæc autem nobis ipſis tribuere ſolemus omnia: ideoque & ab eo quo quiſque erga ſe eſt affectus modo, & quæ ſibi

Cap. 8. Ἀπορεῖται δὲ πότερον δεῖ φιλεῖν ἑαυτόν, &c.

Ariſtot. l.9.c.8 ſibi ſolet tribuere, etiam quæ amicis tribuenda ſunt deſumimus, quemadmodum in quarto dictum eſt capite. Quod ipſum etiam omnia confirmat proverbia. Quoties enim ſingulares deſignare amicos volunt, una eademq; anima, ſolent dicere. Deinde & illud, communia amicorum, pertinet eodem, & æqualitas eſt amicitia, & genu ſura propius. Si enim id quod commune eſt, & æqualitas amicitia eſt, & proximum, quidnam cuilibet eſſe charius ſeipſo poſſit? Maxime ergo ipſe cuilibet amicus eſt ſibi. Si vero eum quoque qui maxime eſt charus, amare quoq; oportet maxime, maxime ſe ipſe amare debet quilibet.

Ἀπορεῖται δ' εἰκότως, ποτέροις χρεών, &c. Quare cum hoc modo utræq; veræ videantur eſſe opiniones, merito utrum ſequi oporteat dubitatur. Nos igitur ſi diligenter dividamus rem ipſam & diſtinguamus, facile quo uſq; verum ab utroq; dicatur & quomodo inveniemus. Si namq; vocis φίλαυτος, de qua agitur, & quæ amatorem ſui deſignat, ſignificationem & quo pacto utrobiq; ſumatur videamus, ſtatim apparebit id de quo dubitatur. Prima ergo opinio, αὐτοφιλαύτους, id eſt, ſui amatores, eos vocat, non qui ſe ipſi amant ſimpliciter, ſed qui ſibi ipſi maximam tribuere partem quærunt: ideoq; non ipſius boni aut virtutis, ſed in pecuniis ac honoribus reliquiſq; voluptatibus corporis. Hæc enim ſunt quæ pleriq; deſiderant, & quæ ſtudioſiſſime ſequũtur, quod omnia ea eſſe optima judicent: ideoque contentionum multarum ac certaminum cauſa videntur. Qui ergo in his plus

πρὸς τοὺς φίλους ἐλήφθη, καθὼς ἐν τῷ δ' εἴρηται κεφαλαίῳ. Τούτοις δὲ καὶ αἱ παροιμίαι πᾶσαι μαρτυροῦσι. Τοὺς γὰρ σφόδρα φίλους δηλοῦντες, μία ψυχή φασι. Ἔπι δὲ καὶ τὸ, κοινὰ τὰ τῶν φίλων, εἰς τοῦτο φέρει, καὶ, ἰσότης φιλότης, καὶ, γόνυ κνήμης ἔγγιον. Εἰ γὰρ τὸ κοινὸν, καὶ ἡ ἰσότης, καὶ τὸ ἔγγιστα, φιλία, τί γένοιτ' ἂν ἑκάστῳ φιλικώτερον ἑαυτοῦ; μάλιστα ἄρα φίλος αὐτὸς ἑαυτῷ. Εἰ δὲ τὸν μάλιστα φίλον μάλιστα δεῖ φιλεῖν, ἑαυτὸν δεῖ μάλιστα φιλεῖν.

Οὕτω τοίνυν ἀμφοτέρων μὲν λόγων ἀληθῶν εἶναι δοκούντων, εἰκότως ἀπορεῖται ποτέρῳ δέον ἀκολουθεῖν. Εὑρήσομεν δὲ διελόντες καὶ διαιρούμενοι, ἐφ' ὅσον, καὶ πῶς ἑκάτεροι ἀληθεύει. Εἰ γὰρ λάβοιμεν τὴν τοῦ φιλαύτου σημασίαν, ὃ βούλεται παρ' ἑκατέρῳ τῶν λόγων, δῆλον τὸ ζητούμενον γένοιτ' ἄν. Ὁ μὲν οὖν πρῶτος λόγος αὐτοφιλαύτους καλεῖ, οὐ τοὺς ἑαυτοὺς φιλοῦντας ἁπλῶς, ἀλλὰ τοὺς ζητοῦντας ἑαυτοῖς ἀπονέμειν τὸ πλέον οὐκ ἐν τῷ ἀγαθῷ καὶ τῇ ἀρετῇ, ἀλλ' ἐν χρήμασι καὶ τιμαῖς, καὶ ταῖς σωματικαῖς ἡδοναῖς. Τούτων γὰρ οἱ πολλοὶ ὀρέγονται, καὶ ἐσπουδάκασι περὶ αὐτὰ ὡς ἄριστα ὄντα, διὸ καὶ περιμάχητά ἐστιν. Οἱ δὴ περὶ ταῦτα πλεο-

νικᾶται χαρίζονται ταῖς ἐπιθυμίαις, καὶ ὅλως τοῖς πάθεσι, καὶ τῷ ἀλόγῳ τῆς ψυχῆς. Τοιοῦτοι δ' εἰσὶν οἱ πολλοί. Διὰ τοῦτο καὶ τούτοις ἡ προσηγορία γέγονε. Τοῖς γὰρ ὡς ἐπὶ τὸ πλεῖστον γινομένοις τὰ ὀνόματα τίθεται. Τὰ δὲ σπάνια οὐδὲ σφόδρα ὀνομάζονται. Καὶ γὰρ τούτων ἔνια οὐδὲ γινώσκονται. Εἰσὶ δὲ οἱ μὲν φαῦλοι, καὶ τὰ δοκοῦντα ἀγαθὰ ἑαυτοῖς ἀπονέμοντες, πολλοί· οἱ δὲ σπουδαῖοι, σπάνιοι. Διὰ τοῦτο τοὺς πολλοὺς φαύλους ὄντας καὶ φιλαύτους ἀποκαλοῦσιν. Οἱ δὴ οὕτω φίλαυτοι, καὶ δικαίως ἐγκαλοῦνται. Ὅτι δὲ τοὺς φαύλως ἔχοντας περὶ τὰς ἐπιθυμίας φιλαύτους οἱ πολλοὶ καλοῦσιν, οὐκ ἄδηλον. Εἰ γάρ τις ἀεὶ σπουδάζει τὰ δίκαια πράττειν αὐτὸς μάλιστα πάντων, ἢ τὰ σώφρονα, ἢ ὁποιαοῦν ἄλλα τῶν κατὰ τὰς ἀρετάς, καὶ ὅλως ἀεὶ τὸ καλὸν ἑαυτῷ περιποιοῖτο, οὐδεὶς αὐτὸν ἐρεῖ φίλαυτον, οὐδὲ ψέξει. Ὁ μὲν οὖν πρῶτος λόγος φίλαυτον ὀνομάζει τὸν φαύλως ἑαυτὸν φιλοῦντα. Καὶ διὰ τοῦτο ἀληθής ἐστιν. Οὐ γὰρ δεῖ τοῦτον τὸν τρόπον φιλεῖν ἑαυτόν. Ὁ δὲ δεύτερος τὸν σπουδαῖον, καὶ τὴν ἀρετὴν καὶ τὸ ἀγαθὸν περιποιούμενον ἑαυτῷ, μάλιστα φησὶν φιλεῖν ἑαυτόν.

Ὃς καὶ φίλαυτος δόξειεν ἂν εἶναι μᾶλλον εἰκότως· ἑαυτῷ γὰρ χαρίζεται. Τῷ γὰρ κυριωτάτῳ ἑαυτοῦ τῷ διανοητικῷ, τῷ μάλιστα

ſibi vindicant, cupiditatibus ſuis reliquiſque gratificantur affe- Ariſtot. l.9.c.8.
ctibus, ac ei animi ſui parti, quæ ratione caret. Tales autem ſunt multi, hoc eſt, hominum vulgus. Unde & iis impoſitum fuit hoc nomen. Iis enim quæ plerumq; ſic ſe habent imponitur nomen. Quæ vero rara ſunt vix nominantur: cum incognita etiam quædam ſint illorum. Sunt autem improbi, & qui ea quæ videntur ſibi tribuunt bona, multi: boni autem & honeſti, pauci. Ideoque multos, hoc eſt, vulgus hominum, qui ſunt improbi, amatores vocant ſui. Qui quidem ſui amatores merito quoq; accuſantur. Jam vero eos qui improbe in libidinibus ſe gerunt, amatores ſui appellari à vulgo, planum eſt ac manifeſtum. Si quis enim ſemper ſtudioſe præ reliquis, quæ juſta ſunt, agit, aut temperantet vivit reliquaſque virtutis actiones exercet, ſemper denique ea quæ honeſta ſunt ſibi vindicat, nemo eum amatorem ſui dicet, aut vituperabit. Prima ergo loquendi ratio, eum qui improbe ſe amat, amatorem appellat ſui. Ideoq; verum eſt: nec enim hoc modo quiſquam ſe amare debet. Secunda autem virum bonum, quique virtutem bonumque ſibi vindicat, maxime ſe ipſum amare dicit.

Qui quidem magis quoque Δόξειε δ'
amator eſſe ſui videbitur: ἂν τοῖς τοιοῦτος
gratificatur ſibi enim: ei nam- εἶναι μᾶλ-
que parti, quæ maxime pro- λον φί-
prie ipſius eſt, quæ contem- λαυτος,
plationi dico aut cogitationi &c.
deſtinata eſt, quæ præſtantiſſima

Ariſtot. l.9.c.8.

tiſſima maximeque ſunt tribuit bona. Qui vero maxime propriæ gratificatur parti, ſibi quoque ipſe gratificatur maxime. Nam ut civitas ea quæ proprie maxime civitatis pars eſt, civiumque præſtantiſſimi, vocantur: ſic & homo eſt potiſſimum, id quod proprium in homine eſt maxime. Unde & amator ſui maxime, qui illud amat illique gratificatur. Sicut & continens & incontinens aliquis dicitur, non quod ſimpliciter aut contineat, aut contineatur: ſed quod mens illius aut imperet affectibus, aut pareat. Itaque cum mens ejus contineat, ipſe continere dicitur. Cum vero affectus, non ipſe continere, ſed magis contineri. Unde apparet ſingulos maxime eam eſſe partem, qua cogitare & contemplari poſſumus. Eamque qui partem diligit, omnique ratione ei gratificatur, amatorem ſui dici merito poſſe. Diverſa videlicet ab ea quæ vituperatur, ſpecie, & quæ tantum differt, quantum ex ratione vivere & ex affectu: aut quantum boni appetitus, improba à cupiditate. Cum ergo probos & honeſtos homines maxime & laudent & amplectantur omnes, omnes autem probos eſſe oporteat (ſi enim cuncti enitantur ac contendant, ut honeſtiſſimas edant actiones, omnia & publice & privatim ſingulis evenient bona) manifeſtum eſt, bonum cum primis virum amatorem ſui eſſe oportere. Etenim & ſibi bene agendo proderit, alioſque eo-

καὶ μάλιστα ἀποδίδωσιν ἀγαθά. Ὁ δὲ τοῦ κυριωτάτου ἑαυτοῦ χαριζόμενος, οὗτος, μάλιστα χαρίζεται ἑαυτῷ. Καὶ γὰρ ὥσπερ πόλις ἐστὶ μάλιστα τὸ κυριώτατον τῆς πόλεως, καὶ οἱ ἄρισται τῶν πολιτῶν, οὕτω καὶ ἄνθρωπος, ἐστὶ μάλιστα τὸ κυριώτατον τῶν ἐν τῷ ἀνθρώπῳ. Διὰ τοῦτο καὶ φίλαυτος μάλιστα ὁ τοῦτο ἀγαπῶν καὶ τούτῳ χαριζόμενος, ἐπεὶ καὶ ἐγκρατής τις ἢ ἀκρατὴς λέγεται, οὐ τῷ ἁπλῶς κρατεῖν ἢ κρατεῖσθαι, ἀλλὰ τῷ τὸν νοῦν ἢ ἄρχειν τῶν παθῶν ἢ ἄρχεσθαι. Ὥστε τοῦ μὲν νοῦ κρατοῦντος αὐτός τις λέγεται κρατεῖν. Τῶν δὲ παθῶν κρατούντων, οὐκ αὐτὸς κρατεῖν, ἀλλὰ μᾶλλον κρατεῖσθαι. Ὅθεν φανερόν, ὅτι αὐτός τις ἐστὶ μάλιστα ἕκαστος τὸ αὐτοῦ διανοητικόν· καὶ ὁ τὸ ἑαυτοῦ διανοητικὸν ἀγαπῶν, καὶ παντὶ τρόπον αὐτῷ χαριζόμενος, φίλαυτος εἰκότως ἂν λέγοιτο καθ' ἕτερον εἶδος τοῦ ὀνειδιζομένου, καὶ διαφέρων τοσοῦτον, ὅσον τὸ κατὰ λόγον ζῆν τοῦ κατὰ πάθος, καὶ ἡ τοῦ ἀγαθοῦ ὄρεξις τῆς φαύλης ἐπιθυμίας. Ἐπεὶ τοίνυν τοὺς σπουδαίους καὶ ἐπιεικεῖς ἐπαινοῦσι καὶ ἀποδέχονται πάντες, δεῖ δὲ πάντας ἐπιεικεῖς εἶναι (καὶ γὰρ πάντων εἰς τὸ καλὸν ἁμιλλωμένων, καὶ διατεινομένων τὰ κάλλιστα πράττειν, πάντα ἀπαντήσει τὰ ἀγαθά, καὶ κοινῇ πᾶσι καὶ ἰδίᾳ ἑκάστῳ) φανερόν, ὅτι δέον ἐστὶ τὸν μὲν ἀγαθὸν φίλαυτον εἶναι. Καὶ γὰρ αὐτός τε ἑαυτὸν ὠφελήσει τὰ καλὰ πράττων, καὶ τοὺς

ἄλλους ἐπὶ τὰ ἴσα κινήσει· τὸν δὲ μοχθηρὸν οὐκ ἔτι. φιλῶν γὰρ καὶ χαριζόμενος ἑαυτῷ βλάψει καὶ ἑαυτὸν, καὶ τοὺς πέλας, πάθεσιν ἑπόμενος φαύλοις. Ἐπεὶ τὰ παρὰ μὲν τῷ σπουδαίῳ ταυτόν ἐστιν ὃ πράττουσι, καὶ ὃ πράττειν δὲ προσήκει· καὶ γὰρ πᾶς μὲν νοῦς αἱρεῖται τὸ βέλτιστον ἑαυτῷ. Οἱ δὲ πειθαρχοῦσι καὶ ἀκολουθοῦσι τῷ νῷ. Παρὰ δὲ τοῖς φαύλοις τὸ δέον, καὶ ὃ ποιοῦσι, διαφωνεῖ. Καὶ διὰ τοῦτο τοὺς μὲν οὐ δεῖ φιλαύτους εἶναι, τοὺς δὲ ἑαυτοὺς μάλιστα προσήκει φιλεῖν. Οὕτω μὲν ὁ ἀληθὴς διώρισται λόγος. Λυτέον δὲ καὶ τὸν πρῶτον λόγον, δι' ὃν ἐδόκει τὸν ἀγαθὸν μὴ εἶναι φίλαυτον, ὅτι τῶν μὲν ἑαυτοῦ ἀμελεῖ, ζητεῖ δὲ τὰ τῶν φίλων καὶ τῆς [illegible]ίδος ἀγαθὰ, ὑπὲρ ὧν καὶ ἀποθνήσκει δεῆσαν. Ὅτι μὲν οὖν τοιοῦτός ἐστιν ὁ σπουδαῖος, ἀληθές ἐστιν. Οὐ μὴν διὰ τοῦτο ῥητέον αὐτὸν μὴ μάλιστα φίλαυτον εἶναι. Δι' αὐτὰ μὲν οὖν φαίνεται φίλαυτος εἶναι. Καὶ γὰρ ἀντὶ μεγάλων μικρὰ προΐεται, καὶ τὰ μικρὰ ῥίπτων, τὰ μέγιστα τῶν ἀγαθῶν ἑαυτῷ περιποιεῖται. Τοῖς μὲν γὰρ φίλοις, καὶ τῇ πατρίδι χρήματα, καὶ τιμὰς, καὶ τοιαῦτα παρέχει, ἑαυτῷ δὲ τὸ καλὸν καὶ ἀγαθὸν, καὶ χρηστὸν, καὶ φιλόπολιν εἶναι, καὶ τὰ τοιαῦτα, ὧν ἐκεῖνα πάντα ἐλάττω. Καὶ ὅταν δὲ ὑπὲρ τῶν φίλων, καὶ τῆς πόλεως ἀποθάνῃ, καὶ

dem exemplo ſuo impellet. Improbum vero non item. Si enim aut amare ſe, aut gratificari ſibi cœperit, & ſibi nocebit & aliis, quia improbis nimirum morem gerit affectibus. Quoniam in hominibus probis idem eſt quod agunt, & quod agi oportet: mens autem omnis id eligit quod eſt bonum: illi vero parent menti ac ſequuntur. In improbis vero id quod oportet, & quod fit ab iis, ſunt diverſa. Ideoque hos ſui amatores eſſe oportet: illi vero ſe quam maxime amplecti atque amare debent. Atque hactenus quidem veram diſtinximus opinionem. Jam vero & ad primam reſpondendum eſt, quæ perſuadere conabatur, virum bonum ſui amantem non eſſe: quia propria negligit, amicorum vero patriæq; incumbit bonis: quorum quidem cauſa ne ipſa quidem detrectanda mors ſit. Talem ergo eſſe virum bonum, verum eſt: neque propterea dicendum eſt eum non maxime amantem ſui eſſe. Cum etiam hac de cauſa maxime ſui amans eſſe videatur. Maximorum enim gratia, exigua amittit. Et dum minima quædam abjicere videtur, maxima conſequitur bona. Amicis quippe patriæq; pecunias, honores, atq; hujuſmodi largitur: ſibi vero honeſti bonique, atq; humani viri patriæq; amantis ac ſimilium famam atq; exiſtimationem acquirit: quibus longe minora ſunt reliqua. Cumque aut patriæ aut amicorum cauſa ſubit mortem, vitamque impendit,

Ariſtot. l.9.c.8.

Ariſtot. l.9.c 9.

majora tamen lucratur, quam impendit. Mavult enim ad parvum tempus honeſta illa ac laudabili frui voluptate, quam longa ac levi. Multoque præſtare ſibi exiſtimat vitam illam ſuam exiguam magnis ac præclaris eſſe facinoribus refertam, quam ſi & plus vitæ & minus laudis conſequeretur. Aut unum aliquod illuſtre atque honeſtum edidiſſe facinus, quam multa ac vulgaria. Hoc enim illis præclarius. Sed & præclaras interdum actiones amico concedit. Cumque ipſe eas poſſit agere, amico hunc honorem tranſcribit. Ubi nihilo tamen minus majus ſibi largitur bonum. Multo enim honeſtius eſt, quam ſi ipſe eas egiſſet, quod honeſtæ hujus exiſtimationis cauſa ſit amico. Quare merito videtur probus eſſe, quia rebus honeſtatem præfert omnibus, partemque ſibi majorem non niſi in bonis quærit & honeſtis. Videtur ergo maxime ſe ipſe amare vir honeſtus, ſemperque majorem honeſtatis ſibi vindicare partem.

τὴν ἑαυτοῦ περιποιεῖται ζωήν, μείζω ἐκέρδανεν, ἢ περιῆκατο. Αἱρεῖται γὰρ ὀλίγον χρόνον ἡσθῆναι σφόδρα τὴν ἀγαθὴν καὶ ἐπαινετὴν ἡδονήν, ἢ πολλὴν ἠρέμα, καὶ βέλτιον αὐτῷ εἶναι ἡγεῖται τὸν βίον μικρὸν ὄντα μεγάλων γέμειν κατορθωμάτων, ἢ μακρὸν βιώσαντα μὴ οὕτως ἐπαινετὸν εἶναι, καὶ μίαν πρᾶξιν ποιῆσαι καλὴν καὶ μεγάλην, ἢ πολλὰς καὶ μικράς. Ταῦτα γὰρ ἐκείνων κάλλιω. Καὶ πράξεις δὲ σπουδαίας ἐνίοτε προΐεται τῷ φίλῳ, καὶ ἐξὸν αὐτὸν πράττειν, ἐκείνῳ τῆς φιλοτιμίας παραχωρεῖ, καὶ τηνικαῦτα δὲ τὸ μεῖζον ἀγαθὸν ἑαυτῷ ἀπονέμει. Κάλλιον γὰρ τοῦ αὐτὸν πρᾶξαι τὸ αἴτιον τοῦ καλοῦ τῷ φίλῳ γενέσθαι. Διὰ ταῦτα δὲ εἰκότως δοκεῖ σπουδαῖος εἶναι, ἀντὶ πάντων αἱρούμενος τὸ καλὸν [illegible] τὸ πλέον ζητῶν ἐν τοῖς ἀγαθοῖς σπουδαίοις. Φαίνεται τοίνυν μάλιστα ἑαυτὸν φιλῶν ὁ σπουδαῖος, καὶ ἑαυτῷ τοῦ καλοῦ τὸ πλέον ἑκάστοτε νέμων.

Οὕτω μὲν οὖν δεῖ, &c.

Atque ita quidem ſui amantem eſſe oportet, ſicut diximus. Sicut autem plerique, non oportet. Quomodo ergo aliquis amare ſemet debeat maxime, dictum ſit hactenus.

Οὕτω μὲν οὖν δεῖ φίλαυτον εἶναι, καθάπερ εἴρηται. Ὡς δ' οἱ πολλοί, οὐ χρή. Ὅπως μὲν οὖν δεῖ μάλιστα φιλεῖν ἑαυτόν, ἐπὶ τοσοῦτον εἰρήσθω.

CAP. X. — ΚΕΦ. ι.

Etiam felicem honeſtis opus amicis habere.

Ὅτι καὶ εὐδαίμων φίλων σπουδαίων δεήσει.

Cap. 9.

Ἀμφισβητεῖται δὲ περὶ τῶν, &c.

JAm vero & de felicibus dubitatur: utrum videlicet opus

ΑΜφισβητεῖται δὲ καὶ περὶ τῶν εὐδαιμόνων,

εἰ δεήσει φίλων αὐτοῖς, ἢ μή· φασὶ γὰρ μὴ χρείαν εἶναι τοῖς μακαρίοις καὶ αὐτάρκεσιν. Αὐτάρκεις γὰρ ὄντες, καὶ πάντα ἔχοντες τὰ ἀγαθὰ, πῶς ἂν ἄλλων δέοιντο; καὶ γὰρ οἱ φίλοι δέονται τῶν φίλων, καὶ καρποῦνται, δι' ἐκείνων ἃ δι' ἑαυτῶν οὐ δύνανται κτᾶσθαι· καὶ γὰρ ὁ φίλος ἄλλος αὐτός. Ἐπεὶ δὲ αὐτοῖς οἱ εὐδαίμονες ἀρκοῦσιν, οὐ χρείαν ἔχουσι φίλων, διὰ τοῦτο φασὶν,

Ὅταν ὁ δαίμων εὖ διδῷ, τί δεῖ φίλων;

διὰ ταῦτα μὲν οὖν δοκεῖ μὴ χρείαν εἶναι τοῖς εὐδαίμοσι φίλων.

Καθ' ἕτερον δὲ λόγον ἄτοπόν ἔοικεν εἶναι τὸ πάντα ἀπονέμοντας τὰ ἀγαθὰ τῷ εὐδαίμονι, φίλους μὴ ἀποδιδόναι, ὃ τῶν ἐκτὸς ἀγαθῶν τὸ μέγιστον εἶναι δοκεῖ. Ἄλλως τε καὶ ὅτι τὸ μὲν εὐεργετεῖν ἀναγκαῖόν ἐστι πρὸς τὴν εὐδαιμονίαν, ἡ δὲ καλλίστη καὶ μάλιστα ἐπαινουμένη εὐεργεσία πρὸς τοὺς φίλους ἐστίν· ὥστε δεῖ φίλων τοῖς εὐδαίμοσιν, ἐπεὶ χρεία τὴν ἀείστην εὐεργεσίαν εὐεργετεῖν. Μάλιστα γὰρ φίλῳ προσήκει τὸ εὖ ποιεῖν, καὶ τὸ εὖ πάσχειν· καὶ κάλλιον εὐεργετεῖν φίλους, ἢ ὀθνείους καὶ ἀγνῶτας, καὶ μηδὲν προσήκοντας, οὔτε τῶν ἠθῶν ἕνεκα, οὔτε τῆς πολιτείας. Διὰ ταῦτα δὴ φαίνεται δεῖσθαι φίλων τὸν εὐδαίμονα, καὶ τούτου ἕνεκα καὶ ζητεῖται, πότερον ἐν εὐτυχίαις χρεία φίλων μᾶλλον, ἢ ἐν ἀτυ-

habeant amicis, an contra. Negant enim nonnulli beatis,& quibus omnia adſunt per ſe abunde, opus eſſe amicis. Cum enim ſe ſint contenti, omniaque in ſe bona habeant, quomodo egere poſſunt aliis? Amici enim opus habent amicis, eorumque opera ea conſequuntur,quæ per ſe conſequi non poterant. Eſt enim quaſi alter ipſe, amicus. Cum autem ſeipſo contenti ſint felices, amicis opus habere non poſſunt. Atque hinc illud eſt, quod dicunt. Ariſtot. l.9.c.9.

Quid amicis opus eſt, cum benignus eſt Deus?

ideoque videtur nihil amicis opus eſſe felici.

Rurſus vero alia ratio eſt, quæ abſurdum eſſe probat, omnia felici tribuere quæ bona exiſtimamus, neque amicos tribuere tamen: quod inter externa bona maximum videtur. Cum aliis de cauſis, tum quia benefacere ad felicitatem eſt neceſſarium: honeſtiſſimum autem & quod maxime laudatur, eſt quod in amicos confertur, beneficium. Quare amicis quoq; opus habent felices, quia opus habent ut benefaciant, & beneficia quæ præſtantiſſima ſunt alibi ponant. Maxime autem convenit amico bene ut faciat,& beneficia ut accipiat. Quin & honeſtius eſt bene amicis facere, quam ignotis aut exteris, quibus nulla vel morum vel civitatis nobiſcum intercedit conjunctio. Atq; ideo amicis videtur opus habere, is qui eſt felix. Ideoq; quæri ſolet, utrũ in ſecunda fortuna magis opus ſit amicis, an adverſa.

Ἔοικε δ' ἄτοπον τὸ πάντα, &c.

Ariſtot. l.9.c.9.

adverſa. Nam & qui adverſa utitur, amicis opus habet, qui ſuccurrant, illamque quodammodo fortunam fulciant: & qui ſecunda, ut poſſit benefacere. Sed & illud abſurdum eſt, eum qui ſolitarius ſit, & ſibi vivat tantum, felicem arbitrari. Res enim eligenda eſt felicitas. Solitarius autem eſſe, nemo eligeret. Nemo enim ſolus habere bona vult omnia. Civile n. animal eſt homo: & cui hoc natura innatum eſt, ut libenter cum aliis vivat. Hæc autem habet & felix, cum aliis n. vivit libenter. Quæ n. natura bona ſunt, ipſe quoque habet. Quod ſi cum aliis vivere oporteat felicem, manifeſtum eſt, cum optimis hominibus hoc eum facturum eſſe, maximeque illi propriis. Illi autem amici ſunt & viri boni, cum quibus præſtat, multoque jucundius eſt vivere, quam cum peregrinis & quibuſlibet. Amicis quoque ergo opus habet vir felix.

Τί οὖν λέγουσι, &c.

Primo autem prima ſolvenda eſt opinio, quæ probare conabatur amicis non egere felicem. Ut appareat quid velit, & quatenus vera ſit. Dicimus ergo pleroſque exiſtimare eos qui proſunt amicos eſſe & qui non boni cauſa, ſed utilitatis amantur. Ut & illos qui voluptatis ergo. Quibus quidem felix non eget. Ac primum quidem utili amico: quia bona habet omnia. Sed nec jucundo: quia jucunda eſt vita ejus; neque externa eget voluptate,

Οὐ δεόμενος δὲ, &c.

His vero quia non eget, egere amicis non videtur, qui re-

χίαις. Δεῖ γὰρ καὶ ἀτυχοῦντι φίλων βοηθούντων καὶ ἐπανορθούντων αὐτῷ τὴν τύχην· καὶ τοῖς εὐτυχοῦσι, ἵνα εὐεργετεῖν δύνηται. Ἔτι δὲ ἄτοπον κἀκεῖνο, τὸν μονώτην καὶ ἑαυτῷ μόνῳ ζῶντα μακάριον οἴεσθαι. Ἡ μὲν γὰρ εὐδαιμονία αἱρετόν· τὸ δὲ μονώτης εἶναι οὐδεὶς ἂν ἕλοιτο· οὐδεὶς γὰρ βούλεται καθ' ἑαυτὸν πάντα ἔχειν τὰ ἀγαθά. Πολιτικὸν γὰρ ὁ ἄνθρωπος, καὶ φύσει ὀρέγεται μετ' ἄλλων ζῆν. Ταῦτα δὲ ὑπάρχει καὶ τῷ εὐδαίμονι, καὶ συζῆν βούλεται. Τὰ γὰρ φύσει ἀγαθὰ καὶ αὐτὸς ἔχει. Εἰ δὲ συζῆν ἀνάγκη τὸν εὐδαίμονα, φανερὸν, ὅτι τοῖς βελτίστοις τῶν ἀνθρώπων καὶ οἰκειοτάτοις. Οἱ δὲ εἰσὶν οἱ φίλοι καὶ οἱ ἐπιεικεῖς, μεθ' ὧν βέλτιον καὶ ἥδιον συνημερεύειν, ἢ [illegible] τῶν ὀθνείων, καὶ τῶν τυχόντων. Δεῖ ἄρα τῷ εὐδαίμονι φίλων.

Λυτέον δὲ τοὺς πρώτους λόγους, δι' οὓς ἐδόκει μὴ δεῖν φίλων τοῖς μακαρίοις. Καὶ ῥητέον τί λέγουσι, καὶ πῇ ἀληθεύουσι. Λέγομεν τοίνυν, ὅτι οἱ πολλοὶ φίλους οἴονται τοὺς χρησίμους εἶναι, καὶ οὐ διὰ τὸ ἀγαθὸν, ἀλλὰ διὰ τὴν χρείαν ἀγαπωμένους, καὶ ἔτι τοὺς διὰ τὴν ἡδονήν. Τούτων δὲ ὁ εὐδαίμων οὐ δεῖται. Τῶν μὲν χρησίμων, ὅτι πάντα ἔχει τὰ ἀγαθά· τῶν δὲ ἡδέων, ὅτι ἡδὺς ὁ βίος αὐτῶ, καὶ οὐ δεῖται τῆς ἔξωθεν ἡδονῆς.

Οὐ δεόμενος δὲ τῶν τοιούτων, φίλων, οὐ δοκεῖ δεῖσθαι φίλων

τῶν

τῶν ὡς ἀληθῶς φίλων, ὅσοι διὰ τὴν ἀρετὴν φιλοῦνται, καὶ τὸ ἀγαθόν. Τοῦτο δὲ οὐκ ἔστιν ἀληθής. Καὶ δῆλον ἐκεῖθεν.

Καθάπερ γὰρ ἐν ἀρχῇ εἴρηται, ἡ εὐδαιμονία ἐνέργειά ἐστιν. Ἡ δὲ ἐνέργεια φανερὸν ὅτι γίνεται, καὶ ἐν τῷ γίνεσθαι τὸ εἶναι ἔχει, καὶ οὐ γέγονε καὶ ὑπάρχει ἤδη, καθάπερ τι κτῆμα. Συνίσταται μὲν οὖν ἡ εὐδαιμονία ἐν τῷ ζῆν καὶ πράττειν. Τὸ γὰρ ζῆν κατ' ἀρετὴν, καὶ πράττειν τὰ σπουδαῖα, εὐδαιμονεῖν ἐστίν. Ἐπεὶ δὲ ἡ τοιαύτη ἐνέργεια ἡδεῖά ἐστι τῷ σπουδαίῳ. Ὅτι τε ἀγαθὴ, καὶ ἡδεῖα καθ' ἑαυτὴν, ὡς ἐν ἀρχῇ εἴρηται, καὶ ὅτι οἰκεία αὐτῷ, τὸ ἄρα θεωρεῖν τὴν τοιαύτην ἐνέργειαν ἥδιστόν ἐστι τῷ εὐδαίμονι· θεωρεῖν δὲ τὰ τῶν πέλας δυνάμεθα μᾶλλον ἢ τὰ οἰκεῖα· καὶ τὰς ἐκείνων πράξεις, ἢ τὰς ἡμετέρας. Ὁ ἄρα εὐδαίμων μάλιστα θεωρήσει τὰς τοῦ φίλου πράξεις, καὶ ἀγαθαῖς δὲ οὔσαις ἡσθήσεται μάλιστα. Εἰ δὲ ἀνάγκη τὴν ἀγαθὴν ἡδονὴν ἥδεσθαι τὸν εὐδαίμονα, φανερὸν, ὅτι χρεία τῷ εὐδαίμονι φίλων τοιούτων, εἴπερ θεωρεῖν αἱρεῖται πράξεις ἐπιεικεῖς καὶ οἰκείας, οἷαί εἰσιν αἱ τοῦ ἀγαθοῦ φίλου ὄντος.

Ἔτι δὲ πάντες οἴονται ἡδίστην τὴν τοῦ εὐδαίμονος ζωήν. Ἡ δὲ ζωὴ τοῦ εὐδαίμονός ἐστι τὸ κατ' ἀρετὴν ἐνεργεῖν, τὸ δὲ ἐνεργεῖν συνεχῶς μεθ' ἑτέρων μὲν ῥᾴδιον, καθ' ἑαυτὸν δὲ χαλεπόν· ὅθεν χαλεπὸς ὁ μονώτης βίος. Τὸ δὲ ῥᾴδιον ἥδιον τοῦ δυσχεροῦς· τὸ ἥδιον δὲ μᾶλ-

vera ſunt amici. Hi autem ſunt, qui boni cauſa aut virtutis amantur. Hoc autem verum non eſt: quod vel ex illo apparet.

Felicitas enim functio eſt, ut in principio dicebamus. Functionem autem fieri, & in eo quod fit conſiſtere, eſt planum. Neque enim facta eſt atque adeſt ſicut poſſeſſio. In vivendo ergo atque agendo conſiſtit felicitas. Vivere enim ex virtute, & honeſta agere, eſt felicem eſſe. Cum autem viro bono jucunda ſit talis functio, quia bona per ſe eſt & jucunda, ut initio dicebamus, & quia maxime eſt propria illi, talem quoq; videre functionem jucundiſſimum eſt felici. Jam vero quæ aliorum ſunt, magis videre, quam quæ à nobis, poſſumus, illorumque actiones magis quam noſtras: quare amici actiones maxime videbit vir felix, & cum ſint optimæ, maxime quoque iis delectabitur. Quod ſi neceſſe eſt bonam eſſe voluptatem qua delectetur vir felix, manifeſtum erit talibus quoque amicis egere felicem: ſiquidem honeſtas videre velit actiones ſibique proprias, quales ſunt viri boni, cum amicus eſt præſertim.

Omnes præterea jucundiſſimam felicis eſſe exiſtimant vitam: vita autem felicis eſt ex virtute operari, operari autem perpetuo cum aliis quidem facile, ſecum autem eſt difficile (unde & difficilis ſolitaria eſt vita) quod vero facile eſt jucundius eſt, quam quod difficile eſt: quod autem jucundius eſt, ma-

Ariſtot. l.9.c.9.

Ἐν ἀρχῇ γὰρ εἴρηται, &c.

Οἴονται δὲ δεῖν ἡδέως ζῆν, &c.

Ariſtot. l.9.c.9.

gis quoq; competit felici. Præterea frequentior quoq; ei futura eſt functio, ſi ſit jucunda. Hoc autem convenit felici, ut frequenter ex virtute operetur: quod rurſus illi hanc augebit voluptatem. Delectatur enim vir bonus iis quæ ex virtute ſunt actionibus, qua bonus: improbas vero averſatur. Quemadmodum & muſicus bonis delectatur carminibus, malis vero offenditur.

Γένοιτο δ' ἂν καὶ, &c.

Non ſolum autem quem jam conſecutus eſt habitum, frequentius in functionem producit vir probus, dum vivit probe, ſed & quem non habet conſequetur, aut quem habet, emendabit. Vivendo enim cum bonis, virtus quoque accreſcit, quemadmodum Theognis ait. Quare amicis opus habebit, is qui eſt felix.

Φυσικώτερον δὲ ἐπισκοποῦσιν, &c.

Quod & hinc apparebit, ſi magis naturalibus ad illuſtrationem hujus quæſtionis uti rationibus voluerimus: hoc eſt, ſi conſideremus, non ex iis quæ peculiariter adſunt felici, ſed quæ omnibus communiter. Jam ergo conſtat vitam omnibus natura jucundam eſſe animalibus. Vitam autem in iis quidem quæ ratione deſtituuntur animalibus, ſenſus facultatem definiunt, in hominibus vero ſenſus vel intelligentiæ. Jam vero propter actum eſt facultas, & quod in ea præcipuum eſt in actu conſiſtit. Si ergo facultatem ſenſus habere aut intelligentiæ, eſt vivere: multo magis actu ſentire & intelligere. Quare ſentire actu aut intelligere hoc ipſum eſt

λον προσήκει τῷ μακαρίῳ· καὶ ἅμα ἡ ἐνέργεια συνεχεστέρα αὐτῷ ἔσται, ἡδεῖα οὖσα· τοῦτο δὲ τῷ μακαρίῳ προσήκει συνεχῶς κατ' ἀρετὴν ἐνεργεῖν. Τοῦτο δὲ αὖθις μείζω αὐτῷ ποιήσει τὴν ἡδονήν· ἥδεται γὰρ ὁ σπουδαῖος ταῖς κατ' ἀρετὴν πράξεσιν, ἢ σπουδαίοις. Ταῖς δὲ ἀπὸ κακίας δυσχεραίνει. Καθάπερ ὁ μουσικὸς τοῖς καλοῖς μέλεσιν ἥδεται, ἐπὶ δὲ τοῖς φαύλοις λυπεῖται.

Οὐ μόνον δὲ τὴν οὖσαν ἕξιν συνεχέστερον ἐνεργήσει ὁ σπουδαῖος, ἀπὸ τοῦ σπουδαίοις συζῆν, ἀλλὰ καὶ τὴν μὴ οὖσαν κτήσεται, ἢ, ἃς ἔχει, ἄμεινον ἕξει. Γένοιτο γὰρ ἂν ἐπίδοσις ἀρετῆς ἀπὸ τοῦ συζῆν τοῖς ἀγαθοῖς, καθάπερ καὶ Θέογνις φησι. Δεῖ ἄρα τῷ εὐδαίμονι φίλων.

Ἔτι δὲ καὶ ὧδε δῆλον ἔσται φυσικώτερον τὸν λόγον ἐπισκοποῦσι. Σκεψώμεθα γὰρ οὐκ ἀπὸ τῶν ἰδίᾳ προσόντων τῷ εὐδαίμονι, ἀλλὰ ἀπὸ τῶν κοινῇ πᾶσι. Τὸ μὲν οὖν ζῆν πᾶσι τοῖς ζώοις φύσει ἐστὶν ἡδύ. Τὸ δὲ ζῆν ὁρίζονται εἶναι, ἐν μὲν τοῖς ἀλόγοις δύναμιν αἰσθήσεως, ἐν δὲ τοῖς ἀνθρώποις δύναμιν αἰσθήσεως, ἢ νοήσεως. Ἡ δὲ δύναμις διὰ τὴν ἐνέργειάν ἐστι, καὶ τὸ κύριον ἐν τῇ ἐνεργείᾳ· εἰ τοίνυν τὸ δύνασθαι αἰσθάνεσθαι, ἢ νοεῖν, ζῆν ἐστὶ, πολλῷ μᾶλλον αὐτὸ τὸ αἰσθάνεσθαι, ἢ νοεῖν ἐνεργείᾳ· τὸ ἄρα αἰσθάνεσθαι, ἢ νοεῖν ἐνεργείᾳ, αὐτό ἐστι τὸ ζῆν.

ζῆν. Τὸ δὲ ζῆν ἡδύ τέ ἐστι καθ' ἑαυτὸ, καὶ ἀγαθὸν, μάλιστα μὲν, ὅτι ὡρισμένον τί ἐστι τὸ ζῆν· τὸ δὲ ὡρισμένον, τῆς τοῦ ἀγαθοῦ φύσεως, καθάπερ καὶ Πυθαγορείοις ἐδόκει. Καὶ γὰρ ἔταττον ἐν τῇ τοῦ ἀγαθοῦ συστοιχίᾳ τὸ ὡρισμένον. Ἔπειτα καὶ ὅτι πάντα τοῦ ζῆν ἐφίεται. Οὗ δὲ πάντα ἐφίεται, ἀγαθόν ἐστι καθ' ἑαυτὸ καὶ ἡδύ. Λέγω δὲ ζωὴν, οὐ τὴν μοχθηρὰν, καὶ μυρίων γέμουσαν συμφορῶν. Ἀόριστοι γὰρ αἱ τοιαῦται, καθάπερ καὶ τὰ ταύτῃ συμβαίνοντα. Λεχθήσεται δὲ περὶ αὐτῆς ἐν οἷς περὶ ἡδονῆς ἐροῦμεν. Ἐπεὶ τοίνυν τὸ μὲν ζῆν καθ' ἑαυτὸ ἀγαθόν ἐστι καὶ ἡδύ, χαίρει δέ τις καὶ ἥδεται ὁρῶν ἐν ἑαυτῷ ἀγαθόν τι καὶ ἡδύ· χαίρομεν ἄρα καὶ ἡδόμεθα αἰσθανόμενοι ὅτι ζῶμεν. Καὶ γὰρ αἰσθανόμεθα ὅτι ζῶμεν, ὥσπερ ὁρῶντες αἰσθανόμεθα ὅτι ὁρῶμεν, καὶ ἀκούοντες ὅτι ἀκούομεν, καὶ βαδίζοντες ὅτι βαδίζομεν, καὶ νοοῦντες καὶ αἰσθανόμενοι γινώσκομεν ὅτι νοοῦμεν καὶ αἰσθανόμεθα. Τὸ δὲ νοεῖν καὶ αἰσθάνεσθαι τοῦτό ἐστι τὸ ἓν τῶν αἰσθανομένων καὶ νοούντων· νοοῦμεν ἄρα ὅτι ἐσμὲν, καὶ ὅλως ἔστι τις ἐν ἡμῖν δύναμις, ᾗ γινώσκομεν ὅτι ἐνεργοῦμεν καὶ ζῶμεν. Εἰ δὲ τὸ ζῆν ἀγαθὸν, τὸ δὲ συνειδέναι τινὰ ἑαυτῷ ἀγαθὸν, ἡδὺ καθ' ἑαυτό ἐστι, τὸ ἄρα εἰδέναι ὅτι ζῶμεν, ἡδύ ἐστιν. Ἐπεὶ τοίνυν τὰ φύσει ἀγαθὰ καὶ

quod vivere vocamus. Vivere autem jucundum per ſe eſt & bonum: idque maxime, quia definitum aliquid eſt, vivere. Quod autem definitum eſt, ex boni natura eſt, quemadmodum & Pythagoricis videbatur: qui in eo, quem ſtatuebant, bonorum ordine, definitum quoque ſtatuebant. Adde & quod omnia vitam appetant: quod autem omnia appetunt, bonum eſt per ſe & jucundum. Vitam autem intelligo, non improbam, aut quæ mille plena eſt calamitatibus. Indefinitæ enim ſunt tales, quemadmodum ea quæ inſunt ipſi. De quibus cum de voluptatibus agimus, tractandum nobis erit. Cum ergo bonum per ſe ſit & jucundum, vivere, neque quiſquam ſit qui non id quod bonum & jucundum eſt, ſi in ſe ipſo videat, eo delectetur: ſequetur hoc ipſo quoque quod ſentimus nos vivere, delectari nos & gaudere. Vivendo enim ſentimus nos vivere, ſicut videndo nos videre, audiendo audire, incedendo incedere: quemadmodum & intelligendo quoque ac ſentiendo intelligere nos ac ſentire percipimus. Jam vero intelligere ac ſentire, idem eſt, quod ex eorum numero eſſe, qui ſentiunt ac intelligunt. Quare intelligimus nos eſſe, eſtq; facultas aliqua in nobis, qua percipimus in actu nos eſſe, & vivere. Quod ſi vivere eſt bonum, & boni alicujus ſibi eſſe conſcium, jucundum per ſe eſt, ſequitur vitæ ſuæ, aut ejus quod vivimus ſibi eſſe conſcium, bonũ eſſe. Cum ergo ea quæ natura Ariſtot. l.9.c.9.

Ariſtot. l.9.c.9.

bona ſunt & jucunda, viro etiam bono bona ſint & jucunda, delectabitur vivendo vir bonus: & quidem plus quam reliqui vir bonus, quanto eligenda magis & jucunda ejus vita eſt ac beata. Delectabitur autem, quia percipit ſe vivere. Vivere autem eſt intelligere: quare dum ſe intelligere percipit, delectatur ſapiens. Jam vero ad amicum, quemadmodum ad ſe ipſum, habet ſe ſapiens, alter enim idem eſt amicus. Quare ſequitur, quod ſicut ipſum eſſe gratum eſt & eligendum ipſi, ita etiam ut idem ſit amico, optet; ut amicus intelligat nimirum. Eſſe enim & vivere, eſt intelligere. Sicut autem delectatur dum percipit ſe intelligere, ita jucundum illi eſt & acceptum, quod amicum percipit intelligere. Hoc autem ut intelligere percipiat amicum, tum fit re ipſa, cum ipſa ea percipit quæ intelligit, non cum ſimpliciter aliquid cogitare eum percipit. Hoc autem in mutuo cum aliis fit conſortio, ubi ſermones & cogitationes communicamus noſtras. Hoc enim modo ſimul vivere homines dicuntur. Neque enim quod in eodem ſint loco, una vivere dicuntur, ſicut pecudes, cum ſimul paſcuntur, una vivere dicimus. Ex quo ſequitur, una cum amicis vivere, eligendum eſſe viro bono & jucundum. Quod vero eligendum eſt ei, hoc eſſe quoque ei debet. Sin minus, hac in parte deficiet, quod cum felicitate pugnat. Quare bonis amicis opus habebit felix.

ἡδέα, καὶ τῷ σπουδαίῳ ἀγαθά εἰσι καὶ ἡδέα, ἡσθήσεται μὲν ζῶν ὁ σπουδαῖος, καὶ μάλιστα τῶν ἄλλων οὗτος, καθ' ὅσον ἡ αὐτοῦ ζωὴ αἱρετωτέρα ἐστὶ, καὶ ἡδίων, καὶ μακαρία. Ἥδεται δὲ γινώσκων ὅτι ζῇ. Τὸ δὲ ζῆν ἐστὶ τὸ νοεῖν. Ἥδεται ἄρα ὁ σπουδαῖος γινώσκων ὅτι νοεῖ. Οὕτω δὲ πρὸς τὸν φίλον, ὡς πρὸς ἑαυτὸν, ὁ σπουδαῖος ἔχει. Ἕτερος γὰρ αὐτὸς ὁ φίλος ἐστίν. Οὐκοῦν φανερὸν, ὅτι καθάπερ τὸ αὐτὸν εἶναι καὶ ζῆν αἱρετόν ἐστιν αὐτῷ καὶ ἡδὺ, οὕτω καὶ τὸ τοῦ φίλου εἶναι ζητεῖ, τουτέστι τὸ τὸν φίλον νοεῖν· τὸ γὰρ εἶναι καὶ ζῆν, τὸ νοεῖν ἐστίν. Ὥσπερ δὲ χαίρει γινώσκων ὅτι νοεῖ, οὕτως ἡδύ ἐστιν αὐτῷ καὶ αἱρετὸν τὸ γινώσκειν ὅτι ὁ φίλος νοεῖ. Τὸ δὲ γινώσκειν τὸν φίλον ὅτι νοεῖ, τότε ἐστὶν ἐνεργείᾳ, ὅταν αὐτὰ γινώσκῃ ἃ νοεῖ, οὐχ ἁπλῶς ὅτι διανοεῖται. Τοῦτο δὲ γίνοιτ' ἂν ἐν τῷ ζῆν μετ' ἀλλήλων, καὶ κοινωνεῖν λόγων καὶ διανοίας. Τοῦτον γὰρ τὸν τρόπον συζῆν οἱ ἄνθρωποι λέγονται. Οὐ γὰρ τὸ ἐν τῷ αὐτῷ εἶναι συζῆν ἐστὶ, καθάπερ ἐπὶ τῶν βοσκημάτων τὸ ἐν τῷ αὐτῷ νέμεσθαι. Τὸ ἄρα συνεῖναι τοῖς φίλοις αἱρετόν ἐστι τῷ σπουδαίῳ καὶ ἡδύ· ὃ δέ ἐστιν αὐτῷ αἱρετὸν, τοῦτο δεῖ ὑπάρχειν αὐτῷ· εἰ δὲ μὴ, ἐνδεὴς ἔσται τοῦτο τὸ μέρος, ὃ ἐναντίον ἐστὶ τῇ εὐδαιμονίᾳ. Δεήσει ἄρα τῷ εὐδαιμονήσοντι φίλων σπουδαίων.

ΚΕΦ.

Ariſtot. l. 9. c. 10.

ΚΕΦ. ιά. — CAP. XI.

Περὶ φίλων ἀριθμοῦ. — *De numero amicorum.*

ΕΠεὶ δὲ χρεία τῷ εὐδαίμονι φίλων, ζητητέον πότερον πλείστους φίλους ὡς ἔνι μάλιστα ποιητέον αὐτόν· ἢ καθάπερ ἐπὶ τῆς ξενίας εἴρηται καλῶς καὶ ἁρμοδίως, ὡς οὐ δεῖ μήτ᾽ ἄξενον εἶναι, μήτε πολύξεινον, οὕτω καὶ ἐπὶ τῶν φίλων εἰκὸς ἔστι μήτ᾽ ἄφιλον εἶναι, μήτε πολύφιλον.

Λέγομεν τοίνυν ἐκεῖνο, ὅτι τριχῶς τῆς φιλίας διαιρουμένης, καὶ τῆς μὲν διὰ τὸ χρήσιμον οὔσης, τῆς δὲ διὰ ἡδονὴν, τῆς δὲ τοῦ ἀγαθοῦ ἕνεκα καὶ τῆς ἀρετῆς, τῶν μὲν διὰ τὸ χρήσιμον ἢ τὴν ἡδονὴν φίλων, ὀλίγων ἂν γένοιτο χρεία, μάλιστα τῶν μὲν διὰ τὸ χρήσιμον, ὅτι ὀλίγοις ἄν τις ἀρκέσειεν ἃ χρήζουσι βοηθεῖν, καὶ τὸ πολλοὺς θεραπεύειν ἐπίπονον, μάλιστα εἰ τύχοιεν περίεργοί τινες ὄντες, καὶ ζητοῦντες θεραπεύεσθαι περιττῶς.

Τῶν δὲ διὰ τὴν ἡδονὴν, ὅτι ὀλίγης ἡδονῆς χρεία τῷ βίῳ καὶ ἀνέσεως, καθάπερ ἐν εὐωχίᾳ τοῦ ἡδύσματος.

Τῶν δὲ σπουδαίων καὶ διὰ τὴν ἀρετὴν, καὶ τὸ ἀγαθὸν φιλούντων, πλειόνων μὲν τῷ εὐδαίμονι δεήσει. Πλὴν ἔστω τι καὶ αὐτῶν μέτρον. Καθάπερ γὰρ πόλεώς ἐστι μέτρον, καὶ οὔτε ἐκ δέκα ἀνθρώπων γένοιτ᾽ ἂν πόλις, οὔτε ἐκ δέ-

Cap. 10. Ἀρ᾽ οὖν ὡς πλείστους, &c.

CUm ergo conſtet opus eſſe amicis felici, illud quærendum reſtat, utrumne plures aut quam fieri poteſt plurimos conciliare ſibi debeat. An quemadmodum recte ac convenienter de hoſpitalitate dictum eſt, neque nullos neque plures quam oportet admittendos eſſe hoſpites, ita & de amicis ſit dicendum, neq; nullos neq; multos eſſe habendos?

Τοῖς μὲν δὴ πρὸς χρῆσιν, &c.

Reſpondemus ergo: cum triplex ſit amicitia, quarum alia utilitatis, alia voluptatis, alia boni & ipſius virtutis cauſa inſtituitur; iis quidem qui vel utilitatis, vel voluptatis, maximeque qui utilitatis cauſa ſunt, amicis paucis opus eſſe, quia paucis tantum ſuppeditari poſſunt neceſſaria, multiſque ſimul inſervire moleſtia non caret: ſi potiſſimum ſint difficiles, & vehementer coli deſiderent.

Καὶ οἱ πρὸς ἡδονὴν, &c.

Iis autem qui voluptatis cauſa, quia modicum tantum voluptatis ac remiſſionis vita poſtulat, ſicut condimenti epulum.

Τοὺς δὲ σπουδαίους πότερον, &c.

Probis vero & qui virtutis cauſa atque ipſius amant boni, pluribus opus habebit felix. Ita tamen, ut & hic certa conſtet ratio. Sicut enim certus urbis eſt modus, & neque ex decem hominibus, neque ex centum hominum millibus conſtare urbs ſolet

(quia

Ariſtot. l.9.c.10. (quia amplius urbs non erit, quæ à tam multis habitabitur) ita definitos eſſe amicos oportet, certumque aliquem eorum eſſe modum. Et quemadmodum in urbe nulla definita eſt quantitas, neq; certus aliquis multitudinis, quæ urbi conveniat, eſt numerus, ſed ejus quæ major eſt quam oportet multitudinis in urbe, ejuſq; quæ minor eſt definito modo, mediam quantitatem, urbis eſſe modum dicimus, (ſicut, exempli gratia, neq; mille urbem facient, neq; centum millia, ſed quod inter utrumq; eſt) ſic neq; in amicis definitus ſumi poteſt numerus, ſed requirentur, quot ad vivendum una ſufficere videbuntur. Hoc enim maxime amicitiæ convenire videtur. Neque enim fieri poſſe, ut cum pluribus quis vivat, & in multos quaſi ſeſe partiatur, ſatis manifeſtum eſt. Vivere enim cum amicis cogimur perpetuo: quod ſi plures fuerint, factu eſt difficillimum. Adde quod & dolere cum iis & gaudere oporteat: quod ipſum quoq; moleſtiſſimum fuerit, ſi multis aliquis uti voluerit amicis. Multi enim ſi fuerint, alii gaudebunt eodem aut dolebunt tempore: & utriſq; quaſi ſe partiri amicus debebit. Hoc autem moleſtia non caret. Quare præſtabit fortaſſe non admodum multos ſibi comparare amicos, ſed tot modo admittere, quot aut ad vitam una tranſigendam, atque agendam continuo, aut ad dolendum ſimul ac gaudendum ſuffecerint. Ita autem multis uti non poſſumus. Nam ne in amatoria quidẽ multis eſſe amici

καὶ μυριάδων· οὐ γὰρ ἂν ἔτι πόλις ἡ τοιαύτη ἂν εἴη συνοικία· οὕτω δεῖ καὶ τοὺς φίλους ὡρίσθαι, καὶ μέτρον αὐτοῖς εἶναι. Καὶ ὥσπερ ἐπὶ τῆς πόλεως οὐ τὸ ποσὸν ἄριστος, οὐκ ἀριθμὸς, ῥητός ἐστι τοῦ πλήθους τοῦ πόλει προσήκοντος, ἀλλὰ τοῦ ὑπερβάλλοντος ἀριθμοῦ τὸ τῆς πόλεως μέτρον, καὶ τοῦ ἐλλείποντος ὡρισμένου, τὸ μεταξὺ ποσὸν· μέτρον εἶναι φαμὲν πόλεως· οἷον, οὔτε οἱ χίλιοι πόλις ἂν εἴη, οὔτε αἱ δέκα μυριάδες, ἀλλὰ τὸ μεταξύ· οὕτω καὶ ἐπὶ τῶν φίλων οὐκ ἔνι λαβεῖν ἀριθμὸν ὡρισμένον. ἀλλ' εἴη ἂν τοσοῦτον, ὅσοις δύναταί τις συζῆν. Τοῦτο γὰρ ἐδόκει φιλικώτατον εἶναι. Ὅτι γὰρ οὐχ οἷόν τε πλείοσι συζῆν καὶ διανέμειν ἑαυτὸν, φανερόν. Δεῖ δὲ καὶ συνημερεύειν τοῖς φίλοις· πλείστοις δὲ ἐστὶν ἐργῶδες μάλιστα· καὶ μὴν καὶ συναλγεῖν δεῖ, καὶ συγχαίρειν οἰκείως. Καὶ τοῦτο δὲ χαλεπὸν, εἰ πολλοῖς τις χρῆσαιτο φίλοις. Πολλῶν γὰρ ὄντων οἱ μὲν χαίρουσιν, οἱ δὲ ἄχθονται κατὰ ταυτόν. Καὶ δέον τὸν φίλον ἐπιμερίζειν ἑαυτὸν ἑκατέροις. Τὸ δὲ ἐπίπονον· ἴσως οὖν εὖ ἔχει μὴ ζητεῖν σφόδρα πολυφιλώτατον εἶναι, ἀλλὰ τοσούτους προσδέχεσθαι φίλους, ὅσοις δυνάμεθα συζῆν, καὶ συνημερεύειν, καὶ συναλγεῖν, καὶ συγχαίρειν. Οὕτω δὲ χρῆσθαι πολλοῖς οὐκ ἐνδέχεται διὰ τοῦτο, οὐδὲ κατὰ τὴν ἐρωτικὴν φιλίαν πολλῶν ἐνδέχεται φίλον εἶναι. Ἡ

γὰρ

γὰρ ἐρωτικὴ φιλίας ἐστὶν ὑπερβολή, καὶ διὰ τοῦτο πρὸς ἕνα δύναται γίνεσθαι. Τὸν ἴσον δὴ τρόπον καὶ ἐπὶ τῆς κατ' ἀρετὴν φιλίας πολλοὺς σφόδρα φιλεῖν, καὶ τὰ φιλικὰ πάντα σώζειν περὶ αὐτοὺς οὐκ ἐνδέχεται, ὀλίγοις δὲ οὕτω χρήσασθαι δυνατόν. Τούτοις δὲ τοῖς λόγοις καὶ τὰ πράγματα μαρτυρεῖ. Οὐ γὰρ γίνονται φίλοι πολλοὶ κατὰ τὴν ἑταιρικὴν φιλίαν· ἀλλ' αἱ μάλιστα ὑμνούμεναι ἑταιρικαὶ φιλίαι ἐν δυσὶ γενέσθαι λέγονται.

Οἱ δὲ πολύφιλοι, καὶ πᾶσιν οἰκείως ἐντυγχάνοντες, καὶ ἃ δεῖ ἑκάστῳ τῶν πολιτῶν καὶ λόγοις καὶ ἔργοις ἀποδιδόναι δοκοῦντες, οὐδενὶ φίλοι εἰσὶ τὴν ἀκριβῆ καὶ ἀληθῆ φιλίαν. Ἀλλὰ φίλοι ἂν λέγοιντο τὴν λεγομένην πολιτικὴν φιλίαν. Τούτων δὲ οἱ μὲν ἄρεσκοί εἰσι, πάντα τοῖς συνοῦσι χαριζόμενοι· περὶ ὧν ἐν τοῖς ἔμπροσθεν εἴρηται· οἱ δὲ ἐπιεικεῖς εἰσι, καὶ πρὸς ἀλήθειαν συνῶσι καὶ τὸ ἀγαθόν, οἳ καὶ φίλοι καλοῦνται διὰ τὴν πρὸς τὴν φιλίαν ὁμοιότητα, καὶ εἰσὶ μεταξὺ τῶν τε ἀρέσκων καὶ τῶν δυσκόλων ἐπαινετοί, ἀμφοτέρων ψεκτῶν καθὼς ἐν τῷ ὀγδόῳ κεφαλαίῳ τοῦ τετάρτου βιβλίου διείληπται· τοιούτους μὲν οὖν φίλους πολλοὺς ἄν τις εὕροι· τοὺς δὲ κυρίως φίλους ἀγαπητὸν καὶ ὀλίγους εὑρεῖν.

poſſumus amicitia. Eſt enim quaſi amicitiæ quidam exceſſus, amatoria: ideoque cum uno tantum inſtitui ſolet. Eodemque modo in ea quæ virtutis cauſa colitur amicitia, ut multos admodum diligamus, omniaque erga eos amicitiæ tueamur officia, vix fieri poteſt: ſed contra cum paucis ita agimus. Quibus rationibus etiam exempla reſpondent. Nunquam enim multi in ea quam ſodalitiam vocant amicitia, ſunt amici: ſed eæ quæ maxime in hoc genere celebrantur, duorum fuiſſe dicuntur. Ariſtot. l. 9. c. 10.

Qui vero & plures habent & omnibus familiariter utuntur amicis, ſed & ſingulis quæ oportet tam verbis quam re tribuere videntur civibus, nulli vera illa & ſolida amicitia ſunt amici: ſed amici tantum civili eſſe amicitia dici poſſunt. Quorum alii ſunt quos blandos vocant, qui in omnibus gratificari amicis ſolent: de quibus ſupra dictum eſt: alii quos æquos dicunt, qui & veritatis ſtudio & honeſtatis cum amicis verſantur: qui quidem ab ea quam cum amicitia habent ſimilitudine, amici dicuntur: ſuntque inter blandos ac moroſos laude digni: quemadmodum in octavo libri quarti dictum eſt capite. Tales ergo multi inveniri poſſunt amici. Eos vero qui proprie ita dicuntur, vel pauciſſimos invenire ſufficerit. Οἱ δὲ πολύφιλοι καὶ πᾶσιν.

Ariſtot. l.9.c.11.

CAP. XII.

Utrum in ſecunda, an vero in adverſa fortuna, magis amicis opus habeamus: deinde vivere cum amicis & verſari proprium tam in bonorum quam improborum amicitiis opus eſſe.

Cap. 11. Πότερον δ' ἐν εὐτυχίαις, &c.

CUm ergo & felices opus habeant amicis & infelices; illud quærendum eſt, utri magis opus iis habituri ſunt. Nam & qui adverſa utuntur fortuna, amicorum opus auxilio habent: & felices tum cum quibus vivere, tum de quibus bene poſſint mereri. Nam & bene volunt facere, & ad felicitatem iis hoc neceſſe eſt.

Ἀναγκαιότερον μὲν, &c.

Aliqua igitur ex parte magis qui adverſa utitur fortuna opus amicis habet, aliqua rurſus, qui ſecunda. Alter quidem neceſſitatis, alter vero honeſtatis cauſa. Ei enim qui adverſa utitur fortuna magis neceſſarii amici ſunt quam qui ſecunda.

Κάλλιον δ' ἐν ταῖς, &c.

Felici tamen & qui ſecunda utitur fortuna, pulchrius, quam qui adverſa: ideoque in adverſis quidem rebus non tam honeſtis opus eſt amicis, quam utilibus & qui prodeſſe poſſunt: in ſecunda autem minime utilibus, ſed honeſtis tantum. Probos enim magis quærunt qui feliciores ſunt, taleſque magis beneficiis afficere geſtiunt, & cum iis vivere.

Κουφίζονται γὰρ οἱ λυπούμενοι, &c.

Ipſa enim, etiam cum favet fortuna, grata eſſe ſolet amicorum præſentia. Aliquid enim de dolore ſuo remittunt qui ad-

ΚΕΦ. ιβ'.

Πότερον ἐν εὐτυχίαις φίλων μᾶλλον δεῖ ἢ ἐν ἀτυχίαις, καὶ ὅτι τὸ συζῆν ἰδιαίτατον ἔργον ἐν φιλίαις σπουδαίων τε καὶ φαύλων.

ΕΠεὶ δὲ δεῖ φίλων τοῖς τε εὐδαίμοσι καὶ τοῖς δυστυχέσι, ζητητέον ποτέροις μᾶλλον δεήσει τῶν φίλων. Οἵ τε γὰρ ἀτυχοῦντες δέονται τῆς παρὰ τῶν φίλων ἐπικουρίας, οἵ τε εὐδαίμονες οἷς συζήσουσι, καὶ οὓς εὖ ποιήσουσιν. Ἐθέλουσι γὰρ εὖ ποιεῖν, καὶ ἀναγκαῖον αὐτοῖς ἐστὶν εἰς τὴν εὐδαιμονίαν.

Ἔστι τρόπον μέν τινα τῷ δυστυχεῖ χρεία φίλων μᾶλλον, κατ' ἄλλον δὲ τρόπον τῷ εὖ πράττοντι μᾶλλον· τὸ μὲν διὰ τὸ ἀναγκαῖον, τὸ δὲ διὰ τὸ καλόν. Τῷ μὲν γὰρ δυστυχεῖ ἀναγκαιότεροι οἱ φίλοι, ἢ τῷ εὐδαίμονι.

Τῷ εὐδαίμονι δὲ κάλλιον, ἢ τῷ κακῶς πράττοντι. διὰ τοῦτο ἐν μὲν ταῖς ἀτυχίαις οὐ τοσοῦτον δεῖ φίλων σπουδαίων, ὅσον ὠφελίμων καὶ χρησίμων, ἐν δὲ ταῖς εὐτυχίαις οὐδαμῶς χρησίμων, ἀλλὰ ἀγαθῶν μόνον. Τοὺς γὰρ ἐπιεικεῖς οἱ εὐδαίμονες ζητοῦσι, καὶ τούτους βούλονται μᾶλλον εὐεργετεῖν, καὶ μετὰ τούτων διάγειν.

Ἔστι γὰρ καὶ ἡ παρουσία αὐτὴ τῶν φίλων ἡδεῖα, καὶ ἐν ταῖς εὐτυχίαις. Κουφίζονται γὰρ

οἱ

οἱ λυπούμενοι συναλγούντων αὐτοῖς τῶν φίλων. Διὰ τοῦτο καὶ ἀπορήσειε ἄν τις, ἀνθ' ὅτου κουφίζονται τῷ συναλγοῦντας τοὺς φίλους ὁρᾶν, δοκεῖ γὰρ ὥσπερ βάρος μεριζόμενον καὶ πρὸς τοὺς φίλους κουφίζεσθαι. Τὸ δὲ οὐκ ἔστιν· ἀλλ' ἡ ἐπὶ τῇ παρουσίᾳ τῶν φίλων ἡδονή, καὶ τὸ τοὺς συναλγοῦντας ὁρᾶν ἡδὺ ὄν, ἐλάττω ποιεῖ τὴν λύπην. Ἡδονὴ γὰρ λύπην ἐλαύνει. Εἰ μὲν οὖν διὰ ταῦτα, ἢ δι' ἄλλο τι κουφίζονται, ἀφείσθω ζητεῖν ἐπὶ τοῦ παρόντος. Ὅτι δὲ ῥᾶους γίνονται οἱ λυπούμενοι διὰ τὴν παρουσίαν τῶν φίλων, φανερόν ἐστι.

Ἔοικε δὲ μὴ καθαρῶς χαίρειν αὐτοὺς τοῖς συναλγοῦσι τῶν φίλων, μηδὲ ἄμικτον αὐτοῖς εἶναι τὴν τοιαύτην ἡδονήν, ἀλλὰ καὶ ἀλγεῖν ἐν τῷ μέρει. Αὐτὸ μὲν γὰρ τὸ ὁρᾶν τοὺς φίλους ἡδύ, μάλιστα τοῖς ἀτυχοῦσι, καί τις αὐτῷ γίνεται ἐπικουρία πρὸς τὸ μὴ λυπεῖσθαι. Παραμυθητικὸν γὰρ ὁ φίλος, καὶ ὁρώμενος καὶ λέγων, ἐὰν ᾖ ἐπιδέξιος· γινώσκει γὰρ τὸν τοῦ φίλου τρόπον, καὶ οἷς χαίρει, καὶ οἷς λυπεῖται, καὶ δύναται παραμυθήσασθαι ῥᾳδίως.

Κατὰ τοῦτον μὲν τὸν τρόπον ἡδεῖά ἐστιν ἡ παρουσία τῶν φίλων. Τὸ δὲ λυπούμενον αἰσθάνεσθαι τὸν φίλον ἐπὶ ταῖς ἑαυτοῦ ἀτυχίαις, λυπηρὸν ποιεῖ τηνικαῦτα τὴν συνουσίαν τῶν φίλων· πᾶς γὰρ λυπηρὸν ἡγεῖται

verſa utuntur fortuna, ſi cum iis doleant amici. Unde dubitare poſſet aliquis: quæ ſit rei hujus cauſa, & cur pleriq; minus doleant, ſi dolere ſecum videant amicos. Videtur enim dolor, inſtar oneris cujuſdam, quod dividitur & cum amicis mitigatur: quod ita non eſt tamen. Sed ea quæ ex amicorum præſentia concipitur voluptas, & quod adverſam nobiſcum ſortem moleſte ferre amicos viſu ſit jucundum, noſtrum minuit dolorem. Voluptas quippe abigit dolorem. Interim tamen quæſtionem hanc, an nimirum hæc ſit cauſa, quod minuatur dolor eorum, an vero alia, in præſentia differamus. Nam certe præſentibus amicis mitigari dolorem, manifeſtum eſt.

Ariſtot. l. 9. c. 11.

Videntur tamen non plene neque ſimpliciter iis quos ſecum dolore vident delectari, neque meram eſſe hanc eorum voluptatem, ſed cum dolore aliquo conjunctam. Ipſe enim per ſe amicorum gratus eſt conſpectus, idque in adverſa præcipue fortuna: eſtque hoc quaſi aliquod adverſus dolorem remedium. Conſolationem enim tam ſermone, quam conſpectu adfert amicus, ſi præſertim dexter fuerit. Nam & mores amici habet perſpectos: tum quibus gaudeat aut quæ averſetur novit: nec difficile illi eſt ſolari lugentẽ.

Ἔοικε δ' ἡ παρουσία μικτή, &c.

Hoc igitur modo grata amicorum eſt præſentia. Dolorem vero ejus in adverſis noſtris ſentire caſibus, moleſtum tum temporis quodammodo amicorum efficit conſortium. Moleſtiæ enim cauſam eſſe

amici,

Ariſtot. l.9.c.11.

amicis, cuilibet moleſtum videtur. Et ideo qui natura ſunt viriles, ii ægre committunt, ut in partem ſecum doloris veniant amici, & niſi maximum adferre queant ſolatium, aut in maximis ſuccurrere doloribus, ſed contra exigua ſit in qua nobis dolorem ſuum commodare poſſunt moleſtia, nolunt cum iis communia habere mala, neque aliquem qui ſecum lugeat admittunt: quia nec ipſi lubenter lugent, ſed forti potius animo moleſtiam ferunt. Contra vero mulierculæ, & qui his ſimiles ſunt viri, gaudent lugentibus, eoſque tanquam amicos amant & doloris ſocios. Quos quidem imitari non oportet: ſed viriles illos potius. In omnibus enim ea quæ meliora ſunt ſequi oportet. Atque ita quidem adverſæ amicorum fortunæ ſuccurrunt amici.

Ἐν δὲ ταῖς εὐτυχίαις, &c.

In ſecundis vero rebus dupliciter amicorum grata eſt præſentia; tum quia jucundum ſit cum amicis verſari, quatenus ſunt amici, tum quia delectari eos bonis vident ſuis: quod maximæ teſtimonium eſt benevolentiæ.

Διὸ δόξειε δ' ἂν. δεῖν, &c.

Siquidem ergo quoties cum amicis adverſam noſtram communicamus fortunam, moleſtia eos afficimus, quoties ſecundam, exhilaramus, videtur decere magis ut cupide quidem in ſecundis, timide autem & cunctanter in adverſis eos advocemus rebus. Bene enim facere pulchrum eſt; quam minime autem communicanda ſunt

τὸ λύπης αἴτιον γίνεσθαι τοῖς φίλοις. Διὰ τοῦτο οἱ μὲν ἀνδρώδεις τὴν φύσιν, εὐλαβοῦνται συλλυπεῖσθαι τοὺς φίλους αὐτοῖς, κἂν μὴ μεγάλη μὲν ἡ παραμυθία ᾖ καὶ ἐπὶ μεγίστοις συμφοραῖς, μικρὰ δ' ἡ λύπη, ἣν συναλγοῦσιν αὐτοῖς, οὐκ ἀνέχονται κοινωνεῖν τοῖς φίλοις τῶν κακῶν, ὅλως τε τοὺς συνθρηνοῦντας οὐ προσίενται· διὰ τὸ μηδὲ αὐτοὶ θρηνητικοὶ εἶναι, ἀλλὰ γενναίως ἔχειν πρὸς τὰ λυπηρά. Γύναια δὲ, καὶ οἱ γυναικώδεις τῶν ἀνδρῶν τοῖς στενάζουσι χαίρουσι, καὶ φιλοῦσιν ὡς φίλους καὶ συναλγοῦντας. Δεῖ δὲ οὐ τούτους ἀλλὰ τοὺς ἀνδρικοὺς μιμεῖσθαι. Ἐν ἅπασι γὰρ προσήκει τὰ βελτίω διώκειν. Οὕτω μὲν ἐν τοῖς δυστυχοῦσιν οἱ φίλοι βοηθοῦσιν.

Ἡ δὲ ἐν ταῖς εὐτυχίαις παρουσία τῶν φίλων διπλῶς ἡδεῖά ἐστιν, ὅτι τε ἡδίστη ἐστὶν ἡ μετὰ τῶν φίλων διατριβὴ, καθόσον εἰσὶ φίλοι, καὶ ὅτι βλέπουσι χαίροντας τοῖς αὐτῶν ἀγαθοῖς, ὃ τῆς μεγίστης εὐνοίας τεκμήριόν ἐστιν.

Ἐπεὶ τοίνυν κοινωνοῦντες μὲν τοῖς φίλοις τῶν συμφορῶν λυποῦμεν, μεταδιδόντες δὲ τῆς εὐδαιμονίας εὐφραίνομεν, δόξειεν ἂν δεῖν εἶναι προθύμως μὲν καλεῖν αὐτοὺς εἰς τὰς εὐτυχίας, εἰς δὲ τὰς ἀτυχίας ὀκνοῦντα. Τὸ μὲν γὰρ εὐεργετεῖν καλόν· μεταδιδόναι δὲ τῶν κακῶν ὡς ἥκιστα δεῖ.

Διὰ

Διὰ τοῦτο καὶ ὁ τραγῳδός φησιν, Ἅλις ἐγὼ δυστυχῶν. Οὐδὲ γὰρ δεῖ τοὺς φίλους τῶν οἰκείων ἀναπιμπλάναι κακῶν. Τηνικαῦτα δὲ παρακλητέον τοὺς φίλους ἐπὶ τὸ συναλγεῖν, ὅταν μέλλωσιν ὀλίγα ὀχληθέντες μεγάλα τοὺς λυπουμένους ὠφελήσειν.

mala. Ideoque & Tragicus ait: Satis eſt quod ego miſer ſum. Neque enim malis noſtris onerare amicos convenit: quare tum demum in doloris ſocietatem vocandi ſunt amici, quoties quam minimo ipſi animi dolore plurimum prodeſſe amicis poſſunt.

Ariſtot. l.9.c.12.

Αὐτοὺς μὲν τοι τοὺς φίλους τὸ ἀνάπαλιν ἁρμόζει ποιεῖν πρὸς τοὺς ἐν συμφοραῖς, ἔξω συμφορῶν ὄντας. Ἰέναι γὰρ δεῖ πρὸς μὲν τοὺς ἀτυχοῦντας ἀκλήτους καὶ προθύμους· φίλου γὰρ τὸ εὖ ποιεῖν, καὶ μάλιστα τοὺς ἐν χρείᾳ, καὶ μήπω ἀξιώσαντας. Τοῦτο γὰρ ἀμφοτέροις, καὶ τῷ διδόντι, καὶ τῷ λαμβάνοντι καὶ κάλλιον καὶ ἥδιον. Εἰς δὲ τὰς εὐτυχίας ἰέναι μὲν, ἀλλὰ πρὸς μὲν τὸ συνεργεῖν καὶ βοηθεῖν τοῖς φίλοις τὴν εὐτυχίαν προθύμως ἔχειν. Πρὸς δὲ τὸ κοινωνεῖν τῆς εὐπαθείας αὐτοῖς, σχολαιότερον. Οὐ γὰρ καλὸν τὸ προθυμεῖσθαι ὠφελεῖσθαι. Προθυμουμένους δὲ καὶ ἐπειγομένους τοὺς φίλους ὠφελεῖν, ἴσως οὐ δεῖ διωθεῖσθαι καὶ ἀποσείεσθαι τὴν εὐεργεσίαν, μὴ καὶ δόξωσι πρὸς τοὺς φίλους ἀηδῶς ἔχειν. Τοῦτο γὰρ ἐνίοτε συμβαίνει.

Ipſos vero contra facere amicos oportet, quoties adverſis premi caſibus amicum vident, ipſi vero extra calamitatem vivunt. Sponte enim ac lubenti animo ad eos qui cum adverſa colluctantur fortuna, ſe conferre debent: proprium enim benefacere, amici eſt, maximeq; ſi quis egeat, neque tamen adhuc poſtulet. Illud enim utrique, tum qui dat, tum qui accipit, & honeſtius eſt & jucundius. Et in ſecundis quidem rebus accedendi ſunt: eo tamen animo, ut ſubſidium iis, & opem noſtram, etiam in fortunæ proſperitate, prompto offeramus animo: ut vero boni aliquid ex eo conſequamur, tardius. Neque enim beneficio lubenter velle affici, honeſtum eſt: ſicut nec illi qui ſtudioſe aut cupide prodeſſe amicis conantur, forte ſunt rejiciendi, aut eorum reſpuendum eſt beneficium: nè parum humano erga amicos videamur eſſe animo. Hoc enim fieri nonnunquam ſolet.

Ἰέναι δὲ ἀνάπαλιν ἴσως, &c

Φανερὸν δή ἐστιν ἐκ τῶν εἰρημένων, ὅτι τοῖς φίλοις αἱρετώτατόν ἐστι τὸ ζῆν μετ' ἀλλήλων. Καὶ καθάπερ τοῖς ἐρῶσιν ἀγαπητότατόν ἐστι τὸ ἀλλήλους ὁρᾶν, καὶ μᾶλλον αἱροῦνται κατὰ ταύτην τὴν αἴσθησιν συ-

Apparet ex ſuperioribus ergo, nihil mutua illa vivendi inter ſe conſuetudine amicis gratius eſſe. Et quemadmodum amantibus, ſi ſe mutuo conſpiciant longe id gratiſſimum eſt, magiſque hoc ſenſu dum una verſantur, quam

Cap. 12. Ἆρ' οὖν ὥσπερ τοῖς ἐρῶσι, &c.

Ariſtot. l.9.c.12.

alio quovis frui gaudent, idque propterea quod ex hoc potiſſimum & naſcatur primo & conſiſtat amor ipſe: ita & amicis nihil ex reliquis, quæ in amicitia requiruntur, officiis, mutua illa conſuetudine præferendum eſt.

Κοινωνία γὰρ ἡ φιλία, &c.

Communio enim quædam eſt & omnium communionum perfectiſſima, hæc ſimul vivendi ratio. In communione autem conſiſtit amicitia: communio enim eſt amicitia. Ut omittam quod & ſenſus ſui quatenus ſe eſſe ſentit aliquis, omnibus eſt gratiſſimus, quemadmodum & ſupra dicebamus: amici autem reſpectu quivis ſe habet tanquam ſui: quare & amici ſenſus, quatenus eum eſſe ſentit, maxime ei eligendus eſt. Re ipſa autem amicum ſentit, qui cum eo agit, vivit, ac verſatur. Quare & libenter una vivunt amici. Ideoque quilibet id quod humanam eſſe arbitratur functionem, & cujus rei cauſa vitam appetit, aut quod ipſam eſſe exiſtimat humanam vitam, in hoc ipſo vivere optat cum amicis, & verſari. Quare alii potare, alii aleam ludere, alii venari, alii gymnaſticis cum amicis exercere ſe malunt ſtudiis: quia hæc magni faciunt, & horum ſocios habere amicos volunt. Alii rurſus ſimul philoſophantur, alii aliis in functionibus aut vivendi generibus adhibent amicos: omnes deniq; in iiſdem vitam ponere amant una cum amico ſtudiis, quæ plurimi in vita facienda eſſe arbitrantur. Quia enim libenter

νῆραι ἀλλήλοις, ἢ κατὰ τὰς ἄλλας, ὡς διὰ ταύτης τῆς αἰσθήσεως καὶ γινομένου τοῦ ἔρωτος ὑπ' ἀρχῆς καὶ συνισταμένου, οὕτω καὶ τοῖς φίλοις τῶν ἄλλων φιλικῶν μάλιστα πάντων, αἱρετώτατόν ἐστι τὸ συζῆν.

Κοινωνία γὰρ ἐστὶ τὸ συζῆν, καὶ κοινωνιῶν ἡ τελειωτάτη. Ἡ δὲ φιλία ἐν τῇ κοινωνίᾳ ἔχει τὸ εἶναι. Κοινωνία γὰρ ἡ φιλία. Ἄλλως τε καὶ ὅτι τὸ αἰσθάνεσθαί τινα ἑαυτοῦ αἱρετώτατόν ἐστιν, ὡς ἐν τοῖς ἔμπροσθεν εἴρηται. Πρὸς δὲ τὸν φίλον οὕτως ἔχει, ὡς πρὸς ἑαυτόν. Ὥστε καὶ τὸ αἰσθάνεσθαι τοῦ φίλου αἱρετὸν ἂν εἴη μάλιστα πάντων. Αἰσθάνοιτο δ' ἄν τις ἐνεργείᾳ τοῦ φίλου συνών, καὶ συζῶν, καὶ συνδιάγων αὐτῷ· ὥστε εἰκότως ἐφίενται συζῆν ἀλλήλοις οἱ φίλοι. Διὰ τοῦτο καὶ ἕκαστος ὃ νομίζει εἶναι τὴν ἀνθρωπίνην ἐνέργειαν, καὶ οὗ ἕνεκα αἱρεῖται τὸ ζῆν, καὶ ὃν ἀνθρώπινον ἡγεῖται βίον, ἐν τούτῳ μετὰ τῶν φίλων βούλεται ζῆν καὶ διάγειν· καὶ οἱ μὲν συμπίνειν οἴονται δεῖν τοῖς φίλοις, οἱ δὲ συγκυβεύειν, οἱ δὲ συνθηρεύειν καὶ συγγυμνάζεσθαι, ὅτι ταῦτα αὐτοῖς τίμια εἶναι δοκεῖ, καὶ δεῖν τούτων κοινωνοὺς ἔχειν τοὺς φίλους. Ἕτεροι δὲ συμφιλοσοφοῦσι καὶ ἄλλοι ἄλλων ἐνεργειῶν καὶ βίων κοινωνοῦσι τοῖς φίλοις, καὶ ὅλως ἕκαστοι ἐν τούτῳ συνημερεύειν βούλονται τοῖς φίλοις, ὅτι περ μάλιστα ἀγαπῶσι τῶν ἐν βίῳ. Συζῆν γὰρ βουλόμε-

ιοι μετὰ τῶν φίλων ταῦτα ποιοῦσι, καὶ τούτων κοινωνοῦσιν ἃ καὶ ἀμφοτέροις ἡδέα ἐστίν. Οὕτω γὰρ συζῆν δυνατόν.

Γίνεται οὖν ἡ μὲν τῶν φαύλων φιλία μοχθηρά, καὶ κοινωνοῦσιν ἀλλήλοις τῶν φαύλων, καὶ ἡ φιλία αὐτοῖς οὐχ ἕστηκεν. Ἀβέβαιοι γάρ εἰσι· καὶ χείρους δὲ γίνονται ἑαυτῶν, ὁμοιούμενοι ἀλλήλοις καὶ παρακαλοῦντες ἀλλήλους ἐπὶ τὰ φαῦλα.

Ἡ δὲ τῶν ἐπιεικῶν φιλία ἐπιεικής ἐστι καὶ βεβαία, συναυξανομένη ἀεὶ ταῖς ὁμιλίαις· δοκοῦσι δὲ καὶ βελτίους γίνεσθαι ταῖς ἀγαθαῖς ἐνεργείαις, διορθοῦντες ἀλλήλους. Ἀπομάττονται γὰρ παρ' ἀλλήλων τὰ παρ' ἑκατέρῳ ἀγαθά, δι' ἃ φιλοῦσιν ἀλλήλους. Διὰ τοῦτο καὶ ποιητής τις φησίν,

Ἐσθλῶν μὲν γὰρ ἄπ' ἐσθλά. Καὶ γὰρ ἀπὸ μὲν τῶν ἀγαθῶν ἀγαθά, ἀπὸ δὲ τῶν φαύλων φαῦλα καρπούμεθα. Περὶ μὲν οὖν φιλίας ἐπὶ τοσοῦτον εἰρήσθω. Ἑπόμενον δ' ἂν εἴη διελθεῖν περὶ ἡδονῆς.

cum amicis vivunt, ea & faciunt & cum iis communia habere volunt, quæ utriſque ſunt jucunda. In his enim mutua illa conſuetudo conſiſtit. Ariſtot. l.9.c.12.

Improborum igitur & malorum talis quoq; eſſe amicitia ſolet: improbarum enim & malarum inter eos rerum eſt communio: ſed neq; manet eorum aut conſiſtit amicitia. Inconſtantes ſunt enim: tum quotidie ſimilitudine mutua, & quia ad res deteſtandas & improbas alter alterum exhortari ſolet, pejores evadunt. Γίνεται οὖν ἡ μὲν τῶν φαύλων, &c.

Proborum vero contra & proba eſt & conſtans amicitia: quæ cum ipſa vivendi quoq; accreſcit conſuetudine: ſicut bonis quoq; meliores evadere functionibus videntur: alter enim alterum emendat. Sed & ab altero alter mutuatur bona: quare alter quoque alterum diligit. Unde & poeta quidam ait, Ἡ δὲ τῶν ἐπιεικῶν, &c.

Namque boni bona ſola docent.

A bonis enim bona, ſicut ab improbis improba conſequimur. Ac de amicitia quidem hactenus ſit dictum. Sequitur ut de voluptate dicamus.

ARISTOTELIS ETHICORUM

LIBER X.

Ariſtot. l.10.c.1.

CAP. I.

De voluptate.

Cap. 1. Μετὰ δὲ ταῦτα περὶ ἡδονῆς, &c.

POſt hæc vero de voluptate ſequitur ut plenius agamus, quæ quidem quodammodo cum humano nata eſt eiq; adhæſit genere. Ideoque in diſciplina juventutis, voluptate eam ac dolore ducimus: & dolore quidem à malis avertimus, voluptate autem ad bonum propellimus, Unde apparet, natura & dolorem nos vitare, & voluptatem ſequi. Quia vero cum de affectibus humanis, tum de actionibus inſtitutus nobis ſermo eſt, etiam de voluptate agendum nobis erit, quod & argumenti noſtri ratio requirit. Videtur autem ad conſequendam moralem virtu-

ΚΕΦ. α.

Περὶ ἡδονῆς.

ΜΕτὰ δὲ ταῦτα περὶ ἡδονῆς ἀκόλουθόν ἐστι διελθεῖν τελεώτερον· καὶ γὰρ συμπέφυκέ πως καὶ συνῳκειωμένη τῷ γένει ἡμῶν. Διὰ τοῦτο καὶ παιδαγωγοῦντες τοὺς νέους ἄγομεν ἡδονῇ καὶ λύπῃ, διὰ μὲν τῆς λύπης ἀπάγοντες τῶν φαύλων, διὰ δὲ τῆς ἡδονῆς εἰς τὸ ἀγαθὸν προτρεπόμενοι. Ὅθεν δῆλον, ὅτι φύσει τὴν μὲν λύπην φεύγομεν, τὴν δὲ ἡδονὴν διώκομεν. Ἐπεὶ δὲ περὶ τῶν ἀνθρωπίνων παθῶν καὶ πράξεων ὁ λόγος ἡμῖν, καὶ περὶ τῆς ἡδονῆς διαλαβεῖν εἰκὸς ἂν εἴη, καὶ πρέπον τῇ πραγματείᾳ. Φαίνεται δὲ ὅτι οὐ μικρὰ συμβάλλεται πρὸς τὴν κτῆσιν τῆς ἠ-

ἠθικῆς

ἠθικῆς ἀρετῆς τὸ χαίρειν οἷς χαίρειν προσήκει, καὶ μισεῖν ἃ δέον ἐστὶ μισεῖν. Ταῦτα γὰρ συμπαρεκτείνεται τῷ ἀνθρωπίνῳ βίῳ. Καὶ γὰρ τοῖς μὲν χαίρομεν, τοῖς δὲ λυπούμεθα. Καὶ μεγάλην ῥοπὴν ἔχει πρὸς τὴν ἀρετὴν καὶ τὸν εὐδαίμονα βίον, εὖ καὶ καλῶς, καὶ κατὰ τὸν ὀρθὸν γινόμενα λόγον.

Περὶ δὲ τῶν τοιούτων μὴ λέγειν ἥκιστα ἂν δόξειεν εἰκὸς εἶναι, ἐπεὶ μηδὲ ἁπλοῦς μηδὲ προφανὴς ὁ περὶ τῆς ἡδονῆς λόγος, ὥστε μὴ δεῖσθαι πολλῶν καὶ σπουδαίων λόγων· ἀλλὰ οὕτω πολλήν τινα τὴν ἀμφισβήτησιν ἔχειν ὥστε οἱ μὲν αὐτὸ τὸ ἔσχατον ἀγαθὸν τὴν ἡδονὴν εἶναι φασίν, οἱ δὲ οὐδ' ἀγαθὸν ἁπλῶς, ἀλλ' ἐξ ἐναντίας κομιδῇ φαῦλον. Καὶ τῶν λεγόντων φαῦλον ἡδονήν, οἱ μὲν καὶ αὐτοὶ φρονοῦσιν οὕτως ἔχειν, καὶ πεπεισμένοι εἰσὶ φαῦλον αὐτὴν εἶναι· οἱ δὲ φρονοῦσι μὲν ἀγαθήν τινα ἡδονὴν εἶναι, τοὺς δὲ ἄλλους ἐθέλουσι πείθειν φαῦλον ἁπλῶς ἅπασαν εἶναι, νομίζοντες οὕτως βέλτιον εἶναι τῷ βίῳ, καὶ λυσιτελέστερον τοῖς ἀνθρώποις τὴν ἡδονὴν οἴεσθαι φαῦλον εἶναι. Φύσει γὰρ πάντας ἀνθρώπους εἰς αὐτὴν ῥέποντας δέον εἶναι φασὶν εἰς τοὐναντίον ἕλκειν, καὶ δι' ὧν ἔξεστι καθάπαξ τῶν ἡδονῶν ἀπάγειν, ἵνα δυνηθῶσιν εἰς τὸ μέσον ἐλθεῖν, καὶ ὡς δεῖ πρὸς τὴν ἡδονὴν ἔχειν. Ταῦτα δὲ οὐ καλῶς λέγουσιν. Οὐ γὰρ οὕτω

tem non parum conferre; ut quis iis quibus debet gaudere, gaudeat, quæ odiſſe debet, ea oderit. In univerſam enim hæc ſe extendunt vitam. Aliis enim delectari, alia odiſſe ſolemus. Quæ duo tum ad beatam multum ponderis habere vitam videntur, ſi bene atque honeſte, & quemadmodum recta poſtulat ratio, ſe habeant. Ariſtot. l. 10. c. 1.

De his autem talibuſque ut nihil dicamus, minime videtur æquum eſſe. Cum præcipue non ita ſimplex aut aperta ſit ac manifeſta ea quæ de voluptate haberi ſolet diſputatio, ut non multæ ac graviſſimæ ad intellectum ejus requirantur rationes: ſed tam multa adhuc in ea controverſa ſint relicta, ut alii ipſum ſummum bonum eſſe voluptatem, alii nè bonum quidem eſſe dicant, ſed contra omnino malum. Et ex iis quidem qui malum eſſe dicunt voluptatem, alii quidem ita ſentiunt, & ita eſſe ſibi perſuadent, eſſe ſcilicet malum: alii vero bonam aliquam eſſe voluptatem non ignorant, aliis vero id perſuadere conantur, ſimpliciter malum omnes eſſe: quod exiſtiment hoc magis vitæ conducere, magiſq; è re eſſe hominum, ut malum eſſe arbitrentur voluptatem. Cum enim omnes ad eam natura propenſi ſint homines, in contrarium eos pertrahendos eſſe, & qua potiſſimum fieri poteſt ratione, omnino ab iis avertendos eſſe: ut ad medium nimirum pervenire, & quemadmodum oportet ſe habere ad voluptatem poſſint. Quod quidem non recte ab iis dicitur: neq;

Τὴν δὲ τοιούτων ἥκιστα ἂν δόξειε, &c.

Ariſtot. l. 10. c. 1. enim hoc modo improborum vulgus à voluptate deterrere aut avertere poterunt homines. Humani quippe affectus quæq; agunt homines, magis faciunt fidem, quam quæ de iis diſputantur. Quum ergo verbis quidem voluptatem vituperent, actionibus autem ſuis eandem & affectibus commendent, atq; eo ſibi contradicant modo, ab iis qui audiunt ea aut vident, ridentur. Neque quicquam iis verbis apud populum proficiunt, quæ re ipſa arguuntur. Qui enim vituperare voluptatem ſolet, ſi ſemel appetere eam videatur, inclinare in eam, bonamque eam exiſtimare videtur. Quo perſuadet præſentibus, non quandam tantum voluptatem bonam eſſe, ſed omnem ſimpliciter laudandam. Definire enim aliquid aut diſtinguere, & hanc quidem bonam, illam vero malam eſſe poſſe, dijudicare non eſt vulgi. Sed ſimul ac cordatum virum delectari aliqua vident voluptate, omnem quoque voluptatem bonam eſſe judicant atque eligendam. Atque ita non tantum non probarunt quod volebant, ſed & ipſam quoque ſimul everterunt veritatem.

Ἐοίκασιν οἱ ἀληθεῖς, &c. Unde manifeſtum eſt, veros ſermones, non modo ad cognitionem eſſe utiliſſimos, quia omnem purgant errorem, verum etiam, quia vitæ conducunt: creduntur enim, quia vitam ſequuntur.

δυνήσονται τοὺς πολλοὺς τῶν φαύλων ἀπαγαγεῖν ἡδονῶν. Τὰ γὰρ ἀνθρώπινα πάθη, καὶ ἃ δρῶσι, πιστότερά εἰσι τῶν περὶ αὐτὰ λόγων. Ὅταν τοίνυν οἱ μὲν λέγουσι τὴν ἡδονὴν ψέγωσι, δι᾽ ὧν δὲ ποιοῦσι καὶ πάσχουσιν ἐπαινῶσιν, ἑαυτοῖς ἀντιλέγοντες, ὑπὸ τῶν ἀκουόντων καὶ ὁρώντων καταγελῶνται· καὶ τοῖς λόγοις οὐδὲν μᾶλλον ὤνησαν τοὺς πολλοὺς, ὑπὸ τῶν πραγμάτων ἐλεγχομένοις. Ὁ γὰρ ψέγων τὴν ἡδονὴν ὀφθείς ποτε ἐφιέμενος αὐτῆς, ἀποκλίνειν δοκεῖ πρὸς αὐτὴν, καὶ ἀγαθὸν ἡγεῖσθαι. Καὶ οὕτω δόξαν ἐντίθησι τοῖς ὁρῶσιν οὔ τινα ἡδονὴν ἀγαθὸν εἶναι, ἀλλ᾽ ἁπλῶς ἅπασαν ἐπαινεῖσθαι. Τὸ γὰρ διορίζειν καὶ διαιρεῖν, καὶ τὸ μὲν ἀγαθὸν εἶναι κρίνειν, ἐνδέχεσθαι δὲ ἄλλην φαύλην εἶναι, οὐκ ἔστι τῶν πολλῶν. Ἀλλ᾽ ἅμα τε εἶδον τὸν νοῦν ἔχοντα ἡδονῇ τινὶ χαίροντα, καὶ πᾶσαν ἡδονὴν ἀγαθὸν καὶ αἱρετὸν ᾠήθησαν εἶναι. Καὶ οὕτως οὐ μόνον ἃ ἐβούλοντο οὐκ ἔπεισαν, ἀλλὰ καὶ τὴν ἀλήθειαν προσαπώλεσαν.

Ὅθεν φανερὸν, ὅτι οἱ ἀληθεῖς λόγοι οὐ μόνον πρὸς τὴν γνῶσιν χρησιμώτατοι εἰσι, πλάνης καθαίροντες ἁπάσης, ἀλλὰ καὶ τῷ βίῳ λυσιτελοῦσι· πιστεύονται γὰρ τοῖς ἔργοις ἀκολουθοῦντες.

Ariſtot. l. 10. c. 2.

ΚΕΦ. β'.

Ἡ τοῦ Εὐδόξου περὶ ἡδονῆς ὑπόληψις, καὶ Πλάτωνος, καὶ ἑτέρων· καὶ ἔτι ὅτι ἀγαθὸν ἡ ἡδονὴ, καὶ οὐ πᾶσα αἱρετή· καὶ λύσις τῶν ἐναντίων λόγων.

Περὶ μὲν τούτων ἅλις· λέγωμεν δὲ περὶ ἡδονῆς. Καὶ πρῶτον ἐκθησόμεθα τὰς τῶν παλαιῶν περὶ αὐτῆς δόξας. Ὁ μὲν οὖν Εὔδοξος αὐτὸ τὸ ἔσχατον ἀγαθὸν ᾤετο τὴν ἡδονὴν εἶναι, διότι πάντα ἑώρα τῆς ἡδονῆς ἐφιέμενα, καὶ λογικὰ, καὶ ἄλογα. Οὗ δὲ πάντα ἐφίεται, τοῦτό ἐστι τὸ πάντων ὑπερέχον τῶν ἀγαθῶν· ᾤετο γὰρ ἀγαθὸν μὲν ἑκάστῳ εἶναι οὗ ἰδίως ἕκαστος ζητεῖ. Καθάπερ καὶ τροφὴν ἕκαστον διώκει τὴν ἑαυτῷ ἀγαθὴν καὶ λυσιτελῆ· πᾶσι δὲ κοινῶς ἀγαθὸν οὗ πάντα κοινῶς ἐφίενται, καὶ πορίζειν βούλονται ἑαυτοῖς. Ὃ δὲ πᾶσιν ἐστὶν ἁπλῶς ἀγαθὸν, καὶ οὗ πάντα ἐφίεται, τοῦτο εἶναι τὸ ἔσχατον ἀγαθόν· ταῦτα μὲν οὖν Εὔδοξος ἀπεφαίνετο περὶ τῆς ἡδονῆς. Ἐπιστεύοντο δὲ οἱ λόγοι διὰ τὴν ἐν τῷ ἤθει τοῦ λέγοντος ἀρετὴν μᾶλλον, ἢ δι' ἑαυτούς. Σώφρων γὰρ ὢν διαφερόντως, οὐχ ὡς φίλος τῆς ἡδονῆς ἐδόκει ταῦτα λέγειν, ἀλλὰ τῷ σφόδρα τῆς ἀληθείας φροντίζειν. Ἔτι καὶ ἐκ τοῦ ἐναντίου τῇ ἡ-

CAP. II.

Eudoxi & Platonis de voluptate opinio; item aliorum: tum bonum eſſe voluptatem, neque omnem tamen eligendam eſſe: tum contrariorum argumentorum ſolutio.

Cap. 2. Εὔδοξος μὲν οὖν τὴν ἡδονὴν, &c.

ET de his quidem ſatis: jam vero de voluptate dicamus. Ac primo quidem veterum de ea opiniones exponamus. Eudoxus igitur ipſum ſummum eſſe bonum voluptatem judicabat: quia voluptatem appetere videbat omnia, tum quæ ratione ſunt prædita, tum quæ ea carent. Quod vero ab omnibus appetitur, id omnium bonorum eſt maximum. Id enim quod ſinguli petunt, ſingulis quoque bonum putabat eſſe. Sicut quiſque cibum ſibi bonum appetit, aut quem conducere exiſtimat. Communiter vero bonum omnibus, quod omnes petunt communiter, & comparare volunt ſibi. Quod vero omnibus ſimpliciter bonum eſt, & quod omnes appetunt, illud eſſe extremum bonum. Et hæc quidem ſunt, quæ de voluptate Eudoxus pronunciabat. Accedebant autem ejus opinioni homines, magis virtutis quam in moribus ejus obſervabant, quam ipſius cauſa. Cum enim ſingulari eſſet præditus temperantia, non ut amicus voluptatis dicere illa videbatur, ſed quod magnam veritatis rationem haberet. Sed & ex contrarietate doloris cum voluptate idem

Ariſtot. l. 10. c. 2.

dem quoque manifeſtum eſſe videbatur. Cum enim omnia dolorem fugiant, neceſſarium quoq; eſſe ut voluptatem omnia ſequantur. Quod vero ſequuntur omnia, id voluptatem eſſe. Sed & hoc modo argumentari conabatur. Id maxime expetendum eſſe, quod per ſe expetendum eſt, quodq; non ob aliud, neque alterius cauſa expetimus. Talem autem revera eſſe voluptatem. Nemo enim rogat, cujus rei cauſa voluptatem expetamus. Cum de aliis tamen hoc quærere ſoleamus: ſicut, exempli gratia, cujus rei gratia pecunias vel honorem expetamus. De voluptate autem non item. Nemo enim finem dare voluptatis poſſet, cujus cauſa ea velit affici: ſed ipſam per ſe eligit, ut quæ per ſe ſit talis. Cum autem id quod per ſe eſt eligendum, finis ſit extremus, ipſumq; adeo bonum, hinc colligebat, voluptatem eſſe extremum bonum. Sed & hinc manifeſtum eſſe id putabat de quo agitur, virtus enim cuicunq; accedat bono, optabilius illud facit magiſq; expetendum. Temperantiæ enim ſi adjungas voluptatem aut juſtitiæ, jucundiorem eam magiſque efficies expetendam ſe ipſa. Quod vero cuicunq; accedit bono melius illud efficere poteſt, hoc extremum eſſe exiſtimabat bonum. Hoc autem ſecus ſe habet. Quod enim cum accedit bono, melius hoc efficit bonum, bonum eſſe, eſt manifeſtum: neq; tamen neceſſe eſt extremum hoc eſſe bonũ, aut quodlibet melius. Quodlibet enim bonum, ſi alii acce-

δονὴ τῆς λύπης φανερὸν ᾤετο εἶναι. Τὴν γὰρ λύπην πάντα φεύγοντα, τὴν ἡδονὴν ἀνάγκην εἶναι πάντα διώκειν. Ὃ δὲ πάντα διώκει, τοῦτο εἶναι τὸ ἀγαθόν. Ἔτι καὶ οὕτως ἐπεχείρει λέγων, μάλιστα αἱρετὸν εἶναι, ὃ δι' ἑαυτὸ αἱρετόν ἐστι, καὶ ὃ μὴ δι' ἕτερον, μηδὲ ἑτέρου χάριν, αἱρούμεθα. Τοιοῦτον δὲ φανερῶς τὴν ἡδονὴν εἶναι· καὶ γὰρ οὐδεὶς ἐρωτᾷ τινος ἕνεκα τὴν ἡδονὴν βουλόμεθα· ἀλλὰ περὶ μὲν τῶν ἄλλων ἐρωτώμεθα, οἷον, φέρε εἰπεῖν, τινος ἕνεκα τὰ χρήματα, ἢ ἡ τιμή. Περὶ δὲ τῆς ἡδονῆς οὐκ ἔτι. Οὐδεὶς γὰρ δώσει τέλος τῆς ἡδονῆς, ἀνθ' ὅτου βούλεται ἥδεσθαι· ἀλλὰ αὐτὴν αἱρεῖται καθ' ἑαυτήν, ὡς καθ' ἑαυτὴν οὖσαν. Ἐπεὶ δὲ τὸ καθ' ἑαυτὸ αἱρετὸν τὸ τέλος ἐστὶ τὸ ἔσχατον, καὶ τὸ ἀγαθὸν αὐτό, διὰ τοῦτο συνῆγε τὴν ἡδονὴν τὸ ἔσχατον ἀγαθὸν εἶναι. Ἔτι δὲ καὶ ἐκεῖθεν δῆλον εἶναι ᾤετο τὸ προκείμενον· προστιθεμένη γὰρ ἡ ἡδονὴ τῶν ἀγαθῶν ὁτῳοῦν, αἱρετώτερον ποιεῖ, καὶ ἐφετὸν μᾶλλον· ἢ γὰρ σωφροσύνη τὴν ἡδονὴν προσλαβοῦσα, ἢ ἡ δικαιοσύνη, ἡδίων ἔσται καὶ αἱρετωτέρα ἑαυτῆς. Ὃ δὲ προστιθέμενον παντὶ ἀγαθῷ βέλτιον δύναται ποιεῖν, τοῦτο ἐνόμιζεν εἶναι τὸ ἔσχατον ἀγαθόν. Ἔχει δὲ οὐχ οὕτως. Ὃ γὰρ προστιθέμενον ἀγαθῷ βέλτιον δύναται ποιεῖν, φαίνεται ὅτι ἀγαθόν ἐστιν· οὐκ ἀνάγκη δὲ αὐτὸ εἶναι τὸ ἔσχατον ἀγαθόν, ἢ ἑτέρου ὁτουοῦν,

ὄντων, βέλτιον. Πᾶν γὰρ ἀγαθὸν ἑτέρῳ προστεθὲν ἀγαθῷ αἱρετώτερον ποιεῖ· μεῖζον γὰρ τὸ ὅλον τοῦ μέρους ἐπὶ παντός. Καὶ ἃ μὲν ἐδόκει τῷ Εὐδόξῳ περὶ ἡδονῆς, ταῦτα.

Πλάτων δὲ οὐκ εἶναι ἔφασκεν αὐτὴν τὸ ἔσχατον ἀγαθὸν, ἀπὸ τῶν αὐτῶν ἐπιχειρῶν λόγων, ὅθεν Εὔδοξος ἐπειρᾶτο τὸ ἔσχατον ἀγαθὸν τὴν ἡδονὴν ἀποφαίνειν. Ἐπεὶ γὰρ οὐκ ἔστι, φησὶν, ἀγαθὸν ἔσχατον, οὗ ἐνδέχεται μεῖζον γενέσθαι· αὐτὸ γὰρ εἰκὸς εἶναι τὸ μέγιστον ἀγαθόν· ᾧ ἄρα ἀγαθῷ ἄλλο ἀγαθὸν προστεθὲν μεῖζον ἐποίησε καὶ αἱρετώτερον, τοῦτο οὐκ ἔστι τὸ ἔσχατον ἀγαθόν· οὐ γάρ ἐστι τὸ μέγιστον ἀγαθὸν, οὗ μεῖζον ἄλλο δύναται γενέσθαι· ἡ δὲ ἡδονὴ τοιαύτη. Ὁ γὰρ ἡδὺς βίος φρόνησιν ἢ σωφροσύνην προσλαβὼν, ἡδίων γίνεται καὶ αἱρετώτερος. Ἔστιν ἄρα τι βέλτιον τῆς ἡδονῆς. Οὐκ ἄρα ἡ ἡδονή ἐστι τὸ ἔσχατον ἀγαθόν· ἀλλὰ ἀγαθόν τι ἐστὶ τοιοῦτον, οἷα ἀγαθά εἰσιν αἱ ἀρεταὶ καὶ αἱ ἐπιστῆμαι, καὶ τἄλλα, ὧν καὶ ἡμεῖς κοινωνοῦμεν. Τοῦτο γὰρ καὶ ζητοῦμεν ἐπὶ τοῦ παρόντος δεῖξαι, τούτων τῶν ἀγαθῶν ἕν τι εἶναι τὴν ἡδονήν· ἕτεροι δὲ ἐνιστάμενοι πρὸς τοὺς τοῦ Εὐδόξου λόγους ἔφασκον μὴ εἶναι ἀγαθὸν, οὗ πάντα ἐφίεται· λέγουσι δὲ οὐδέν. Ἐκεῖνο γὰρ φαμὲν ἀληθὲς εἶναι, ὃ πᾶσι δοκεῖ ἀληθές. Ὁ δὲ ταύτην ἀναιρῶν τὴν κοινὴν δόξαν, καὶ τὴν ἐκεῖθεν ἀποστερούμενος πίστιν, πῶς ἂν δύναιτο

dat bono magis eligendum hoc efficit bonum. Semper enim totum majus eſt parte, & hæ quidem Eudoxi de voluptate erant ſententiæ. Ariſtot. l. 10. c. 2.

Plato autem extremum eam eſſe negabat bonum: qui iiſdem id probare conabatur argumentis, quibus bonum eſſe extremum probabat Eudoxus. Cum enim extremum eſſe nequeat, dicebat ille bonum, quo dari majus poteſt; quia illud ipſum eſſe oportet maximum: tale cui bonum ſi adjunctum fuerit alterum, majus illud eſſe magiſque facit expetendum, illud certe extremum non eſt bonum. Neq; enim maximum eſt bonum, quo majus eſſe poteſt aliud. Talis autem eſſe voluptas. Vita enim, exempli gratia, ſuavis, ſi prudentiam adjungas aut temperantiam, jucundior magiſque fit expetenda. Eſt ergo aliquid voluptate præſtantius. Quare neq; extremum bonum eſt voluptas. Sed tale quoddam eſt bonum, quale virtutes ac ſcientiæ, reliquaque ſunt, quorum nos participes ſumus. Nam & illud in præſentia oſtendere conamur, aliquod ex his eſſe bonis voluptatem. Alii Eudoxi rationibus aliud opponebant, negabantque illud eſſe bonum, quod omnia appetunt: qui tamen nihil dicunt. Illud enim verum eſſe dicimus, quod omnibus videtur verum eſſe. Qui vero hanc communem tollit opinionem ejuſque labefactare poſtulat fidem, quomodo ipſe magis fide digna poſſit dicere non video. Bonum

Τοιούτῳ δὲ λόγῳ καὶ Πλάτων, &c.

Ariſtot. l.10.c.2

autem id eſſe quod omnia appetunt, omnibus communi ſenſu præditis videtur. Ea enim quibus eo pervenire poſſint, ſequuntur. Quare quin bonum arbitrentur eſſe, non eſt dubium. Si enim bruta ſolum ea appeterent, ſolis quoque iis eſſent bonum: neque procederet aut firmum eſſet ſuffragium brutorum: neq; revera bonum eſſe videretur. Cum vero ſimul & bruta, & cætera quæ prudentia ſunt prædita communiter id bonum eſſe judicent animalia, quo pervenire ſolemus, quid adhuc obſtat, quo minus ſit revera bonum? Ut omittam in brutis quoque naturale aliquod bonum eſſe, quod eorum imbecillitatem tranſcendit, quo cum bono ipſo conciliantur, & tanquam proprium ſibi ſolent appetere. Et ad primum quidem Eudoxi ita inſtare ſolent argumentum. Ad ſecundum vero, quod deſumptum eſt à contrario, negant neceſſario hoc ſequi. Si dolor malum eſt, bonum eſt voluptas. Neque enim ſi quid ſit malum, hoc quod ei eſt contrarium, id bonum eſſe, quia interdum malum quoque contrarium eſt malo. Sic, exempli gratia, intemperantiæ contraria eſt ſtoliditas, cum utrumq; ſit malum, & temperantiæ utrumque contrarium. Hæc autem licet non abſurde, non de voluptate tamen vere dicuntur: Si enim utrumque malum eſſet, & voluptas & dolor, utrumque quoque fugiendum eſſet: ſicut ſi utrumque bonum eſſet, utrumque quoque eligendum eſſet: aut ſi neque bonum, neque fugiendum, neque eli-

πιστότερα λέγειν; ὅτι δὲ ἀγαθόν ἐστιν οὗ πάντα ἐφίεται, πᾶσι τοῖς ἐν αἰσθήσει δοκεῖ. Δι' ὧν γὰρ εἰς αὐτὸ φέρονται διώκουσιν. Ὡς ἄρα ἀγαθὸν νομίζουσιν εἶναι. Εἰ μὲν γὰρ τὰ ἀνόητα μόνον ὠρέγοντο αὐτοῦ, αὐτοῖς ἂν ἦν ἀγαθὸν μόνον, καὶ ἡ ψῆφος οὐκ ἂν ἦν βεβαία τῶν ἀνοήτων· οὐ δ' ἂν ἐδόκει ἀγαθὸν ἀληθῶς εἶναι. Ὅταν δὲ καὶ τὰ ἀνόητα, καὶ τὰ φρόνιμα κοινῇ πάντα νομίζωσιν ἀγαθὸν εἶναι, δι' ὧν ζητοῦσιν αὐτό, τί ἔτι κωλύει ἀγαθὸν ἀληθῶς εἶναι; καὶ γὰρ καὶ ἐν τοῖς ἀνοήτοις ἐστί τι φυσικὸν ἀγαθόν, τὴν φαυλότητα αὐτῶν ὑπερβαῖνον, δι' ὃ τῷ ἀγαθῷ οἰκειούμενα ὡς οἰκείου ἤδη ὀρέγονται, καὶ πρὸς μὲν τὸν πρῶτον τοῦ Εὐδόξου λόγον ταύτην κομίζουσι τὴν ἔνστασιν. Πρὸς δὲ τὸν δεύτερον, ὃς ἐκ τοῦ ἐναντίου ἐστὶν εἰλεγμένος, ἐκείνην οὐκ ἀνάγκην φασίν, εἰ ἡ λύπη κακόν ἐστι, τὴν ἡδονὴν ἀγαθὸν εἶναι. Οὐ γὰρ εἴ τι κακόν, τὸ ἐναντίον αὐτῷ ἀγαθόν· ἔστι γὰρ ἐναντίον κακὸν κακῷ· ἡ γὰρ ἠλιθιότης τῇ ἀκολασίᾳ ἐναντίον ἐστίν, ἀμφοτέρων οὐσῶν κακῶν, καὶ ἀμφότερα τῇ σωφροσύνῃ. Ταῦτα μὲν οὖν καλῶς λέγουσιν, οὐ μὴν ἐπί γε τῆς ἡδονῆς ἀληθεύουσιν. Εἰ γὰρ ἄμφω κακὰ ἦν, καὶ ἡ ἡδονὴ καὶ ἡ λύπη, ἦν ἂν καὶ ἄμφω φευκτά· καθάπερ εἰ καὶ ἄμφω ἦσαν ἀγαθά, ἦν ἂν ἀμφότερα αἱρετά, ἢ εἰ μήτε ἀγαθά, μήτε φευκτά, οὔτε

αἱρετὰ ὁμοίως ἀμφότερα. Νῦν δὲ τὴν μὲν λύπην φεύγομεν ὡς κακόν, τὴν δὲ ἡδονὴν αἱρούμεθα ὡς ἀγαθόν. Ὅθεν φανερόν, ὅτι ὡς κακὸν ἀγαθῷ ἡ λύπη ἡδονῇ ἀντίκειται.

Ἕτεροι δὲ λέγουσι μὴ εἶναι τὴν ἡδονὴν ἀγαθόν, ὅτι οὐκ ἔστι ποιότης, οὐδὲν λέγοντες ἀναγκαῖον. Οὐδὲ γὰρ αἱ ἐνέργειαι τῶν ἀρετῶν ποιότητές εἰσιν, οὐδὲ εὐδαιμονία ποιότης ἐστίν. Ἐνέργεια γάρ ἐστιν. Ἀλλ' ὅμως οὐδὲν κωλύει ἀγαθὰ ταῦτα εἶναι.

Ἔτι δὲ καὶ ὅτι οὐκ ἔστιν ὡρισμένον τι ἡ ἡδονή, τὸ δὲ ἀγαθὸν ὡρισμένον, διὰ τοῦτο μὴ εἶναι τὴν ἡδονὴν ἀγαθόν. Ἀόριστον δὲ ἔλεγον εἶναι τὴν ἡδονήν, ὅτι οὐκ ἔστιν ἡ αὐτή, ἀλλ' ἐπιδέχεται τὸ μᾶλλον καὶ τὸ ἧττον. Εἰ μὲν οὖν ἐν αὐτῇ τῇ ἡδονῇ τὸ μᾶλλον καὶ ἧττον ἐθεωρεῖτο, ἦν ἂν ἀληθὴς ὁ λόγος αὐτοῖς. Νῦν δὲ ἡ ἐπίτασις καὶ ἡ ἄνεσις ἐν τοῖς ἡδέσι γίνεται· ὅτι ἡδόμενοι μᾶλλον καὶ ἧττον ἥδονται. Τοῦτο δὲ καὶ ἐν ταῖς ἀρεταῖς συμβαῖνον φαίνεται. Δίκαιοι γάρ εἰσι μᾶλλον καὶ ἧττον καὶ ἀνδρεῖοι· καὶ δικαιοπραγεῖν καὶ σωφρονεῖν μᾶλλον καὶ ἧττόν ἐστιν. Ἀλλ' οὐ διὰ τοῦτο ἀόριστοί εἰσιν αἱ ἀρεταί. Τὸν αὐτὸν δὲ τρόπον καὶ ἡ ἡδονὴ αὐτὴ μὲν καθ' ἑαυτὴν οὐκ ἔστιν ἀόριστος, ἐν δὲ τοῖς ἡδομένοις τὴν ἐπίτασιν καὶ τὴν ἄνεσιν ἐπιδέχεται, ὅτι οὐκ ἔστιν ἀμιγὴς λύπης ἐν πᾶσιν, οὐδὲ ὁμοίως, καθάπερ καὶ ἐπὶ τῆς ὑγιείας συμβαίνει, καὶ γὰρ αὐτὴ ὡρισμένη οὖ-

gendum eſſet utrumque. Nunc dolorem fugimus, ut malum, voluptatem vero eligimus, ut bonum. Unde apparet, ſicut malum bono, ita voluptati eſſe oppoſitum dolorem. Ariſtot. l. 10. c. 3.

Alii volunt voluptatem non eſſe bonum, quia non eſt qualitas: quod quidem argumentum non eſt neceſſarium. Nam neq; functiones virtutum ſunt qualitates, ut neque ipſa felicitas. Aliqua enim eſt functio. Neq; quicquam tamen obſtat, quin hæc ſint bona. Cap. 3. Οὐ μὴν οὐδ' εἰ μὴ, &c.

Negant præterea definitum quid eſſe virtutem, bonum autem eſſe definitum, atq; ex eo ſequi, bonam non eſſe voluptatem. Non eſſe definitam autem propterea dicebant virtutem, quia non eſt eadem, ſed magis recipit & minus. Si ergo in ipſa voluptate majus reſpiceremus aut minus, verum eorum eſſet argumentum. Nunc vero in ipſa voluptatis perceptione, intenſio hæc fit & remiſſio: quia qui illam percipiunt magis percipiunt aut minus, quod quidem in ipſis quoq; accedere virtutibus videtur. Alii enim magis alii minus ſunt aut juſti aut fortes. Sicut quoq; juſte ac temperanter vel magis agere vel minus poſſumus. Neq; tamen indefinitæ idcirco ſunt virtutes. Eodem modo ipſa per ſe indefinita non eſt voluptas, ſed in iis qui voluptate afficiuntur remiſſionem illam recipit ac intenſionem: quia non mera eſt, & ſine omni dolore in omnibus, neque eodem modo, ſicut & in ſanitate fieri videmus. Nam cum ipſa ſit defini- Λέγουσι δὲ τὸ μὲν ἀγαθὸν, &c.

nita,

Ariſtot. l.10.c.3.

nita, in iis qui ſanitarem recipiunt, intendi ſolet aut remitti. Non enim eadem ſemper eſt in omnibus competentia, neque eadem in uno ſemper, ſed modo in majus modo in minus abit; & modo penitus alicui ſanitatem corpus recipit, modo aliquid admiſtum eſt morbi. Simile eſt quod in voluptate fieri videmus.

Τέλειόν τι ἀγαθόν, &c.

Sed & illinc inferebant, voluptatem bonum non eſſe. Motus quidam & generatio eſt voluptas, motus vero imperfecta ſunt & generatio: quod autem imperfectum eſt non eſt bonum: bonum enim eſt perfectum: voluptas ergo non eſt bonum. Falſa autem eſt eorum minor: quia neque motus neque generatio eſt voluptas. Non eſſe autem motum, vel hinc apparet.

Οὐδ' εἶναι κίνησιν, &c.

Omni enim motui celeritas competere videtur & tarditas: licet nullus ſui reſpectu celer videtur aut tardus, quod celerius ſeipſo aut tardius moventur ea quæ moventur, ſicut ea quæ inæqualiter moventur, ſed reſpectu alterius aut tarde moveri aut celeriter dicuntur. Sicut, exempli gratia, cœli motus, per ſe quidem eſt æqualis, ſi vero cum motu conferatur ſiderum, celer eſſe dicitur. Omni ergo motui celeritas competit ac tarditas. Voluptati autem non competit. Motus ergo non eſt voluptas. Non eſſe autem hæc in voluptate, manifeſtum eſt. Voluptate enim cito affectum ſu-

σα ἐν τοῖς ὑγιαίνουσιν ἐπιτείνεται καὶ ἀνίεται. Οὐ γὰρ ἡ αὐτὴ συμμετρία ἐν πᾶσίν ἐστιν, οὐδὲ ἐν τῷ αὐτῷ μία τις ἀεὶ, ἀλλὰ μεταβάλλει ποτὲ μὲν ἐπὶ τὸ μεῖζον, ποτὲ δὲ ἐπὶ τὸ ἔλαττον, καὶ νῦν μὲν καθαρῶς ὑγιαίνει τινὶ τὸ σῶμα, νῦν δὲ ἔνεστί τι καὶ νόσου. Τοιοῦτον δὲ καὶ περὶ τὴν ἡδονὴν ἐνδέχεται εἶναι.

Ἔτι δὲ καὶ ἐκεῖθεν συνῆγον τὴν ἡδονὴν μὴ εἶναι ἀγαθόν. Ἡ ἡδονὴ κίνησίς τις καὶ γένεσίς ἐστι· κίνησις δὲ καὶ γένεσις ἀτελῆ· τὸ δὲ ἀτελὲς οὐκ ἔστιν ἀγαθόν· τὸ γὰρ ἀγαθὸν τέλειον· ἡ ἡδονὴ ἄρα οὐκ ἔστιν ἀγαθόν. Ἔστι δὲ αὐτοῖς, ἡ ἐλάττων πρότασις ψευδής· οὔτε γὰρ κίνησις, οὔτε γένεσίς ἐστιν ἡ ἡδονή. Ὅτι μὲν οὖν οὐκ ἔστι κίνησις, δῆλον ἐκεῖθεν.

Πάσῃ μὲν γὰρ κινήσει δοκεῖ οἰκεῖον εἶναι τάχος καὶ βραδύτης, καὶ εἰ μὴ αὐτή τις πρὸς ἑαυτὴν βραδεῖα ἢ ταχεῖα φαίνεται τῷ τάχιον ἑαυτῆς καὶ βράδιον κινεῖσθαι τὰ κινούμενα, διά ἐστι τὰ ἀνωμάλως κινούμενα, ἀλλὰ πρὸς ἄλλο γοῦν θεωρούμενα ταχέως ἢ βραδέως κινεῖσθαι λέγονται· καθάπερ ἡ τοῦ οὐρανοῦ κίνησις ὁμαλὴ μὲν ἐστι καθ' ἑαυτὴν, πρὸς δὲ τὴν τῶν ἀστέρων θεωρουμένη κίνησιν, ταχεῖα λέγεται. Πάσῃ μὲν οὖν κινήσει τὸ τάχος, καὶ ἡ βραδύτης οἰκεῖόν ἐστι· τῇ δὲ ἡδονῇ οὐ προσήκει· ἡ ἡδονὴ ἄρα οὐκ ἔστι κίνησις. Ὅτι δὲ οὐκ ἔστιν ἐν τῇ ἡδονῇ ταῦτα, δῆλον. Ἡσθῆναι μὲν γὰρ λέγεται

ται τις ταχέως, ὥσπερ ὀργισθῆναι, διὰ τὸ ἐν ὀλίγῳ χρόνῳ πρὸς τὸ ἥδεσθαι ἀπὸ τοῦ μὴ ἥδεσθαι κινηθῆναι· ἥδεσθαι δὲ ταχέως ἢ βραδέως, οὐκ ἔτι· οὔτε πρὸς ἑαυτὸν, καθάπερ τὰ ἀνωμάλως κινούμενα, οὔτε πρὸς ἄλλο, καθάπερ τὰ ὁμαλά. Τὸ δὲ βαδίζειν καὶ αὔξεσθαι, καὶ ἀλλοιοῦσθαι, καὶ πάντα ἅπερ κινήσεώς ἐστι, μετὰ τῆς ταχύτητος θεωροῦνται, καὶ τῆς βραδύτητος. Μεταβάλλειν μὲν γὰρ λέγεταί τις εἰς τὴν ἡδονὴν ταχέως ἢ βραδέως, ἐνεργεῖν δὲ κατ' αὐτὴν ταχέως ἢ βραδέως οὐκ ἔστι. Ὅρος γάρ ἐστι κινήσεως ἡ ἡδονὴ, καὶ ἠρεμία τις, καὶ οὐ δήπου αὐτὴ δύναται κίνησις εἶναι. Ὅτι μὲν οὖν οὐκ ἔστι κίνησις ἡ ἡδονὴ δῆλον.

Ἔτι δὲ οὐδὲ γένεσίς ἐστιν· εἰ γὰρ ἡ ἡδονὴ γένεσις, ἡ λύπη ἂν εἴη φθορὰ, καὶ ἔσται ὧν ἡ ἡδονὴ γένεσις, τούτων ἡ λύπη φθορά. Οὐ γὰρ τοῦ τυχόντος φθειρομένου τὸ τυχὸν γίνεται, ἀλλ' ἐξ οὗ γίνεταί τι, εἰς τοῦτο καὶ διαλύεσθαι πέφυκεν.

Ἐπεὶ δὲ λέγουσι τὴν λύπην ἔνδειαν εἶναι τοῦ κατὰ φύσιν, εἴη ἂν ἡ ἡδονὴ τοῦ κατὰ φύσιν ἀναπλήρωσις· ταῦτα δὲ σωματικά ἐστι τὰ πάθη. Εἰ δή ἐστιν ἡ ἡδονὴ τοῦ κατὰ φύσιν ἀναπλήρωσις, ἐν ᾧ ἡ ἀναπλήρωσις, τοῦτο ἂν καὶ ἔχοι τὴν ἡδονὴν, καὶ ἥδεσθαι δύναιτο: Τὸ σῶμα ἄρα ἥδεται, καὶ ἐν τούτῳ ἡ ἡδονή. Τοῦτο δὲ

corpus voluptate affici, & in

iſte, ſicut iratum fuiſſe, dicimus aliquem: quia exiguo temporis ſpatio ad perceptionem voluptatis, à non percipiendo movetur: cum tamen nec tarde propterea percipiat nec celeriter. Et hoc quidem, nec ſui reſpectu, ſicut quæ inæqualiter moventur, neq; alterius reſpectu, ut quæ æqualiter moventur. Incedere enim & creſcere, mutari item, reliquaque quæ ad motum referuntur, cum celeritate ac tarditate conſiderantur. Cito enim aliquis aut tarde ad voluptatem ferri dicitur, ſecundum vero eam, tarde aut celeriter functionem nemo aliquam exercet. Quaſi terminus enim quidam motus eſt voluptas ac quies: neutiquam vero motus eſſe poteſt ipſa. Non eſſe motum ergo voluptatem ex his apparet. Ariſt. ic. l. 10. c. 3.

Sed neq; eſt generatio. Si enim generatio eſſet voluptas, corruptio eſſet dolor: & quorum generatio voluptas, eorum corruptio eſſet dolor. Neq; enim cujuſlibet rei corruptione generatur quidlibet, ſed ex quo generatur aliquid, in illud etiam reſolvi ſolet. Γίνεσίς τε πῶς ἂν εἴη, &c.

Quoniam autem dicunt, dolorem eſſe ejus quod ſecundum naturam eſt indigentiam, ſequetur etiam voluptatem ejus quod ſecundum naturam eſt, repletionem eſſe. Hæ autem corporeæ ſunt affectiones. Quod ſi ejus quod ſecundum naturam eſt repletio eſt voluptas, certe hoc voluptatem percipiet in quo eſt repletio, & huic voluptatis competet perceptio. Unde ſequetur, hoc voluptatem eſſe. Hoc autem Καὶ λέγουσι δὲ τὴν λύπην, &c.

Ariſtor. l.10.c.3.

tem verum non eſt. Voluptatem enim percipere eſſe animæ videtur. Quare nec generatio nec repletio eſt voluptas, ſed potius repletionem ſequitur, ſicut dolor indigentiam. Dum enim fit repletio, voluptatem percipimus, dum ſcindimur autem, dolorem.

Ἡ δόξα δ' αὕτη δοκεῖ, &c.

Videtur autem ex corporeis, iiſq; qui ad nutrimentum ſpectant doloribus ac voluptatibus orta eſſe hæc ſententia. Poſtquam enim indigere cœpimus ac prius aliquem dolorem ſenſimus, repletione delectamur. Quod in omnibus locum non habet voluptatibus. Carent enim dolore & mathematicæ, tum quæ in ſenſibus conſiſtunt voluptates. Sic, exempli gratia, eas quæ ex auditu, aut odoratu, aut viſu oriuntur, nullus omnino dolor præcedit, voluptates: neq; ulla in iis indigentiæ eſt repletio. Adde quod & ſpes & recordationes bonorum ſunt jucundiſſimæ. Harum vero voluptates, cujus tandem rei eſſe generationes dicemus? Nullius enim rei præceſſit indigentia, cujus eſſe poſſent repletio. Unde apparet, voluptatem generationem non eſſe.

Πρὸς δὲ τοὺς προφέροντας, &c.

Alii rurſus negant voluptatem bonum eſſe, idque ut oſtendant probroſas in medium adducunt voluptates. Quibus hoc reſpondemus: non eſſe hæc jucunda, quæ improbis videntur jucunda. Neque enim ſi male affectis jucunda ea ſint, ſimpliciter etiam jucunda eſſe exiſtimandum eſt; ſed illis tantum. Sicut nec quæ ægris ſalubria aut dulcia videntur, aut amara, ſimpliciter ſa-

οὐκ ἔστιν ἀληθές. Τὸ γὰρ ἥδεσθαι τῆς ψυχῆς εἶναι δοκεῖ. Οὐκ ἄρα ἡ ἡδονὴ γένεσίς τις καὶ ἀναπλήρωσίς ἐστιν, ἀλλὰ ἕπεται τῇ ἀναπληρώσει, καθάπερ καὶ τῇ ἐνδείᾳ ἡ λύπη. Γινομένης μὲν γὰρ ἀναπληρώσεως ἡδόμεθα, τεμνόμενοι δὲ λυπούμεθα.

Δοκεῖ δὲ γεγένηται αὕτη ἡ δόξα ἀπὸ τῶν σωματικῶν, καὶ περὶ τὴν τροφὴν λυπῶν καὶ ἡδονῶν· ἐνδεεῖς γὰρ γενόμενοι καὶ προλυπηθέντες ἡδόμεθα τῇ ἀναπληρώσει. Τοῦτο δὲ οὐ περὶ πάσας συμβαίνει τὰς ἡδονάς. Ἄλυποι γάρ εἰσιν αἵτε μαθηματικαὶ, καὶ αἱ ἐν ταῖς αἰσθήσεσι· καὶ γὰρ αἱ κατὰ τὴν ἀκοὴν ἡδοναὶ, καὶ κατὰ τὴν ὄσφρησιν, καὶ κατὰ τὴν ὅρασιν, μηδεμιᾶς προηγησαμένης λύπης γίνονται, καὶ οὐκ ἔστιν οὐδεμία αὐτῶν ἐνδείας ἀναπλήρωσις. Ἔτι δὲ καὶ ἐλπίδες καὶ μνῆμαι τῶν ἀγαθῶν ἥδισται εἰσιν. Αἱ δὴ κατὰ ταύτας ἡδοναὶ τίνος εἰσὶν γενέσεις; οὐδενὸς γὰρ ἔνδεια ἐν αὐτοῖς προηγήσατο, οὗ γένοιντ' ἂν ἀναπλήρωσις, ὅθεν φανερὸν, ὅτι οὐκ ἔστιν ἡ ἡδονὴ γένεσις.

Ἕτεροι δὲ ἀξιοῦσι μὴ εἶναι τὴν ἡδονὴν ἀγαθὸν, προφέροντες τὰς ἐπονειδίστους τῶν ἡδονῶν. Πρὸς οὓς ἐκεῖνο λεγόμενον, ὅτι οὐκ ἔστι ταῦτα ἡδέα, ἃ τοῖς φαύλοις ἡδέα δοκεῖ. Οὐ γὰρ εἴ τις κακῶς διακειμένοις ἡδέα ταῦτά ἐστιν, οἰητέον ἤδη αὐτὰ καὶ ἡδέα ἁπλῶς εἶναι, ἀλλὰ τούτοις μόνον ἡδέα. Καθάπερ οὐδὲ τὰ τοῖς κάμνουσιν ὑγιεινὰ, ἢ γλυκέα, ἢ πικρὰ ἁ-

πλῶς

πλῶς ὑγιεινά, ἢ γλυκέα, ἀλλὰ αὐτοῖς· ἐπεὶ οὐδὲ λευκὰ ἁπλῶς τὰ φαινόμενα τοῖς ὀφθαλμιῶσι λευκά. Φανερὸν δή, ὅτι οὐδὲ ἀπὸ τούτων τῶν λόγων δόξειεν ἂν ἡ ἡδονὴ μὴ ἀγαθὸν εἶναι. Μάλιστα μὲν γάρ, ὅτι οὐκ εἰσὶν ἡδοναὶ αἱ παρὰ τοῖς μοχθηροῖς ἡδοναί· ἔπειτα, εἰ καὶ ταύτας ἡδονὰς εἶναι δώσομεν, ἀλλ' οὐκ ἀνάγκη, διὰ τοῦτο τὴν ἡδονὴν ἁπλῶς φαύλην εἶναι. Οὐ γὰρ μία ἐστὶν ἡ ἡδονὴ τῷ εἴδει, ἀλλὰ πολλαί. Καὶ οὐδὲν κωλύει τὰς μὲν φαύλας εἶναι, τὰς δὲ ἀγαθάς. Ἕτεραι γὰρ αἱ ἀπὸ τῶν καλῶν καὶ ἐπαινετῶν ἡδοναί, καὶ ἄλλαι αἱ ἀπὸ τῶν αἰσχρῶν· καὶ αἱ μὲν ἀγαθαί, αἱ δὲ φευκταί. Ὥσπερ τὸ πλουτεῖν ἢ ὑγιαίνειν· ἔστι γὰρ πλουτεῖν καλῶς κτώμενον ὅθεν οὐδεὶς ἀδικεῖται, καὶ ἔστιν αἰσχρῶς πλουτεῖν, προδόντα τὴν ἑαυτοῦ πατρίδα ἢ ἐξανδραποδιζόμενον τοὺς οἰκείους. Καὶ ἔστιν ὑγιαίνειν καλῶς ἀνθρωπικῇ διαίτῃ χρώμενον, καὶ κακῶς, ὅταν οὐχ ὅθεν δεῖ κτησώμεθα τὴν ὑγίειαν· καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως. Τὸν αὐτὸν δὴ τρόπον ἐπὶ τῶν ἡδονῶν. Καὶ ὅλως ἕτεραί εἰσι τῷ εἴδει, καὶ οὐκ ἔστιν ἡσθῆναι τὴν τοῦ μουσικοῦ ἡδονήν, μὴ ὄντα μουσικόν, ἢ τὴν τοῦ δικαίου μὴ ὄντα δίκαιον. Ὅθεν φανερόν, ὅτι ἄλλη ἐστὶ τῷ εἴδει ἡ τοῦ μουσικοῦ ἡδονή, καὶ ἄλλη ἡ τοῦ δικαίου· καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. Οὐ τοίνυν εἰ ἡ τῶν φαύλων ἡδονὴ κακόν, ἤδη ἁπλῶς ἡ ἡδονὴ φευκτόν ἐστιν.

lubria aut dulcia ſunt, ſed ipſis. Sicut neque alba ſimpliciter, quæ lippientibus videntur. Ex quo manifeſtum eſt, nè ex hoc quidem argumento effici, voluptatem bonum non eſſe. Primum quidem, quia voluptates non ſunt, quæ improbis videntur: deinde, quia licet has demus voluptates eſſe, non tamen propterea neceſſe eſt, voluptatem ſimpliciter malam eſſe. Neque enim una ſpecie eſt voluptas, ſed multæ. Neq; quicquam vetat alias malas, alias bonas eſſe. Aliæ enim ſunt quæ ex honeſtis & laude dignis, aliæ ſunt quæ ex turpibus & flagitioſis voluptates petuntur. Aliæ enim bonæ, aliæ fugiendæ ſunt. Sicut diteſcere aut ſanum eſſe. Poteſt enim fieri, ut ſine ullius injuria diteſcat aliquis, & facultates ſibi comparet: poteſt & fieri ut turpiter diteſcat aliquis, ſi patriam prodat ſuam, & propinquos divendat, ſic & recte ſanitatem comparare ſibi poteſt aliquis, ſi victum, quo uti conſuevere homines, adhibeat: & male, ſi non unde oportet rectam ſibi paret valetudinem. Eodemque modo in reliquis. Sic & in voluptatibus ſolet fieri. Sunt enim omnino ſpecie diverſæ. Sic, exempli gratia, voluptate muſici affici non poteſt, qui non ſit muſicus, juſti, qui non ſit juſtus. Unde apparet aliam ſpecie eſſe muſici, aliam voluptatem juſti. Atque ita in reliquis. Quare ſi improborum voluptas eſt malum, non idcirco ſimpliciter fugienda eſt voluptas.

Ariſtot. l.10.c.3.

Deinde

Ariſtot. l. 10. c. 3. Ἐμφανίζειν δὲ δο-κεῖ καὶ ὁ φίλος, &c.

Deinde & ex differentia adulatoris & amici, bonum non eſſe videtur voluptas. Adulator namque reprehenditur, quia ad voluptatem inſtituere conſuetudinem videtur ſuam: cum amicus laudetur, quod non ad voluptatem, ſed ad veritatem eam dirigat ac bonum. Unde ſequi videtur probroſam eſſe voluptatem. Quod tamen minime ex his colligi poteſt: quia contra potius differre ſpecie voluptates: aliamque laude, aliam autem probro eſſe dignam. Etenim amicum quoque & jucundum eſſe, & aliquam amico adferre quis ignorat voluptatem? Apparet ergo utrumque aliquam ei cum quo verſatur adferre voluptatem. Ita ut vituperio adulatoris, laude proſequamur amico.

Præterea & ex eo vituperanda eſſe videbatur voluptas. Non enim ullus mente præditus, toto vitæ tempore ex puerilibus cogitationibus voluptatem ſibi optaret aut gaudiis (quod ab illis fieri videmus) aut aliud quid turpe committere, ut quam diu viveret gaudere poſſet. Ideoque ne ſic quidem ullo modo eſt neceſſe, ut malum ſit voluptas. Neque puerilem vir ſapiens fugit vitam, aut actiones omnino turpes, illius cauſa voluptatis: ſed ipſas per ſe, quia flagitioſæ ſunt.

Περὶ πολλά τε σπουδὴν, &c.

Cum præſertim multa quæ ad voluptatem tendant, non ipſius tamen voluptatis cauſa petamus: ſed quia per ſe eligenda ſunt. Sic, exempli gratia, videre, meminiſſe, ſcire, virtutibus eſſe præditum, nemo non eligeret,

Ἔτι δὲ καὶ ἀπὸ τῆς διαφορᾶς τοῦ κόλακος καὶ τοῦ φίλου τὴν ἡδονὴν ἐδόκει μὴ εἶναι ἀγαθόν. Ὁ μὲν γὰρ κόλαξ ψέγεται, ὅτι πρὸς ἡδονὴν ὁμιλεῖ, ὁ δὲ φίλος ἐπαινεῖται, ὅτι μὴ πρὸς ἡδονὴν ἀλλὰ πρὸς ἀλήθειαν, καὶ τὸ ἀγαθόν. Ὅθεν δοκεῖ συνάγεσθαι τὴν ἡδονὴν ἐπονείδιστον εἶναι. Οὐ τοῦτο δὲ ἀπὸ τούτων συνάγεται, ἀλλὰ μᾶλλον ὅτι διάφοροί εἰσι τῷ εἴδει αἱ ἡδοναί· καὶ ἡ μὲν ἐπαινετή, ἡ δὲ ἐπονείδιστός ἐστιν. Ὅτι γὰρ καὶ ὁ φίλος ἡδύς ἐστιν, καὶ ἡδονὴν ἔχει τῷ φίλῳ, τίς ἀγνοεῖ; φανερὸν τοίνυν, ὅτι ἡδονὴ ἔστι τοῖς συνοῦσι παρ᾽ ἑκατέρου. Καὶ ἡ μὲν τοῦ κόλακος διαβάλλεται, ἐπαινεῖται δὲ ἡ τοῦ φίλου.

Ἔτι δὲ καὶ ἐκεῖθεν ἐπονείδιστον εἶναι ἐδόκει ἡ ἡδονή. Καὶ γὰρ οὐδεὶς ἂν ἕλοιτο νοῦν ἔχων ἥδεσθαι διὰ βίου τὴν τῶν παιδίων ἡδονὴν διανοούμενος καὶ χαίρων, ἐφ᾽ οἷς ἐκεῖνα, οὐδ᾽ ἄλλό τι αἰσχρὸν ποιεῖν, ἵνα ἥδοιτο διὰ βίου. διὰ τοῦτο δὲ οὐδεμία ἀνάγκη τὴν ἡδονὴν φαῦλον εἶναι. Οὐ γὰρ φεύγει ὁ νοῦν ἔχων τὴν παιδικὴν ζωήν, καὶ τὸ αἰσχρὰ πράττειν διὰ τὴν ἐκεῖθεν ἡδονήν, ἀλλὰ αὐτὰ δι᾽ ἑαυτά, ὅτι φαῦλά εἰσιν.

Ἐπεὶ καὶ πολλὰ πρὸς ἡδονὴν φέροντα διώκομεν οὐ διὰ τὴν ἡδονήν, ἀλλ᾽ ὅτι αὐτὰ δι᾽ ἑαυτὰ εἰσὶν αἱρετά. Τὸ γὰρ ὁρᾶν, καὶ μνημονεύειν, καὶ εἰδέναι, καὶ τὰς ἀρετὰς ἔχειν, ἑλοίμεθ᾽ ἂν,

καὶ

κ) εἰ μηδεμίαν ἐπιφέρει ἡδονήν. Εἰ δὲ ἐξ ἀνάγκης ἕπονται τούτοις ἡδοναὶ, οὐδὲν διαφέρει· βουλοίμεθα γὰρ ἂν ταῦτα ἡμῖν αὐτοῖς, κ) εἰ μηδεμία γένοιτ' ἂν ἀπ' αὐτῶν ἡδονή. Ὅτι μὲν οὖν οὐ πᾶσα ἡδονὴ αἱρετὸν κ) ἀγαθὸν, κ) ὅτι εἰσί τινες ἀρεταὶ καθ' ἑαυτὰς διαφέρουσαι τοῖς εἴδει τῶν φαύλων, ἢ ταῖς αἰτίαις ὅθεν γίνονται, δῆλον ἔοικεν εἶ).

licet nullam adferre nobis voluptatem poſſunt. Licet enim neceſſario hæc voluptates ſequantur, nihil tamen refert: quia nihilominus ea peteremus nobis, quamvis nulla ex iis oriretur voluptas. Non omnem ergo eligendam eſſe voluptatem aut eſſe bonum, nonnullaſque eſſe quæ per ſe vel ſpecie, vel iis unde oriuntur cauſis, differunt ab improbis, manifeſte oſtendiſſe videmur. Ariſtot. l. 10. c. 4.

ΚΕΦ. γ'.

Περὶ τοῦ ὅτι οὐκ ἔστι κίνησις ἡ ἡδονή.

CAP. III.

Voluptatem non eſſe motum.

ΤΑ μὲν οὖν λεγόμενα περὶ ἡδονῆς κ) λύπης ταῦτά ἐστιν. Ζητοῦμεν δὲ ἤδη περὶ αὐτῆς τί ἐστιν, ἢ ποῖόν τι· τοῦτο δὲ γένοιτ' ἂν καταφανὲς ἄνωθεν ἀναλαβοῦσι τὸν λόγον. Ἔστι τοίνυν ἡ ἡδονὴ τελεία. Καὶ καθάπερ ἡ ὅρασις, καθ' ὁντιναοῦν χρόνον τελεία ἐστὶ, κ) οὐκ ἔστι λαβεῖν μέρος τοῦ ἐν τῷ ὁρᾷν χρόνου, καθ' ὃν γίνεται, ἀλλ' ἐν τῷ ὅλῳ· ἐν γὰρ ἑκάστῳ μέρει ἀτελὴς ἐστὶν ἡ κίνησις, κ) ἑτέρα τῷ εἴδει. Τὰ γὰρ μέρη τῆς κινήσεως διαφέρουσι, κ) τῆς ὅλης κινήσεως κ) ἀλλήλων, ὥσπερ ἐπὶ τῆς οἰκοδομίας. Τῆς γὰρ ὅλης ποιήσεως, φέρε εἰπεῖν, τοῦ ναοῦ ἑτέρα ἡ τῶν λίθων σύνθεσις, κ) ἄλλη ἡ τῶν κιόνων κατασκευή. Καὶ διαφέρουσι πρὸς ἀλλήλας κ) πρὸς τὴν ὅλην οἰκοδομίαν. Ἡ μὲν γὰρ τελεία· κ) γὰρ οὐδενὸς ἐλ-

ALiorum ergo de voluptate ac dolore opiniones hæ ſunt. Jam vero ipſi, quid ſit videbimus & qualis. Quod fiet perſpicuum, ſi paulo altius diſputationem revocemus. Eſt ergo voluptas perfecta. Et quemadmodum quovis tempore perfectus eſt viſus, neque pars ejus quo videmus poteſt ſumi temporis, quo nimirum fiat illud, cum ſit in toto: in quavis enim parte imperfectus eſt motus differtque ſpecie. Motus enim partes non tantum à toto motu, ſed etiam inter ſe differunt ſingulæ: ſicut in ædificatione. Totius enim, exempli gratia, operis, ut puta ipſius templi, alia eſt lapidum coagmentatio, alia columnarum extructio, quæ quidem inter ſe & à tota differunt fabrica. Hæc enim eſt perfecta: nihil enim illi deeſt eorum quæ

Cap. 4. τί δ' ἐστὶν ἢ ποῖόν τι, καταφανέστερον, &c.

adeſſe

Ariſtot. l.10.c.4.

adeſſe oportet : at vero baſis adhuc imperfecta eſt & triglyphi fabrica. Partis autem fabrica tam hæc quam illa eſt. Differunt ergo ſpecie, neque in ulla poteſt temporis parte, quod reſpectu quidem motus dicitur, motus ſumi ſpecie perfectus quod in perfecto quæritur motu: ſed in toto tempore motus efficitur perfectus. Eodemque modo in inceſſu ſe res habet, aliiſque motibus. Diverſas quippe motuum ſpecies in iis continet loci mutatio. Saltus enim, volatus, ac ingreſſus loci quidem mutationes ſunt omnes, ſpecie tamen inter ſe differunt, neque illud tantum, ſed in ſingulis illis loci commutationibus diverſæ quoque inceſſus ſpecies exiſtunt. Unde .n. & quo diverſi ſunt termini. Diverſi autem cum ſint termini, diverſæ quoque inceſſus exiſtunt ſpecies. Sic, exempli gratia, pars illius qui in ſtadio eſt inceſſus, diverſos ad totum habet inceſſum terminos. Neque ad totum tantum, ſed & ad reliquas partes quoque. Si enim, exempli gratia, totus inceſſus eſſet, ab A ad E, qui ab A ad C eſſet, tum à toto, tum ab eo qui à C ad D eſſet, differret terminis, tum ab eo qui à D ad F, & ab eo qui ab F ad E. Cum autem diverſi ſint termini, ipſos quoque ſequitur differre ſpecie. Si enim ſinguli inceſſus lineam eandem tranſirent ſpecie, aliud eſſet : cum vero in loco aliquo ſingulæ ſint lineæ, loci autem ſint diverſi, ideo diverſi quoque ſunt motus. Ac ad motum qui-

λείπει τῶν δεόντων· ἡ δὲ τῆς κρηπῖδος καὶ τοῦ τριγλύφου, ἀτελής. Μέρους γὰρ οἰκοδόμησις ἑκατέρα. Τῷ εἴδει οὖν διαφέρουσι, καὶ ὅλως οὐκ ἔστιν ἐν ὁτῳοῦν χρόνου μέρει, δηλονότι τοῦ κατὰ κίνησιν χρόνου, τελείαν λαβεῖν κίνησιν, κατὰ τὸ εἶδος, ὃ ζητεῖται ἐν τῇ τελείᾳ κινήσει, ἀλλ' ἐν τῷ ὅλῳ χρόνῳ ἡ τελεία κίνησις ἀποτελεῖται. Ὁμοίως δὲ ἔχει καὶ ἐπὶ βαδίσεως, καὶ τῶν λοιπῶν κινήσεων. Καὶ γὰρ ἡ φορὰ διάφορα εἴδη κινήσεων περιέχει. Καὶ γὰρ ἅλσις, καὶ πτῆσις, καὶ βάδισις, πᾶσαι φοραὶ μέν εἰσι, διαφέρουσι δὲ ἀλλήλων κατ' εἶδος, οὐ τοῦτο δὲ μόνον, ἀλλὰ καὶ ἐν ἑκάστῃ τῶν φορῶν τούτων διάφορα εἴδη γίνεται βαδίσεως. Οἱ γὰρ ὅροι διάφοροι, τὸ πόθεν, καὶ ποῖ. Τῶν ὅρων δὲ διαφόρων ὄντων, διάφορα καὶ τὰ εἴδη τῆς βαδίσεως. Τῆς γὰρ ἐν τῷ σταδίῳ βαδίσεως τὸ μέρος διαφόρους ἔχει τοὺς ὅρους πρὸς τὴν ὅλην βάδισιν· καὶ οὐ μόνον πρὸς τὴν ὅλην, ἀλλὰ καὶ πρὸς τὰ λοιπὰ μέρη. Εἰ γὰρ εἴη ἡ βάδισις ὅλη ἀπὸ τοῦ α΄ ἐπὶ τὸ ε΄, ἡ ἀπὸ τοῦ α΄ ἐπὶ τὸ γ΄ διάφορος ἂν εἴη κατὰ τοὺς ὅρους, τῆς τε ὅλης, καὶ τῆς ἀπὸ τοῦ γ΄ ἐπὶ τὸ δ΄, καὶ τῆς ἀπὸ τοῦ δ΄ ἐπὶ τὸ ζ΄, καὶ ἔτι τῆς ἀπὸ τοῦ ζ΄ ἐπὶ τὸ ε΄. Διαφόρων δὲ ὄντων τῶν ὅρων, καὶ αὗται διάφοροι ἂν εἶεν τῷ εἴδει. Εἰ γὰρ καὶ γραμμὴν ἑκάστη βάδισις διαπορεύεται· τὴν αὐτὴν οὖσαν τῷ εἴδει, *** ἀλλ' ἐπεὶ ἑκάστη γραμμὴ ἐν τόπῳ ἐστίν, οἱ δὲ τόποι διάφοροι, διὰ τοῦτο διάφοροί εἰσιν αἱ κινήσεις. Τοὺς μὲν οὖν ἀκριβεῖς περὶ κινήσεως

νήσεως λόγους ἐν ἄλλοις ἐποιησάμεθα. Τοῦτο δὲ μόνον ἐνταῦθα εἰπεῖν ἀναγκαῖον, ὅτι οὐκ ἐν παντὶ χρόνῳ τελεία ἐστὶν ἡ κίνησις, ἀλλ' ἐν τῷ ὅλῳ. Αἱ δὲ ἐν τοῖς μέρεσι τοῦ ὅλου χρόνου κινήσεις, ἀτελεῖς εἰσὶ, καὶ διαφέρουσιν ἀλλήλων τῷ εἴδει· εἴπερ οἱ ὅροι τῆς κινήσεως τὸ πόθεν καὶ ποῖ, τὴν κίνησιν εἰδοποιοῦσι. Τῆς δὲ ἡδονῆς τὸ εἶδος ἐν ὁτῳοῦν χρόνῳ τέλειόν ἐστι. Φανερὸν τοίνυν, ὅτι ἡ ἡδονὴ, καὶ ἡ κίνησις ἕτεραί εἰσιν ἀλλήλων· καὶ ἡ μὲν ἡδονὴ ὅλον τι πρὸς τέλειόν ἐστιν, ἡ δὲ κίνησις οὐκ ἐν παντὶ χρόνῳ τελεία, καὶ ὅτι κίνησιν μὲν ἄνευ χρόνου οὐχ ἐνδέχεται εἶναι, ἡδονὴν δὲ δυνατόν. Καὶ γὰρ ἐν μὲν τῷ νῦν καὶ τῷ ἀτόμῳ οὐ δυνατὸν κινηθῆναι, ἡσθῆναι δὲ δυνατὸν ὅλην καὶ τελείαν ἡδονήν.

Ἐκ τούτων δὲ δῆλον, ὅτι οὐ μόνον οὐκ ἔστι κίνησις ἡ ἡδονὴ, ἀλλ' οὐδὲ γένεσις. Οὐ γὰρ πάντων ἁπλῶς γένεσίς ἐστιν, ἀλλὰ τῶν μεριστῶν καὶ μὴ ὅλων, ἐπεὶ μηδὲ ὁράσεως ἐστὶ γένεσις, οὐδὲ στιγμῆς, οὐδὲ μονάδος. Ὅτι ὅλον τι ἕκαστον αὐτῶν ἐστὶ, καὶ οὐ μεριστὸν, οὐδὲ χρόνῳ ἀπὸ τοῦ ἀτελοῦς ἐπὶ τὸ τέλειον ἔρχεται, ἀλλ' ἐν ὁτῳοῦν χρόνῳ ὅλον τι καὶ τέλειον ἕκαστον αὐτῶν ἐστίν. Ἥτε γὰρ μονὰς οὐ τὸ μὲν τελεία ἐστὶ, τὸ δὲ ἀτελὴς, καὶ τῷ χρόνῳ τελειοῦται· οὔτε ἡ στιγμή. Τό, τε ὁρᾶν ἐν παντὶ μέρει τοῦ χρόνου, καθ' ὃν ὁρῶμεν, τέλειόν

dem quod attinet, accurate alibi de eo diſputavimus. Illud tantum hic dicere neceſſe eſt non in omni tempore perfectum motum eſſe, ſed in toto. Qui enim in partibus temporis totius ſunt motus, ſunt imperfecti, ſpecieque inter ſe differunt: ſiquidem motus ipſius termini, unde videlicet & quò, motus ſpecies diſtinguunt. Voluptatis vero quovis in tempore perfecta eſt ſpecies. Unde apparet voluptatem motumque ſpecie inter ſe diverſas eſſe. Et voluptas quidem, præterquam quod perfecta eſt, tota eſt: motus vero non omni in tempore eſt perfectus: deinde ſine tempore eſſe motus non poteſt, poteſt voluptas. In præſenti enim, & ipſo temporis puncto moveri nihil poteſt: poteſt vero aliquis tota & perfecta affici voluptate. Ariſtor. l. 1o. c. 4.

Ex quibus apparet, non tantum non motum, ſed nec generationem eſſe voluptatem. Neque enim omnium ſimpliciter, ſed eorum tantum quæ dividi poſſunt & non tota ſunt, eſt generatio; ſiquidem nec viſus, nec puncti, neque unitatis eſt generatio, Quia totum eſt unumquodque eorum, nec diviſionem recipit, neque ab imperfecto ad perfectum tempore procedit, ſed in quolibet tempore quidlibet totum & perfectum eſt eorum. Neque enim unitas partim perfecta, partim imperfecta eſt, neque tempore perficitur, ut nec punctum. Sicut, exempli gratia, videre, in qualibet temporis parte quo videmus, eſt Ἐκ τούτων δὲ δῆλον, &c.

Ariſtot. l. 10. c. 4.

perfectum. Cujuſlibet denique ſenſus, qui in ſenſibili ſuo operatur ſubjecto, in qualibet temporis parte perfecta eſt functio.

ἐστι. Καὶ ὅλως πάσης αἰσθήσεως ἐνέργεια πρὸς τὸ οἰκεῖον αἰσθητὸν ἐνεργούσης τελεία ἐστὶν ἐν παντὶ μέρει τοῦ χρόνου.

CAP. IV.

ΚΕΦ. δʹ.

Omnem functionem à voluptate perfectam effici.

Περὶ τοῦ, ὅτι πᾶσαν ἐνέργειαν τελειοῖ ἡ ἡδονή.

Αἰσθήσεως δὲ πάσης περὶ τὸ αἰσθητόν, &c.

SEnſus autem & cogitationis noſtræ functiones ſequitur voluptas: idque potiſſimum cum bene affecti perfectiſſimam proponunt ſibi functionem, & in pulcherrimo exercent eam ſubjecto, ſenſus quidem eorum quæ ſenſuum, cogitatio autem quæ cogitationis ſunt objecta. Tum enim maxime ac perfecte functione ſua fungitur functio, aut qui functioni ſervit habitus. Nihil enim differt, ſive hunc fungi dicas, ſive illam. Sic, exempli gratia, quoties ſincere & perfecte, & pulcherrimum quod videri poteſt videmus, perfectiſſima exiſtit functio. Eodemq; modo in cognitione, aliiſque ſenſibus. Quæ autem jucundiſſima eſt, eſt & perfectiſſima. Jam vero cogitationis ac reliquorum aliquam eſſe voluptatem ſenſuum, ſatis manifeſtum eſt. Nam & quæ cogitamus, jucunda eſſe dicimus, & iis, quæ contemplamur, gaudemus, & iis, quæ videmus, delectamur, eodemque modo quæ audimus, ac maxime cum perfecte functione illa fungimur, ſicut jam dictum eſt, hoc eſt, quæ optima ſunt videmus, vel contemplamur, vel alio aliquo percipimus ſenſu.

Ἕπεται δὲ ταῖς ἐνεργείαις τῆς αἰσθήσεως καὶ τῆς διανοίας ἡ ἡδονή, καὶ μάλιστα ὅταν ὑγιαίνουσαι τελειοτάτην προβάλλονται τὴν ἐνέργειαν, καὶ περὶ τὸ κάλλιστον ἐνεργῶσιν, ἡ μὲν αἴσθησις τῶν αἰσθητῶν, ἡ δὲ διάνοια τῶν διανοητῶν. Τηνικαῦτα γὰρ μάλιστα καὶ τελείως ἐνεργεῖ ἡ ἐνέργεια, ἢ ἡ ἐνεργοῦσα ἕξις. Οὐδὲν γὰρ διαφέρει ταύτην ἐνεργεῖν εἰπεῖν, ἢ ἐκείνην. Ἐπειδὰν γὰρ ὑγιῶς τε καὶ τελείως ὁρῶμεν, καὶ τὸ κάλλιστον ὁρῶμεν τῶν ὁρατῶν, τελειοτάτη γίνεται ἡ ἐνέργεια. Ὁμοίως καὶ ἐπὶ τῆς διανοίας, καὶ τῶν ἄλλων αἰσθήσεων. Ἡ δὲ τελειοτάτη, καὶ ἡδίστη. Ὅτι δὲ γίνεται κατὰ τὴν διάνοιαν ἡδονή, καὶ καθ᾽ ἑκάστην αἴσθησιν, φανερόν. Φαμὲν γὰρ διανοήματα ἡδέα εἶναι, καὶ θεωρήμασι χαίρομεν, καὶ ὁράμασιν ἡδόμεθα, καὶ ἀκούσμασι, καὶ μάλιστα ὅταν τελείως τε ἐνεργῶμεν, καθὼς εἴρηται, καὶ τὰ βέλτιστα ὁρῶμεν, ἢ θεωρῶμεν, ἢ ἄλλως αἰσθανώμεθα.

νώμεθα. Τοιούτων γὰρ ὄντων τῆς τε αἰσθήσεως, καὶ τῶν αἰσθητῶν, καὶ τῆς διανοίας, καὶ τῶν διανοητῶν, ἀεὶ ἔσται ἡδονὴ, ἕως ἂν ἡ διάνοια καὶ ἡ αἴσθησις πάσχῃ ὑπὸ τῶν ἀντικειμένων.

Ἕπεται τοίνυν τῇ ἐνεργείᾳ ἡ ἡδονὴ, καὶ τελειότης τίς ἐστιν αὐτῆς. Τελειοῖ δὲ οὐχ ὡς ἕξις τὸν ἔχοντα ἀπὸ τοῦ δυνάμει εἰς τὸ ἐνεργείᾳ ἄγουσα. Ὥσπερ τὸν δυνάμει οἰκοδόμον ἡ οἰκοδομικὴ τελειοῖ, καὶ ἐνεργείᾳ ποιεῖ οἰκοδόμον, καθάπερ οὐδὲ ἡ ὑγεία καὶ ὁ ἰατρὸς ὁμοίως αἴτιά εἰσι τοῦ ὑγιαίνειν. Ἡ μὲν γὰρ αὐτὴ ποιεῖ μὴ οὖσα τὴν τοῦ ὑγιαίνειν ἐνέργειαν· ὁ δὲ συντηρεῖ καὶ φυλάττει, καὶ ὅπως παραμείνῃ ζητεῖ. Ἔτι δὲ οὐδ᾽ ὥσπερ τὸ αἰσθητὸν τελειοῖ τὴν αἴσθησιν, ἢ τὸ διανοητὸν τὴν διάνοιαν, οὕτω καὶ ἡ ἡδονὴ τελειοῖ τὴν ἐνέργειαν αὐτῶν. Ἡ μὲν γὰρ ἕξις καὶ τὸ ἀντικείμενον, ἀπὸ τοῦ δυνάμει εἰς τὸ ἐνεργείᾳ προάγουσι τὴν ἐνέργειαν. Ἡ δὲ ἡδονὴ τῇ ἐνεργείᾳ γινομένη συμπεφυκυῖα συντηρεῖ καὶ φυλάττει. Πείθει γὰρ ἐνεργεῖν ἡ ἐπ᾽ αὐτῇ ἡδονὴ καὶ ἔστι τῇ ἐνεργείᾳ καθάπερ ἐπιγινόμενον τέλος, ὥσπερ ἡ ὥρα τοῖς ἐν ἀκμῇ. Καὶ ἕπεται ἀεὶ ταύτῃ, ἕως ἂν ᾖ ἥτε αἴσθησις καὶ διάνοια, καὶ περὶ τὸ αἰσθητὸν, καὶ διανοητὸν ἐνεργῇ, καὶ μάλιστα, ὅταν εὖ καὶ ἄριστα ἔχωσι, καὶ περὶ τὸ ἄριστον ἐνεργῶσιν.

Talia enim cum & ſenſus & ſenſuum objecta, & cogitatio & cogitationis ſint objecta, ſemper erit voluptas, donec vel cogitatio vel ſenſus afficiatur objectis. Ariſtot. l. 10. c. 4.

Functionem ergo ipſam ſequitur voluptas, eſtq; ejus quaſi quædam perfectio. Perficit autem non quemadmodum habitus eum qui præditus eſt illo, ab eo quod potentia eſt deducendo ad actum, ſicut eum qui, exempli gratia, potentia eſt architectus architectura perficit, actuque architectum facit: ſicut neq; ſanitas & medicus eodem modo cauſæ ſunt, ut ſanus ſit aliquis. Altera enim, quamvis non ipſa hoc ſit, ſanitatis inducit actum: alter conſervat & cuſtodit, & ut permaneat operam impendit. Præterea non quemadmodum ſenſuum objectum perficit ſenſum, aut cogitationis objectum perficit cogitationem, ſic etiam voluptas functionem perficit eorum, qui voluptate afficiuntur. Habitus ſiquidem & objectum, ab eo quod potentiæ eſt ad id quod eſt actu, functionem promovent. Voluptas vero cum ipſi quaſi, quæ fit, annata ſit functioni, & cohæreat cum illa, conſervat eam & cuſtodit. Functionem autem ipſa functionis perſuadet actio, & ad functionem impellit: eſtq; quaſi finis quidam, qui accedit functioni & ſupervenit, quemadmodum iis qui in ipſo ætatis flore ſunt, venuſtas, ſequiturq; hanc ſemper, donec aut eſt, aut in objecto functione ſua cogitatio fungitur, vel ſenſus: ac potiſſimũ cum bene ſe aut optime habent, & in optimo operantur.

Τελειοῖ δὲ τὴν ἐνέργειαν ἡ ἡδονὴ, &c.

Ariſtot. l. 10. c. 4. Πῶς οὐδεὶς συνεχῶς ἥδεται, &c.

Hoc autem ſi ita ſe habeat, dubitare poſſet aliquis, qui fiat, ut nemo qui eo operatur modo, perpetua afficiatur voluptate. Ad quod reſpondendum eſt: omnia defatigari mortalia, neque perpetuo functione fungi poſſe quenquam. Quare neq; continua quiſquam frui poteſt voluptate, quia functionem ſequitur actio. Sunt autem & quædam, quæ cum primo objiciuntur nobis, delectant: poſtquam v. aliquandiu adfuerint nobis, & quaſi longa nobis uſitata eſſe incipiunt conſuetudine, minus jucunda videntur, minuſq; adferunt voluptatis. Cauſa autem eſt quam dixi. Primum enim incumbit in ea cogitatio, intenteque admodum in iis functionem ſuam exercet, ſicut in videndo, qui aliquid intuentur. Poſtea vero non ſimilis eſt functio, ſed remiſſa. Unde fit etiam ut obſcuretur voluptas.

Ἀπορήσειε δ' ἄν τις εἰ τοῦτο οὕτως ἔχει, πῶς οὐδεὶς οὕτως ἐνεργῶν συνεχῶς ἥδεται. Πρὸς δ' ῥητέον, ὅτι κάμνει πάντα τὰ ἀνθρώπεια, καὶ οὐ δύναται συνεχῶς ἐνεργεῖν. Διὰ τοῦτο οὐδὲ ἥδεσθαι δύναται συνεχῶς, ἐπεὶ ἡ ἡδονὴ τῇ ἐνεργείᾳ ἀκολουθεῖ. ἔνια δὲ τέρπει μὲν νεωστὶ φανέντα, χρόνον δέ τινα συνεθισθέντα οὐχ οὕτως ἡδέα δοκεῖ. Τὸ δ' αἴτιον, ὅπερ ἔφην. Τὸ μὲν γὰρ πρῶτον παρακέκληται ἡ διάνοια, καὶ ἐπιτεταμένως περὶ αὐτὰ ἐνεργεῖ, ὥσπερ κατὰ τὴν ὄψιν οἱ ἐμβλέποντες· μετέπειτα δ', οὐ γίνεται τοιαύτη ἡ ἐνέργεια, ἀλλὰ παρημελημένη· διὰ τοῦτο καὶ ἡ ἡδονὴ ἀμαυροῦται.

CAP. V.

Voluptatem naturaliter appetendam: deinde ſpecie quoque differre voluptates.

Ὀρέγεσθαι δ' τῆς ἡδ. πᾶσι, &c.

CUm vero omnem functionem atque actum perficiat voluptas, ipſum autem vivere etiam ſit actus, ſequitur ea quæ vivunt, voluptatem appetere, quia perfectio eſt ejus. Omnia autem appetunt vitam. Ex quo, ut dico, ſequi videbitur, omnia appetere voluptatem. Siquidem omnem functionem atque actum magis eligendum facit vo-

ΚΕΦ. ε.

Περὶ τοῦ, ὅτι φύσει διωκτὸν ἡ ἡδονή· καὶ ἔτι περὶ τοῦ, ὅτι εἴδει διαφέρουσιν αἱ ἡδοναί.

ΕΠεὶ δὲ πᾶσαν ἐνέργειαν τελειοῖ ἡ ἡδονή, ἐνέργεια δ' καὶ τὸ ζῆν, τὰ ἄρα ἐφιέμενα τοῦ ζῆν ὀρέγονται τῆς ἡδονῆς, ὅτι τελειότης ἐστὶν αὐτοῦ. Πάντα δὲ ἐφίενται τοῦ ζῆν· ὥστε δόξειεν ἂν πάντα ἐφίεσθαι τῆς ἡδονῆς. Πᾶσαν γὰρ ἐνέργειαν ἡ ἡδονὴ αἱρετωτέραν ποιεῖ: καὶ ἕ-

ἕκαστος περὶ ταῦτα καὶ τούτοις ἐνεργεῖ μάλιστα, οἷς μάλιστα ἥδεται. Οἷον ὁ μουσικὸς τῇ ἀκοῇ περὶ τὰ μέλη, καὶ ὁ φιλομαθὴς τῇ διανοίᾳ περὶ τὰ θεωρήματα, καὶ τῶν ἄλλων ἕκαστος. Ἐπεὶ οὖν οὕτω ποιεῖ τὴν ἐνέργειαν ἡ ἡδονὴ καλλίω καὶ αἱρετωτέραν, εἰκότως τὰ ὀρεγόμενα τινὸς ἐνεργείας, καὶ τῆς καθ' αὐτὴν ὀρέγονται ἡδονῆς. Τὰ ἄρα τοῦ ζῆν ἐφιέμενα εὐλόγως καὶ τῆς ἐκεῖθεν ἐφίενται ἡδονῆς, ὅτι τὸ αἱρετὸν καὶ ἐφετὸν αὐτοῖς τελειοῖ. Τὸ δὲ ζητεῖν ἐπὶ τοῦ παρόντος, πότερον τοῦ ἑτέρου ἕνεκα αἱρετὸν, ἡ ἡδονὴ διὰ τὸ ζῆν, ἢ τὸ ζῆν διὰ τὴν ἡδονὴν, ἀφείσθω. Φαίνεται δὲ ὅτι ἀδιαίρετά εἰσι ταῦτα ἀλλήλων, καὶ οὔτε ἡδονὴν χωρὶς ἐνεργείας, οὔτε ἐνέργειαν χωρὶς ἡδονῆς εὕροι τις ἄν. Τελείωσις γὰρ ἐνεργείας ἡ ἡδονὴ, καὶ διὰ τοῦτο οὐ δύναται χωρὶς εἶν.

Διὰ ταῦτα φαίνεται, καὶ ὅτι αἱ ἡδοναὶ διαφέρουσιν ἀλλήλων τῷ εἴδει. Καὶ γὰρ διαφόρων τῷ εἴδει ἐνεργειῶν τελειότητες οὖσαι καὶ αὐταὶ διάφοροι εἰσιν. Αἱ γὰρ τελειότητες τῶν διαφόρων εἰδῶν οὐ δύνανται μὴ διάφοροι εἶναι τῷ εἴδει οἷον αἱ τῆς διανοίας ἐνέργειαι τῶν τῆς αἰσθήσεως διαφέρουσι τῷ εἴδει, καὶ ἔτι αὗται ἀλλήλων· ὥστε καὶ αἱ ἡδοναί. Τοῦτο δὲ ἐστι φανερὸν ἐκ τοῦ πάσῃ ἐνεργείᾳ οἰκείαν ἡδονὴν προσεῖναι. Ὅτι δὲ οἰκεία, δῆλον· καὶ γὰρ συναύξει τὴν ἐνέργειαν ἡ οἰκεία ἡ-

luptas. Quilibet autem circa ea & in his ipſis functione ſua fungitur maxime, quibus dele-ctatur maxime. Sicut, exempli gratia, muſicus auditu in modulis, ſtudioſus diſcendi cogitatione in contemplationibus, ac ita ſinguli aliorum. Cum ergo eo modo pulchriorem magiſq; eligendam functionem faciat voluptas, non eſt mirum ea quæ functionem appetunt aliquam, ejus quoque functionis appetere voluptatem. Unde ſequitur ea quæ vitam appetunt, ejus quoque appetere voluptatem: quia id quod eligendum videtur, ac petendum illis, perficit. Illa autem quæſtio, utrum voluptas vitæ ipſius, an vero vita voluptatis cauſa appetenda ſit, in præſentia omittatur. Videntur autem hæc disjungi non poſſe, neque voluptatem ſine functione aut actu, neque functionem aut actum ſine voluptate inveniri poſſe. Perfectio enim functionis eſt voluptas, ideoque ſeorſum eſſe ab ea non poteſt. Ariſtot. l. 10 c. 5.

Hinc etiam apparet ſpecie inter ſe differre voluptates. Diverſarum enim ſpecie functionum cum perfectiones ſint, ſequitur ipſas quoq; diverſas eſſe. Diverſarum quippe perfectiones ſpecierum, non poſſunt non ſpecie diverſæ eſſe. Sicut cogitationis functiones à ſenſus functionibus ſpecie differunt, & ipſæ inter ſe rurſus unde & voluptates. Quod ex eo manifeſtum eſt, quia ſingulis propria ſua voluptas adeſt functionibus. Propriam autem eſſe manifeſtum eſt. Conjuncta enim

Cap. 5. Ὅθεν δοκοῦσι καὶ τῷ εἴδει, &c.

Ariſtot l.10 c.5. enim functionem propria ejus auget voluptas. Maxime enim ſingula & cognoſcimus, & accurate percipimus, & omnino efficimus, quoties cum voluptate hoc facimus. Sicut Geometræ fiunt maxime, qui eo delectantur ſtudio, magiſque ſingula intelligunt: atq; ita deinceps cujuſlibet in proprio ſuo opere conatum promovet voluptas. Si ergo functiones augent voluptates conjunctæ, quæ vero conjuncta augent aliquid, ei quod augent ſunt propria, quæ vero differentibus ſpecie ſunt propria, etiam ipſa ſpecie differunt, manifeſtum fit voluptates quoque ipſas ſpecie inter ſe differre. Præterea diverſas eſſe ſpecie voluptates etiam illinc poteſt probari. Videmus quippe functionibus obſiſtere & impedimento eſſe voluptates alienas, ſicut eas propriæ perficiunt. Sic, exempli gratia, tibiarum voluptas facile diſciplinarum contemplationem confundit: niſi forte habitum diſciplinarum ſtudio proprium conſecutus ſit qui contemplatur, ſed magis tibiam audiendo delectetur, quam contemplando, atq; ita illam quæ diſciplinis occupatur functionem corrumpat voluptas. Eodemq; fieri modo in reliquis amat, quoties duas aliquis eodem tempore functiones agit. Alteram enim ſemper elidit jucundior, eoq; magis, quo magis voluptate excellit. Si enim longe alterius voluptatem antecedat alterius, plane etiam alteram delebit functionem, ut alterius plane ab agendo ſuperſedere cogatur functio. Ideoq;

δονή. Μάλιστα γὰρ τις ἕκαστα γινώσκει καὶ ἐξακριβοῖ, καὶ ὅλως ἐνεργεῖ, ὅταν μεθ᾽ ἡδονῆς τοῦτο ποιῇ. Καὶ γὰρ γεωμετρικοὶ γίνονται μάλιστα οἱ χαίροντες τῷ γεωμετρεῖν, καὶ κατανοοῦσιν ἕκαστα μᾶλλον, καὶ ἕκαστον ἡ ἡδονὴ πρὸς τὸ οἰκεῖον ἔργον ἐπιδιδόναι ποιεῖ. Εἰ τοίνυν τὰς ἐνεργείας συναύξουσιν αἱ ἡδοναί, τὰ δὲ συναύξοντα οἰκεῖα, τὰ δ᾽ οἰκεῖα· τοῖς διαφόροις τῷ εἴδει, καὶ αὐτὰ διάφορα κατὰ τὸ εἶδος, φανερόν, ὅτι αἱ ἡδοναὶ ἕτεραι τῷ εἴδει ἀλλήλων· ἔτι καὶ ἐκεῖθεν γίνεται δῆλον τὰς ἡδονὰς διαφόρους εἶναι τῷ εἴδει· καὶ γὰρ προσίστανται ταῖς ἐνεργείαις αἱ ἀλλότριαι ἡδοναί, καθάπερ αἱ οἰκεῖαι τελειοτέρας ποιοῦσιν. Ἡ γὰρ τῆς αὐλητικῆς ἡδονὴ συγχέοι ἂν ῥαδίως τὴν ἐν τοῖς μαθήμασι θεωρίαν, ὅταν μὴ ἕξιν μαθηματικὴν ὁ θεωρῶν ἔχῃ, ἀλλ᾽ ἥδηται μᾶλλον αὐλοῦντος ἀκούων ἢ θεωρῶν, καὶ οὕτω φθείρῃ τὴν περὶ τὸν λόγον ἐνέργειαν ἡ τῆς αὐλητικῆς ἡδονή. Ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων συμβαίνει, ὅταν δύο ἐνεργείας τις κατὰ ταυτὸν ἐνεργῇ· καὶ γὰρ ἡ ἡδίων τὴν ἑτέραν ἐκκρούει, καὶ τοσούτῳ μᾶλλον, ὅσῳ κατὰ τὴν ἡδονὴν διαφέρει. Εἰ γὰρ σφόδρα ὑπερβάλλῃ τὴν δὲ ἑτέρας ἡ τῆς ἑτέρας ἡδονή, καὶ παντελῶς ἀφανίζῃ τὴν ἀλλοτρίαν ἐνέργειαν, ὥστε μηδὲ ὅλως κατ᾽ αὐτὴν ἐνεργεῖν. Διὰ τοῦτο ἐπειδὰν

χαίρω

χαίρωμεν τινι σφόδρα, οὐ πάνυ δρῶμεν ἕτερον. Εἰ δὲ οὐ πάνυ ἡδόμεθα ὁτῳοῦν, καὶ ἄλλα ποιοῦμεν, οἷον ποιοῦσι καὶ οἱ ἐν τοῖς θεάτροις τραγηματίζοντες· ὅταν γὰρ φαῦλοι οἱ ἀγωνιζόμενοι ὦσι, καὶ οὐ πάνυ χαίρωσι τῷ θεάματι, τότε μάλιστα αὐτὸ δρῶσιν. Ἐπεὶ τοίνυν ἡ μὲν οἰκεία ἡδονὴ τὰς ἐνεργείας ἐξακριβοῖ, καὶ χρονιωτέρας καὶ βελτίους ποιεῖ, ἡ δ' ἀλλοτρεία λυμαίνεται, φανερὸν, ὅτι πολὺ διαφέρουσιν ἀλλήλων. Σχεδὸν γὰρ ὥσπερ αἱ οἰκεῖαι ταῖς ἐνεργείαις λῦπαι κώλυμα γίνονται, καὶ προχωρεῖν οὐκ ἐῶσιν· οὕτω καὶ αἱ ἀλλότριαι ἡδοναί. Φθείρουσι γὰρ αἱ οἰκεῖαι λῦπαι τὰς ἐνεργείας. Εἰ γάρ τις ἐπὶ τῷ γράφειν λυποῖτο, οὐ γράψει, καὶ εἴ τῳ τὸ λογίζεσθαι ἀηδὲς, οὐ θεωρήσει. Τοῦτο δὲ πείσεται, καθὼς εἴρηται, καὶ ἀπὸ τῆς ἀλλοτρείας ἡδονῆς. Εἰ τοίνυν ἡ ἀλλοτρεία ἡδονὴ παραπλήσιον ποιεῖ ταῖς οἰκείαις λύπαις, ἡ δὲ οἰκεία λύπη τῇ οἰκείᾳ ἡδονῇ ἐναντίως ἔχει, φανερὸν, ὅτι ἡ ἀλλωτρεία ἡδονὴ τῇ οἰκείᾳ ἐναντίως ἔχει. Τὰ δὲ τοιαῦτα οὐ δύνανται τὰ αὐτὰ εἶναι τῷ εἴδει. Ἡ ἄρα ἡδονὴ οὐκ ἔστι μία κατὰ τὸ εἶδος.

quoties aliquo delectamur vehementer, aliud vix facere ſolemus. Sin vero non admodum delectemur aliquo, etiam alia agimus. Plane quemadmodum illi faciunt qui in theatris bellaria guſtare ſolent. Qui plerumque cum ineptos eſſe actores vident, neque admodum delectantur ſpectaculo, facere hoc maxime ſolent. Quia vero functiones magis accuratas magiſque & diuturnas & bonas proprie efficit voluptas, ſicut aliena deſtruit, multum eas inter ſe differre ſatis apparet. Fere enim ſicut proprii functiones impediunt dolores, neque pergere eas permittunt, ita & alienæ faciunt voluptates. A propriis autem corrumpi functiones doloribus, eſt certum. Si quis enim cum dolore ſcribat, non ſcribet: ſi cui contemplari non jucundum eſt, non contemplabitur. Idem autem ei ab aliena, quemadmodum jam diximus, evenſiet voluptate. Si ergo aliena voluptas idem fere quod proprii efficiat dolores, cum voluptate autem propria pugnet dolor proprius, ſequitur alienam quoque voluptatem eſſe contrariam propriæ. Talia autem ſpecie eſſe eadem non poſſunt. Quare neq; eadem ſpecie eſt voluptas. Ariſtot. l.10.c.5.

Ariſtot. l.10.c.5.

CAP. VI.

Differre honeſtate inter ſe voluptates & improbitate: item ſinceritate: deinde aliorum animalium eſſe alias: & quæ ſit vera.

Διαφέρουσιν δὲ τῶν ἐνεργειῶν ἐπιεικείᾳ, &c.

QUoniam autem quælibet cum ea ex qua naſcitur, functione convenit voluptas, ipſæ vero inter ſe functiones honeſtate differunt & turpitudine, aliæque eligendæ, aliæ fugiendæ ſunt, aliæ vero neutrum; eodem modo ſe habere voluptates neceſſe eſt, ut aliæ bonæ, aliæ turpes, aliæ nec hoc ſint nec illud. Et honeſta quidem voluptas ea eſt ac bona, quæ honeſtæ ac bonæ probæq; propria eſt functioni: ſicut turpis, quæ turpi propria eſt functioni. Nam & cupiditates honeſtorum laude, turpiū vero vituperatione dignæ cenſentur, quæ vero functioni quæ nec laude nec vituperatione eſt digna, propria eſt voluptas, ipſa quoq; eſt neutrum. Cum vero in functione quoque conſideretur appetitus, unde ad illam aliquis propellitur functionem, videndum eſt, utrum functioni magis, an appetitui propria ſit voluptas. Videtur autem magis functioni eſſe propria. Cum appetitu enim nec cohæret, neque eodem cum illo fit tempore voluptas: ſed & tempore & natura differt ab ea. Quippe & functionem & ejus voluptatem præcedit appetitus. Cum functione autem ita cohæret, ita indivulſo quodam modo conjuncta eſt

ΚΕΦ.

Περὶ τοῦ ὅτι ἐπιεικείᾳ καὶ φαυλότητι, καὶ ἔτι καθαρότητι διαφέρουσιν αἱ ἡδοναί· καὶ ὅτι ἑτέρων ζώων καὶ ἕτεραι· καὶ τίς ἡ ἀληθής.

ΕΠεὶ δὲ ἑκάστῃ ἡδονὴ τῇ ἐνεργείᾳ, ὅθεν ἐστὶν, οἰκείως ἔχει, αἱ ἐνέργειαι διαφέρουσιν ἀλλήλων ἐπιεικείᾳ καὶ φαυλότητι, καὶ αἱ μὲν αἱρεταί εἰσιν, αἱ δὲ φευκταὶ, αἱ δὲ οὐδέτερον, τὸν αὐτὸν τρόπον καὶ τὰς ἡδονὰς ἔχειν ἀνάγκη, καὶ τὰς μὲν ἀγαθὰς εἶναι, τὰς δὲ φαύλας, τὰς δὲ οὐδέτερον τούτων· καὶ ἐπιεικὴς μὲν καὶ ἀγαθὴ ἡδονή ἐστιν ἡ οἰκεία τῇ ἐπιεικεῖ καὶ ἀγαθῇ καὶ σπουδαίᾳ ἐνεργείᾳ, φαύλη δὲ ἡ τῇ φαύλῃ ἐνεργείᾳ οἰκεία. Καὶ γὰρ αἱ ἐπιθυμίαι τῶν μὲν καλῶν ἐπαινεταὶ, τῶν δὲ φαύλων ψεκταί· ἡ δὲ οἰκεία τῇ ἐνεργείᾳ, ἣ οὔτε ἐπαινετή ἐστιν, οὔτε ψεκτὴ, καὶ αὕτη οὐδέτερόν ἐστιν. Ἐπεὶ δὲ τῇ ἐνεργείᾳ καὶ ὄρεξίς ἐστιν ὅθεν κινεῖταί τις ἐπὶ τὸ ἐνεργεῖν, ζητητέον πότερα μᾶλλόν ἐστιν οἰκεία ἡ ἡδονὴ, τῇ ἐνεργείᾳ, ἢ τῇ ὀρέξει. Φαίνεται δὲ ὅτι οἰκειοτέρα ἐστὶ τῇ ἐνεργείᾳ. Τῇ μὲν ὀρέξει γὰρ ἡ ἡδονὴ οὔτε συμπέφυκεν, οὔτε ἅμα γίνεται αὐτῇ κατὰ τὸν χρόνον, ἀλλὰ διέστηκεν αὐτῆς, καὶ τῷ χρόνῳ, καὶ τῇ φύσει. Προηγεῖται γὰρ ἡ ὄρεξις τῆς ἐνεργείας, καὶ τῆς ἐπ' αὐτῇ ἡδονῆς.

νης· τῇ δ' ἐνεργείᾳ οὕτω συμπέφυκεν ἡ ἡδονή, καὶ οὕτως ἀχωρίστως ἔχει, ὥστε ἀμφισβητεῖται, εἰ ταυτόν ἐστι τῇ ἐνεργείᾳ ἡ ἡδονή. Φαίνεται μὲν οὖν, ὅτι τῇ ἐνεργείᾳ μᾶλλον ᾠκείωται ἡ ἡδονή, ἢ τῇ ὀρέξει· ταυτὸν δὲ οὐκ ἔστιν. Οὐ γὰρ ταυτὸν ἡδονὴ διανοίᾳ, οὐδὲ αἰσθήσει οὐδεμιᾷ· ἄτοπον γὰρ οὕτως οἴεσθαι. Ἀλλὰ τῷ ἀχωρίστως ἀλλήλων ἔχειν δοκεῖ μηδὲν διαφέρειν ἐνεργείᾳ.

Διάφοροι δέ εἰσι καὶ αὗται αἱ ἡδοναὶ πρὸς ἀλλήλας, ὅτι αἱ ἐνέργειαι. Διαφέρει γὰρ ὄψις ἁφῆς καθαρειότητι, καθ' ὅσον ἡ μὲν τοῦ εἴδους ἀντιλαμβάνεται μόνου, ἡ δ' ἁφὴ τῇ ὕλῃ μᾶλλον προσάγει, καὶ ἡ ἀκοὴ ταύτῃ τῆς ὀσφρήσεως καὶ τῆς γεύσεως διαφέρει, ὅτι τῆς ὕλης ἅπτονται μᾶλλον. Ὅθεν καὶ αἱ ἑπόμεναι ἡδοναὶ διοίσουσιν ἀλλήλων, καὶ τῶν ἐκ τῆς διανοίας ἡδονῶν, ὅτι διάφοροι αἱ ἐνέργειαι. Καὶ αὗται δ' αἱ τῆς διανοίας ἡδοναὶ οὐχ αἱ αὐταὶ ἔσονται ἀλλήλαις, ὅτι διάφοροι ἐνέργειαι διανοίας.

Φαίνεται δ' ὅτι καὶ ἑκάστῳ ζώῳ οἰκεία τις ἐστὶν ἡδονή, καθάπερ καὶ ἔργον ἐστὶν οἰκεῖον. Εἰ γὰρ ταῖς ἐνεργείαις αἱ ἡδοναὶ ἀκολουθοῦσιν, ἑκάστῳ δὲ ζώῳ οἰκεία τις ἐστὶν ἐνέργεια κατάλληλος τῇ φύσει, καὶ ἡ ἡδονὴ ἂν εἴη οἰκεία. Τοῦτο δὲ καὶ καθ' ἕκαστον θεωροῦντι γίνεται δῆλον. Ἑτέρα γὰρ ἵππου ἡδονή, καὶ κυνός, καὶ ἀνθρώπου· Καθάπερ Ἡράκλειτός φησιν, ὁ-

voluptas, ut dubitetur, ſit ne idem cum functione voluptas. Ariſtot. l. 10. c. 5. Unde apparet magis cum functione quam cum appetitu cohærere voluptatem. Neque eſt tamen idem. Neque enim aut cum cogitatione aut cum alio aliquo ſenſu idem eſt voluptas. Hoc enim exiſtimare, eſt abſurdum. Sed quia indiviſe, ut jam diximus, quodammodo inter ſe cohærent, nihil differre à functione videntur.

Sed & inter ſe ipſæ quoque differunt voluptates, quia differunt functiones. Διαφέρει δ' ἡ ὄψις, &c. Puritate enim à tactu differt viſus, quatenus ille quidem ſolam apprehendit ſpeciem, tactus vero magis ad materiam deducit: ſicut hoc ipſo modo ab olfactu & guſtu differt auditus, quia illi ipſam magis tangunt materiam. Unde etiam quæ ex his ſequuntur, partim inter ſe, partim ab iis quæ animo ac cogitatione percipiuntur voluptatibus, different: quia diverſæ functiones ejus partis ſunt, Sicut & ipſæ animi ac cogitationis non eædem inter ſe erunt voluptates, quia diverſæ illorum ſunt partes.

Jam vero & ſingulis propria quædam voluptas videtur eſſe animalibus, ſicut proprium quoq; eſt opus. Δοκεῖ δ' εἶναι ἑκάστῳ ζώῳ, &c. Si enim functiones ſequantur voluptates, cuilibet autem animali propria & quæ naturæ ejus reſpondeat, eſt functio, etiam voluptas erit propria. Quod in ſingula eorum intuenti apparebit. Alia enim equi, alia canis, alia hominis voluptas eſt. Quemadmodum Heraclitus ait, aſi-

Aristot. l. 10 c. 5. aſinum ſtramenta malle quam aurum. Gratior enim auro cibus eſt aſinis. Quare propriæ diverſis functionibus voluptates, ipſæ quoque ſunt diverſæ: quæ vero earundem ſunt functionum, eas quoque eaſdem eſſe ſpecie, ſit veriſimile: eo tamen quod vel plus ſunt, differunt, vel minus. Non iiſdem enim omnes delectari functionibus, conſtat ſatis. Cum vero tanta ſit differentia, ut ex iiſdem, alii voluptatem, alii percipiant moleſtiam: ſicut nec dulcia omnibus eadem: neque enim eadem ſebricitanti dulcia videntur & ſana: neque calida eadem infirmo & bene conſtituto. Quod & in aliis fieri conſuevit.

Δοκεῖ δ' ἐν ἅπασι τοῖς τοιούτοις, &c. Sicut in ejuſmodi autem jucundis, ea quæ vere ſunt jucunda ab iis quæ videntur, à ſanis diſcemus diſtinguere: ita morales etiam voluptates ab iis qui bonis ſunt præditi moribus, hoc eſt, viris honeſtis, diſtinguere diſcemus. Quod ſi hoc vere dicitur, & cujuſlibet menſura eſt virtus, eſtq; vir bonus virtute quilibet, etiam voluptates erunt veræ quæ probo tales videntur, & jucunda, quibus delectatur ille. A quibus vero abhorret ille, neque jucunda dici merito poterunt, neque voluptates. Corruptis autem ita videri hominibus non eſt mirum. Multæ namque & corruptelæ in hominibus & labes exiſtunt: ſuntque jucundæ, non tamen ſimpliciter, ſed corruptis. Quare eas quæ ſine controverſia ſunt turpes, volu-

νου σύρματα ἂν ἕλοιτο μᾶλλον, ἢ χρυσόν. Ἥδιον γὰρ χρυσοῦ τροφὴ ὄνοις. Αἱ μὲν οὖν οἰκεῖαι ἡδοναὶ ταῖς διαφόροις ἐνεργείαις καὶ αὐταὶ διάφοροί εἰσι. Τὰς δὲ τῶν αὐτῶν ἐνεργειῶν τὰς αὐτὰς εὔλογον εἶναι κατὰ τὸ εἶδος· διοίσουσι δὲ κατὰ τὸ μᾶλλον καὶ τὸ ἧττον. Ὅτι γὰρ ταῖς αὐταῖς ἐνεργείαις οὐχ ὁμοίως ἥδονται πάντες, φανερόν· ἐπεὶ καὶ τοσαύτη γίνεται ἡ διαφορά, ὥστε τοῖς αὐτοῖς τοὺς μὲν ἥδεσθαι, τοὺς δὲ λυπεῖσθαι· καὶ γλυκέα οὐ πᾶσι τὰ αὐτά· οὐ γὰρ τὰ αὐτὰ δοκεῖ γλυκέα τῷ πυρέττοντι, καὶ τῷ ὑγιαίνοντι, οὐδὲ θερμὰ τὰ αὐτὰ τῷ ἀσθενεῖ, καὶ εὐεκτοῦντι. Τοῦτο δὲ καὶ ἐφ' ἑτέρων συμβαίνει.

Καθάπερ δὲ ἐπὶ τῶν τοιούτων ἡδέων τὰ ἀληθῶς ἡδέα τῶν δοκούντων ἀπὸ τῶν ὑγιαινόντων γνωσόμεθα διελεῖν· οὕτω καὶ τὰς ἐν τῷ ἤθει ἡδονὰς. ἀπὸ τῶν εὖ ἐχόντων περὶ τὸ ἦθος, δηλαδὴ τῶν σπουδαίων, διοισόμεθα· εἰ δὲ τοῦτο κυρίως λέγεται, καὶ ἑκάστου μέτρον ἡ ἀρετή, καὶ τὸ ἀγαθὸν εἶναι διὰ τὴν ἀρετὴν ἐστιν ἑκάστῳ, καὶ ἡδοναὶ ἂν εἶεν ἀληθῶς, αἱ τῷ σπουδαίῳ φαινόμεναι ἡδοναί, καὶ ἡδέα οἷς οὗτος χαίρει. Πρὸς ἃ δὲ οὗτος ἀηδῶς ἔχει, οὐκ ἂν εὐλόγως ἡδέα λέγοιντο οὐδὲ ἡδοναί. Εἰ δὲ τοῖς διεφθαρμένοις ἡδέα δοκεῖ ταῦτα, οὐδὲν θαυμαστόν. Πολλαὶ γὰρ φθοραὶ καὶ λύμαι ἀνθρώπων γίνονται, καὶ ἡδεῖς εἰσιν, ἀλλ' οὐχ ἁπλῶς ἡδεῖς, ἀλλὰ τοῖς γε διεφθαρμένοις. Τὰς μὲν οὖν ὁμολογουμένως αἰσχρὰς δῆλον ὡς οὐκ ἂν εἴη ῥητέον ἡδονὰς

δονὰς εἶναι, πλὴν τοῖς διεφθαρμένοις.

Τῶν δὲ ἐπιεικῶν ἡδονῶν τίνα ῥητέον κυρίως ἀνθρωπίνην ἡδονὴν εἶναι; καὶ τοῦτο δὲ φανερὸν ἐκ τῶν εἰρημένων. Ἐπεὶ γὰρ οἰκεῖαι ταῖς ἐνεργείαις αἱ ἑπόμεναι ἡδοναί, ληπτέον τὴν ἀνθρωπίνην ἐνέργειαν, ἡ τοῦ ἀνθρώπου ἐστὶ καθ' ὅ ἐστιν ἄνθρωπος, εἴτε μία ἐνέργεια ἐστίν, εἴτε πλείους, καὶ δὴ ταύτας τὰς ἐνεργείας αἱ τελειοῦσαι ἡδοναὶ τὰς τοῦ τελείου καὶ μακαρίου ἀνδρός, αὗταί εἰσιν αἱ τοῦ ἀνθρώπου, ᾗ ἄνθρωπος, ἡδοναί· αἱ δὲ λοιπαὶ δευτέρως καὶ πολλοστῶς λέγοιντο ἂν ἀνθρώπιναι, καθάπερ καὶ αἱ ἐνέργειαι.

ptates dici non poſſe, niſi corruptis, apparet. Ariſtot. l. 10. c. 6.

Ex voluptatibus autem honeſtis, quamnam proprie humanam eſſe voluptatem dicemus? Etiam hoc ex ſuperioribus apparet. Τῶν δ' ἐπιεικῶν δοκουσῶν εἶναι, &c. Cum enim propriæ functionibus, eæ quæ ſequuntur ipſas, ſint voluptates, ea ſumenda eſt hominis functio, quæ hominis eſt, qua eſt homo, ſive unica ea ſit, ſeu plures. Quæ has ergo functiones perficiunt voluptates, viri dico boni functiones & beati, hæ ſunt hominis qua homo eſt voluptates. Reliqua autem ſecundo ac multifariam, ſicut & functiones, dicantur humanæ.

ΚΕΦ. — CAP. VII.

Περὶ εὐδαιμονίας. — *De felicitate.*

ΕΠεὶ δὲ περὶ τῶν ἀρετῶν εἴρηται, καὶ τῆς φιλίας, καὶ τῆς ἡδονῆς, λοιπὸν περὶ εὐδαιμονίας τύπῳ διελθεῖν, ἐπεὶ τέλος αὐτὴν εἶναι τῶν ἀνθρωπίνων πάντων φαμέν. Γένοιτο δ' ἂν ἡμῖν σαφὴς καὶ ῥᾴδιος ὁ λόγος, τὰ προειρημένα περὶ τῆς εὐδαιμονίας ἀναλαβοῦσιν.

Quoniam autem de virtutibus dictum eſt, amicitia item & voluptate, reſtat ut de felicitate obiter dicamus: ſiquidem omnium eam rerum humanarum finem ponimus. Ita autem demum tota hæc nobis plana eſt futura diſputatio, ſi ea quæ ſupra de felicitate diximus, obiter revocemus. Cap. 6. Εἰρημένων δὲ τῶν περὶ, &c.

Εἴρηται τοίνυν περὶ αὐτῆς ἐν τῷ ιγ' κεφαλαίῳ τοῦ πρώτου βιβλίου, ὅτι οὐκ ἔστιν ἕξις. Εὐδαίμων γὰρ ἂν εἴη καὶ ὁ διὰ βίου καθεύδων, καὶ ὁ φυτῶν βίον ζῶν, καὶ ἔτι ὁ τὰ μέγιστα δυστυχῶν. Ἐνδέχεται γὰρ ἕξιν ἔχοντα ἀρετῆς οὕτω βιῶναι.

Diximus ergo lib. primi decimo tertio capite de ea, habitum non eſſe. Ἔφαμεν δ' ὅτι οὐκ ἔστι, &c. Ita enim & qui toto vitæ dormit tempore, & qui in maximis vitæ verſatur calamitatibus, felix dicendus eſſet. Cum habitu enim felicitatis eo modo vivere poſſumus.

Εἰ δὲ τοῦτο ἄδοξον, εὐδαίμονα τὸν οὕτως ἔχοντα

Sin vero eum qui ita vivat, velle felicem dicere, abſurdum Εἰ δὴ ταῦτα, &c. futu-

futurum ſit, ſequitur functionem quandam eſſe voluptatem. Reſtat ergo, ut quænam humanarum ſit actionum videamus.

Ariſtot. l.10.c.6.

Τῶν δ' ἐνεργειῶν αἱ μὲν εἰσι, &c. Cum enim functionum aliæ neceſſariæ ſint, alioque deducant, atque alia de cauſa petantur: aliæ per ſe autem; ſequitur inter eas quæ per ſe petendæ ſunt, felicitatem reponendam eſſe. Per ſe quippe ſufficiens eſt, neque ullius eget felicitas: quod vero alterius cauſa eligendum eſt, illo opus habet, cujus cauſa, ut eligendum ſit & bonum, ſolet quæri.

Τοιαῦται δ' εἶναι δοκοῦσιν, &c. Per ſe autem ſufficientes ſunt functiones virtutis, quæ non alterius, ſed ſua ipſius de cauſa petuntur. Pulchra quippe & honeſta agere, inter ea ponimus quæ per ſe eligenda ſunt. Sicut & luſus jucundi, non ob aliud petuntur: qui enim eos ſequuntur, nihil ex iis commodi capiunt: imo damnum potius: dum & corpus, eaſque quæ corporis cauſa comparari ſolent, negligunt poſſeſſiones. Ideoque multi ex fortunatis, & quibus proſpere in vita ſuccedunt omnia, ludibundam vitam ſequuntur, homineſque magni faciunt feſtivos. Unde & eos qui apud tyrannos venuſte jocari norunt, eſſe in exiſtimatione magna videmus. Dum enim ea ſuppeditant illis, quibus ad eam quæ vulgo putatur, opus habent felicitatem, jucundi ſunt iis. Felicitati ergo ludi videntur convenire & joci: quia ii qui rerum potiuntur, maxime in iis verſantur. Non conveniunt tamen maxi-

καλῶν, ἐνέργειά τις ἂν εἴη ἡ εὐδαιμονία. Ζητητέον δὴ τὶς τῶν ἀνθρωπίνων ἐνεργειῶν ἐστίν.

Ἐπεὶ γὰρ αἱ μὲν τῶν ἐνεργειῶν ἀναγκαῖαί εἰσι, καὶ πρὸς ἄλλα φέρουσι, καὶ δι' ἄλλα ζητοῦνται, αἱ δὲ καθ' ἑαυτάς εἰσιν αἱρεταί, δῆλον ὅτι τὴν εὐδαιμονίαν θετέον εἶναι τῶν καθ' ἑαυτὰς αἱρετῶν· αὐτάρκης γὰρ ἡ εὐδαιμονία, καὶ οὐδενός ἐστιν ἐνδεής. Τὸ δὲ δι' ἄλλο αἱρετὸν ἐκείνου δεῖται, δι' ὃ ζητεῖται πρὸς τὸ αἱρετὸν εἶναι καὶ ἀγαθόν.

Καθ' ἑαυτὰς δὲ εἰσιν αὐτάρκεις αἱ κατὰ τὰς ἀρετὰς ἐνέργειαι, ἃς οὐ δι' ἄλλο ζητοῦμεν, ἀλλὰ δι' ἑαυτάς. Τὸ γὰρ τὰ καλὰ καὶ σπουδαῖα πράττειν, τῶν καθ' ἑαυτὰ αἱρετῶν. Καὶ τῶν παιδιῶν δὲ αἱ ἡδεῖαι οὐ δι' ἄλλα ζητοῦνται. Οἱ γὰρ αἱρούμενοι αὐτὰς οὐδὲν ἐξ αὐτῶν ὠφελοῦνται· βλάπτονται μὲν οὖν μᾶλλον τῶν σωμάτων ἀμελοῦντες, καὶ τῆς κτήσεως τῶν ὑπὲρ τοῦ σώματος ζητουμένων. Διὰ τοῦτο καὶ πολλοὶ τῶν εὐτυχῶν, καὶ τὸν βίον εὐθυνουμένων, ἐπὶ τὸν παιδιώδη τρέχουσι βίον, καὶ πολλοῦ τιμῶνται τοὺς εὐτραπέλους. Καὶ οἱ παρὰ τοῖς τυράννοις παίζειν ἡδέως εἰδότες εὐδοκιμοῦσιν. Ἡδεῖς γάρ εἰσιν, αὐτοῖς παρέχοντες ὧν ἐφίενται, καὶ δέονται πρὸς τὴν νομιζομένην εὐδαιμονίαν. Δοκεῖ μὲν οὖν τὰς παιδιὰς εὐδαιμονικὰς εἶναι, διὰ τὸ τοὺς ἐν δυναστείαις ἐν τούτοις μάλιστα διατρίβειν. Οὐκ ἐστι

δέ. Οὐ γὰρ ἱκανὸν σημεῖον τῶν τοιούτων ἀνδρῶν ἡ ψῆφος. Οὐ γὰρ ἐν τῷ δυναστεύειν ἡ ἀρετή, οὐδὲ ὁ ὑγιαίνων μάλιστα νοῦς, ἀφ' ὧν αἱ σπουδαῖαι ἐνέργειαι. Οὐδὲ γάρ, ἐπεὶ τῆς ἐλευθερίου καὶ εἰλικρινοῦς ἡδονῆς ἄγευστοι καθάπαξ ὄντες ἐπὶ τὰς σωματικὰς καταφεύγουσιν ἡδονάς, διὰ τοῦτο ταύτας εὔλογον οἴεσθαι τῶν ὡς ἀληθῶς ἡδονῶν αἱρετωτέρας εἶναι. Καὶ γὰρ οἱ παῖδες τὰ παρ' αὐτοῖς τιμώμενα κράτιστα οἴονται εἶναι. Ἀλλ' οὔτε τοῖς ἀνδράσι τίμια τὰ τῶν παίδων δοκεῖ, οὔτε ἐπιεικεῖς οὐ θαυμάζουσιν ἅπερ οἱ φαῦλοι. Ἀλλὰ τοὺς μὲν ἡ δοκοῦσα, τοὺς δὲ ἡ ἀληθὴς ἡδονὴ μάλιστα τέρπει.

Καθάπερ οὖν ἐν ἀρχῇ εἴρηται, τὰ ὡς ἀληθῶς τίμια καὶ σπουδαῖά ἐστιν ἃ θαυμάζει, καὶ οἷς ἥδεται ὁ σπουδαῖος. Ἐπεὶ δὲ ἀκολούθως ταῖς ἐν τῇ ψυχῇ καὶ τὰς ἐνεργείας ἕκαστος ἐπιζητεῖ, καὶ ταύτας οἴεται μάλιστα αἱρετωτάτας εἶναι, ὁ δὲ σπουδαῖος κατὰ τὴν ἕξιν τῆς ἀρετῆς ζῇ, φανερόν, ὅτι ταῖς ἐνεργείαις ἡσθήσεται ταῖς κατὰ τὴν ἀρετήν, καὶ ταύτας τιμίας ἡγήσεται καὶ ἡδείας. Τῶν δὲ παιδιῶν, ὡς ἀλλοτρίων τῆς ἕξεως, καταφρονήσει. Ἐπεὶ δὲ ὀρθῶς καὶ ὑγιῶς οὗτος ψηφίζεται, οὐκ ἄρα τίμιον ἡ παιδιά, οὐδ' ἄρα ἐν αὐτῇ ἡ εὐδαιμονία. Καὶ γὰρ ἄτοπον παιδιὰν εἶναι τῶν ἀνθρωπίνων τὸ τέλος, καὶ πάντα πραγματεύεσθαι, καὶ

me. Neque enim talium ſufficit calculus hominum. Non enim in imperio aut virtus eſt, aut mens ſana maxime, à quibus honeſtæ proficiſci functiones ſolent. Neq; quia liberalem ac ſinceram nunquam omninò guſtarunt voluptatem, ac propterea ad corporeas tranſcurrunt, ideo has quoque ſequitur iis quæ omnino veræ ſunt præferendas eſſe. Nam & pueri ea quæ in precio apud ſe vident eſſe, putant eſſe maxima. Cum neque viri ea magni eſſe facienda exiſtiment, quæ ſunt puerorum, neq; honeſti viri mirentur, quæ ſunt improborum. Alios quippe quæ videtur, alios autem vera maxime delectat voluptas.

Ariſtot. l. 10. c. 6.

Quemadmodum in principio erga dicebamus, vere honore digna ſunt & honeſta, quæ miratur quibuſque delectatur vir probus. Quoniam autem eas, quæ internis animi habitibus reſpondent functiones, nemo non quærit, eaſque maxime eligendas eſſe exiſtimat, ex virtutis autem habitu vivit vir probus, manifeſtum eſt, virtutis quoque functionibus virum delectari probum, eaſque honore dignas & jucundas eſſe exiſtimare, ludos v. jocoſque tanquam ab habitu ſuo alienos contemnere. Cum autem recte ſanoque modo is judicet, ſequitur nec honore dignum eſſe ludum ac jocum, & per conſequens nec in eo felicitatem eſſe. Abſurdum enim eſſet, rerum humanarum finem eſſe ludum: omniaque & gerere,

Καθάπερ μὲν οὖν πολλάκις εἴρηται, &c.

&

Ariſtot. l. 10. c. 6.

& omnes calamitates toto vitæ tempore luſus cauſâ ſubire. Si quis enim eam eſſe ſupponat felicitatem, ſequetur ut hoc etiam concedat. Felicitatis enim cauſa omnia petimus: luſus vero cauſa laborare, toto vitæ tempore & res ſerias tractare, ſtultum nimis videtur, & revera puerile. Contra vero, ut ſeria poſſis agere, luſum ſequi, recte cum primis ac honeſte fit, ut dicebat Anacharſis. Etenim quaſi quies quædam laborantibus eſt luſus, qui aſſiduis laboribus pares eſſe non poſſunt: ideoque vires illis reſtituit & iiſdem indefeſſos rurſus laboribus tradit. Quare non functionis finis eſt quies, ſed quietis finis eſt functio. Præterea, ſecundum voluptatem eſſe vitam felicem omnes fatentur. Seria autem eſt illa. Neque probus eſt vir probus qua ludit, ſed qua ſeria agit. Præterea meliora eſſe dicimus ſeria, quam quæ cum joco ſunt conjuncta & riſu: ſed & melioris animæ partis functionem eſſe maxime quoque ſeriam dicimus: quod vero melius & melioris eſt partis, felicitati magis convenit. Præterea, corporearum voluptatum omnes, tum plebei homines tum improbi fiunt participes & ſerviles, neque improbiſſimis minus adſunt quam optimis. At ſolorum optimorum eſſe dicitur felicitas, neque quiſquam eam improbis adeſſe dixerit: ſicut neque eandem utrorumque vitam: quia non in prava vi-

κακοπαθεῖν διὰ βίου τοῦ παίζειν χάριν. Εἰ γάρ τις ὑπόθοιτο ταύτην εἶναι τὴν εὐδαιμονίαν, ἀκόλουθον ἐστι καὶ ταῦτα δὴ συγχωρεῖν. Τῆς γὰρ εὐδαιμονίας ἕνεκα πάντα ζητοῦμεν· τῆς παιδιᾶς δὲ χάριν πονεῖν διὰ βίου καὶ σπουδάζειν ἠλίθιόν τι δοκεῖ λίαν εἶναι, καὶ τοῦτο δὴ παιδικόν. Τὸ ἀνάπαλιν μὲν οὖν ἕνεκα τοῦ δύνασθαι σπουδάζειν αἱρεῖσθαι κατ' Ἀνάχαρσιν, καλῶς καὶ ὀρθῶς ἂν ἔχοι. Καὶ γὰρ ἀνάπαυσίς τις ἡ παιδιὰ τοῖς ἀγωνιζομένοις, συνεχῶς οὐ δυναμένοις πονεῖν, ἢ τὴν δύναμιν αὐτοῖς ἀνακαλουμένη, τοῖς πόνοις ἀκμῆτας ἀποδίδωσιν. Ὅθεν οὐ τέλος τῆς ἐνεργείας ἡ ἀνάπαυσις, ἀλλ' ἀναπαύσεως ἐνέργεια τέλος. Ἔτι πᾶσιν ὁμολογεῖται τὸν εὐδαίμονα βίον κατὰ τὴν ἀρετὴν εἶναι· οὗτος δὲ μετὰ σπουδῆς· καὶ ὁ σπουδαῖος οὐ παίζων, ἀλλὰ σπουδάζων. Ἔτι δὲ βελτίω λέγομεν εἶναι τὰ σπουδαῖα τῶν μετὰ παιδιᾶς καὶ γελοίων, καὶ τὴν ἐνέργειαν βελτίονος τῆς ψυχῆς μέρους σπουδαιοτάτην φαμέν· τὸ δὲ βέλτιον καὶ τοῦ βελτίονος μέρους μᾶλλον τῇ εὐδαιμονίᾳ προσήκει. Ἔτι ἡ μὲν ἀπόλαυσις τῶν σωματικῶν ἡδονῶν κοινή ἐστι καὶ τοῖς τυχοῦσι καὶ τοῖς φαύλοις, καὶ ἀνδραπόδοις, καὶ τοῖς μοχθηροτάτοις ἔνεστιν οὐχ ἧττον, ἢ τοῖς ἀρίστοις. Ἡ δὲ εὐδαιμονία τῶν ἀρίστων λέγεται μόνον, καὶ οὐδεὶς ἂν εἴποι καὶ τοῖς φαύλοις προσεῖναι· καὶ γὰρ οὐδὲ βίον τὸν αὐτὸν ἀμφοτέρων εἶναι, ὅτι μὴ κατὰ τὴν φαύλην

διαγωγῇ ἡ εὐδαιμονία, ἀλλ' ἐν ταῖς κατ' ἀρετὴν ἐνεργείαις, καθάπερ καὶ πρότερον εἴρηται.

vendi ratione, ſed in functionibus virtutis, ſicut ante dictum eſt, felicitas conſiſtit. Ariſtot. l. 10. c. 7.

ΚΕΦ. η'.

CAP. VIII.

Περὶ τῆς θεωρητικῆς εὐδαιμονίας.

De contemplativa felicitate.

Ἐπεὶ δὲ ἡ εὐδαιμονία ἐν ταῖς κατ' ἀρετὴν ἐνεργείαις δέδεικται εἶναι, εἴ τις εἴη κρατίστη τῶν τοιούτων ἐνεργειῶν, μάλιστα ἐν ταύτῃ ἂν εἴη.

Κράτιστον γὰρ καὶ ἄριστον ἡ εὐδαιμονία· κρατίστη δὲ ἐνέργεια ἡ τοῦ κρατίστου τῶν ἐν ἡμῖν ἐνεργούντων, ὃ κατὰ φύσιν ἄρχει καὶ ἡγεῖται πρὸς τὴν ἀλήθειαν, καὶ τὸ ἀγαθὸν, εἴτε νοῦς τοῦτο ἂν καλοῖτο, εἴτε ἄλλό τι, ὃ δὴ ἔννοιαν ἔχει περὶ καλῶν τε καὶ θείων, εἴτε θεῖον ὂν καὶ αὐτὸ, εἴτε τῶν ἐν ἡμῖν τὸ θειότατον· ἡ δὴ τούτου ἐνέργεια δ' καὶ καλῶς γινομένη, καὶ κατὰ τὴν οἰκείαν ἀρετὴν, εἴη ἂν ἡ τελεία εὐδαιμονία.

Καὶ ἔστι θεωρητικὴ, καθὼς πρότερον εἴρηται· ὅτι δὲ ἐν ταύτῃ τῇ ἐνεργείᾳ ἐστὶν ἡ τελεία εὐδαιμονία, καὶ τὰ προειρημένα ἡμῖν περὶ τῶν ἀνθρωπίνων ἐνεργειῶν, καὶ ἡ ἀλήθεια μαρτυρεῖ.

Καὶ γὰρ ὡς ἐν τῷ περὶ φιλίας εἴρηται, ὁ νοῦς ἐστὶ τὸ ἡμέτερον εἶναι, καὶ διὰ τοῦτο κρατίστη ἐστὶν ἡ αὐτοῦ ἐνέργεια, καὶ ἃ γινώσκει κράτιστά εἰσι τῶν αἰσθήσει γνω-

Quoniam autem in functionibus virtutis ipſam conſiſtere oſtendimus felicitatem, ſi quæ earum functionum ſit præſtantiſſima, in ea potiſſimum conſiſtere eam oportebit. Cap. 7. Εἰ δ' ἐστὶν ἡ εὐδαιμονία, &c.

Præſtantiſſimum enim ac optimum eſt felicitas: præſtantiſſima autem functio, præſtantiſſimæ earum quæ in nobis aliquo munere funguntur, partium eſt functio: quod natura ſua ad veritatem nobis præit & bonum, ſive mens, ſive alio quocunq; id dicatur nomine, quod divinarum honeſtarumq; rerum notione eſt præditum: ſeu id divinum revera, ſive omnium quæ in homine ſunt partium, ſit diviniſſimum. Hujus ergo functio, ſi recte ac ut oportet, maximeq; ſecundum propriam fiat virtutem, perfecta erit felicitas. Αὐτὴ δ' εἴη τοῦ ἀρίστου, &c.

Eſtq; contemplativa, ſicut ante dictum eſt. Porro perfectam in hac functione felicitatẽ eſſe, partim ea quæ de functionibus ſupra à nobis dicta ſunt humanis, partim ipſa veritas confirmat. Ὅτι δ' ἐστὶ θεωρητικὴ, &c.

Etenim quemadmodum in ſuperiore de amicitia diſputatione diximus, mens noſtra eſt eſſentia, ideoq; præſtantiſſima eſt ipſius functio: & quæ mens percipit, omniũ quæ ſenſu percipiuntur ullo, Κρατίστη γὰρ αὕτη, &c.

ſunt

Ariſtot. l. 10. c. 7.

ſunt præſtantiſſima. Quod ſi optimum rerum humanarum eſſe felicitas debet, in optimo quoq; eam eſſe omnino neceſſe eſt.

Ἔτι δὲ συνεχεστάτη, &c.

Requiritur præterea ut continua ſit felicitas. Eo enim demum modo perfecte beatus eſſe poteſt aliquis, ſi ejus non interrumpatur felicitas. Hoc contemplantibus autem maxime contingit. Facilius enim continuo contemplari, quam aliud quicquam agere poſſumus.

Οἰόμεθα δεῖν, &c.

Sed & voluptatem cum felicitate conjunctam eſſe debere diximus. Omnium autem judicio, earum quæ in virtute conſiſtunt maxime jucunda eſt ſapientiæ functio. Videtur autem miras habere voluptates philoſophia, tum quod ſit pura & ab omni ſeparata materia, tum quod ſit ſtabilis, & in iis quæ non mutantur, ſed eodem ſemper modo ſe habent, functionem exerceat ſuam. Activa quippe, quam dicimus, ſcientia ſubjectum requirit, & in contingentibus conſiſtit: talia enim ſunt quæ aguntur: quo fit ut nemo perfectam in ea conſequatur felicitatem.

Ἡ τε λεγομένη αὐτάρκεια, &c.

Deinde etiam ſe ipſo contentum eſſe debere diximus felicem. Hoc autem contemplativæ magis quam alterius eſt ſcientiæ. Iis enim quæ ad vitam requiruntur, & is qui in contemplatione opus habet, & qui in actione verſatur. Sed præter hæc aliis etiam ad virtutis functionem opus habet is qui agit. Sic juſtus opus habet illis in quibus juſtitiam exerceat ſuam, & cum quibus: temperans item & fortis, & quicunque alius ſi-

σκοπουμένων. Εἰ δ' ἄριστον δεῖ εἶναι τὴν εὐδαιμονίαν, ἐν τῷ ἀρίστῳ εἶναι πᾶσα ἀνάγκη.

Ἔτι τὸ συνεχὲς ἀποδιδόναι δεῖ τῇ εὐδαιμονίᾳ. Οὕτω γὰρ ἂν τελείως δύναιτό τις εὐδαιμονεῖν, μὴ διακοπτομένης αὐτοῦ τῆς εὐδαιμονίας. Τοῦτο δὲ θεωροῦσι μάλιστα δυνατόν. Θεωρεῖν γὰρ δυνάμεθα συνεχῶς μᾶλλον, ἢ ὁτιοῦν ἕτερον πράττειν.

Ἔτι καὶ ἡδονὴν οἰόμεθα δεῖν τῇ εὐδαιμονίᾳ παραμεμῖχθαι. Ἡδίστη δὲ τῶν κατ' ἀρετὴν ἐνεργειῶν, ἡ κατὰ σοφίαν ὁμολογουμένως ἐστί· φαίνεται τοίνυν ἡ φιλοσοφία θαυμαστὰς ἔχουσα ἡδονάς, διά τε τὴν καθαρειότητα, καὶ τὸ ὕλης ἀπηλλαγμένη καθάπαξ εἶναι, καὶ διὰ τὸ βέβαιον, ὅτι περὶ τὰ ἀκίνητα καὶ ὡσαύτως ἔχοντα ἐνεργεῖ. Ἡ γὰρ πρακτικὴ τῆς τε ὕλης δεῖται, περί τε τὰ ἐνδεχόμενά ἐστι· τοιαῦτα γὰρ τὰ πρακτά· ὅθεν οὐκ ἔνι τελείως κατ' αὐτὴν εὐδαιμονεῖν.

Ἔτι καὶ αὐτάρκη τὸν εὐδαίμονα εἶναι δεῖ. Τοῦτο δὲ τῆς θεωρητικῆς ἐστὶ μᾶλλον, ἢ τῆς ἑτέρας. τῶν μὲν γὰρ πρὸς τὸ ζῆν ἀναγκαίων καὶ ὁ θεωρητικὸς δεῖται καὶ ὁ πρακτικός. Πρὸς τούτοις δὲ ὁ μὲν πρακτικὸς καὶ ἄλλων δεῖται πρὸς τὸ τὴν ἀρετὴν ἐνεργῆσαι· καὶ γὰρ ὁ δίκαιος δεῖται πρὸς οὓς δικαιοπραγήσει, καὶ μεθ' ὧν, καὶ ὁ σώφρων, καὶ ὁ ἀνδρεῖος, καὶ τῶν ἄλλων ἕκαστος. Ὁ δὲ σο-

φὸς, καὶ καθ᾽ ἑαυτὸν ὤν, δύναται θεωρεῖν, καὶ οὐδενὸς δεῖται πρὸς τοῦτο, καὶ μᾶλλον ὅσῳ σοφώτερος· εἰ δὲ δεῖταί πως καὶ αὐτὸς ἄλλων, ὅτι μετ᾽ ἄλλων βέλτιον θεωρήσει, πρόσγε τὸ τὴν ἐνέργειαν τελείως ἐνεργῆσαι καθ᾽ ἑαυτὸν αὐταρκέστατός ἐστιν.

Ἔτι καὶ δι᾽ ἑαυτὴν αἱρετὴν καὶ ἀγαπητὴν εἶναι δεῖ τὴν εὐδαιμονίαν. Φαίνεται δὲ ἡ θεωρητικὴ ζωὴ αὐτὴ δι᾽ ἑαυτὴν φιλουμένη. Καὶ γὰρ οὐδὲν ἀπ᾽ αὐτῆς ἄλλο ζητοῦμεν, οὐδέ τι γίνεται ἡμῖν ἕτερον παρὰ τὸ θεωρεῖν. ἀφ᾽ ἑκάστης δὲ τῶν πρακτικῶν ἀρετῶν ἐστί τι ἄλλο, ἢ μικρὸν ἢ μεῖζον, λαβεῖν. Καὶ γὰρ ἀπὸ μὲν τῆς ἀνδρείας νίκη, ἀπὸ δὲ σωφροσύνης ἡ κατὰ ψυχὴν ἠρεμία, ἀπὸ δὲ φρονήσεως τὸ εὑρεῖν τὰ πρὸς τὸ ἔσχατον φέροντα τέλος, ἀπὸ δὲ πασῶν ἡ πολιτικὴ εὐδαιμονία· τῇ δὲ θεωρίᾳ οὐδὲν ἀκολουθεῖ, δι᾽ ὃ δοκεῖ δέον εἶναι ζητεῖσθαι, ἀλλὰ αὐτὴ δι᾽ ἑαυτὴν ἀγαπᾶται. Φαίνεται ἄρα ταύτην εἶναι τὴν ἀνθρωπίνην εὐδαιμονίαν.

Ἔτι καὶ ἐν ἠρεμίᾳ τινὶ καὶ σχολῇ συνεστάναι δεῖ τὴν εὐδαιμονίαν. Τέλος γάρ τι ἐστὶν ἡ σχολή, καὶ ἀσχολούμεθα, ἵνα δυνηθῶμεν σχολάσαι, καὶ πόλεμον αἱρούμεθα διὰ τὴν εἰρήνην. Αἱ μὲν οὖν ἐνέργειαι τῶν πρακτικῶν ἀρετῶν ἐν τοῖς πολιτικοῖς εἰσὶ καὶ πολεμικοῖς· αἱ δὲ τοιαῦται πράξεις μάλιστα δοκοῦσι πόρρω πάσης ἠρεμίας καὶ σχολῆς εἶναι· αἱ μὲν

mili virtutum præditus eſt genere. At vero ſapiens, etiam ſolus cum eſt, contemplari poteſt, neque ullo hac in parte eget homine, eoque magis quo eſt ſapientior. Licet autem aliis etiam egere videatur, quia contemplari melius cum aliis videtur, ad perfectam tamen virtutis functionem ſe ipſo contentus eſſe poteſt; nec ullius magnopere requirere præſentiam. Ariſtot. l. 10. c. 7.

Adde quod eligendam per ſe atque amplectendam eſſe oportet felicitatem. Contemplativa autem per ſe amanda eſſe vita videtur. Nihil quippe aliud ex ea quærimus; neque præter contemplationem aliud quicquam aſſequimur. E ſingulis autem activis quas vocant virtutibus, aliud quicquam, vel minus vel magis conſequimur. E fortitudine enim victoria, è temperantia animi tranquilitas, è prudentia ut ea quæ ad extremum deducunt inveniamus finem: ex omnibus autem civilis oritur felicitas. Contra vero nihil omnino, cur petenda eſſe videtur, contemplationem ſequitur: ſed per ſe ipſa amatur. Unde humanam hanc eſſe felicitatem, manifeſtum eſt. Δοκεῖ δ᾽ ἂν αὕτη μόνη, &c.

In ocio præterea quodam & quiete conſiſtere felicitatem oportet. Finis enim aliquis eſt otium: & in negotiis otii cauſa verſamur; ſicut pacis cauſa ſuſcepimus bellum. Quare in civilibus reb. ac bellicis activæ virtutis functiones occupantur. Tales autem actiones, ab ocio omni & quiete quam longiſſime abeſſe videntur. Et omnino Δοκεῖ δὲ ἡ εὐδαιμονία, &c.

Ariſtot. l. 10. c. 7.

quidem bellicæ. Nihil enim ibi eſt quietis. Quod ſi eſſet, per ſe eligendum eſſe bellum videretur. Nemo autem bellum belli petit gratia, neque quiſquam eſt qui ſua ipſius cauſa bellum parat. Fœdam enim in eo cædium cupiditatem eſſe judicaret quivis, ſi quis amicos ſibi hoſtes faceret, tantum ut prælia & neces ſpectaret. Sed & civiles omni ocio deſtituuntur actiones: qui enim in iis verſatur, præterquam quod adminiſtrare Remp. oporteat, potentiam etiam & honores, ipſam denique felicitatem ſibi ſuiſque civibus omni modo comparare conatur. Alia enim ipſius, alia Reip. eſt felicitas. Quod vel ex his manifeſtum eſt. Quia non ſatis ipſi eſt ſed quod ipſe ſit felix, quia nihilominus de Reip. etiam felicitate cogitat: ex quo apparet, aliam eam eſſe.

Ει δὴ τῶν κατὰ τὰς ἀρετάς, &c.

Quoniam ergo inter reliquas virtutis actiones, civiles maxime bellicæque pulchritudine ac magnitudine excellunt: illæ vero otio carent ac quiete, alíumque ſibi finem proponunt, neq; per ſe ſunt eligendæ: mentis vero dignior, longe ac præſtantior eſt functio, quia præſtantiſſimæ animi partis eſt, nec ullius cauſa appetitur, neque aliud quiſquam præter ipſum ſibi in ea finem proponit, propriamq; quandam & majorem quam activæ functiones habet voluptatem, quæ conjuncta cum ea promovet eam ac intendit, tum qua maxime ſe ipſa contenta ac tranquilla mentis eſt functio, quatenus quidem id fieri in ho-

πολεμικαὶ παντελῶς· οὐδὲν γὰρ ἐν αὐταῖς ἐστὶν ἠρεμίας· εἰ γὰρ ἦν, δι' ἑαυτὸ ἂν ὁ πόλεμος ἐζητεῖτο. Οὐδεὶς δὲ αἱρεῖται τὸ πολεμεῖν τοῦ πολεμεῖν ἕνεκα, οὐδέ τις ἐθέλει δι' ἑαυτὸν τὸν πόλεμον παρασκευάζειν· δόξειε γὰρ ἂν μιαιφόνος τις εἶναι, εἰ τοὺς φίλους πολεμίους ποιοῖτο, ἵνα μάχαι καὶ φόνοι γίγνωνται. Εἰσὶ δὲ καὶ αἱ τοῦ πολιτικοῦ πράξεις φανερῶς ἄσχολοι, καὶ παρ' αὐτὸ τὸ πολιτεύεσθαι περιποιούμεναι δυναστείας καὶ τιμάς, ἢ τήν γε εὐδαιμονίαν ἑαυτῷ, καὶ τοῖς πολίταις. Ἑτέρα γὰρ ἡ αὐτοῦ, καὶ ἄλλη ἡ τῆς πόλεως εὐδαιμονία. Καὶ δῆλον· εὐδαίμων γὰρ αὐτὸς γενόμενος οὐκ ἀγαπᾷ, ἀλλὰ καὶ τὴν πολιτικὴν ζητεῖ, δῆλον ὡς ἑτέραν οὖσαν.

Ἐπεὶ τοίνυν τῶν μὲν κατὰ τὰς ἀρετὰς πράξεων αἱ πολιτικαὶ καὶ πολεμικαὶ κάλλει καὶ μεγέθει προέχουσιν, αὗται δὲ ἄσχολοι, καὶ τέλους τινὸς ἐφίενται, καὶ οὐ δι' ἑαυτάς εἰσιν αἱρεταί, ἡ δὲ τοῦ νοῦ ἐνέργεια σπουδαιοτέρα τε εἶναι, ὅτι τοῦ βελτίστου τῆς ψυχῆς ἐστὶ μέρους, καὶ οὐδενὸς ἕνεκα ζητεῖται, οὐδὲ ἄλλου παρ' αὐτὴν ἐφίεται τέλους, ἔχει τε οἰκείαν ἡδονὴν μείζονα ἢ κατὰ τὰς πρακτικὰς ἐνεργείας, ἡ δὴ ἡδονὴ συναύξει τὴν ἐνέργειαν· ἔτι δὲ ἡ τοῦ νοῦ ἐνέργεια καὶ αὐτάρκης. ἔστι μάλιστα καὶ ἐρεμαία, ὡς ἀνθρώποις δήποθεν δυνατόν· καὶ ὅσα ἄλλα τῷ μακα-

ρίῳ

εἰφ ἀπονέμονται, κτ ταύτην τὴν ἐνέργειαν φαίνεται ὄντα. Φανερὸν οὖν, ὅτι ἡ τελεία τοῦ ἀνθρώπου εὐδαιμονία αὕτη ἂν εἴη τέλειον μῆκος βίου λαβοῦσα. Τῶν γὰρ τῆς εὐδαιμονίας οὐδὲν ἀτελὲς εἶναι προσήκει.

mine poteſt; & quia reliqua quæ felici tribuuntur, in hac ſunt functione, ſatis apparet perfectam eſſe hanc hominis felicitatem, modo perfecta vitæ longitudo accedat. Quia nihil quod in ulla felicitatis parte collocatur, imperfectũ eſſe oportet. Ariſtot. l. 10. c. 7.

ΚΕΦ. θ'.

Ὅτι μείζων ἢ κατ' ἄνθρωπον ἡ θεωρητικὴ εὐδαιμονία· καὶ ἔτι περὶ τῆς ἠθικῆς, ἤγουν τῆς κατ' ἄνθρωπον.

CAP. XI.

Majorem quam quæ in hominem poßit cadere contemplativam eſſe felicitatem: item de morali, hoc eſt de humana.

Ἔστι δὲ ὁ τοιοῦτος βίος κρείττων ἢ κατὰ ἄνθρωπον. Ὁ γὰρ οὕτω ζῶν οὐχ ᾗ ἄνθρωπος, οὕτω βιοῖ, ἀλλὰ καθ' ὅτι θεῖον αὐτῷ ὑπάρχει. Ὅσῳ δὲ διαφέρει τοῦτο τὸ θεῖον τοῦ καθ' ἡμᾶς συνθέτου, τοσοῦτον διοίσουσιν αἱ τούτου ἐνέργειαι τῶν ἄλλων ἀνθρωπίνων ἐνεργειῶν, καὶ ἡ τούτου ἀρετὴ τῆς ἄλλης ἠθικῆς ἀρετῆς. Εἰ γὰρ θεῖον ὁ νοῦς πρὸς τὸν ἄνθρωπον, καὶ ὁ κατὰ νοῦν βίος θεῖος πρὸς τὸν ἀνθρώπινον βίον.

Eſt autem talis vita, quam pro homine, præſtantior. Qui enim ita vivit, non qua homo ita vivit, ſed quatenus in eo aliqua divinitatis pars eſt, quantumq; hoc ab eo differt quod in nobis eſt compoſitum, tantum etiam illius à reliquis humanis functionibus different functiones, & à reliqua morali virtute, virtus illius. Si enim divinum hominis reſpectu mens eſt, etiam ea quæ ſecundum mentem eſt, vitæ humanæ reſpectu, vita eſt divina. Ὁ δὲ τοιοῦτος ἂν εἴη κρείττων βίος, &c.

Οὐ χρὴ δὲ ταῖς ἐνίων παραινέσεσιν ἑπομένους ἀνθρώπινα φρονεῖν ἀνθρώπους ὄντας, καὶ θνητὰ θνητούς, ἀλλ' ἐφ' ὅσον ἐνδέχεται ἕκαστον ἑαυτὸν ἀποθανατίζειν, καὶ πάντα ποιεῖν πρὸς τὸ ζῆν κατὰ τὸ κράτιστον τῶν ἐν αὐτῷ. Κράτιστον δὲ τῶν ἐν ἡμῖν ὁ νοῦς ἐστίν· εἰ γὰρ μεγέθει καὶ ὄγκῳ οὐδενὸς ὑπερέχει, διὰ τὸ ὑπερβαί-

Neque tamen ut nonnulli monent, quos omnino ſequi nefas eſt, humana ſapere homines oportet, mortalia mortales, ſed quantum in ſe eſt à mortalitate vindicare debet ſe quiſque, & omni ſtudio in id incumbere, ut præſtantiſſima ſui vivat parte. Præſtantiſſimum autem quod in nobis eſt, mens eſt. Quæ licet mole ac pondere nullo major ſit; quia mate- Χρὴ δὲ οὐ κατὰ τοὺς παραινοῦντας, &c.

Ariſtot. l.10.c.8. materiam omnem excedit, potentia tamen maximum omnium eſt ac præſtantia. Adde quod maxime abſurdum ſit futurum, ſi quis non ſuam, ſed alicujus alterius ſibi ipſi eligeret vitam. Id enim quod in quoque proprium eſt ac præſtantiſſimum, hoc ipſe eſt: & qui ſecundum hoc vivit, ſibi vivet maxime, maximeque ſibi vitam ducet propriam. Siquidem & hic locum habet, quod ante diximus: quod enim cujuſque maxime proprium naturæ eſt, idem illud jucundiſſimum cuique eſt & præſtantiſſimum: mentis autem functionibus fungi, proprium maxime eſt homini, ſiquidem ipſa mens eſt homo. Proprium autem eſt, ut convenienter ſibi functione ſua fungatur quilibet qui fungitur. Unde ſequitur, præſtantiſſimam eam homini, qua ſecundum mentem vivitur, vitam eſſe. Quæ eadem quoque feliciſſima eſt: neque alia eſt quæ primo ac præcipue humana dici felicitas meretur.

Cap. 8. Δευτέρως δὲ ὁ κατὰ ac. Proxima vero, quæ ſecundum cæteras virtutes eſt. Ejus quippe functiones humanæ ſunt, & in mutua inter ſe hominum converſatione conſiſtunt. Eæ namq; quæ ex juſtitiæ & fortitudinis præſcripto à nobis fiunt; item quæ ſecundum reliquas à nobis virtutes, in actionibus, uſibuſque, & contractibus cum aliis hominibus geruntur, & in quibus habita alterius ratione affectus moderamur noſtros: hæc dico omnia, illam, quam compoſitam diximus, conſervant vitam. Hæc autem ſunt humana.

ρειν, τὴν ὕλην, ἀλλὰ τῇ γε δυνάμει καὶ τιμιότητι μέγιστόν ἐστιν ἁπάντων, ἐπεὶ καὶ δεινῶς ἄτοπον, εἴ τις ἑαυτοῦ μηδὲ τὸν ἑαυτοῦ βίον αἱροῖτο, ἀλλὰ τόν τινος ἄλλου. Καὶ γὰρ αὐτὸς ἔστιν ἕκαστος τὸ κυριώτατον καὶ ἄριστον τῶν ἐν αὐτῷ, καὶ κατὰ τοῦτο ζῶν, ἑαυτοῦ ἂν βιώῃ, καὶ τὸν οἰκεῖον μάλιστα βίον. Ἄλλως τε τὸ πρότερον λεχθὲν ἁρμόσει, καὶ νῦν· τὸ γὰρ οἰκεῖον τῇ φύσει ἑκάστου, τοῦτο κράτιστον καὶ ἥδιστόν ἐστιν ἑκάστῳ. Τῷ ἀνθρώπῳ δὲ μάλιστα πάντων τὸ κατὰ νοῦν ἐνεργεῖν, εἴπερ αὐτός ἐστιν ὁ νοῦς. Οἰκεῖον δὲ τὸ καθ' ἑαυτὸν ἐνεργεῖν ἑκάστῳ τῶν ἐνεργούντων· κράτιστος ἄρα καὶ ἥδιστος ὁ κατὰ νοῦν βίος ἀνθρώπῳ· οὗτος ἄρα καὶ εὐδαιμονέστατος, καὶ αὕτη ἂν εἴη πρώτως ἡ ἀνθρωπίνη εὐδαιμονία.

Δευτέρως δὲ ἡ κατὰ τὴν ἄλλην ἀρετήν. Αἱ γὰρ κατ' αὐτὴν ἐνέργειαι ἀνθρωπικαὶ ἐν ταῖς πρὸς ἀλλήλους τῶν ἀνθρώπων κοινωνίαις συνιστάμεναι. Δίκαια γὰρ καὶ ἀνδρεῖα, καὶ τὰ ἄλλα τὰ κατὰ τὰς ἀρετάς, πρὸς ἀλλήλους πράττομεν, ἐν πράξεσι καὶ χρείαις, καὶ συναλλάγμασι, καὶ τὰ πάθη παιδαγωγοῦμεν, τὸ πρέπον τὸ πλησίον διατηροῦντες. Ταῦτα δὲ πάντα τὴν σύνθετον ταύτην συντηροῦσι ζωήν. Τὰ δὲ τοιαῦτα ἀνθρωπικά. Ἔτι αἱ ἠθικαὶ ἀρεταὶ

Morales præterea virtutes

πολλὰ

πολλὴν ἔχουσιν ἐνίοτε ἀπὸ τοῦ σώματος τὴν σκοπήν· καὶ γὰρ σωφρονικοί τινες εἰσι φύσει, καὶ πρὸς ἀνδρείαν δὲ ἔχουσι, καὶ πρὸς μεγαλοψυχίαν, ἀπὸ τῆς κατὰ τὸ σῶμα διαθέσεως. Καὶ ὅλως σφόδρα ᾠκείωται τοῖς πάθεσιν ἡ ἠθικὴ ἀρετὴ, καὶ αὐτὴ δὲ ἡ φρόνησις. Συνέζευκται γὰρ τῇ τοῦ ἤθους ἀρετῇ, ὡς καὶ δέδεικται ἐν τοῖς ἔμπροσθεν, ἐπεὶ φρόνησις μὲν τὰς ἀρχὰς ἀπὸ τῶν ἠθικῶν ἀρετῶν ἔχει· τὸ γὰρ ὀρθοδοξεῖν περὶ τὸ τέλος, ἐκεῖθεν.

Ἡ δὲ ἠθικὴ ἀρετὴ, πῶς δεῖ τοῦ τέλους τυχεῖν ἀπὸ τῆς φρονήσεως λαμβάνει, καθὼς ἐν τῷ ιγ' κεφαλαίῳ τοῦ ς' βιβλίου διείληπται. Ἐπεὶ τοίνυν ἡ μὲν ἠθικὴ ἀρετὴ περὶ τὰ ἀνθρώπινά ἐστι πάθη, καὶ τούτοις ἐστὶ συνεμμένη, ταύτης δὲ ἀχώριστος ἡ φρόνησις εἶναι ἐδείχθη, φανερὸν, ὅτι πᾶσα ἀρετὴ πρακτικὴ τοῖς πάθεσίν ἐστι συνεμμένη. Περὶ τὸ σύνθετον ἄρα, καὶ τὴν ἐν τούτῳ ζωήν· αἱ δὲ τοῦ συνθέτου ἀρεταὶ ἀνθρωπικαί. Ὁ γὰρ τοῦ ἀνθρώπου ὁρισμὸς ἀπὸ τοῦ συνθέτου· ὥστε καὶ ὁ βίος, ὁ κατὰ ταύτας τὰς ἐνεργείας, ἀνθρωπικὸς, καὶ ἡ εὐδαιμονία· ὁ δὲ κατὰ νοῦν βίος μόνος ἐστὶ κεχωρισμένος τῶν ἀνθρωπίνων, καὶ ἡ κατὰ τοῦτον εὐδαιμονία. Πῶς δὲ κεχωρισμένος ἐστὶ, καὶ ὡς ἔχει, διακριβῶσαι, μεῖζόν ἐστι τοῦ προκειμένου, καὶ θεολογίᾳ μᾶλλον προσήκεν, τοσοῦτον δὲ μόνον εἰπεῖν ἀρκέσει ἐν τῷ παρόν-

multum nonnunquam corpori debent. Natura enim quidam ad temperanter vivendum ſunt idonei, & ad fortitudinem atque animi magnitudinem ab ipſa corporis conſtitutione formantur. Omnino denique magnum morali virtuti cum affectibus eſt commercium, ſicut & ipſi prudentiæ. Cum morali quippe virtute quaſi cohæret, ut ſupra dicebamus, quoniam à moralibus principia ſua virtutibus habet prudentia: ut enim recte aliquis de fine judicet ſuo, ab illa eſt. Ariſtot. l. 10. c. 8.

Quomodo autem ad finem pervenire ſuum debeat, à prudentia moralis diſcit virtus: quemadmodum in decimo tertio libri ſexti capite oſtendimus. Cum ergo in humanis virtus moralis verſetur affectibus, & cum iis cohæreat, ab hac vero prudentiam ſeparari non poſſe, jam probaverimus, apparet omnem activam cum affectibus conjunctam eſſe virtutem. In compoſito ergo illo, & in hac vita verſatur. Hujus autem compoſiti, virtutes ſunt humanæ. Definitio quippe hominis ab hoc ſumitur compoſito. Itaque & vita quæ in his conſiſtit functionibus, humana eſt, ut & felicitas. Sola vero quæ ſecundum mentem vivit, ab omnibus humanis ſeparata eſt vita, ſicut & ejus felicitas. Quomodo autem ſit ſeparata, & quomodo ſe habeat, velle accurate oſtendere, majus eſt hoc argumento, magiſque Theologiæ convenit. Hoc in preſentia dixiſſe ſuffi-

Ariſtot l. 10 c 8 Δεῖξις δ᾽ ἂν δὲ τῆς ἐκπτ, &c

ciat, vitam eam tranſcendere humanam.

Quod quidem etiam illinc apparet. Neque in externis bonis aut eorum apparatu ad functionem ſuam opus habet. Is enim qui contemplatur, quippe cum homo ſit, externis quibuſdam ad vitam opus habet bonis: ad ipſam vero functionem nullis. Qui in activa vero verſatur, iis quoque opus habet quibus qui in contemplativa, magiſque hic, quo magis ad obeundas corpore functiones utitur. Sed & ad functiones externo quoque opus habet apparatu. Opibus quippe liberalis, liberalitatem ut exerceat egebit, juſtus vero ut reddat quæ accepit. Sine externis enim his nemo illorum quæ virtuti ſuæ propria ſunt, aget. Etenim & fortis tempore idonéo, ut animi ſui exerceat præſentiam & robur, habet opus. Sicut poteſtate temperans, hoc eſt, ut ſi velit, poſſit voluptatibus ſe dedere. Atque ita ſinguli propriis quibuſdam egent & idoneis, ut ſuam ſinguli exercere poſſint virtutem. Niſi enim quis ſecundum habitum agat virtutis, nec de voluntate poteſt conſtare nec de habitu. Quippe cum quidam ſimulent, qui juſti non ſunt, juſté ſe velle agere, & cum liberales non ſint, liberaliter ſe velle agere. Deinde nec in ſola prælectione perfecta eſt virtus, ſed etiam opus actione eſt. In utroque enim eſt: & ita quidem, ut quæratur, in utro magis an in prælectione dico, an

τι, ὅτι τὰ ἀνθρώπινα ὑπερβαίνει.

Τοῦτο δὲ καὶ ἐκεῖθεν γίνεται δῆλον. Οὐ γὰρ δεῖται τῶν ἐκτὸς, καὶ τῆς ἐκεῖθεν χορηγίας εἰς τὴν οἰκείαν ἐνέργειαν. Δεῖται μὲν γὰρ ὁ θεωρῶν ἄνθρωπος ὢν τῶν πρὸς τὸ ζῆν ἀναγκαίων· εἰς δὲ αὐτὴν τὴν ἐνέργειαν οὐδενός· ὁ δὲ πρακτικὸς δεῖται μὲν καὶ ὢν ὁ θεωρητικὸς, καὶ μᾶλλον οὗτος, ὅσῳ καὶ μᾶλλον τῷ σώματι πρὸς τὰς ἐνεργείας χρῆται. Δεῖται δὲ ἔτι πρὸς τὰς ἐνεργείας καὶ τῆς ἔξωθεν χορηγίας. Ὁ μὲν γὰρ ἐλευθέριος χρημάτων πρὸς τὸ τὰ ἐλευθέρια πράττειν· ὁ δὲ δίκαιος, ἵνα ἀνταποδῷ. Χωρὶς γὰρ τῶν ἔξωθεν τούτων οὐ πράξουσιν οὐδὲν τῶν κατὰ τὴν οἰκείαν ἀρετὴν ἕκαστος. Δεῖ γὰρ τῷ μὲν ἀνδρείῳ καιροῦ τινὸς καταλλήλου, καὶ τῆς ἐν σώματι δυνάμεως, ὅθεν ἐπιδείξεται τὴν τόλμαν καὶ τὴν καρτερείαν. Καὶ τῷ σώφρονι ἐξουσίας, καὶ τοῦ δύνασθαι, εἰ βούλοιτο, ταῖς ἡδοναῖς ἐφεῖναι· καὶ τῶν ἄλλων ἑκάστῳ χρεία τῶν καταλλήλων, ἐν οἷς δύναται πρᾶξαι τὴν ἀρετήν. Ἄνευ γὰρ τοῦ πρᾶξαι κατὰ τὴν ἕξιν τῆς ἀρετῆς, μάλιστα μὲν ἄδηλος ἡ βούλησις, καὶ ἡ ἕξις. Προσποιοῦνται γὰρ ἔνιοι μὴ δίκαιοι ὄντες βούλεσθαι δικαιοπραγεῖν, καὶ ἐλευθέρια πράττειν, μὴ ὄντες ἐλευθέριοι. Ἔπειτα οὐδὲ τελεία ἐστὶν ἡ ἀρετὴ ἐν μόνῃ τῇ προαιρέσει, ἀλλὰ δεῖ καὶ τῆς πράξεως· ἐν ἀμφοῖν γὰρ ἐστὶν, καὶ οὕτως ἐν ἀμφοῖν ἐστὶν, ὥστε ζητεῖται ἐν ποτέρᾳ μᾶλλόν ἐστιν ἡ ἀρετὴ, ἐν τῇ προαιρέσει,

ἢ ἐν τῇ πράξει. Τὸ γὰρ τέλειον δῆλον, ὡς ἐν ἀμφοῖν ἂν εἴη. Φανερὸν τοίνυν, ὅτι ἡ πρακτικὴ ἀρετὴ πρὸς τὸ τέλειον εἶναι, τῆς ἔξωθεν χορηγίας δεῖται· καὶ τοσούτῳ πλείονος, ὅσῳ μείζων ἐστὶ καὶ καλλίων· αἱ γὰρ κατ᾽ αὐτὴν πράξεις μεγάλαι, καὶ ἀξιόλογοι οὖσαι καὶ πλειόνων δεήσονται τῶν ἔξωθεν. Τῷ δὲ θεωρητικῷ οὐδενὸς τῶν τοιούτων πρός γε τὴν ἐνέργειαν χρεία. Ἀλλ᾽ ὡς εἰπεῖν, καὶ ἐμπόδιόν ἐστι ταῦτα τῇ θεωρίᾳ. Δεήσεται δὲ οὐχ ὡς θεωρητικός, ἀλλ᾽ ὡς πρακτικός, ἐπεὶ ἄνθρωπος ὢν καὶ ἀνθρώποις συζῶν, αἱρεῖται τὰ κατὰ τὴν πρακτικὴν ἀρετὴν, ἵνα πρὸς τοὺς συνόντας τὰ ἀνθρώπινα σώζῃ.

vero in actione ſit virtus. Quod enim perfectum eſt, in utroque eſſe manifeſtum eſt. Apparet ergo activam virtutem, ut perfecta eſſe poſſit, externo egere apparatu : tantoq; magis : quanto major eſt ac pulchrior. Ejus enim actiones magnæ cum ſint & eximiæ, pluribus etiam egebunt externis. Is vero qui contemplatur, nullo eorum ad functionem ſuam opus habet. Sed quodanimodo etiam obeſſe hæc, ut ita dicam, & impedire contemplationem videntur. Egebit autem non ut qui contemplativam, ſed ut qui activam colit vitam. Cum n. homo ſit, & cum hominibus vivat, quæ activæ conveniunt virtuti eligit ſibi, ut apud eos cum quibus verſatur, ea quoq; quæ in homine requiruntur, conſervet. Ariſtot. l. 10. c. 8.

ΚΕΦ. ι.

Ἔτι περὶ τοῦ θεωρητικοῦ βίου, καὶ ὅτι ἡ τελεία εὐδαιμονία ἐν αὐτῷ ἐστί.

Φαίνεται δὲ καὶ ἐκεῖθεν ἐν τῷ θεωρητικῷ βίῳ συνεστάναι τὴν τελείαν εὐδαιμονίαν. Ἡ γὰρ θεωρία μόνον θεοῦ ἔργον ἐστὶν, ὅς ἐστιν ἀληθῶς μακάριος καὶ εὐδαίμων. Ποίας γὰρ ἄλλας πράξεις ἀποδοτέον αὐτῷ; τὰς δικαίας; ἢ γελοῖον συναλλάττειν αὐτὸν, καὶ παρακαταθήκας ἀποδιδόναι, καὶ ὅσα ἄλλα τοιαῦτα; ἀλλὰ τὰς ἀνδρείας; πῶς οὖν ὑπομένει τὰ φοβερὰ, καὶ περὶ τῆς ζωῆς κινδυνεύσει τοῦ καλοῦ ἕνεκα; καὶ γὰρ καὶ

CAP. X.

De contemplativa vita, & perfectam in ea felicitatem eſſe.

Sed & ex illo apparet, in contemplativa vita perfectam felicitatem eſſe. Solius enim Dei opus eſt contemplatio, qui revera beatus & felix eſt. Quæ enim aliæ tribui ei poſſint actiones? Anne juſtæ? Hoc vero ridiculum erit, ſi permutare eum dicamus, aut depoſitum reddere, & ſi quæ ſunt hujuſmodi. An vero fortes? Quomodo ergo terribilia ſubibit, aut in periculum de vita veniet honeſti cauſa? Hoc vero & dictu eſt abſurdum.

Ἡ δὲ τελεία εὐδαιμονία, &c.

Ariſtot. l.10.c.8

An autem liberales? Cui ergo & quid dabit? Nam & hoc abſurdum erit, ſi nummos illi tribuamus, aut quid ſimile: quibus cum ipſe ad vitam opus habeat, honeſtatis tamen cauſa, ea tradat aliis. Jam vero temperans quomodo erit, cum nè malas quidem habeat cupiditates? Omnes ergo ejuſmodi actiones ſunt exiguæ, neq; Deo dignæ. Quoniam autem vivere eum omnes conſentiunt, neceſſe eſt etiam functione aliqua fungi. Neque enim ocioſus Endymionis inſtar poterit dormire. Cum vero in hac functione neque agat, ſicut dictum eſt, multo autem minus faciat (neq; enim perpetuo in perficiendo aliquo opere, quemadmodum artifices operarii, verſari eum veriſimile eſt) quid reſtat, niſi ut contempletur? Quare, cum beatitudine excellat Dei functio, contemplationem eam eſſe ſequetur. In contemplativa ergo vita perfectam eam eſſe omnino eſt neceſſe. Eſt enim divinæ quam maxime cognata functioni.

Σημεῖον δὲ καὶ τὸ μὴ μετέχειν, &c.

Id ipſum etiam ex eo apparet, quia nullum ratione deſtitutum animal, felicitatis ſit particeps: quæ contemplativa illa penitus privata ſunt functione. Dei quippe vita tota felix eſt: hominum autem quatenus ſimilis eſt ei, & divinæ illius functionis aliquam imaginem habet. Reliquorum vero animalium nullum eſt beatum, quoniam nulla ex parte cum contemplatione quicquam habet commune. Quæ ergo contemplatione, etiam prædita ſunt felicitate, & quæ ma-

εἰπεῖν ἄτοπον. Ἀλλὰ τὰς ἐλευθερίους; τίνι οὖν καὶ τί δώσει; ἄτοπον δὲ εἰ καὶ ἔσται αὐτῷ νόμισμα, ἤ τι τοιοῦτον, οὗ δεόμενος αὐτὸς εἰς τὸν βίον, ἔπειτα ἄλλῳ δίδωσιν, ἕνεκα τοῦ ἀγαθοῦ. Σώφρων δὲ πῶς ἂν εἴη φαύλας οὐκ ἔχων ἐπιθυμίας; πᾶσαι μὲν οὖν αἱ τοιαῦται πράξεις μικραὶ καὶ ἀνάξιαι θεοῦ. Ἐπεὶ δὲ ζῆν πάντες ὑπειλήφασιν αὐτὸν, ἀνάγκη καὶ ἐνεργεῖν. Οὐ γὰρ δεῖ καθεύδειν ἐξηγερκότα, καθάπερ τὸν Ἐνδυμίωνα· ἐπεὶ δὲ ἐνεργῶν οὔτε πράττει, καθὼς δέδεικται, οὔτε πολλῷ μᾶλλον ποιεῖ· οὐ γὰρ συνεχῶς περὶ ἀποτελέσματά τινα διατρίβειν εὔλογον αὐτὸν κατὰ τοὺς δημιουργικοὺς τῶν τεχνιτῶν, τί λείπεται πλὴν θεωρεῖν; ἡ ἄρα τοῦ θεοῦ ἐνέργεια μακαριότητι διαφέρουσα, θεωρητικὴ ἂν εἴη. Ἐν ἄρα τῷ θεωρητικῷ βίῳ συνεστάναι πᾶσα ἀνάγκη τὴν τελείαν. συγγενεστάτη γὰρ αὕτη τῇ τοῦ θεοῦ ἐνεργείᾳ.

Φαίνεται δὲ τοῦτο καὶ ἀπὸ τοῦ μηδὲν τῶν ἀλόγων εὐδαιμονίας μετέχειν, τῆς θεωρητικῆς ἐνεργείας ἐστερημένα τελείως. Τῷ μὲν γὰρ θεῷ πᾶς ὁ βίος μακάριος, τοῖς δ' ἀνθρώποις ἐφ' ὅσον ἔοικε καὶ εἰκόνα φέρει τῆς τοῦ θεοῦ ἐνεργείας. Τῶν δ' ἄλλων ζώων οὐδὲν μακάριον, ἐπεὶ οὐδαμοῦ κοινωνεῖ θεωρίας. Ὅσα τοίνυν θεωρίας καὶ τῆς εὐδαιμονίας μετέχει, καὶ

καὶ ἃ μᾶλλον θεωρεῖ, καὶ μᾶλλον εὐδαιμονεῖ, καὶ ὅλως ἐφ' ὅσων ἡ θεωρία, καὶ ἡ εὐδαιμονία διατείνει· οὐ κατὰ συμβεβηκὸς, ἀλλὰ κατ' αὐτὴν δήπου τὴν θεωρίαν· αὕτη γὰρ τιμία δι' ἑαυτὴν ἡ θεωρία. Ὥστ' εἴη ἂν ἡ εὐδαιμονία θεωρία τις, ἣ ἀρίστη δὴ καὶ τελειωτάτη.

Χρεία καὶ δὲ τῶν ἔξωθεν τῷ θεωρήματι πρὸς τὸ συνεστάναι τὸ σῶμα καὶ ὑγιαίνειν. Οὐκ εὔλογον γὰρ μὴ δεῖσθαι τῶν τοιούτων ἄνθρωπον ὄντα, οὐ γὰρ αὐτάρκης ἡ φύσις τὰ τοιαῦτα.

Δεήσεται καὶ οὐ τοσούτων ὅσων ὁ πρακτικὸς, οὐδὲ ἁπλῶς πολλῶν τινῶν καὶ μεγάλων, ἐπεὶ φαμὲν χρείαν αὐτὸν ἔχειν τῶν ἀναγκαίων, ἀλλὰ μετρίων. Οὐ γὰρ ἡ περιβολὴ τοῦ πλούτου, καὶ τῶν ἄλλων τῶν ἔξωθεν ἀγαθῶν αὐτάρκη ποιεῖ τὴν εὐδαιμονίαν, ἢ πείθει κρίνειν ὀρθῶς περὶ τῶν πρακτῶν, ἢ πράττειν τὰ δέοντα. Δυνατὸν γὰρ καὶ μὴ ἄρχοντα γῆς καὶ θαλάττης πράττειν τὰ καλὰ, καὶ ἀπὸ μετρίων τινῶν ποιεῖν ἃ προσήκει τοῖς μεγάλην περιβεβλημένοις ἀρχήν. Τοῦτο δὲ ὁρᾶν ἐστὶν ἐναργῶς· οἱ γὰρ ἰδιῶται τῶν μέγα δυναμένων οὐχ ἧττον, εἰ μὴ καὶ μᾶλλον, τὰ ἐπιεικῆ φαίνονται πράττοντες. Τοσούτων τοίνυν εὐπορεῖν τὸν εὐδαίμονα ἱκανὸν πρὸς εὐδαιμονίαν· ἐνεργήσει γὰρ τὴν ἀρετὴν ἀκωλύτως, καὶ τὸν εὐδαίμονα βιώσεται βίον· μαρτυρεῖ δὲ

gis contemplantur, magis quoque ſunt felicia: quam late denique contemplatio, tam late quoque ſe extendit felicitas; non per accidens, ſed ipſius cauſa contemplationis: ipſa enim per ſe honore digna eſt contemplatio. Unde ſequitur, contemplationem quandam, felicitatem eſſe; optimam nimirum maximeq; perfectam. Ariſtot. l. 10. c. 8.

Habet tamen externis quoque opus qui contemplatur: ut & conſiſtere ejus corpus poſſit & ſanitas. Neque enim veriſimile eſt, homo cum ſit, iis opus eum non habere. Quia non ſponte ſua hæc ſuppeditat natura, aut per ſe ſuis eſt contenta. Δεήσει δὲ καὶ τῆς ἐκτὸς, &c.

Non tamen tam multis, quam qui in activa verſatur vita, egebit, neq; ſimpliciter multis magniſque: quia neceſſariis egere eum quidem dicimus, ſed modicis. Neque enim opum abundantia, aut reliquorum, quæ externa dicimus, bonorum, ſe ipſo contentum facit felicem: aut recte de iis quæ agenda ſunt judicare, aut ea quæ oportet agere. Poteſt enim aliquis, licet nec terræ imperet nec mari, quæ honeſta ſunt agere, & ab exiguis facultatibus aut modicis, quæ magno digna imperatore ſunt, efficere. Quod quidem per ſe res ipſa evincit. Siquidem privatos quoſdam homines non minus, & fortaſſe magis quam qui plurimum poſſunt, ea quæ proba ſunt agere videmus. Talibus ergo inſtructum eſſe eum quem felicem dicimus, ad felicitatem eſt ſatis. Virtutis quippe ſine impedimento ullo exercebit functiones, & felicem Οὐ μὴν οἰητέον γε πολλῶν, &c.

Ariſtot. l.10.c.8.

felicem vivet vitam. Quod quidem confirmat & Solon, qui non externis felicitatem definiebat bonis, ſed eos felices dicebat eſſe, qui externis inſtructi bonis, actiones exercuiſſent honeſtas, & temperanter vixiſſent: fieri enim poteſt, ut qui modica poſſideant, ea quæ oportet agant. Sed nec Anaxagoras divitem hominem aut potentem judicare felicem videtur. Neque enim mirandum dicebat eſſe, ſi abſurdus vulgo videretur. Fieri enim poteſt ut qui bonus ſit ac felix, improbus tamen ac miſer à vulgo habeatur, qui ab externis tantum, quæ ſola illi ſentiunt, judicare ſolent. Ex quo apparet, cum noſtra ſententia, veterum quoque philoſophorum convenire opiniones. Quæ aliquo modo fidem quoque aliquam iis faciunt quæ diximus: quum tamen veritas activa ab ipſis operibus & vita probetur. Hinc enim mendacium evincitur, cum rebus ipſis non conſentiunt ſermones. In ipſis enim actionibus præcipuum conſiſtit. Diligenter igitur conſideranda ſunt quæ diximus, actionibuſque humanis applicare & vitæ oportet: & quæ illi reſpondent, admittenda: quæ vero non congruunt, meri ſermones & inanes ſunt habendi.

ϛ δὲ κατὰ νοῦν ἐνεργῶν, &c.

Poſtremo etiam hinc evincitur, eum qui mentis functionibus fungitur, feliciſſimum eſſe: quia Deo eſt gratiſſimus quo quid felicius poſſit eſſe? Si enim Deo res humanæ curæ ſunt, earumque, ſicut omnibus videtur & revera eſt, rationem habet, quo

τοῖς λόγοις καὶ Σόλων, οὐ τοῖς ἐκτὸς ἀγαθοῖς τὴν εὐδαιμονίαν ὁρίζων, ἀλλ' εὐδαιμονίας ἀποφαινόμενος εἶναι τοῖς ἐκτὸς ἀγαθοῖς κεχορηγημένους, πεπραγότας τε τὰ κάλλιστα, καὶ βεβιωκότας σωφρόνως· ἐνδέχεται γὰρ μέτρια κεκτημένους πράττειν ἃ δεῖ. Δοκεῖ δὲ καὶ Ἀναξαγόρας οὐ πλούσιον οὐδὲ δυνάστην ὑπολαβεῖν τὸν εὐδαίμονα εἶναι· φησὶ γὰρ οὐδὲν θαυμαστὸν, εἰ δόξειέ τις τοῖς πολλοῖς ἄτοπος εἶναι. Δυνατὸν γὰρ ἀγαθὸν καὶ εὐδαίμονα ὄντα, πονηρὸν καὶ ἄθλιον νομισθῆναι τοῖς πολλοῖς, οἳ τοῖς ἐκτὸς καὶ φαινομένοις κρίνουσι, τούτων αἰσθανόμενοι μόνον. Ὥστε τοῖς ἡμετέροις λόγοις καὶ αἱ τῶν σοφῶν συμφωνοῦσι δόξαι· καί τις καὶ ἀπὸ τούτων τοῖς εἰρημένοις γίνεται πίστις μετρία· τὸ γὰρ ἐν τοῖς πρακτικοῖς ἀληθὲς ἀπὸ τῶν ἔργων καὶ τοῦ βίου φαίνεται. Καὶ τούτοις ἐλέγχεται τὸ ψεῦδος, ὅταν οἱ λόγοι μὴ φαίνωνται τοῖς πράγμασιν ἐξακολουθοῦντες. Ἐν γὰρ ταῖς πράξεσι τὸ κύριον· δεῖ τοίνυν σκοπεῖν τὰ προειρημένα, καὶ ταῖς ἀνθρωπίναις πράξεσι καὶ τῷ βίῳ φέροντας ἐφαρμόζειν· καὶ συνᾴδοντα μὲν ἀποδεκτέον, διαφωνοῦντα δὲ λόγους κενοὺς ὑποληπτέον.

Ἔτι δὲ καὶ ἐκεῖθεν γίνεται δῆλον, εὐδαιμονέστατον εἶναι τὸν κατὰ νοῦν ἐνεργοῦντα· καὶ γὰρ θεοφιλέστατος ἐστὶν οὗ τί γένοιτ' ἂν εὐδαιμονέστερον; εἰ γάρ τι τῶν θεῶν μέλει τῶν ἀνθρωπίνων, καί τις ἐστὶν αὐτῶν ἐπιμέλεια παρ' ἐκείνου, καθάπερ πᾶσι δοκεῖ, καὶ εἶναι

γε,

γε, τινὶ τῶν ἐν ἀνθρώποις χαίρειν τὸν θεὸν μᾶλλον εἰκός, ἢ τῷ ἀρίστῳ καὶ συγγενεστάτῳ; τοῦτο δὲ ὁ νοῦς ἐστίν. Εἰ δὲ τῷ νῷ μάλιστα χαίρει, καὶ ἀγαπῶντας μάλιστα τοῦτον καὶ τιμῶντας, καὶ κατ᾽ αὐτὸν ἐνεργοῦντας, ἀντευποιήσει πάντως, ὡς τῶν φίλων αὐτῷ καὶ συγγενῶν ἐπιμελουμένους, καὶ ἄλλως ὡς ὀρθῶς καὶ καλῶς πράττοντας. Οὗτος δὲ ὁ σοφός ἐστι καὶ κατὰ νοῦν ἐνεργῶν· θεοφιλέστατος ἄρα. Τὸν αὐτὸν δὲ εἰκὸς καὶ εὐδαιμονέστατον εἶναι. Καὶ διὰ τοῦτο ἄρα ὁ σοφὸς μάλιστα εὐδαίμων. Ἡ ἄρα τελεία εὐδαιμονία ἐν τῷ θεωρητικῷ συνίσταται βίῳ.

tandem magis delectari Deum putabimus, quam eo quod eſt optimum maximeque illi cognatum? Hoc autem mens eſt. Quod ſi mente delectatur maxime, etiam iis qui hanc amant maxime & honorant ejuſque functionibus funguntur, bene viciſſim faciet; ut qui eorum, quæ maxime illi grata & accepta ſunt & cognata, diligenter curam gerant, atque ideo quoque recte & honeſte agant. Hic autem eſt ſapiens, & qui mentis functione fungitur. Hic ergo maxime acceptus eſt Deo. Eundem autem neceſſe eſt & feliciſſimum eſſe. Ac propterea videlicet ſapiens eſt maxime felix. Perfecta ergo in contemplativa vita conſiſtit felicitas.

Ariſtot. l.10.c.9.

ΚΕΦ. ιά.

Ὅτι περὶ ἀρετῆς οὐχ ἱκανὸν τὸ εἰδέναι, ἀλλ᾽ ἔχειν καὶ χρῆσθαι πειρατέον.

Ἃ μὲν οὖν προσήκει περὶ τῶν ἀρετῶν, ὡς ἐν τύπῳ διαλαβεῖν, ἔτι τε φιλίας, καὶ ἡδονῆς, καὶ τῆς εὐδαιμονίας, ἱκανῶς εἴρηται. Καὶ οὐδενὸς ἴσως ἔτι δεήσει τῇ πραγματείᾳ πρός γε τὸν περὶ αὐτῶν λόγον. Τί οὖν; ἤνυσται τὸ προτεθὲν ἡμῖν ἤδη, καὶ τὸ προσῆκον τέλος ἔλαβεν ἡ σπουδή; καὶ μὴν πρακτική τίς ἐστιν ἡ φιλοσοφία, καὶ δεῖ καταλλήλου τέλους αὐτῇ. Τὸ δὲ εἰδέναι τί ἐστιν ἀρετή, καὶ τῶν ἄλλων ἕκαστον, …oneum. At vero, ſcire

CAP. XI.

Non ſatis eſſe ſciri ea quæ ad virtutem ſpectant, ſed habenda eſſe, & utendum iis eſſe.

Quæ ergo rudi quaſi pinguiq; Minerva dicenda eſſe de virtutibus, item de amicitia, voluptate ac felicitate videbantur, ſatis jam dicta ſunt. Neque aliud quid fortaſſe in hoc argumento requiritur, quod quidem tradi de eo poſſe videatur. Quid igitur? Num ergo inſtitutum plane abſolvimus noſtrum, & ad finem ſuum nobis pervenit hæc conſideratio? Atqui vero meminiſſe oportet, activam eſſe hanc philoſophiam, finemque eam ſibi requirere idoneum. At vero, ſcire quid ſit virtus, ſingulaq; ex

Cap. 9. Ἀρ᾽ οὖν εἰ περὶ τούτων, &c.

reli-

Ariſtot. l.10.c.9

reliquis, nihil aliud quam quædam contemplatio eſt. Quemadmodum ergo is qui ad virtutem contendit, non hunc diligentiæ ſuæ debet ponere terminum, ut ſciat quid agere, & à quibus abſtinere debeat, quid item ſit virtus ac vitium, vel quis extremus rerum humanarum ſit finis, ſed ad actiones etiam ſe conferre, ut hanc fugiat, illam vero ſequatur, & ad conſequendam nihil non faciat felicitatem. Ita doctor quoque, & ut ita dicam, alipta virtutis, non ſolà contentus eſſe diſciplina debet, neque hoc tantum curare, ut naturam intelligat ſingulorum, ſed etiam ut fiant dare operam debebit, atque hoc ipſum docere, neque exiſtimare aliter ſe poſſe vere virtutis eſſe doctorem. Eo enim, ut perfectus in arte ſua eſſe poſſit gymnaſta, totam docendi rationem ſuam dirigere oportet eum qui docet. Illa autem erit athletæ virtutis perfectio, ſi bonus eſſe & quæ honeſta ſunt agere poſſit. Unde apparet, reliquæ in qua hactenus verſati ſumus de moribus doctrinæ, hoc quoque addendum eſſe, quibus actionibus ſinguli, aut habitu, convenienter virtutem ſe habebunt & bonum: quomodo item quæ de ea traduntur libenter audire, & ex præſcripto ejus vivere poterunt. Ita enim demum quæ de moribus traditur perfecta erit doctrina, ſi ubiq; actionem adjungat. Hæc ergo docendi quoq; explicanda eſt ratio. Si enim ad perſuadendam virtutem ſufficerent qui de virtute

θεωρία τίς ἐστι μόνον. Οὐκοῦν καθάπερ τῷ πρὸς ἀρετὴν ἐπειγομένῳ οὐ μέχρι τούτου στῆναι δεῖ τὴν σπουδὴν, μαθόντι τινὰ δεῖ πράττειν, καὶ τίνων ἀπέχεσθαι, τί τε ἐστὶν ἡ ἀρετὴ, καὶ τίς ἡ κακία, καὶ τί τὸ τῶν ἀνθρωπίνων ἔσχατον τέλος, ἀλλὰ καὶ πράξεων ἅπτεσθαι, καὶ τὴν μὲν φεύγειν, τὴν δὲ διώκειν, ὑπὲρ δὲ τοῦ τῆς εὐδαιμονίας τυγχάνειν πάντα ποιεῖν. Τὸν ἴσον δὴ τρόπον καὶ τὸν τῆς ἀρετῆς ἀλείπτην ἀνάγκη μὴ τούτοις ἀγαπᾷν μόνον τοῖς λόγοις, ὅθεν ἔνι μαθεῖν ἕκαστα τί ἐστιν, ἀλλὰ καὶ ὅπως ἂν γένοιτο κατορθῶσαι. Καὶ τοῦτο διδάσκειν, οἰόμενον οὕτως ἂν ἀληθῶς γίνεσθαι διδάσκαλον ἀρετῆς. Πρὸς γὰρ τὴν τελείωσιν τοῦ γυμναζομένου τὸν παιδευτὴν προσήκει τάττειν τοὺς λόγους. Τελείωσις δ᾽ ἂν εἴη τοῦ τῆς ἀρετῆς ἀθλητοῦ, τὸ ἀγαθὸν αὐτὸν γίνεσθαι καὶ πρακτικὸν τῶν καλῶν. Φανερὸν τοίνυν, ὡς ἄρα τοῖς περὶ τῶν ἀρετῶν εἰρημένοις ἐκεῖνα προσθεῖναι δεῖ, τί ποιῶν ἕκαστος, ἢ πῶς ἔχων, οἰκείως εἰς ἀρετὴν καὶ τὸ ἀγαθὸν ἕξει, καὶ τῶν περὶ αὐτῆς ἡδέως ἀκούσεται λόγων, καὶ βιῶναι δυνήσεται κατ᾽ αὐτήν. Οὕτω γὰρ ἂν ὁ περὶ τῆς ἀρετῆς αὐτάρκης γένοιτο λόγος, διὰ πάντων τὸ γιγνόμενον σώζων. Πειρατέον δὴ ταύτην τὴν μέθοδον ἀποδοῦναι. Εἰ μὲν οὖν ἱκανὸς ἦν ὁ περὶ τῆς ἀρετῆς λόγος

πεῖσαι

πείσαι γίνεσθαι χρηστοὺς, πολλοὺς ἂν μισθοὺς καὶ μεγάλους δικαίως κατὰ τὸν Θεόγνιν ἐφερόμην, καὶ πολλῶν ἔδει τοῦτον ὠνεῖσθαι, καὶ ζητεῖν ἐκ παντὸς τρόπου λαβεῖν.

Νῦν δὲ τοὺς μὲν ἀγαθοὺς καὶ ἐλευθερίους τῶν νέων, καὶ οἷς εὐγενὲς καὶ φιλόκαλον ἦθος, φαίνονται δυνάμενοι πείθειν, καὶ πρὸς τὴν ἀρετὴν, καὶ τὴν ταύτης πρᾶξιν καὶ τὴν ἕξιν παρακαλεῖν.

Τοὺς πολλοὺς δὲ οὐκ ἔτι. Δύναται γὰρ οὐδεὶς τῶν τοιούτων λόγῳ τινὶ καὶ πειθοῖ τὴν καλοκαγαθίαν ἑλέσθαι, καὶ τὴν κακίαν φυγεῖν. Οὐ γὰρ αἰδὼς αὐτοὺς ἄγει δεινὸν ἡγουμένους αὐτὸ τὸ δόξαι κακοὺς, ἀλλὰ φόβος. Οὐδὲ ἀπέχονται τῶν φαύλων, διότι φαῦλα, καὶ ὅτι τὸ ταῦτα πράττειν αἰσχρὸν, ἀλλὰ διὰ τὰς τιμωρίας. Τὸ δὲ αἴτιον, ὅτι λόγῳ μὲν οὐ ζῶσιν. ὅθεν αἰδεῖσθαι συμβαίνει, πάθεσι δὲ ἀκολουθοῦντες τὰς ἑπομένας τοῖς πάθεσι διώκουσιν ἡδονὰς, καὶ διὰ τοῦτο τὰς ἀντικειμένας φεύγουσι λύπας. Τὸ δὲ φεύγειν τὰς λύπας, τοῦτό ἐστι τὸ φοβεῖσθαι. Τοὺς δὴ οὕτως ἔχοντας, καὶ τοὺς μὴ γεύσασθαι τῶν ὡς ἀληθῶς καλῶν καὶ σπουδαίων, μηδὲ εἰς ἔννοιαν τούτων δυνηθέντας ἐλθεῖν. τίς ἂν λόγος μεταρρυθμίσαι; καὶ γὰρ ἀδύνατον, ἢ οὐ ῥᾴδιον, τὰ χρόνῳ πολλῷ τοῖς ἤθεσιν ἐμπαγέντα καὶ βεβαιωθέντα, λόγῳ κινῆσαι μόνῳ. Δεῖ γὰρ

habentur ſermones, multa nec exigua merito dignus eſſet mercede, ut Theognis ait, labor hic noſter: magnoque emendus eſſet talis aliquis, & omni nobis ratione comparandus. Ariſtot. l. 10. c. 9.

Nunc vero bonos quidem adoleſcentes atque ingenuos, quibus generoſa & honeſti ſtudioſa eſt indoles, videntur perſuadere, & ad virtutem, ejuſque actionem & habitum adhortari poſſe. Νῦν δὲ φαίνονται, &c.

Vulgus vero non item. Neque enim eorum quiſquam ratione ulla aut perſuaſione ad honeſti ſtudium ac boni, & ad fugiendum incitari ſatis vitium poteſt. Neque enim pudore impelluntur, ut hoc ipſum dedecus eſſe exiſtiment quod improbi habeantur, ſed metu. Neque abſtinent à malis, quia ſunt mala, & quia agere ea turpe eſt ac inhoneſtum, ſed propter pœnas. Cauſa autem eſt, quia ratione non vivunt, ex qua pudor oritur, ſed affectus ſequuntur, eaſq; viciſſim quæ affectum ſequuntur voluptates quoq; ipſi ſectantur: ideoque eos qui cum iis pugnant fugiunt dolores. Fugere autem dolores, hoc eſt quo perturbantur. Eos autem qui ita ſe habent, & cum nunquam ea quæ vera ſunt bona guſtaverint & honeſta, & nè quidem ad conſiderationem eorum atq; cogitationem pervenire poſſint, quæ tandem emendare poſſet ratio? Neq; enim aut omnino aut certe non facile fieri poteſt, ut ea quæ multo tempore infixa moribus hæſerunt, & quaſi jam ſunt confirmata, ſola ratione moveantur. Τοὺς δὲ πολλοὺς ἀδυνατεῖν, &c.

Requi-

Aristot. l.10.c.9. Requiruntur enim & alia, quæ ſi adfuerint, tum demum bene etiam nobiſcum agetur, ſi virtutis, morumq; participes eſſe poterimus bonorum. Cum ergo ad id de quo in præſentia agimus ſola per ſe non ſufficiat diſciplina, quærẽdum reſtat, quænam ſint illa, quæ ſubſterni prius oportet, ut bonũ ipſũ perſuadere nobis poſſit ratio

καὶ ἑτέρων, ὧν παρόντων ἀγαπητὸν εἴ τις ἀρετῆς καὶ χρηστῶν ἠθῶν μεταλάβοι. Ἐπεὶ τοίνυν οὐκ αὐτάρκεις οἱ λόγοι πρὸς τὸ προκείμενον, ζητητέον τίνα ἐστὶν, ὧν προϋποκειμένων καὶ ὁ λόγος τὸ ἀγαθὸν δύναται πείθειν.

CAP. XII.

Quomodo honeſtus ac bonus evadere poſſit aliquis: idque ut fiat, lege opus eſſe.

ΚΕΦ. ιβ'.

Πῶς ἐστὶ καλὸν καὶ ἀγαθόν τινα γενέσθαι· καὶ ὅτι δεῖ πρὸς τοῦτο τοῦ νόμου.

Γίνεσθαι δ' ἀγαθοὺς οἴονται οἱ μὲν, &c.

CAuſæ igitur virtutis in hominibus tres eſſe videntur omnibus. Natura, diſciplina, & conſuetudo. Jam vero naturam in noſtra poteſtate non eſſe, manifeſtum eſt. Etenim ut quis ad virtutem naſcatur idoneus, in felicibus vere hominibus à divina aliqua cauſa contingit: doctrinam vero & virtutis diſciplinam omnes perſuadere non poſſe, ſatis ex iis quæ hactenus diximus apparet. Cum neceſſe ſit bona prius conſuetudine præparatum eſſe auditoris animum, ut & gaudere quibus oportet, & odiſſe poſſit, quæ debet. Ita namq; demum cum fructu admittet diſciplinam, non aliter quàm terra ſemen, quod nutrire jam poteſt. Sine hoc vero quomodo audire eam poſſit doctrinam, quæ à voluptate abſtrahere eum conatur? Aut quomodo omnino intelligere, quamdiu ex affectûs ratione vivit? Aut quo pacto diverſa illi perſuaderi queant, qui ita ſe habet? Veriſimile enim eſt non ra-

ΤΑ' τοίνυν αἴτια τῆς ἀρετῆς τοῖς ἀνθρώποις, τρία πᾶσι δοκεῖ. Φύσις, καὶ διδασκαλία, καὶ ἔθος. ἡ μὲν οὖν φύσις, ὅτι ἐφ' ἡμῖν οὐκ ἔστι, φανερόν. Τὸ γὰρ πεφυκέναι πρὸς ἀρετὴν διά τινος γίνεται θείας αἰτίας τοῖς ὡς ἀληθῶς εὐτυχέσιν. ἡ δὲ διδασκαλία καὶ ὁ περὶ τῆς ἀρετῆς λόγος, δῆλον ἐκ τῶν εἰρημένων, ὡς οὐ πάντας δύναται πείθειν· ἀλλ' ἀνάγκη τὴν τοῦ ἀκροατοῦ ψυχὴν ἔθεσι τ[illegible]ν ἀγαθοῖς παρεσκευασμένην εἶναι, πρὸς τὸ χαίρειν οἷς δεῖ, καὶ μισεῖν ἃ δέον ἐστίν. Οὕτω γὰρ ἂν καλῶς ὑποδέξαιτο τὴν διδασκαλίαν, καθάπερ ἡ τὸ σπέρμα θρέψαι δυναμένη γῆ. Χωρὶς δὲ τούτου πῶς ἂν ἀκούσειε λόγου τῶν ἡδονῶν ἀφιστάντος; πῶς δ' ἂν ὅλως καὶ δυνηθείη συνεῖναι ζῶν κατὰ πάθος; τὸν δὲ οὕτως ἔχοντα, πῶς οἷόν τε μεταπεῖσαι; δῆλον γὰρ, ὡς οὐ λόγῳ δύναται τὸ

πάθος

πάθος ὑπείκειν, ἀλλὰ βίᾳ τινί. Διὰ τοῦτο οὐχ ἱκανὸς ὁ λόγος ποιῆσαι χρηστούς, τὸ δὲ ἔθος προϋποκεῖσθαι δεῖ τῆς διδασκαλίας, δι' οὗ τὸ ἦθος τοῦ ἀκροατοῦ πρὸς ἀρετὴν οἰκείως ἂν ἔχοι, στέργων μὲν τὸ καλόν, δυσχεραίνων δὲ τὸ αἰσχρόν.

Ὅτι μὲν οὖν τὸ ἀγαθὸν ἔθος δεῖ προϋπάρχειν, καὶ τὴν ψυχὴν προδιατιθέναι, δῆλόν ἐστιν ἐκ τῶν εἰρημένων. Ἐπιθυμῆσαι δὲ πρὸς τὸ ἀγαθὸν καὶ τυχεῖν ἀγωγῆς ὀρθῆς καὶ πρὸς ἀρετὴν φερούσης διαίτης, πῶς ἂν γένοιτο χωρὶς τῶν ὀρθῶν καὶ δικαίων καὶ ὅλως καταλλήλων ἀρετῇ νόμων; δεῖ γὰρ ὑπὸ νόμοις τοιούτοις ἔτι νέον ὄντα τραφῆναι. Τὸ γὰρ σωφρόνως ζῆν καὶ καρτερικῶς οὐχ ἡδὺ τοῖς πολλοῖς καὶ μάλιστα νέοις ἐστί· καὶ διὰ τοῦτο προσήκει νόμοις τετάχθαι αὐτοῖς τὰ ἐπιτηδεύματα καὶ τὴν τροφήν, καὶ τἄλλα, δι' ὧν ὁ βίος. Καὶ οὕτως οὐκ ἂν εἴη λυπηρὰ αὐτοῖς, διὰ τὸ συνήθη γενέσθαι. Οὐ μόνον δὲ νέοις οὖσιν, ἀλλὰ καὶ ἀνδράσι χρεία τῶν νόμων· οὐ γὰρ ἱκανὸν πρὸς τὸ γενέσθαι χρηστούς, τὸ νέους ὄντας μόνον τροφῆς ὀρθῆς καὶ ἐπιμελείας τυγχάνειν· ἀλλ' ἐπειδὴ καὶ ἀνδρωθέντας ἐπιτηδεύειν δεῖ τὰ καλά, καὶ πρὸς ἀρετὴν ἑαυτοὺς ἐθίζειν, καὶ τηνικαῦτα δεησόμεθα νόμων, καὶ ὅλως περὶ πάντα τὸν βίον. Οἱ γὰρ πολλοὶ ἀνάγκῃ πειθαρχοῦσι μᾶλλον, ἢ λόγῳ· καὶ

tione ſed vi potius expugnandum eſſe affectum. Quare neq; ſola ſufficit doctrina, ut bonos faciat viros, ſed oportet ut doctrinam præcedat conſuetudo: qua ad virtutem prius præparatur & idonea auditoris reddetur indoles, ut nimirum id quod honeſtum eſt amet, quod autem turpe & flagitioſum eſt, deteſtetur (Ariſtot. l. 10. c 9.)

Debere ergo bonam præmitti conſuetudinem, priuſque bene conſtituendam eſſe animam, ex præcedentibus apparet. Jam vero ut aliquis bonum agere aſſueſcat, rectaq; & quæ ad virtutem ducat inſtitutione imbuatur ac vivendi ratione, ſine rectis juſtiſq; & quæ virtuti conveniunt legibus, id fieri non poteſt. Oportet enim ſub talibus jam uſq; à teneris eum educari legibus. Quia ad temperantiam vitam ſuam componere & tolerantiam, pleriſq; ac maxime juvenibus gratum eſſe non ſolet. Ideoq; certis quibuſdam oportet legibus inſtituta iis atq; educationem, cæteraq; quæ ad vitam ut decet agendam requiruntur, præſcribi. Ita fiet ut moleſta iis eſſe deſinant: cum jam uſitata eſſe cœperint. Neq; juvenibus tantum, ſed & viris opus eſt legibus. Quia non ſufficit ut boni fiant viri, ſi à prima ſtatim ætate diligens cura adhibeatur atq; educatio: ſed cum potiſſimum ubi ad virilem pervenerint ætatem, quæ honeſta ſunt agere, & virtutis ſibi comparare habitum debeant, etiam tum opus erit legibus, & quamdiu deniq; vivemus. Pleriq; enim homines vi magis quam rationi, pœnis (Ex vis δ' ἀγωγῆς ὀρθῆς, &c.)

magis

Ariſtot. l. 10. c. 9.

magis parent quam honeſtati. Atq; hæc cauſa eſt cur nonnulli arbitrentur, legiſlatoris eſſe officium, ut prius rationibus & verbis ad virtutis ſtudium deducat & bonum, propoſitaq; eos honeſtate adhortetur. Ita enim futurum, ut boni viri fiant meliores, ſi bene agere aſſueſcant: deinde ut & iis qui non parent, & ab officio ſuo natura alieni ſunt, ſupplicia imponat & pœnas. Eos poſtremo qui ſanari non poſſunt, è numero ſanorum ejiciat, & eorum qui viri boni munus poſſunt implere. Decet quippe, ut vir bonus. & qui ex præſcripto vivit honeſti, obtemperet rationi. Improbus vero, quia cum voluptatem aſſiduo ſequatur, & affectibus omni ratione deſtitutis morem gerat, ratione emendari non poſſit, dolore potius ſubjiciendus eſt, ſicut jumentum. Unde eſt quod dicunt, eos homines, qui ratione fere omnino deſtituuntur, iis caſtigandos eſſe doloribus, qui cum voluptatibus illis, quas illi maxime ſequuntur, pugnant maxime. Ut, exempli gratia, qui plus quam oportet, ſibi vindicat, bonis privetur omnibus, qui arrogans eſt & contumelioſus, infamia, qui intemperans, verberibus afficiatur.

Εἰ δ' οὖν καθάπερ εἴρηται, &c.

Quod ſi hæc dura ſint ac moleſta, & tamen bonum eſſe oportet, unumquemq; hominem ac probum, ſtatim à prima ætate, bene educari, ac inſtitui, & ad probitatem aſſuefieri ſingulos oportet, atq; ita deinceps in iiſdem perſiſtere ac vitam traducere inſtitutis neque ſponte ac invito agere id quod à virtute eſt

ταῖς ζημίαις, ἢ τῷ καλῷ. Διὰ τοῦτο καί τινες οἴονται δεῖν τοὺς νομοθέτας πρῶτα μὲν λόγοις ἐπὶ τὴν ἀρετὴν καὶ τὸ ἀγαθὸν ἐνάγειν, προτρεπομένους τοῦ καλοῦ χάριν. Οὕτω γὰρ ἂν τοὺς ἐπιεικεῖς ἀμείνους γίνεσθαι, πρὸς τὸ ἀγαθὸν ἐθισθέντας· ἔπειτα τοῖς ἀπειθοῦσι καὶ ἀφυῶς ἔχουσι κολάσεις καὶ τιμωρίας ἐπιτιθέναι, τοὺς δ' ἀνιάτους ἐξορίζειν τῆς χώρας τῶν ὑγιαινόντων, ἢ δυναμένων. Προσήκει γὰρ τὸν μὲν ἐπιεικῆ καὶ πρὸς τὸ καλὸν ζῶντα τῷ λόγῳ πειθαρχήσειν· τὸν δὲ φαῦλον ἡδονῆς ὀρεγόμενον καὶ πάθεσιν ἀλόγοις ἀκολουθοῦντα λόγῳ μὲν οὐκ ἂν βελτίω γίνεσθαι, λύπῃ δὲ κολαζόμενον, ὥσπερ ὑποζύγιον. Ὅθεν καὶ φασὶ δεῖν εἶναι τοὺς ἀλογωτέρους ἐκείναις ταῖς λύπαις κολάζειν, αἳ πρὸς τὰς ἀγαπωμένας ὑπ' αὐτῶν ἡδονὰς ἐναντίως ἔχουσιν. Οἷον τὸν μὲν πλεονέκτην ἀπογυμνῶσαι τῶν ὑπαρχόντων, τὸν δὲ ἀλαζόνα καὶ ὑβριστὴν ἀτιμάσαι, τυ[illegible]σαι δὲ τὸν ἀκόλαστον.

Εἰ δὲ ταῦτα σκληρὰ καὶ ἀηδῆ, καὶ ἀγαθὸν εἶναι δεῖ καὶ ἐπιεικῆ τῶν ἀνθρώπων ἕκαστον, ἐκ παιδὸς καλῶς καὶ ὀρθῶς προσήκει τραφῆναι, καὶ παιδευθῆναι, καὶ τὴν ἐπιείκειαν ἐθισθῆναι, καὶ οὕτως ἔπειτα ζῆν ἐν ἐπιτηδεύμασιν ἀγαθοῖς, καὶ μήτε ἄκοντα μήτε ἑκόντα πράττειν

τὰ φαῦλα· τοῦτο δὲ δύναται γίνεσθαι διατεταγμένοις κατά τινα τάξιν καὶ λόγους ὡρισμένους, κῦρος ἔχοντας καὶ ἰσχύν. Τὰ μὲν οὖν τῶν πατέρων πρὸς τοὺς παῖδας προστάγματα, τὴν ἰσχὺν οὐκ οὕτω μεγάλην ἔχειν ὥστε βιάζεσθαι, οὐδέ τινος ἑνὸς ἀνδρὸς, μὴ τυράννου ὄντος ἢ βασιλέως, οἱ λόγοι δύνανται τοσοῦτον, ὥστε μὴ βουλομένους ἐπάγειν ἐπὶ τὰ καλὰ τοὺς πολλούς. Μόνος δὲ ὁ νόμος ἀναγκαστικήν τινα δύναμιν ἔχει. Πιστεύεται γὰρ ἀπό τινος νοῦ καὶ φρονήσεως τεθῆναι τὸ ἐξ ἀρχῆς. Ὅθεν τοῖς μὲν ἀνθρώποις ἐχθαίρουσιν οἱ πολλοὶ ταῖς ὁρμαῖς αὐτῶν ἐναντιουμένοις, κἂν ὀρθῶς αὐτὸ δρῶσι. Τῷ νόμῳ δὲ οὐδεὶς ἄχθεται τάττοντι τὸ ἐπιεικὲς, καὶ τῶν πονηρῶν ἀφιστάντι· τοὺς μὲν γὰρ ζῶντας τῶν παιδευτῶν ἴσως ἔστι νομίσαι μίσει τινὶ ἢ φθόνῳ κινουμένους λυπεῖν· τοῖς δὲ νόμοις οὐ τοῦτο συμβαίνει. Φανερὸν μὲν οὖν, ὡς ἄρα δεῖ νόμων ῥυθμιζόντων καὶ διαπλαττόντων πρὸς τὴν ἀρετὴν εὐθὺς ἐκ παιδός.

Τοιοῦτοι δὲ νόμοι μόνῃ τῇ Λακεδαιμονίων ἐγένοντο πόλει, καί τισιν ἄλλαις ὀλίγαις κομιδῇ· ταῖς δὲ πλείσταις πόλεσιν οὐκ ἐμέλησε περὶ τῶν τοιούτων, ἀλλ' ἕκαστος ὡς βούλεται τάττει τὸν βίον καὶ τὴν οἰκίαν, Κυκλωπικῶς θεμιστεύων,

Παίδων ἠδ' ἀλόχου.

Κράτιστον μὲν οὖν τὸ γίνε-

alienum. Quod fieri poterit, ſi ex præſcripto quodam ordine, & definitis quibuſdam præceptis vivamus, quæ autoritate quadam publica vim habeant quandam & potentiam. Et patrum quidem, quibus liberos ſuos in officio continere ſolent, præcepta, vim quidem ita magnam non habent, ut cogere eos poſſint: ſicut neq; unius alicujus hominis, niſi qui regis aut tyranni poteſtate ſit præditus, tantum poſſunt, ut invitum ad honeſte vivendum compellant populum. Sola autem lex, cogendi vim quandam habet. Quilibet enim credit non ſine provida mente & prudentia ab initio latam fuiſſe. Unde fit ut ipſis ſuccenſeant hominibus pleriq; quos obſiſtere affectibus vident ſuis, quamvis recte meritoque hoc ab illis fiat. Legi vero quæ id quod æquum eſt ac fieri oportet, præſcribit, & à vitiis homines avertit, nemo eſt qui ſuccenſeat. Etenim vivi virtutis præceptores, odio aliquo interdum atq; invidia adducti nocere velle exiſtimantur: quod in legibus locum non habet. Unde apparet, certas requiri leges, quæ ad virtutem ſtatim ab ætate prima dirigant mores noſtros ac componant.

Ariſtot. l. 10. c. 9.

Tales autem leges ſola Lacedæmoniorum urbs habuit: ut & aliæ nonnullæ admodum paucæ. In reliquis vero nulla earum habetur ratio, in quibus prout lubet, ſinguli vitam regunt ſuam & familiam, more Cyclopum intemperantes,

Ἐν μόνῃ δὲ τῇ Λακεδαιμονίων, &c.

Conjugibus natiſque.

Optimum ergo eſt communem

 aliquam

Aristot. l.10.c.9.

aliquam rectamque ſuſcipi curam: utque omnes ordine & quemadmodum recta poſtulat ratio, vitam inſtituant ſuam. Quod ſi non fiat, neque ulla publica habeatur cura, id potiſſimum ſingulos decere videbitur, ut quiſq; liberis ſuis & amicis aliquid ad virtutem adjumenti adferat, aut ſaltem id facere conetur. Qua quidem in re amicis potiſſimum ſuccurrere poterit, qui ad leges ferendas maxime futurus eſt idoneus, quemadmodum ex ſuperioribus apparet. Omnis enim cura ejuſmodi eſt à legibus. Et communis quidem à communibus: ſicut honeſta ac proba inſtitutio ac cura, quæ privata eſt, ab iis quæ reſpondent huic; ab honeſtis dico legibus ac probis.

Γεγραμμένων δ' ἢ ἀγράφων, &c.

Sintne autem ſcriptæ leges aut non ſcriptæ, nihil refert: ſicut nec utrum unus inſtituatur iis an multi, nullam adfert legibus differentiam. Ut in muſica, exempli gratia, & gymnaſtica, ac ſimilibus fieri inſtitutis videmus: quæ enim unum in gymnaſtice exercere poſſunt, poſſunt & multos & quæ unum efficere muſicum, nihil obſtat quin poſſunt & multos: ſicut & contra. Ideoq; nihil obſtat quo minus ille qui unam dirigere ac diſponere familiam poteſt, aut qui unum inſtituere poteſt hominem, leges quoq; ferre poſſit, ac in ejus rei cognitione excellere, non minus quam qui urbem totam regit aut populum. Nam quemadmodum in urbibus vim habent inſtituta legitima & mores ita & in una familia præcepta & mores quibus de-

γίνεσθαι κοινὴν ἐπιμέλειαν καὶ ὀρθὴν: καὶ πάντας ζῆν δύνασθαι τεταγμένως, καὶ ὡς ὁ ὀρθὸς ἀπαιτεῖ λόγος. εἰ δὲ μὴ τοῦτο γίνοιτο, καὶ τὸ κοινὸν ἀμελοῖτο, προσήκειν ἑκάστῳ δόξειεν ἂν τοῖς ἑαυτοῦ τέκνοις καὶ φίλοις εἰς ἀρετὴν βοηθεῖν, ἢ βοηθεῖν προθυμεῖσθαι· δυνηθείη δ' ἂν ἕκαστος ταῦτα τοὺς οἰκείους εὐεργετεῖν νομοθετικὸς γενόμενος, ὡς φανερὸν ἐκ τῶν εἰρημένων. Γίνεται γὰρ πᾶσα ἐπιμέλεια διὰ νόμων: καὶ αἱ μὲν κοιναὶ ἐπιμέλειαι διὰ τῶν κοινῶν νόμων· καὶ δὲ σπουδαῖαι καὶ ἐπιεικεῖς ἐπιμέλειαι καὶ παιδεῖαι διὰ τῶν καταλλήλων, τῶν σπουδαίων καὶ ἐπιεικῶν, φημὶ νόμων.

Γεγραμμένους δὲ ἢ ἀγράφους εἶναι τοὺς νόμους, οὐδὲν διαφέρει· οὐδὲ τὸ πολλοὺς παιδεύειν, ἢ ἕνα ῥυθμίζειν, ἐπείπερ μὴ γὰρ ἂν τοῖς νόμοις διαφορά. Ὥσπερ ἐπὶ τῆς μουσικῆς, καὶ γυμναστικῆς, καὶ τῶν ἄλλων ἐπιτηδευμάτων συμβαίνει· καὶ γὰρ ἂν τὸν ἕνα δύναιτο γυμνάσαι, καὶ τοὺς πολλοὺς· καὶ δὴ ἂν εἷς μουσικὸς καὶ πολλοὺς οὐδὲν κωλύει [...] καὶ τὸ ἀνάπαλιν. Διὰ τοῦτο καὶ τὸν οἰκίαν διατιθέντα μίαν καὶ ῥυθμίζοντα, ἢ ἕνα ἄνδρα παιδεύοντα, οὐδὲν κωλύει νόμους τιθέναι, καὶ εἶναι νομοθετικὸν οὐδὲν ἧττον τοῦ πόλιν ὅλην, ἢ ἔθνος διατιθέντος. Καὶ γὰρ ὥσπερ ἐν ταῖς πόλεσιν ἰσχύει τὰ νόμιμα καὶ τὰ ἔθη, οὕτω καὶ ἐν οἰκίᾳ μιᾷ οἱ πατρικοὶ λόγοι, καὶ τὰ ἔθη, δι' οὓς φαίνεται

χαίρων,

χαίρων, μεγάλην ἐν τοῖς παισὶ καὶ τοῖς ἄλλως οἰκείοις δύναμιν ἔχει, καὶ πολλῷ πλέον διὰ τὴν συγγένειαν, καὶ τὰς εὐεργεσίας. Εὖνοι γάρ εἰσι διὰ ταῦτα τῷ πατρὶ μᾶλλον οἱ παῖδες, ἢ οἱ πολῖται τῷ νομοθέτῃ. Καὶ διὰ τοῦτο ῥᾷον ἄγονται, καὶ τοῖς νόμοις πείθονται μᾶλλον, κἂν ἄλλως ἀπειθεῖς ὦσι, φύσει τινὶ στέρξαντες ἐξ ἀρχῆς. Ἔτι δὲ καὶ ἀκριβέστεροι γίνοιντο ἂν τῶν κοινῶν οἱ καθ' ἕκαστον νόμοι, καὶ διὰ τοῦτο λυσιτελέστεροι, καθάπερ καὶ ἐπὶ τῆς ἰατρικῆς ἔχει. Καὶ γὰρ οἱ μερικοὶ ἰατρικοὶ λόγοι, οἱ ἑνὸς ἐφαρμόζοντες σώματος ἕξει, βέλτιον ἰάσονται τῶν καθόλου. Καθόλου μὲν γὰρ τῷ πυρέττοντι συμφέρει ἀσιτία καὶ ἡσυχία, τινὶ δὲ ἴσως οὐ ταῦτα, ἀλλὰ τἀναντία λυσιτελήσει· καὶ διὰ τοῦτο ὁ ἑνὶ σώματι νομοθετῶν, ἀκριβέστερον νομοθετήσει τοῦ πᾶσιν ἁπλῶς διαιτῶντος· καὶ ὁ πυκτικὸς δὲ, ἐὰν ἀπὸ τοῦ ἀεὶ παρόντος ἀνταγωνιστοῦ τὸν ἀγῶνα διατιθῇ, καὶ τὴν μάχην οὐχ ὁμοίαν οὐδὲ ἀεὶ τὴν αὐτὴν, ἀλλὰ προσήκουσαν ἑκάστῳ ποιῆται, ἄμεινον ἀγωνιεῖται. Καὶ ὅλως ἀκριβέστερον ἕκαστον ὠφεληθήσεται, τῆς ἐπιμελείας ἰδίας καὶ καθ' ἕκαστον γινομένης· οὕτω γὰρ ἑκάστῳ γένοιτο τοῦ προσήκοντος τυχεῖν. Φανερὸν τοίνυν ὅτι ἐπιμεληθείη μὲν ἄριστα καὶ ἑνός τινος καὶ ὀλίγων, ὁ τὸ καθόλου γινώσκων, ἢ ἰατρὸς, ἢ γυμναστὴς, ἢ νομοθέτης, ἐπειδὰν τὸν καθόλου

lectatur ille, magnum apud liberos reliquoſque familiares habent, pondus, multoque magis propter ſanguinis vinculum, & beneficia paterna. Magis enim benevoli ob ea patri ſuo ſunt liberi quam legiſlatori cives. Ideoq; facilius ducuntur magiſque legibus parent, quamvis alias ſint immorigeri, quia naturalem aliquam benevolentiam adferunt & amorem. Prætetea, multo accuratiores quam publicæ leges erunt privatæ, ideoq; magis conducunt: quemadmodum in medicina habet. Singularia enim medicinæ præcepta, & quæ ad unum tantum accommodata ſunt corporis habitum, melius quam univerſalia ſanabunt. Generaliter enim febre laboranti inedia conducit & quies, cuidam tamen fortaſſe non hæc ſed contraria conducent. Ideoque qui uni corpori fert leges, accuratius illud eſt facturus, quam qui omnibus. Sicut & peritus pugil, ſi pro ratione ſemper ejus, cum quo congreditur adverſarii, certamen dirigat, neq; luctam ſemper eandem aut ſimilem, ſed prout convenit ſingulis, inſtituat, melius certabit. Quicquid deniq; id fuerit, multo geretur accuratius, ſi peculiarem illi aliquis adhibuerit diligentiam. Ita enim id quod requirunt conſequentur ſingula. Manifeſtum eſt ergo facilius eum rem unam aut paucas diligenter curaturum eſſe, qui univerſalem prius habet ſcientiam; ſive is medicus, ſive gymnaſta fuerit, aut legiſlator: quoties dico univerſalem ſcientiæ ratio-

Ariſtot. l. 10 c. 9.

Ariſtot. l.10.c.9.

nem conjunxerit cum ſingulari. Novit enim quæ omnibus; ſive hoc, ſive illo ſe habeant modo conveniant ac proſint. Ejus enim quod commune eſt & ſunt, & dicuntur ſcientiæ. Neq; tamen quicquam prohibet, quo minus qui univerſalia ignorat, ſed tantum ſimpliciter quæ ſingulis accidant, longa fuerit experientia contemplatus, unum aliquid efficiat diligenter. Sic, exempli gratia, quidam ſuorum corporum ſunt medici, qui hac in re aliis prodeſſe nihil poſſent. Eodemque modo in aliis ſe res habet artibus atque inſtitutis. Et tamen licet hoc modo ad agendas res ſingulas & inſtituta hominum ſufficere videatur experientia, nihilominus omni ſtudio ac ratione incumbendum eſt ſcientiæ, & ad univerſalia cundum eſt ei, qui artifex vult evadere, aut recte contemplari. In univerſalibus enim verſatur ſcientia. Ita autem ſcire oportet id quod eſt univerſale, ſive id in medicina ſit; ſive in legiſlatoria, ſive in alia quacunque ſimili ſcientia, non tanquam immobile, & quod eodem ſemper ſe habeat modo, ſed ut quam maxime contingens. Ex contingentibus enim, non ex immobilibus, tales ſunt ſcientiæ. Et tamen quærenda nihilominus in ſingulis eſt ſcientia: eumq; qui cum cura meliores velit vel multos efficere vel paucos, hoc agere oportet, ut ferendarum ſibi legum comparet ſcientiam. Solis quippe legibus ad id quod bonum eſt & ad virtutem impellimur. Neque enim hoc modo

λόγον τῆς ἐπιστήμης συνάψῃ τῷ μερικῷ. Καὶ γὰρ δεῖ δεν, ἃ πᾶσιν, ἢ τοιᾶσδε ἢ οὕτως ἔχουσι, λυσιτελεῖ. Τοῦ κοινοῦ γὰρ αἱ ἐπιστῆμαι λέγονταί τε καί εἰσιν. Οὐδὲν δὲ κωλύει καὶ τὸν μὴ τὸ καθόλου εἰδότα, τεθεαμένον δὲ ἀκριβῶς τὰ συμβαίνοντα ἐφ' ἑκάστῳ δι' ἐμπειρίαν, ἑνός τινος καλῶς ἐπιμεληθῆναι. Καὶ γὰρ ἰατροί τινες εἶναι τῶν σωμάτων τῶν ἑαυτῶν, ἄλλοις ταῦτα μὴ δυνάμενοι βοηθεῖν. Ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων ἐπιτηδευμάτων συμβαίνει καὶ οὕτως δὲ τῆς ἐμπειρίας ἀρκούσης πρὸς τὴν ὠφέλειαν τῶν ἐπιτηδευμάτων ἑκάστων, τήν γε ἐπιστήμην ζητητέον πάσῃ σπουδῇ, καὶ βαδιστέον ἐπὶ τὸ καθόλου τῷ τεχνικῷ καὶ θεωρητικῷ βουλομένῳ γενέσθαι. Περὶ γὰρ τὸ καθόλου ἡ ἐπιστήμη γινώσκειν δὲ οὕτω χρὴ τὸ καθόλου, τό γε τῆς ἰατρικῆς, ἢ νομοθετικῆς, ἢ ἄλλης τοιαύτης ἐπιστήμης, οὐχ ὡς ἀκίνητον, καὶ ἀεὶ ὡσαύτως ἔχον, ἀλλ' ὡς μάλιστα ἐνδεχόμενον. Τῶν ἐνδεχομένων γὰρ, καὶ οὐ τῶν ἀκινήτων αἱ τοιαῦται εἰσιν ἐπιστῆμαι. Ζητητέον τοίνυν ἐφ' ἑκάστου τὴν ἐπιστήμην· καὶ τὸν βουλόμενον δι' ἐπιμελείας βελτίους ποιεῖν, εἴτε πολλοὺς εἴτε ὀλίγους, νομοθετικὸν πειρατέον γενέσθαι. Καὶ γὰρ διὰ τῶν νόμων πρὸς τὸ ἀγαθὸν κινούμεθα, καὶ τὴν ἀρετήν. Οὐ γὰρ ἔστι τοῦ τυχόντος ἢ πολλοὺς, ἢ ἕνα, τινὰ

καλῶς διαθεῖναι, καὶ παιδεῦσαι πρὸς ἀρετὴν ἔχειν οἰκείως, ἀλλ' εἴγε τοῦτο δυνατὸν ἐν ἀνθρώποις, ἐκεῖνος ἂν δυνηθείη μόνος, ὃς οἶδε νόμους τοὺς μὲν κρίνειν, τοὺς δὲ τιθέναι.

eſt cujuſlibet, vel multos vel unum aliquem recte diſponere, & ut ad recipiendam fiat idoneus virtutem, diſciplina ſua obtinere. Sed ſi hoc ab ullo fieri poſſit homine, certum eſt ab eo id poſſe, qui & ferre leges, & de legibus judicare poſſit. Ariſtot. l 10. c. 9.

ΚΕΦ. ιγ'.

Περὶ τῶν σοφιστῶν τε, καὶ τῶν τὰ πολιτικὰ διδάσκειν ἐπαγγελλομένων· καὶ ὅτι τὸ περὶ τῆς νομοθεσίας ἐπισκέψασθαι πρὸς τὴν τῆς πρακτικῆς φιλοσοφίας τελείωσιν ἔτι λοιπόν ἐστι.

CAP. XIII.

De ſophiſtis, reliquiſque qui civilium rerum promittunt ſcientiam: item, curam de ferendis legibus ad ſummam activæ ſcientiæ conſummationem adhuc reliquam eſſe.

